This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

~~G1.86.158~~ Bd. Oct. 1892.
KC15952

Harvard College Library

FROM

John S. Tebbets,
of Boston.

16 June 1892.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

PLVTARCHI

VITAE PARALLELAE

600 16/3

AD

OPTIMORVM LIBRORVM

FIDEM EDIDIT

GODOFREDVS HENRICVS

SCHAEFER.

TOMVS IV.

LIPSIAE

SVMTIBVS ET TYPIS CAROLI TAVCHNITZII.

1818.

Digitized by Google

KC15952
Gf 86.15-8



John S Scott Co.

Digitized by Google

PLVTARCHI

PHILOPOEMEN, FLAMININVS, PYRRHVS, MARIVS, LYSANDER, SVLLA,

AD

OPTIMORVM LIBRORVM

FIDEM EDIDIT

GODOFREDVS HENRICVS

SCHAEFER.

LIPSIAE

SVMTIBVS ET TYPIS CAROLI TAVCHNITZII.

1818.

Digitized by Google

Digitized by Google

ΦΙΛΟΠΟΙΜΗΝ.

Κλέανδρος ἦν ἐν Μαντινείᾳ γένους τε πρώτου, καὶ δυνηθεὶς ἐν τοῖς μάλιστα τῶν πολιτῶν· τύχῃ δὲ χρησάμενος, καὶ τὴν ἑαυτοῦ φυγὼν, ἦκεν εἰς Μεγάλην πόλιν, οὐχ ἥκιστα διὰ τὸν Φιλοποίμενος πατέρα, Κραῦγιν, ἄνδρα πάντων ἕνεκα λαμπρὸν, ἰδίᾳ δὲ πρὸς ἐκεῖνον οἰκείως ἔχοντα. Ζῶντος μὲν οὖν αὐτοῦ πάντων ἐτύγχανε, τελευτήσαντος δὲ τὴν ἀμοιβὴν τῆς φολοξενίας ἀποδιδοὺς, ἔθρεψεν αὐτοῦ τὸν υἱὸν ὀρφανὸν ὄντα, καθάπερ φησὶν Ὅμηρος ὑπὸ τοῦ Φοίνικος τὸν Ἀχιλλέα τραφῆναι, γενναίαν τινὰ καὶ βασιλικὴν τοῦ ἤθους εὐθὺς ἐξ ἀρχῆς πλάσιν καὶ αὔξησιν λαμβάνοντος. Ἤδη δὲ τοῦ Φιλοποίμενος ἀντίπαιδος ὄντος, Ἔκθημος καὶ Δημοφάνης, οἱ Μεγαλοπολῖται, διεδέξαντο τὴν ἐπιμέλειαν, Ἀρκεσιλάῳ συνήθεις ἐν Ἀκαδημίᾳ γεγονότες, καὶ φιλοσοφίαν μάλιστα τῶν καθ' ἑαυτοὺς ἐπὶ πολιτείαν καὶ πράξεις προαγαγόντες. Οὗτοι καὶ τὴν ἑαυτῶν πατρίδα τυραννίδος ἀπήλλαξαν, τοὺς ἀποκτενοῦντας Ἀριστόδημον κρύφα παρασκευάσαντες· καὶ Νικοκλέα τὸν

Digitized by Google

Σικυώνιον τύραννον Ἀράτῳ συνεξέβαλον, καὶ Κυρηναίοις δεηθεῖσιν, τεταραγμένων τῶν κατὰ τὴν πόλιν καὶ νοσούντων, πλεύσαντες εὐνομίαν ἔθεντο, καὶ διεκόσμησαν ἄριστα τὴν πόλιν. Αὐτοί γε μὴν ἐν τοῖς ἄλλοις ἔργοις καὶ τὴν Φιλοποίμενος ἐποιοῦντο παίδευσιν, ὡς κοινὸν ὄφελος τῇ Ἑλλάδι τὸν ἄνδρα τοῦτον ὑπὸ φιλοσοφίας ἀπεργασόμενοι. Καὶ γὰρ, ὥσπερ ὀψίγονον ἐν γήρᾳ, ταῖς τῶν παλαιῶν ἡγεμόνων ἐπιτεκοῦσα τοῦτον ἀρεταῖς ἡ Ἑλλὰς, ἠγάπησε διαφερόντως, καὶ συνηύξησε τῇ δόξῃ τὴν δύναμιν. Ῥωμαίων δέ τις ἐπαινῶν, ἔσχατον αὐτὸν Ἑλλήνων προσεῖπεν, ὡς οὐδένα μέγαν μετὰ τοῦτον ἔτι τῆς Ἑλλάδος ἄνδρα γεινομένης, οὐδὲ αὐτῆς ἄξιον.

II. Ἦν δὲ τὸ μὲν εἶδος οὐκ αἰσχρὸς, ὡς ἔνιοι νομίζουσιν. Εἰκόνα γὰρ αὐτοῦ διαμένουσαν ἐν Δελφοῖς ὁρῶμεν. Τὴν δὲ τῆς ξένης τῆς Μεγαρικῆς ἄγνοιαν συμβῆναι λέγουσι δι' εὐκολίαν τινὰ καὶ ἀφέλειαν αὐτοῦ. Πυνθανομένη γὰρ ἔρχεσθαι πρὸς αὐτοὺς τὸν στρατηγὸν τῶν Ἀχαιῶν, ἐθορυβεῖτο, παρασκευάζουσα δεῖπνον, οὐ παρόντος κατὰ τύχην τοῦ ἀνδρός. Ἐν τούτῳ δὲ τοῦ Φιλοποίμενος εἰσελθόντος, χλαμύδιον εὐτελὲς ἔχοντος, οἰομένη τινὰ τῶν ὑπηρετῶν εἶναι καὶ προδρόμων, παρεκάλει τῆς διακονίας συνεφάψασθαι. Καὶ ὁ μὲν εὐθὺς ἀπορρίψας τὴν χλαμύδα τῶν ξύλων ἔσχιζεν· ὁ δὲ ξένος ἐπεισελθὼν, καὶ θεασάμενος· Τί τοῦτο, ἔφη, Φιλοποίμην; Τί γὰρ ἄλλο, ἔφη δωρίζων ἐκεῖνος ἢ κακῆς ἕψεως δίκας δίδωμι; Τοῦ δ' ἄλλου σώματος

Digitized by Google

τὴν φύσιν ἐπισκώπτων ὁ Τίτος εἶπεν· Ὦ Φιλοποίμην, ὡς καλὰς χεῖρας ἔχεις καὶ σκέλη· γαστέρα δ' οὐκ ἔχεις. Ἦν γὰρ ἐκ τῶν μέσων στενόπερος. Τὸ μέντοι σκῶμμα πρὸς τὴν δύναμιν αὐτοῦ μᾶλλον ἐλέχθη. Καὶ γὰρ ὁπλίτας ἔχων ἀγαθοὺς καὶ ἱππεῖς, χρημάτων πολλάκις οὐκ εὐπόρει. Ταῦτα μὲν οὖν ἐν ταῖς σχολαῖς περὶ τοῦ Φιλοποίμενος λέγεται.

III. Τοῦ δ' ἤθους τὸ φιλότιμον οὐκ ἦν παντάπασι φιλονεικίας καθαρὸν, οὐδ' ὀργῆς ἀπηλλαγμένον· ἀλλὰ, καίπερ Ἐπαμινώνδου βουλόμενος εἶναι μάλιστα ζηλωτὴς, τὸ δραστήριον καὶ συνετὸν αὐτοῦ καὶ ὑπὸ χρημάτων ἄπαθὲς ἰσχυρῶς ἐμιμεῖτο· τῷ δὲ πρᾴῳ καὶ βαθεῖ καὶ φιλανθρώπῳ παρὰ τὰς πολιτικὰς διαφορὰς ἐμμένειν οὐ δυνάμενος δι' ὀργὴν καὶ φιλονεικίαν, μᾶλλον ἐδόκει στρατιωτικῆς, ἢ πολιτικῆς, ἀρετῆς οἰκεῖος εἶναι. Καὶ γὰρ ἐκ παίδων εὐθὺς ἦν φιλοστρατιώτης, καὶ τοῖς πρὸς τοῦτο χρησίμοις μαθήμασιν ὑπήκουε προθύμως, ὁπλομαχῶν καὶ ἱππεύων. Ἐπεὶ δὲ καὶ παλαίειν εὐφυῶς ἐδόκει, καὶ παρεκάλουν αὐτὸν ἐπὶ τὴν ἄθλησιν ἔνιοι τῶν φίλων καὶ τῶν ἐπιτρόπων, ἠρώτησεν αὐτοὺς, μή τι πρὸς τὴν στρατιωτικὴν ἄσκησιν ὑπὸ τῆς ἀθλήσεως βλαβήσοιτο. Τῶν δὲ φαμένων, ὅπερ ἦν, ἀθλητικὸν στρατιωτικοῦ σῶμα καὶ βίον διαφέρειν τοῖς πᾶσι, μάλιστα δὲ δίαιταν ἑτέραν καὶ ἄσκησιν εἶναι, τῶν μὲν ὕπνῳ τε πολλῷ καὶ πλησμοναῖς ἐνδελεχέσι, καὶ κινήσεσι τεταγμέναις καὶ ἡσυχίαις αὐξόντων τε καὶ διαφυλαττόντων τὴν ἕξιν, ὑπὸ πάσης ῥοπῆς καὶ

Digitized by Google

παρεκβάσεως τοῦ συνήθους ἀκροσφαλῆ πρὸς μεταβολὴν οὖσαν· τὰ δὲ, πάσης μὲν πλάνης ἔμπειρα καὶ πάσης ἀνωμαλίας προσῆκον εἶναι, μάλιστα δὲ φέρειν ῥᾳδίως μὲν ἔνδειαν εἰθισμένα, ῥᾳδίως δ' ἀγρυπνίαν· ἀκοῦσας ὁ Φιλοποίμην, οὐ μόνον αὐτὸς ἔφυγε τὸ πρᾶγμα καὶ κατεγέλασεν, ἀλλὰ καὶ στρατηγῶν ὕστερον, ἀτιμίαις καὶ προπηλακισμοῖς, ὅσον ἦν ἐπ' αὐτῷ, πᾶσαν ἄθλησιν ἐξέβαλεν, ὡς τὰ χρησιμώτατα τῶν σωμάτων εἰς τοὺς ἀναγκαίους ἀγῶνας ἄχρηστα ποιοῦσαν.

IV. Ἀπαλλαγεὶς δὲ διδασκάλων καὶ παιδαγωγῶν, ἐν μὲν ταῖς πολιτικαῖς στρατείαις, ἃς ἐποιοῦντο κλωπείας ἕνεκα καὶ ληλασίας εἰς τὴν Λακωνικὴν ἐμβάλλοντες, εἴθισεν αὐτὸν, πρῶτον μὲν ἐκστρατευόντων, ὕστατον δ' ἀπερχομένων βαδίζειν. Σχολῆς δ' οὔσης, ἢ κυνηγῶν διεπόνει τὸ σῶμα, καὶ κατεσκεύαζε κοῦφον ἅμα καὶ ῥωμαλέον, ἢ γεωργῶν. Ἦν γὰρ ἀγρὸς αὐτῷ καλὸς ἀπὸ σταδίων εἴκοσι τῆς πόλεως. Εἰς τοῦτον ἐβάδιζε καθ' ἡμέραν μετὰ τὸ ἄριστον, ἢ μετὰ τὸ δεῖπνον, καὶ καταβαλὼν ἑαυτὸν ἐπὶ στιβαδίου τοῦ τυχόντος, ὥσπερ ἕκαστος τῶν ἐργατῶν, ἀνεπαύετο. Πρωῒ δὲ ἀναστὰς καὶ συνεφαψάμενος ἔργου τοῖς ἀμπελουργοῦσιν, ἢ βοηλατοῦσιν, αὖθις εἰς πόλιν ἀπῄει, καὶ περὶ τὰ δημόσια τοῖς φίλοις καὶ τοῖς ἄρχουσι συνησχολεῖτο. Τὰ μὲν οὖν ἐκ τῶν στρατειῶν προσιόντα κατανήλισκεν εἰς ἵππους καὶ ὅπλα καὶ λύσεις αἰχμαλώτων. Τὸν δ' οἶκον ἀπὸ τῆς γεωργίας αὔξειν ἐπειρᾶτο, δικαιοτάτῳ τῶν χρηματισμῶν·

Digitized by Google

οὐδὲ τοῦτο ποιούμενος πάρεργον, ἀλλὰ καὶ πάνυ προσήκειν οἰόμενος οἰκεῖα κεκτῆσθαι τὸν ἀλλοτρίων ἀφεξόμενον. Ἤκροᾶτο δὲ λόγων, καὶ συγγράμμασι φιλοσόφων ἐνετύγχανεν, οὐ πᾶσιν, ἀλλ' ἀφ' ὧν ἐδόκει πρὸς ἀρετὴν ὠφελεῖσθαι. Καὶ τῶν Ὁμηρικῶν, ὅσα τὰς πρὸς ἀνδρείαν ἐγείρειν καὶ παροξύνειν ἐνόμιζε φαντασίας, τούτοις προσεῖχε. Τῶν δ' ἄλλων ἀναγνωσμάτων μάλιστα τοῖς Εὐαγγέλου τακτικοῖς ἐνεφύετο, καὶ τὰς περὶ Ἀλέξανδρον ἱστορίας κατεῖχε, τοὺς λόγους ἐπὶ τὰ πράγματα καταστρέφειν οἰόμενος, εἰ μὴ σχολῆς ἕνεκα καὶ λαλιᾶς ἀκάρπου περαίνοιντο. Καὶ γὰρ τῶν τακτικῶν θεωρημάτων, τὰς ἐπὶ τοῖς πινακίοις διαγραφὰς ἑῶν χαίρειν, ἐπὶ τῶν τόπων αὐτῶν ἐλάμβανεν ἔλεγχον καὶ μελέτην ἐποιεῖτο, χωρίων συγκλινίας, καὶ πεδίων ἀποκοπάς, καὶ ὅσα παρὰ ῥείθροις, ἢ τάφροις, ἢ στενωποῖς, πάθη καὶ σχήματα διασπωμένης καὶ πάλιν συστελλομένης φάλαγγος, ἐπισκοπῶν αὐτὸς πρὸς αὑτὸν ἐν ταῖς ὁδοιπορίαις, καὶ τοῖς μεθ' ἑαυτοῦ προβάλλων. Ἔοικε γὰρ οὗτος ἀνὴρ περαιτέρω τῆς ἀνάγκης ἐμφιλοπαλῆσαι τοῖς στρατιωτικοῖς, καὶ τὸν πόλεμον ὡς ποικιλωτάτην ὑπόθεσιν τῆς ἀρετῆς ἀσπάσασθαι, καὶ ὅλως καταφρονεῖν τῶν ἀπολειπομένων, ὡς ἀπράκτων.

V. Ἤδη δ' αὐτοῦ τριάκοντα ἔτη γεγονότος, Κλεομένης, ὁ βασιλεὺς Λακεδαιμονίων, νυκτὸς ἐξαίφνης προσπεσὼν τῇ Μεγάλῃ πόλει, καὶ τὰς φυλακὰς βιασάμενος, ἐντὸς παρῆλθε καὶ τὴν ἀγορὰν κατέλαβεν. Ἐκβοηθήσας δὲ Φιλοποίμην, τοὺς μὲν

Digitized by Google

πολεμίους οὐ κατίσχυσεν ἐξελάσαι, καίπερ ἐῤῥωμένως καὶ παραβόλως διαγωνισάμενος· τοὺς δὲ πολίτας τρόπον τινὰ τῆς πόλεως ἐξέκλεψε, προσμαχόμενος τοῖς ἐπιδιώκουσι, καὶ τὸν Κλεομένην περισπῶν ἐφ' ἑαυτὸν, ὡς χαλεπῶς καὶ μόλις ὕστατος ἀπελθεῖν ἀποβαλὼν τὸν ἵππον, καὶ τραυματίας γενόμενος. Ἐπεὶ δὲ προσέπεμψεν αὐτοῖς ὁ Κλεομένης, εἰς Μεσσήνην ἀπελθοῦσι, τήν τε πόλιν μετὰ τῶν χρημάτων ἀποδιδοὺς καὶ τὴν χώραν, ὁρῶν ὁ Φιλοποίμην τοὺς πολίτας ἀσμένως δεχομένους, καὶ σπεύδοντας ἐπανελθεῖν, ἐνέστη καὶ διεκώλυσε, τῷ λόγῳ διδάσκων, ὡς οὐκ ἀποδίδωσι τὴν πόλιν Κλεομένης, προσκτᾶται δὲ τοὺς πολίτας, ἐπὶ τῷ καὶ τὴν πόλιν ἔχειν βεβαιότερον· οὐ γὰρ ἕξειν αὐτὸν, ὅπως οἰκίας καὶ τείχη κενὰ φυλάξῃ καθήμενος, ἀλλὰ καὶ τούτων ὑπ' ἐρημίας ἐκπεσεῖσθαι. Ταῦτα λέγων, τοὺς μὲν πολίτας ἀπέτρεψε, τῷ δὲ Κλεομένει πρόφασιν παρέσχε λυμήνασθαι καὶ καταβαλεῖν τὰ πλεῖστα τῆς πόλεως, καὶ χρημάτων εὐπορήσαντι μεγάλων ἀπελθεῖν.

VI. Ἐπεὶ δ' Ἀντίγονος ὁ βασιλεὺς βοηθῶν ἐπὶ τὸν Κλεομένην μετὰ τῶν Ἀχαιῶν ἐστράτευσε, καὶ, τὰς περὶ Σελλασίαν ἄκρας καὶ τὰς ἐμβολὰς κατέχοντος αὐτοῦ, παρέταξε τὴν δύναμιν, ἐγγὺς ἐπιχειρεῖν καὶ βιάζεσθαι διανοούμενος· ἦν μὲν ἐν τοῖς ἱππεῦσι μετὰ τῶν αὑτοῦ πολιτῶν τεταγμένος ὁ Φιλοποίμην, καὶ παραστάτας εἶχεν Ἰλλυριοὺς, οἷς τὰ λήγοντα τῆς παρατάξεως συνεπέφρακτο, πολλοῖς οὖσι καὶ μαχίμοις. Εἴρητο δ' αὐτοῖς ἐφεδρεύουσιν ἡσυ-

Digitized by Google

χίαν ἔχειν, ἄχρις ἂν ἀπὸ θατέρου κέρως ὑπὸ τοῦ βασιλέως ἀρθῇ φοινικὶς ὑπὲρ σαρίσσης διατεταμένη. Τῶν δ' ἡγεμόνων τοῖς Ἰλλυριοῖς πειρωμένων ἐκβιάζεσθαι τοὺς Λακεδαιμονίους, καὶ τῶν Ἀχαιῶν, ὥσπερ προσετέτακτο, τὴν ἐφεδρείαν ἐν τάξει διαφυλαττόντων, Εὐκλείδας, ὁ τοῦ Κλεομένους ἀδελφὸς, καταμαθὼν τὸ γενόμενον διάσπασμα περὶ τοὺς πολεμίους, ταχὺ τοὺς ἐλαφροτάτους τῶν ψιλῶν περιέπεμψεν, ἐξόπισθεν τοῖς Ἰλλυριοῖς ἐπιπεσεῖν κελεύσας, καὶ περισπᾷν ἐρήμους τῶν ἱππέων ἀπολελειμμένους. Γινομένων δὲ τούτων, καὶ τῶν ψιλῶν τοὺς Ἰλλυριοὺς περισπώντων καὶ διαταραττόντων, συνιδὼν ὁ Φιλοποίμην οὐ μέγα ὂν ἔργον ἐπιθέσθαι τοῖς ψιλοῖς, καὶ τὸν καιρὸν ὑφηγούμενον τοῦτο, πρῶτον μὲν ἔφραζε τοῖς βασιλικοῖς· ὡς δ' οὐκ ἔπειθεν, ἀλλὰ μαίνεσθαι δοκῶν κατεφρονεῖτο, οὐδέπω μεγάλης, οὐδ' ἀξιοπίστου πρὸς τηλικοῦτο στρατήγημα δόξης περὶ αὐτὸν οὔσης, αὐτὸς ἐμβάλλει, συνεπισπασάμενος τοὺς πολίτας. Γενομένης δὲ ταραχῆς τὸ πρῶτον, εἶτα φυγῆς καὶ φόνου πολλοῦ τῶν ψιλῶν, βουλόμενος ἔτι μᾶλλον ἐπιῤῥῶσαι τοὺς βασιλικοὺς, καὶ προσμίξαι κατὰ τάχος θορυβουμένοις τοῖς πολεμίοις, τὸν μὲν ἵππον ἀφῆκεν, αὐτὸς δὲ πρὸς χωρία σκολιὰ καὶ μεστὰ ῥείθρων καὶ φαράγγων πεζὸς ἐν ἱππικῷ θώρακι, καὶ σπευῇ βαρυτέρᾳ, χαλεπῶς καὶ ταλαιπώρως ἁμιλλώμενος, διελαύνεται διαμπερὲς ὁμοῦ τοὺς μηροὺς ἑκατέρους ἐν μεσαγκύλῳ, καιρίας μὲν οὐ γενομένης, ἰσχυρᾶς δὲ

Digitized by Google

τῆς πληγῆς, ὥστε τὴν αἰχμὴν ἐπὶ θάτερα διῶσαι. Τὸ μὲν οὖν πρῶτον ἐνσχεθεὶς ὥσπερ δεσμῷ, παντάπασιν ἀπόρως εἶχε· τὸ γὰρ ἕναμμα τῆς ἀγκύλης χαλεπὴν ἐποίει τοῦ ἀκοντίσματος ἀνελκομένου διὰ τῶν τραυμάτων τὴν πάροδον. Ὡς δὲ ὤκνουν οἱ παρόντες ἅψασθαι, καὶ τῆς μάχης ἀκμὴν ὀξεῖαν ἐχούσης, ἐσφάδαζεν ὑπὸ θυμοῦ καὶ φιλοτιμίας πρὸς τὸν ἀγῶνα, τῇ παραβάσει καὶ τῇ παραλλάξει τῶν σκελῶν διὰ μέσου κλάσας τὸ ἀκόντισμα, χωρὶς ἐκέλευσεν ἑλκύσαι τῶν ἀγμάτων ἑκάτερον. Οὕτω δ' ἀπαλλαγεὶς, καὶ σπασάμενος τὸ ξίφος, ἐχώρει διὰ τῶν προμάχων ἐπὶ τοὺς πολεμίους, ὥστε πολλὴν προθυμίαν καὶ ζῆλον ἀρετῆς παρασχεῖν τοῖς ἀγωνιζομένοις. Νικήσας οὖν ὁ Ἀντίγονος, ἀπεπειρᾶτο τῶν Μακεδόνων, ἐρωτῶν, διὰ τί, μὴ κελεύσαντος αὐτοῦ, τὸ ἱππικὸν ἐκίνησαν. Τῶν δ' ἀπολογουμένων, ὡς παρὰ γνώμην βιασθεῖεν εἰς χεῖρας ἐλθεῖν τοῖς πολεμίοις, μειρακίου Μεγαλοπολιτικοῦ προεμβαλόντος, γελάσας ὁ Ἀντίγονος· Ἐκεῖνο τοίνυν τὸ μειράκιον, εἶπεν, ἔργον ἡγεμόνος μεγάλου πεποίηκεν.

VII. Ἐκ τούτου δόξαν ἔσχεν, ὥσπερ εἰκὸς, ὁ Φιλοποίμην. Καὶ τοῦ μὲν Ἀντιγόνου σπουδάσαντος, ὅπως στρατεύοιτο μετ' αὐτοῦ, καὶ διδόντος ἡγεμονίαν καὶ χρήματα, παρῃτήσατο, μάλιστα τὴν ἑαυτοῦ φύσιν καταμαθὼν πρὸς τὸ ἄρχεσθαι δυσκόλως καὶ χαλεπῶς ἔχουσαν. Ἀργεῖν δὲ καὶ σχολάζειν οὐ βουλόμενος, ἀσκήσεως ἕνεκα καὶ μελέτης τῶν πολεμικῶν εἰς Κρήτην ἔπλευσεν ἐπὶ στρατείαν. Κἀκεῖ

Digitized by Google

συχνὸν χρόνον ἐγγυμνασάμενος ἀνδράσι μαχίμοις καὶ ποικίλοις μεταχειρίσασθαι πόλεμον, ἔτι δὲ σώφροσι καὶ κεκολασμένοις περὶ δίαιταν, ἐπανῆλθεν οὕτω λαμπρὸς εἰς τοὺς Ἀχαιούς, ὥστ' εὐθὺς ἵππαρχος ἀποδειχθῆναι. Παραλαβὼν δὲ τοὺς ἱππεῖς φαύλοις μὲν ἱππαρίοις ἐκ τοῦ προστυχόντος, ὅτε συμβαίνοι τῷ στρατείᾳ, προσχρωμένους, αὐτοὺς δὲ τὰς πολλὰς τῶν στρατειῶν ἀποδιδράσκοντας, ἑτέρους δὲ πέμποντας ἀνθ' ἑαυτῶν, δεινὴν δ' ἀπειρίαν μετ' ἀτολμίας πάντων οὖσαν, περιορῶντας δὲ ταῦτα τοὺς ἄρχοντας ἀεὶ, διά τε τὸ πλεῖστον ἐν τοῖς Ἀχαιοῖς τοὺς ἱππεῖς δύνασθαι, καὶ μάλιστα κυρίους εἶναι τιμῆς καὶ κολάσεως, οὐχ ὑπεῖξεν, οὐδ' ἀνῆκεν· ἀλλὰ καὶ τὰς πόλεις ἐπιὼν, καὶ κατ' ἄνδρα τῶν νέων ἕκαστον ἐπὶ τὴν φιλοτιμίαν συνεξορμῶν, καὶ κολάζων τοὺς ἀνάγκης δεομένους, μελέταις τε καὶ πομπαῖς, καὶ πρὸς ἀλλήλους ἁμίλλαις χρώμενος, ὅπου πλεῖστοι θεᾶσθαι μέλλοιεν, ὀλίγῳ χρόνῳ πᾶσι ῥώμην τε θαυμαστὴν καὶ προθυμίαν παρέστησε· καὶ, ὃ μέγιστον ἦν ἐν τοῖς τακτικοῖς, ἐλαφροὺς καὶ ὀξεῖς, πρός τε τὰς κατ' οὐλαμὸν ἐπιστροφὰς καὶ περισπασμοὺς, καὶ τὰς καθ' ἵππον ἐπιστροφὰς καὶ κλίσεις, ἀπειργάσατο καὶ συνείθισεν, ὡς ἑνὶ σώματι κινουμένῳ καθ' ὁρμὴν ἑκούσιον ἐοικέναι τὴν ὅλου τοῦ συστήματος ἐν ταῖς μεταβολαῖς εὐχέρειαν. Συστάσης δὲ τῆς περὶ τὸν Λάρισσον αὐτοῖς ποταμὸν ἰσχυρᾶς μάχης πρὸς Αἰτωλοὺς καὶ Ἠλείους, ὁ τῶν Ἠλείων ἵππαρχος Δαμόφαντος ὥρμησεν ἐπὶ τὸν Φιλοποίμενα προεξελά-

Digitized by Google

σας. Δεξάμενος δὲ τὴν ὁρμὴν ἐκεῖνος αὐτοῦ, καὶ φθάσας τῷ δόρατι παίει καὶ καταβάλλει τὸν Δαμόφαντον. Εὐθὺς δὲ, τούτου πεσόντος, ἔφυγον οἱ πολέμιοι, καὶ λαμπρὸς ἦν ὁ Φιλοποίμην, ὡς οὔτε κατὰ χεῖρα τῶν νέων τινός, οὔτε συνέσει τῶν πρεσβυτέρων ἀπολειπόμενος, ἀλλὰ καὶ μάχεσθαι καὶ στρατηγεῖν ἱκανώτατος.

VIII. Τὸ δὲ κοινὸν τῶν Ἀχαιῶν πρῶτος μὲν Ἄρατος εἰς ἀξίωμα καὶ δύναμιν ἦρεν ἐκ ταπεινοῦ καὶ διερριμμένου κατὰ πόλεις, συναγαγὼν καὶ πολιτευσάμενος Ἑλληνικὴν καὶ φιλάνθρωπον πολιτείαν. Ἔπειτα, ὥσπερ ἐν τοῖς ὕδασιν, ἀρξαμένων ὀλίγων ὑφίστασθαι καὶ μικρῶν σωμάτων, ἤδη τὰ ἐπιῤῥέοντα τοῖς πρώτοις ἐνισχόμενα καὶ περιπίπτοντα πῆξιν ἰσχυρὰν καὶ στερεότητα ποιεῖ δι' ἀλλήλων, οὕτω, τῆς Ἑλλάδος ἀσθενοῦς καὶ εὐδιαλύτου φερομένης κατὰ πόλεις ἐν τῷ τότε χρόνῳ, πρῶτοι συστάντες οἱ Ἀχαιοὶ, καὶ τῶν κύκλῳ πόλεων τὰς μὲν ἐκ τοῦ βοηθεῖν καὶ συνελευθεροῦν ἀπὸ τῶν τυραννικῶν ὑπολαμβάνοντες, τὰς δ' ὁμονοίᾳ καὶ πολιτείᾳ καταμιγνύντες εἰς ἑαυτοὺς, ἓν σῶμα καὶ μίαν δύναμιν κατασκευάσαι διενοοῦντο τὴν Πελοπόννησον. Ἀλλ', Ἀράτου μὲν ζῶντος, ἔτι τοῖς Μακεδόνων ὅπλοις ὑπεδύοντο τὰ πολλὰ, θεραπεύοντες Πτολεμαῖον, εἶτ' αὖθις Ἀντίγονον καὶ Φίλιππον, ἐν μέσαις ἀναστρεφομένους ταῖς Ἑλληνικαῖς πράξεσιν. Ἐπεὶ δὲ Φιλοποίμην εἰς τὸ πρωτεύειν προῆλθεν, ἤδη καθ' ἑαυτοὺς ἀξιόμαχοι τοῖς ἰσχύουσι πλεῖστον ὄντες, ἐπαύσαντο χρώμενοι

Digitized by Google

προστάταις ἐπεισάκτοις. Ἄρατος μὲν γὰρ, ἀργύτερος εἶναι δοκῶν πρὸς τοὺς πολεμικοὺς ἀγῶνας, ὁμιλίᾳ καὶ πραότητι καὶ φιλίαις βασιλικαῖς τὰ πλεῖστα κατειργάσατο τῶν πραγμάτων, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται· Φιλοποίμην δ', ἀγαθὸς πολεμιστὴς ὢν, καὶ διὰ τῶν ὅπλων ἐνεργὸς, ἔτι δ' εὐτυχὴς καὶ κατορθωτικὸς εὐθὺς ἐν ταῖς πρώταις γενόμενος μάχαις, ἅμα τῇ δυνάμει τὸ φρόνημα τῶν Ἀχαιῶν ηὔξησε, νικᾶν ἐθισθέντων μετ' αὐτοῦ, καὶ κατευτυχεῖν ἐν τοῖς πλείστοις ἀγῶσι.

IX. Πρῶτον μὲν οὖν τὰ περὶ τὰς τάξεις καὶ τοὺς ὁπλισμοὺς φαύλως ἔχοντα τοῖς Ἀχαιοῖς ἐκίνησεν. Ἔχρῶντο γὰρ θυρεοῖς μὲν εὐπετέσι διὰ λεπτότητα, καὶ στενωτέροις τοῦ περιστέλλειν τὰ σώματα, δόρασι δὲ μικροτέροις πολὺ τῶν σαρισσῶν· καὶ διὰ τοῦτο πλῆκται καὶ μάχιμοι πόρρωθεν ἦσαν ὑπὸ κουφότητος, προσμίξαντες δὲ τοῖς πολεμίοις, ἔλαττον εἶχον. Εἶδος δὲ τάξεως καὶ σχήματος εἰς σπεῖραν οὐκ ἦν σύνηθες· φάλαγγι δὲ χρώμενοι μήτε προβολὴν ἐχούσῃ, μήτε συνασπισμὸν, ὡς ἡ Μακεδόνων, ῥᾳδίως ἐξεθλίβοντο καὶ διεσπῶντο. Ταῦτα ὁ Φιλοποίμην διδάξας, ἔπεισεν αὐτοὺς ἀντὶ μὲν θυρεοῦ καὶ δόρατος ἀσπίδα λαβεῖν καὶ σάρισσαν, κράνεσι δὲ καὶ θώραξι καὶ περικνημῖσι πεφραγμένους, μόνιμον καὶ βεβηκυῖαν ἀντὶ δρομικῆς καὶ πελταστικῆς μάχην ἀσκεῖν. Πείσας δὲ καθοπλίσασθαι τοὺς ἐν ἡλικίᾳ, πρῶτον μὲν ἐπῆρε θαῤῥεῖν, ὡς ἀμάχους γεγονότας· ἔπειτα τὰς τρυφὰς αὐτῶν καὶ τὰς πολυτελείας ἀφι-

Digitized by Google

στα μετεκόσμησεν. Ἀφελεῖν γὰρ οὐκ ἦν παντάπασιν ἐκ πολλοῦ νοσούντων τὸν κενὸν καὶ μάταιον ζῆλον, ἐσθῆτας ἀγαπώντων περιττὰς, στρωμνάς τε βαπτομένων ἁλουργεῖς, καὶ περὶ δεῖπνα φιλοτιμουμένων καὶ τραπέζας. Ὁ δ', ἀρξάμενος ἐκτρέπειν ἀπὸ τῶν οὐκ ἀναγκαίων ἐπὶ τὰ χρήσιμα καὶ καλὰ τὴν φιλοκοσμίαν, ταχὺ πάντας ἔπεισε καὶ παρώρμησε, τὰς καθ' ἡμέραν περὶ σῶμα δαπάνας κολούσαντας, ἐν ταῖς στρατιωτικαῖς καὶ πολεμικαῖς παρασκευαῖς διαπρεπεῖς ὁρᾶσθαι καὶ κεκοσμημένους. Ἦν οὖν ἰδεῖν τὰ μὲν ἐργαστήρια μεστὰ κατακοπτομένων κυλίκων καὶ Θηρικλείων, χρυσουμένων δὲ θωράκων, καὶ καταργυρουμένων θυρεῶν καὶ χαλινῶν· τὰ δὲ στάδια πώλων δαμαζομένων, καὶ νεανίσκων ὁπλομαχούντων· ἐν δὲ ταῖς χερσὶ τῶν γυναικῶν κράνη καὶ πτερὰ βαφαῖς κοσμούμενα, καὶ χιτώνων ὑππικῶν καὶ στρατιωτικῶν χλαμύδων διηνθισμένων. Ἡ δ' ὄψις αὕτη τὸ θάρσος αὔξουσα, καὶ παρακαλοῦσα, τὴν ὁρμὴν ἐποίει φιλοπαράβολον καὶ πρόθυμον ἐπὶ τοὺς κινδύνους. Ἡ μὲν γὰρ ἐν τοῖς ἄλλοις θεάμασι πολυτέλεια τρυφὴν ἐπάγεται, καὶ μαλακίαν ἐνδίδωσι τοῖς χρωμένοις, ὥσπερ ὑπὸ νυγμῶν καὶ γαργαλισμῶν τῆς αἰσθήσεως συνεπικλώσης τὴν διάνοιαν· ἡ δ' εἰς τὰ τοιαῦτα ῥώννυσι καὶ μεγαλύνει τὸν θυμόν· ὥσπερ Ὅμηρος ἐποίησε τὸν Ἀχιλλέα, τῶν καινῶν ὅπλων παρατεθέντων ἐγγὺς, ὑπὸ τῆς ὄψεως οἷον ὀργῶντα καὶ φλεγόμενον πρὸς τὴν δι' αὐτῶν ἐνέργειαν. Οὕτω δὲ κοσμήσας τοὺς νέους, ἐγύμναζε

Digitized by Google

καὶ διεπόνει, ταῖς κινήσεσι προθύμως ὑπακούοντας καὶ φιλοτίμως. Καὶ γὰρ ἡ τάξις θαυμαστῶς ἠγαπᾶτο, ἄθραυστόν τι λαμβάνειν πύκνωμα δοκοῦσα, καὶ τὰ ὅπλα τοῖς σώμασιν ἐγίνετο χειροήθη καὶ κοῦφα, μεθ' ἡδονῆς διὰ λαμπρότητα καὶ κάλλος ἁπτομένων καὶ φορούντων, ἐναγωνίσασθαί τε βουλομένων, καὶ διακριθῆναι τάχιστα πρὸς τοὺς πολεμίους.

X. Ἦν δὲ τότε τοῖς Ἀχαιοῖς ὁ πρὸς Μαχανίδαν πόλεμος, τὸν Λακεδαιμονίων τύραννον, ἀπὸ πολλῆς καὶ μεγάλης δυνάμεως ἐπιβουλεύοντα πᾶσι Πελοποννησίοις. Ὡς οὖν εἰς τὴν Μαντίνειαν ἐμβεβληκὼς ἀπηγγέλθη, κατὰ τάχος ὁ Φιλοποίμην ἐξήγαγε τὴν στρατιὰν ἐπ' αὐτόν. Ἐγγὺς δὲ τῆς πόλεως παρετάξαντο, πολλοῖς μὲν ξένοις ἑκάτεροι, πάσαις δὲ ὁμοῦ τι ταῖς πολιτικαῖς δυνάμεσι. Γενομένου δὲ τοῦ ἀγῶνος ἐν χερσὶν, ὁ Μαχανίδας τοῖς ξένοις τοὺς τῶν Ἀχαιῶν προτεταγμένους ἀκοντιστὰς καὶ Ταραντίνους τρεψάμενος, ἀντὶ τοῦ χωρεῖν εὐθὺς ἐπὶ τοὺς μαχομένους, καὶ παραῤῥηγνύναι τὸ συνεστηκὸς, ἐξέπεσε διώκων, καὶ παρήλλαξε τὴν φάλαγγα τῶν Ἀχαιῶν ἐν τάξει μενόντων. Ὁ δὲ Φιλοποίμην, τηλικούτου πταίσματος ἐν ἀρχῇ γενομένου, καὶ τῶν πραγμάτων ἀπολωλέναι κομιδῇ καὶ διεφθάρθαι δοκούντων, τοῦτο μὲν ὅμως προσεποιεῖτο παροραᾶν, καὶ μηδὲν ἡγεῖσθαι δεινόν· κατιδὼν δὲ τοὺς πολεμίους, ὅσον ἡμίρτανον ἐν τῇ διώξει, τῆς φάλαγγος ἀποῤῥηγνυμένους, καὶ κενὴν χώραν διδόντας, οὐκ ἀπήντησεν, οὐδ' ἐνέστη φερομένοις αὐτοῖς ἐπὶ τοὺς φεύγοντας, ἀλλ' ἐάσας

Digitized by Google

παρελθεῖν, καὶ διάσπασμα ποιῆσαι μέγα, πρὸς τοὺς ὁπλίτας εὐθὺς ἦγε τῶν Λακεδαιμονίων, ὁρῶν τὴν φάλαγγα γυμνὴν ἀπολελειμμένην· καὶ κατὰ κέρας παραδραμὼν ἐνέβαλε, μήτ' ἄρχοντος αὐτοῖς παρόντος, μήτε μάχεσθαι προσδεχομένοις. Νικᾶν γὰρ ἡγοῦντο καὶ κρατεῖν παντάπασιν, διώκοντα τὸν Μαχανίδαν ὁρῶντες. Ὡσάμενος δὲ τούτους φόνῳ πολλῷ (λέγονται γὰρ ὑπὲρ τοὺς τετρακισχιλίους ἀποθανεῖν), ὥρμησεν ἐπὶ τὸν Μαχανίδαν, ἐκ τῆς διώξεως ἀναστρέφοντα μετὰ τῶν ξένων. Τάφρου δὲ μεγάλης καὶ βαθείας ἐν μέσῳ διειργούσης, παρεξήλαυνον ἀλλήλοις ἑκατέρωθεν· ὁ μὲν διαβῆναι καὶ φυγεῖν, ὁ δὲ τοῦτο κωλῦσαι βουλόμενος. Ἦν δ' ὄψις οὐχ ὡς στρατηγῶν μαχομένων, ἀλλ' ὥσπερ θηρίῳ πρὸς ἀλκὴν ὑπ' ἀνάγκης τρεπομένῳ δεινοῦ κυνηγέτου τοῦ Φιλοποίμενος συνεστῶτος. Ἔνθα ὁ μὲν ἵππος τοῦ τυράννου, ῥωμαλέος ὢν καὶ θυμοειδής, καὶ τοῖς μύωψιν αἱμαχθεὶς ἑκατέρωθεν, ἐπετύλμησε τῇ διαβάσει, καὶ προσβαλὼν τῇ τάφρῳ τὸ στῆθος, ἐβιάζετο τοῖς προσθίοις πέραν ἐρείσασθαι σκέλεσιν. Ἐν δὲ τούτῳ Σιμμίας καὶ Πολύαινος, οἵπερ ἀεὶ τῷ Φιλοποίμενι παρῆσαν μαχομένῳ καὶ συνήσπιζον, ὁμοῦ προσήλαυνον ἀμφότεροι, τὰς αἰχμὰς κλίναντες ἐναντίας. Φθάνει δ' αὐτοὺς ὁ Φιλοποίμην ἀπαντήσας τῷ Μαχανίδᾳ, καὶ τὸν ἵππον αὐτοῦ μετεωρίζοντα τὴν κεφαλὴν πρὸ τοῦ σώματος ὁρῶν, μικρὸν ἐνέκλινε τὸν ἴδιον, καὶ διαλαβὼν τὸ ξυστόν, ἐκ χειρὸς ὠθεῖ, καὶ περιτρέπει τὸν ἄνδρα συνεπερείσας. Τοῦτ' ἔχων

Digitized by Google

τὸ σχῆμα χαλκοῦς ἐν Δελφοῖς ἔστησεν ὑπὸ τῶν Ἀχαιῶν, θαυμασάντων μάλιστα καὶ τὴν πρᾶξιν αὐτοῦ καὶ τὴν στρατηγίαν ἐκείνην.

IX. Λέγεται δὲ, τῆς τῶν Νεμείων πανηγύρεως ἐνεστώσης, στρατηγοῦντα τὸν Φιλοποίμενα τὸ δεύτερον, καὶ νενικηκότα μὲν οὐ πάλαι τὴν ἐν Μαντινείᾳ μάχην, τότε δὲ σχολὴν ἄγοντα διὰ τὴν ἑορτὴν, πρῶτον μὲν ἐπιδεῖξαι τοῖς Ἕλλησι κεκοσμημένην τὴν φάλαγγα, καὶ κινουμένην, ὥσπερ εἴθιστο, τοὺς τακτικοὺς ῥυθμοὺς μετὰ τάχους καὶ ῥώμης· ἔπειτα, κιθαρῳδῶν ἀγωνιζομένων, εἰς τὸ θέατρον παρελθεῖν, ἔχοντα τοὺς νεανίσκους ἐν ταῖς στρατιωτικαῖς χλαμύσι, καὶ τοῖς φοινικοῖς ὑποδύταις, ἁρμόζοντάς τε τοῖς σώμασιν ἅπαντας καὶ ταῖς ἡλικίαις παραλλήλους, αἰδῶ δὲ πολλὴν πρὸς τὸν ἄρχοντα καὶ φρόνημα νεανικὸν ὑποφαίνοντας ἐκ πολλῶν καὶ καλῶν ἀγώνων. Ἄρτι δ' αὐτῶν εἰσελθόντων κατὰ τύχην Πυλάδην τὸν κιθαρῳδὸν ᾄδοντα τοὺς Τιμοθέου Πέρσας ἐνάρξασθαι·

Κλεινὸν ἐλευθερίας τεύχω μέγαν Ἑλλάδι κόσμον.

Ἅμα δὲ τῇ λαμπρότητι τῆς φωνῆς τοῦ περὶ τὴν ποίησιν ὄγκου συμπρέψαντος, ἐπίβλεψιν γενέσθαι τοῦ θεάτρου πανταχόθεν εἰς τὸν Φιλοποίμενα, καὶ κρότον μετὰ χαρᾶς, τῶν Ἑλλήνων τὸ παλαιὸν ἄξίωμα ταῖς ἐλπίσιν ἀναλαμβανόντων, καὶ τοῦ τότε φρονήματος ἔγγιστα τῇ θαῤῥεῖν γινομένων.

XII. Παρὰ δὲ τὰς μάχας καὶ τοὺς κινδύνους, ὥσπερ οἱ πῶλοι τοὺς συνήθεις ἐπιβάτας ποθοῦντες,

Digitized by Google

ἐὰν ἄλλον φέρωσι, πτύρονται καὶ ξενοπαθοῦσιν· οὕτως ἡ δύναμις τῶν Ἀχαιῶν ἑτέρου στρατηγοῦντος ἠθύμει, καὶ πρὸς ἐκεῖνον ἐπάπτηνε, καὶ μόνον ὀφθέντος, εὐθὺς ὀρθὴ καὶ δραστήριος ἦν διὰ τὸ θαρρεῖν, ἅτε δὴ καὶ τοὺς ἐναντίους αἰσθανόμενοι πρὸς ἕνα τοῦτον τῶν στρατηγῶν ἀντιβλέπειν οὐ δυναμένους, ἀλλὰ καὶ τὴν δόξαν αὐτοῦ καὶ τοὔνομα δεδοικότας· ὡς ἦν φανερὸν ἐξ ὧν ἔπρασσον. Φίλιππος μὲν γὰρ, ὁ τῶν Μακεδόνων βασιλεὺς, οἰόμενος, ἂν ἐκ ποδῶν ὁ Φιλοποίμην γένηται, πάλιν ὑποπτήξειν αὐτῷ τοὺς Ἀχαιοὺς, ἔπεμψεν εἰς Ἄργος κρύφα τοὺς ἀναιρήσοντας αὐτόν. Ἐπιγνωσθείσης δὲ τῆς ἐπιβουλῆς, παντάπασιν ἐξεμισήθη καὶ διεβλήθη πρὸς τοὺς Ἕλληνας. Βοιωτοὶ δὲ πολιορκοῦντες Μέγαρα, καὶ λήψεσθαι ταχέως ἐλπίζοντες, ἐξαίφνης λόγου προσπεσόντος αὐτοῖς, ὃς οὐκ ἦν ἀληθὴς, Φιλοποίμενα βοηθοῦντα τοῖς πολιορκουμένοις ἐγγὺς εἶναι, τὰς κλίμακας ἀφέντες ἤδη προσερηρεισμένας τοῖς τείχεσιν, ᾤχοντο φεύγοντες. Νάβιδος δὲ, τοῦ μετὰ Μαχανίδαν τυραννοῦντος Λακεδαιμονίων, Μεσσήνην ἄφνω καταλαβόντος, ἐτύγχανε μὲν ἰδιώτης ὢν τότε ὁ Φιλοποίμην, καὶ δυνάμενος οὐδεμιᾶς κύριος· ἐπεὶ δὲ τὸν στρατηγοῦντα τῶν Ἀχαιῶν Λύσιππον οὐκ ἔπειθε βοηθεῖν τοῖς Μεσσηνίοις, ἀπολωλέναι νομιδὴ φάσκοντα τὴν πόλιν, ἔνδον γεγονότων τῶν πολεμίων, αὐτὸς ἐβοήθει, τοὺς ἑαυτοῦ πολίτας ἀναλαβὼν, οὔτε νόμον, οὔτε χειροτονίαν περιμείναντας, ἀλλ' ὡς διὰ παντὸς ἄρχοντι τῷ κρείττονι κατὰ φύσιν ἑπο-

Digitized by Google

μένους. Ἤδη δ' αὐτοῦ πλησίον ὄντος, ἀκούσας ὁ Νάβις οὐχ ὑπέστη, καίπερ ἐν τῇ πόλει στρατοπεδεύων, ἀλλ' ὑπεκδὺς διὰ πυλῶν ἑτέρων, κατὰ τάχος ἀπήγαγε τὴν δύναμιν, εὐτυχίᾳ χρήσεσθαι δοκῶν, εἰ διαφύγοι· καὶ διέφυγε, Μεσσήνη δ' ἠλευθέρωτο.

XIII. Ταῦτα μὲν οὖν τὰ καλὰ τοῦ Φιλοποίμενος. Ἡ δ' εἰς Κρήτην αὖθις ἀποδημία, Γορτυνίων δεηθέντων, ὡς χρήσαιντο πολεμούμενοι στρατηγῷ, διαβολὴν ἔσχεν, ὅτι, τῆς πατρίδος αὐτοῦ πολεμουμένης ὑπὸ Νάβιδος, ἀπῆν φυγομαχῶν, ἢ φιλοτιμούμενος ἀκαίρως πρὸς ἑτέρους. Καίτοι συντόνως οὕτως ἐπολεμήθησαν Μεγαλοπολῖται κατὰ τὸν χρόνον ἐκεῖνον, ὥστε τοῖς μὲν τείχεσιν ἐνοικεῖν, σπείρειν δὲ τοὺς στενωποὺς, περικεκομμένης τῆς χώρας, καὶ τῶν πολεμίων σχεδὸν ἐν ταῖς πύλαις στρατοπεδευόντων. Ὁ δὲ Κρησὶ πολεμῶν τηνικαῦτα, καὶ στρατηγῶν διαπόντιος, ἐγκλήματα παρεῖχε καθ' ἑαυτοῦ τοῖς ἐχθροῖς, ὡς ἀποδιδράσκων τὸν οἰκεῖον πόλεμον. Ἦσαν δέ τινες οἳ λέγοντες, ἑτέρους τῶν Ἀχαιῶν ἠρημένων ἄρχοντας, ἰδιώτην ὄντα τὸν Φιλοποίμενα, χρῆσαι τὴν ἑαυτοῦ σχολὴν ἐφ' ἡγεμονίᾳ δεηθεῖσι τοῖς Γορτυνίοις. Ἦν γὰρ ἀλλότριος σχολῆς, καθάπερ ἄλλο τι χρῆμα, τὴν στρατηγικὴν καὶ πολεμικὴν ἀρετὴν ἔχειν διὰ παντὸς ἐν χρήσει καὶ τριβῇ βουλόμενος· ὡς καὶ τῷ περὶ Πτολεμαίου ποτὲ ῥηθέντι τοῦ βασιλέως ἀπεδήλωσεν· Ἐκεῖνον γὰρ ἐγκωμιαζόντων τινῶν, ὡς εὖ μὲν ἐξασκοῦντα τὸ στράτευμα καθ' ἡμέραν, εὖ δὲ γυμνάζοντα καὶ φιλοπόνως διὰ τῶν

Digitized by Google

ὅπλων τὸ σῶμα· Καὶ τίς ἂν, ἔφη, βασιλέα θαυμάσειεν, ἐν τούτῳ τῆς ἡλικίας μὴ ἐπιδεικνύμενον, ἀλλὰ μελετῶντα; Χαλεπῶς δ' οὖν οἱ Μεγαλοπολῖται φέροντες ἐπὶ τούτῳ, καὶ προδεδόσθαι νομίζοντες, ἐπεχείρησαν ἀποξενοῦν αὐτόν· οἱ δ' Ἀχαιοὶ διεκώλυσαν, Ἀριστaίνετον πέμψαντες εἰς Μεγάλην πόλιν στρατηγόν· ὃς, καίπερ ὢν διάφορος τῷ Φιλοποίμενι περὶ τὴν πολιτείαν, οὐκ εἴασε τελεσθῆναι τὴν καταδίκην. Ἐκ δὲ τούτου, παροξυνόμενος ὑπὸ τῶν πολιτῶν ὁ Φιλοποίμην, ἀπέστησε πολλὰς τῶν περιοικίδων κωμῶν, λέγειν διδάξας, ὡς οὐ συνετέλουν, οὐδ' ἦσαν ἐξ ἀρχῆς ἐκείνων. Καὶ λεγούσαις ταῦτα φανερῶς συνηγωνίσατο, καὶ συγκατεστασίασε τὴν πόλιν ἐπὶ τῶν Ἀχαιῶν. Ταῦτα μὲν οὖν ὕστερον. Ἐν δὲ τῇ Κρήτῃ συνεπολέμει τοῖς Γορτυνίοις, οὐχ, ὡς Πελοποννήσιος ἀνὴρ καὶ Ἀρκάς, ἁπλοῦν τινα καὶ γενναῖον πόλεμον, ἀλλὰ τὸ Κρητικὸν ἦθος ἐνδύς· καὶ τοῖς ἐκείνων σοφίσμασι καὶ δόλοις, κλοπείαις τε καὶ λοχισμοῖς χρώμενος ἐπ' αὐτοὺς, ταχὺ παῖδας ἀπέδειξεν ἀνόητα καὶ κενὰ πρὸς ἐμπειρίαν ἀληθινὴν πανουργοῦντας.

XIV. Ἐπὶ τούτοις δὲ θαυμασθεὶς καὶ λαμπρὸς παρὰ τῶν ἐκεῖ πράξεων ἀνακομισθεὶς εἰς Πελοπόννησον, εὗρε τὸν μὲν Φίλιππον ὑπὸ τοῦ Τίτου καταπεπολεμημένον, τὸν δὲ Νάβιν ὑπὸ τῶν Ἀχαιῶν καὶ τῶν Ῥωμαίων πολεμούμενον. Ἐφ' ὃν εὐθὺς αἱρεθεὶς ἄρχων, καὶ ναυμαχίᾳ παραβαλόμενος, τὸ τοῦ Ἐπαμινώνδου παθεῖν ἔδοξε, πολὺ τῆς περὶ αὐτὸν ἀρετῆς καὶ τῆς δόξης ἀφαιρεθείς, ἐν τῇ θαλάσσῃ κάκιον

Digitized by Google

ἀγωνισάμενος. Πλὴν Ἐπαμινώνδαν μὲν ἔνιοι λέγουσιν, ὀκνοῦντα γεῦσαι τῶν κατὰ θάλασσαν ὠφελιμῶν τοὺς πολίτας, ὅπως αὐτῷ μὴ λάθωσιν ἀντὶ μονίμων ὁπλιτῶν, κατὰ Πλάτωνα, ναῦται γενόμενοι, καὶ διαφθαρέντες, ἄπρακτον ἐκ τῆς Ἀσίας καὶ τῶν νήσων ἀπελθεῖν ἐκουσίως. Φιλιποίμην δὲ τὴν ἐν τοῖς πεζοῖς ἐπιστήμην καὶ διὰ θαλάττης ἀρκέσειν αὐτῷ πρὸς τὸ καλῶς ἀγωνίσασθαι πεπεισμένος, ἔγνω τὴν ἄσκησιν, ἡλίκον μέρος ἐστὶ τῆς ἀρετῆς, καὶ πόσην ἐπὶ πάντα τοῖς ἐθισθεῖσι δύναμιν προστίθησιν. Οὐ γὰρ μόνον ἐν τῇ ναυμαχίᾳ διὰ τὴν ἀπειρίαν ἔλαττον ἔσχεν, ἀλλὰ καὶ ναῦν τινά, παλαιὰν μέν, ἔνδοξον δὲ, δι' ἐτῶν τεσσαράκοντα κατασπάσας ἐπλήρωσεν· ὥστε, μὴ στεγούσης, κινδυνεῦσαι τοὺς πολίτας. Πρὸς ταῦτα γινώσκων καταφρονοῦντας αὐτοῦ τοὺς πολεμίους, ὡς παντάπασι πεφευγότος ἐκ τῆς θαλάττης, καὶ πολιορκοῦντας ὑπερηφάνως τὸ Γύθιον, εὐθὺς ἐπέπλευσεν αὐτοῖς, οὐ προσδοκῶσιν, ἀλλ' ἐπιλελυμένοις διὰ τὴν νίκην. Καὶ νυκτὸς ἐμβιβάσας τοὺς στρατιώτας, καὶ προσαγαγών, πῦρ ἐνῆκε ταῖς σκηναῖς, καὶ τὸ στρατόπεδον κατέκαυσε, καὶ πολλοὺς διέφθειρεν. Ὀλίγαις δ' ὕστερον ἡμέραις, καθ' ὁδὸν ἐν δυσχωρίαις τισὶν ἄφνω τοῦ Νάβιδος ἐπιφανέντος αὐτῷ, καὶ φοβήσαντος τοὺς Ἀχαιοὺς, ἀνέλπιστον ἡγουμένους τὴν σωτηρίαν ἐκ τόπων χαλεπῶν καὶ γεγονότων ὑποχειρίων τοῖς πολεμίοις; ὀλίγον χρόνον ἐπιστὰς, καὶ περιλαβὼν ὄψει τὴν τοῦ χωρίου φύσιν, ἐπέδειξε τὴν ταπτικὴν τῶν ἄκρων τῆς πολεμικῆς τέχνης οὖσαν. Οὗ-

Digitized by Google

τω μικρὰ κινήσας τὴν ἑαυτοῦ φάλαγγα, καὶ πρὸς τὰ παρόντα μεθαρμόσας, ἀθορύβως καὶ ῥᾳδίως διεκρούσατο τὴν ἀπορίαν, καὶ προσβαλὼν τοῖς πολεμίοις, τροπὴν ἰσχυρὰν ἐποίησεν. Ἐπεὶ δ' οὐ πρὸς τὴν πόλιν ἑώρα φεύγοντας, ἀλλὰ τῆς χώρας ἄλλον ἄλλῃ διασπειρόμενον (ὑλώδης δὲ καὶ περίβουνος ἦν πᾶσα καὶ δύσιππος ὑπὸ ῥείθρων καὶ φαραγγῶν), τὴν μὲν δίωξιν ἐπέσχε, καὶ κατεστρατοπέδευσεν ἔτι φωτὸς ὄντος· τεκμαιρόμενος δὲ τοὺς πολεμίους ἐκ τῆς φυγῆς καθ' ἕνα καὶ δύο πρὸς τὴν πόλιν ὑπάξειν σκοταίους, ἐλλοχίζει τοῖς περὶ τὸ ἄστυ ῥείθροις καὶ λόφοις πολλοὺς ἔχοντας ἐγχειρίδια τῶν Ἀχαιῶν. Ἐνταῦθα πλείστους ἀποθανεῖν συνέβη τῶν τοῦ Νάβιδος· ἅτε γὰρ οὐκ ἀθρόαν ποιούμενοι τὴν ἀναχώρησιν, ἀλλ' ὡς ἑκάστοις αἱ φυγαὶ συνετύγχανον, ὥσπερ ὄρνιθες ἡλίσκοντο περὶ τὴν πόλιν, εἰς τὰς τῶν πολεμίων χεῖρας καταίροντες.

XV. Ἐπὶ τούτοις ἀγαπώμενος καὶ τιμώμενος ἐκπρεπῶς ὑπὸ τῶν Ἑλλήνων ἐν τοῖς θεάτροις, φιλότιμον ὄντα τὸν Τίτον ἡσυχῇ παρελύπει. Καὶ γὰρ, ὢς Ῥωμαίων ὕπατος, ἀνδρὸς Ἀρκάδος ἠξίου θαυμάζεσθαι μᾶλλον ὑπὸ τῶν Ἀχαιῶν· καὶ ταῖς εὐεργεσίαις ὑπερβάλλειν οὐ παρὰ μικρὸν ἡγεῖτο, δι' ἑνὸς κηρύγματος ἐλευθερώσας τὴν Ἑλλάδα, ὅση Φιλίππῳ καὶ Μακεδόσιν ἐδούλευσεν. Ἐκ δὲ τούτου καταλύεται μὲν ὁ Τίτος τῷ Νάβιδι τὸν πόλεμον, ἀποθνήσκει δὲ ὁ Νάβις ὑπ' Αἰτωλῶν δολοφονηθείς. Τεταραγμένης δὲ τῆς Σπάρτης, ὁ Φιλοποίμην ἁρπάσας τὸν καιρὸν,

Digitized by Google

ἐπιπίπτει μετὰ δυνάμεως· καὶ, τῶν μὲν ἀκόντων, τοὺς δὲ συμπείσας, προσηγάγετο καὶ μετεκόσμησεν εἰς τοὺς Ἀχαιοὺς τὴν πόλιν. Οὗ γενομένου, θαυμαστῶς μὲν εὐδοκίμησε παρὰ τοῖς Ἀχαιοῖς, προσκτησάμενος αὐτοῖς ἄξίωμα πόλεως τηλικαύτης καὶ δύναμιν (οὐ γὰρ ἦν μικρὸν, Ἀχαΐας μέρος γενέσθαι τὴν Σπάρτην)· ἀνέλαβε δὲ καὶ Λακεδαιμονίων τοὺς ἀρίστους, φύλακα τῆς ἐλευθερίας ἐκεῖνον ἐλπίσαντας ἕξειν. Διὸ καὶ τὴν Νάβιδος οἰκίαν καὶ οὐσίαν ἐξαργυρισθεῖσαν, καὶ γενομένην εἴκοσι καὶ ἑκατὸν ταλάντων, ἐψηφίσαντο δωρεὰν αὐτῷ δοῦναι, πρεσβείαν ὑπὲρ τούτων πέμψαντες. Ἔνθα δὴ καὶ διεφάνη καθαρῶς ἐκεῖνος ὁ ἀνὴρ, οὐ δοκῶν μόνον, ἀλλὰ καὶ ὢν ἄριστος. Πρῶτον μὲν γὰρ οὐδεὶς ἐβούλετο τῶν Σπαρτιατῶν ἀνδρὶ τοιούτῳ διαλέγεσθαι περὶ δωροδοκίας, ἀλλὰ δεδοικότες καὶ ἀναδυόμενοι, προεβάλοντο τὸν ξένον αὐτοῦ, Τιμόλαον. Ἔπειτα δ' αὐτὸς ὁ Τιμόλαος, ὡς ἦλθεν εἰς Μεγάλην πόλιν, ἑστιαθεὶς παρὰ τῷ Φιλοποίμενι, καὶ τὴν σεμνότητα τῆς ὁμιλίας αὐτοῦ, καὶ τὴν ἀφέλειαν τῆς διαίτης, καὶ τὸ ἦθος ἐγγύθεν, οὐδαμῇ προσιτὸν, οὐδὲ εὐάλωτον ὑπὸ χρημάτων, καταναοήσας, ἀπεσιώπησε περὶ τῆς δωρεᾶς· ἑτέραν δέ τινα πρόφασιν τῆς πρὸς αὐτὸν ὁδοῦ ποιησάμενος, ᾤχετο ἀπιών· καὶ πάλιν ἐκ δευτέρου πεμφθεὶς ταὐτὸ ἔπαθεν. Τρίτῃ δ' ὁδῷ μόλις ἐντυχὼν, ἐδήλωσε τὴν προθυμίαν τῆς πόλεως. Ὁ δὲ Φιλοποίμην ἡδέως ἀκούσας, ἦκεν αὐτὸς εἰς Λακεδαίμονα, καὶ συνεβούλευσεν αὐτοῖς μὴ τοὺς φίλους καὶ ἀγαθοὺς δεκάζειν, ὧν

Digitized by Google

προῖκα τῆς ἀρετῆς ἔξεστιν ἀπολαύειν, ἀλλὰ τοὺς πονηροὺς καὶ τὴν πόλιν ἐν τῷ συνεδρίῳ καταστασιάζοντας ὠνεῖσθαι καὶ διαφθείρειν· ἵνα τῷ λαβεῖν ἐπιστομισθέντες, ἧττον ἐνοχλοῖεν αὐτοῖς. Βέλτιον γὰρ εἶναι τῶν ἐχθρῶν παραιρεῖσθαι τὴν παῤῥησίαν, ἢ τῶν φίλων. Οὕτω μὲν ἦν πρὸς χρήματα λαμπρός.

XVI. Ἐπεὶ δὲ πάλιν τοὺς Λακεδαιμονίους νεωτερίζειν ἀκούσας ὁ στρατηγὸς τῶν Ἀχαιῶν, Διοφάνης, ἐβούλετο κολάζειν, οἱ δ', εἰς πόλεμον καθιστάμενοι, διετάρασσον τὴν Πελοπόννησον, ἐπειρᾶτο πραΰνειν καὶ καταπαύειν τὸν Διοφάνη τῆς ὀργῆς ὁ Φιλοποίμην· διδάσκων τὸν καιρὸν, ὡς Ἀντιόχου τοῦ βασιλέως, καὶ Ῥωμαίων ἐν τῇ Ἑλλάδι πηλικούτοις αἰωρουμένων στρατοπέδοις, ἐκεῖσε χρὴ τὸν ἄρχοντα τὴν γνώμην ἔχειν, τὰ δ' οἰκεῖα μὴ κινεῖν, ἀλλὰ καὶ παριδεῖν τι καὶ παρακοῦσαι τῶν ἁμαρτανομένων. Οὐ προσέχοντος δὲ τοῦ Διοφάνους, ἀλλ' εἰς τὴν Λακωνικὴν ἐμβαλόντος ἅμα τῷ Τίτῳ, καὶ βαδιζόντων εὐθὺς ἐπὶ τὴν πόλιν, ἀγανακτήσας ὁ Φιλοποίμην, ἔργον οὐ νόμιμον, οὐδ' ἀπηκριβωμένον ἐκ τῶν δικαίων, ἀλλὰ μέγα καὶ μεγάλῳ φρονήματι τολμήσας, εἰς τὴν Λακεδαίμονα παρῆλθε· καὶ τόν τε στρατηγὸν τῶν Ἀχαιῶν, καὶ τὸν ὕπατον τῶν Ῥωμαίων, ἰδιώτης ὢν ἀπέκλεισε, τὰς δ' ἐν τῇ πόλει ταραχὰς ἔπαυσε, καὶ κατέστησε τοὺς Λακεδαιμονίους πάλιν εἰς τὸ κοινὸν, ὥσπερ ἐξ ἀρχῆς ἦσαν. Χρόνῳ δ' ὕστερον ἐγκαλέσας τι τοῖς Λακεδαιμονίοις στρατηγῶν ὁ Φιλοποίμην, τοὺς μὲν φυγάδας κατήγαγεν εἰς τὴν πόλιν, ὀγδοήκοντα δὲ

Digitized by Google

Σπαρτιάτας ἀπέκτεινεν, ὡς Πολύβιος φησὶν· ὡς δ' Ἀριστοκράτης, πεντήκοντα καὶ τριακοσίους. Τὰ δὲ τείχη καθεῖλε, χώραν δὲ πολλὴν ἀποτεμόμενος, προσένειμε τοῖς Μεγαλοπολίταις. Ὅσοι δ' ἦσαν ὑπὸ τῶν τυράννων ἀποδεδειγμένοι πολῖται τῆς Σπάρτης, μετῴκισεν ἅπαντας, ἀπάγων εἰς Ἀχαΐαν, πλὴν τρισχιλίων. Τούτους δὲ ἀπειθοῦντας, καὶ μὴ βουλομένους ἀπελθεῖν ἐκ τῆς Λακεδαίμονος, ἐπώλησεν· εἶθ' οἷον ἐφυβρίζων, ἀπὸ τῶν χρημάτων τούτων ἐν Μεγαλοπόλει στοὰν ᾠκοδόμησεν. Ἐμπιπλάμενος δὲ τῶν Λακεδαιμονίων, καὶ παρ' ἀξίαν πεπραχόσιν ἐπεμβαίνων, τὸ περὶ τὴν πολιτείαν ἔργον ὠμότατον ἐξειργάσατο καὶ παρανομώτατον. Ἀνεῖλε γὰρ καὶ διέφθειρε τὴν Λυκούργειον ἀγωγήν, ἀναγκάσας τοὺς παῖδας καὶ τοὺς ἐφήβους τὴν Ἀχαϊκὴν ἀντὶ τῆς πατρίου παιδείαν μεταλαβεῖν, ὡς οὐδέποτε μικρὸν ἐν τοῖς Λυκούργου νόμοις φρονήσοντας. Τότε μὲν οὖν ὑπὸ συμφορῶν μεγάλων, ὥσπερ νεῦρα τῆς πόλεως ἐκτεμεῖν τῷ Φιλοποίμενι παρασχόντες, ἐγένοντο χειροήθεις καὶ ταπεινοί· χρόνῳ δ' ὕστερον αἰτησάμενοι παρὰ Ῥωμαίων, τὴν μὲν Ἀχαϊκὴν ἔφυγον πολιτείαν, ἀνέλαβον δὲ καὶ κατεστήσαντο τὴν πάτριον, ὡς ἦν ἀνυστὸν ἐκ κακῶν καὶ φθορᾶς τηλικαύτης.

XVII. Ἐπεὶ δὲ Ῥωμαίοις ὁ πρὸς Ἀντίοχον ἐν τῇ Ἑλλάδι συνέστη πόλεμος, ἦν μὲν ἰδιώτης ὁ Φιλοποίμην· ὁρῶν δὲ τὸν Ἀντίοχον αὐτὸν ἐν Χαλκίδι καθήμενον, περὶ γάμων καὶ παρθένων ἔρωτας οὐ καθ' ὥραν σχολάζοντα, τοὺς δὲ Σύρους ἐν ἀταξίᾳ πολλῇ

Digitized by Google

τῶν πολιτῶν, νέοι δὲ κομιδῇ, δι' εὔνοιαν τοῦ Φιλοποίμενος καὶ ζῆλον ἐθελονταὶ συστρατεύοντες. Ἱππασάμενοι δὲ πρὸς τὴν Μεσσήνην, καὶ περὶ τὸν Εὐάνδρου λόφον ἀπαντῶτι τῷ Δεινοκράτει συμπεσόντες, ἐκεῖνον μὲν ἐτρέψαντο· τῶν δὲ πεντακοσίων, οἳ τὴν χώραν τῶν Μεσσηνίων παρεφύλαττον, ἐξαίφνης ἐπιφερομένων, καὶ τῶν πρότερον ἡττημένων, ὡς τούτους κατεῖδον, αὖθις ἀνὰ τοὺς λόφους ἀθροιζομένων, δείσας ὁ Φιλοποίμην κυκλωθῆναι, καὶ τῶν ἵππέων φειδόμενος, ἀνεχώρει διὰ τόπων χαλεπῶν, αὐτὸς οὐραγῶν, καὶ πολλάκις ἀντεξελαύνων τοῖς πολεμίοις, καὶ ὅλως ἐπισπώμενος ἐφ' ἑαυτὸν, οὐ τολμώντων ἀντεμβαλεῖν ἐκείνων, ἀλλὰ κραυγαῖς καὶ περιδρομαῖς χρωμένων ἄπωθεν. Ἀφιστάμενος οὖν πολλάκις διὰ τοὺς νεανίσκους, καὶ καθ' ἕνα παραπέμπων, ἔλαθεν ἐν πολλοῖς ἀπομονωθεὶς πολεμίοις. Καὶ συνάψαι μὲν εἰς χεῖρας οὐδεὶς ἐτόλμησεν αὐτῷ, πόρρωθεν δὲ βαλλόμενος καὶ βιαζόμενος πρὸς χωρία πετρώδη καὶ παράκρημνα, χαλεπῶς μετεχειρίζετο καὶ κατέξαινε τὸν ἵππον. Αὐτῷ δὲ τὸ μὲν γῆρας ὑπὲ ἀσκήσεως πολλῆς ἐλαφρὸν ἦν, καὶ πρὸς οὐδὲν ἐμπόδιον εἰς τὸ σωθῆναι· τότε δὲ, καὶ διὰ τὴν ἀσθένειαν τοῦ σώματος ἐνδεοῦς γεγονότος, καὶ διὰ τὴν ὁδοιπορίαν κατακόπου, βαρὺν ὄντα καὶ δυσκίνητον ἤδη, σφαλεὶς ὁ ἵππος εἰς τὴν γῆν κατέβαλεν. Σκληροῦ δὲ τοῦ πτώματος γενομένου, καὶ τῆς κεφαλῆς παθούσης, ἔκειτο πολὺν χρόνον ἄναυδος· ὥστε καὶ τοὺς πολεμίους τεθνάναι δόξαντας αὐτὸν, ἐπιχειρεῖν στρέ-

Digitized by Google

φειν τὸ σῶμα καὶ σκυλεύειν. Ἐπεὶ δὲ τὴν κεφαλὴν ἐπάρας διέβλεψεν, ἄθρόοι περιπεσόντες ἀπέστρεφον αὐτοῦ τὰς χεῖρας ὀπίσω, καὶ δήσαντες ἦγον, ὕβρει χρώμενοι πολλῇ καὶ λοιδωρίᾳ κατ' ἀνδρός, οὐδ' ὅναρ ἄν ποτε παθεῖν ὑπὸ Δεινοκράτους ταῦτα προσδοκήσαντος.

XIX. Οἱ δ' ἐν τῇ πόλει, τῇ μὲν ἀγγελίᾳ θαυμαστῶς ἐπαρθέντες, ἠθροίζοντο περὶ τὰς πύλας. Ὡς δ' εἶδον ἐλκόμενον τὸν Φιλοποίμενα παρ' ἀξίαν τῆς τε δόξης καὶ τῶν ἔμπροσθεν ἔργων καὶ τροπαίων, ἠλέησαν οἱ πλεῖστοι καὶ συνήλγησαν· ὥστε καὶ δακρῦσαι, καὶ τὴν ἀνθρωπίνην ἐκφλαυρίσαι δύναμιν, ὡς ἄπιστον καὶ τὸ μηδὲν οὖσαν. Οὕτω δὲ κατὰ μικρὸν εἰς πολλοὺς φιλάνθρωπος ἐχώρει λόγος, ὡς μνημονευτέον εἴη τῶν πρόσθεν εὐεργεσιῶν, καὶ τῆς ἐλευθερίας, ἣν ἀπέδωκεν αὐτοῖς, Νάβιν ἐξελάσας τὸν τύραννον. Ὀλίγοι δ' ἦσαν, οἳ, τῷ Δεινοκράτει χαριζόμενοι, στρεβλοῦν τὸν ἄνδρα καὶ κτείνειν ἐκέλευον, ὡς βαρὺν πολέμιον καὶ δυσμείλικτον, αὐτῷ τε Δεινοκράτει φοβερώτερον, εἰ διαφύγοι καθυβρισμένος ὑπ' αὐτοῦ καὶ γεγονὼς αἰχμάλωτος. Οὐ μὴν ἀλλὰ κομίσαντες αὐτὸν εἰς τὸν καλούμενον Θησαυρὸν, οἴκημα κατάγειον, οὔτε πνεῦμα λαμβάνον, οὔτε φῶς ἔξωθεν, οὔτε θύρας ἔχον, ἀλλὰ μεγάλῳ λίθῳ περιαγομένῳ κατακλειόμενον, ἐνταῦθα κατέθεντο, καὶ τὸν λίθον ἐπιῤῥάξαντες, ἄνδρας ἐνόπλους κύκλῳ περιέστησαν. Οἱ δ' ἱππεῖς τῶν Ἀχαιῶν, ἐκ τῆς φυγῆς ἀναλαβόντες αὑτοὺς, ὡς οὐδαμοῦ φανερὸς ἦν ὁ Φι-

Digitized by Google

λοποίμην, ἀλλ' ἐδόκει τεθνάναι, πολὺν μὲν χρόνον ἐπίστησαν ἀνακαλούμενοι τὸν ἄνδρα, καὶ διαδιδόντες ἀλλήλοις λόγον, ὡς αἰσχρὰν σωτηρίαν καὶ ἄδικον σώζονται, προέμενοι τοῖς πολεμίοις τὸν στρατηγὸν ἀφειδήσαντα τοῦ ζῆν δι' αὐτούς· ἔπειτα προϊόντες ἅμα, καὶ πολυπραγμονοῦντες, ἐπύθοντο τὴν σύλληψιν αὐτοῦ, καὶ διήγγελλον εἰς τὰς πόλεις τῶν Ἀχαιῶν. Οἱ δὲ συμφορὰν ποιούμενοι μεγάλην, ἐπαιτεῖν μὲν ἔγνωσαν τὸν ἄνδρα παρὰ τῶν Μεσσηνίων, πρεσβείαν πέμψαντες, αὐτοὶ δὲ παρεσκευάζοντο στρατεύειν.

XX. Οὗτοι μὲν οὖν ταῦτ' ἔπραττον. Ὁ δὲ Δεινοκράτης, μάλιστα τὸν χρόνον ὡς σωτήριον τῷ Φιλοποίμενι δεδοικὼς, καὶ φθάσαι τὰ παρὰ τῶν Ἀχαιῶν βουλόμενος, ἐπεὶ νὺξ ἐπῆλθε, καὶ τὸ πλῆθος ἐπεχώρησε τῶν Μεσσηνίων, ἀνοίξας τὸ δεσμωτήριον, εἰσέπεμψε δημόσιον οἰκέτην, φάρμακον κομίζοντα, προσενεγκεῖν, καὶ παραστῆναι, μέχρις ἂν ἐκπίῃ, κελεύσας. Ἔτυχε μὲν οὖν ἐν τῷ χλαμυδίῳ κατακείμενος, οὐ καθεύδων, ἀλλὰ λύπῃ καὶ θορύβῳ κατεχόμενος· ἰδὼν δὲ φῶς, καὶ παρεστῶτα πλησίον τὸν ἄνθρωπον, ἔχοντα τὴν κύλικα τοῦ φαρμάκου, συναγαγὼν μόλις ἑαυτὸν ὑπ' ἀσθενείας, ἀνεκάθισε. Καὶ δεξάμενος, ἠρώτησεν, εἴ τι περὶ τῶν ἱππέων, καὶ μάλιστα Λυκόρτα, πεπυσμένος ἐστίν. Εἰπόντος δὲ τἀνθρώπου, διαπεφευγέναι τοὺς πολλοὺς, ἐπένευσε τῇ κεφαλῇ, καὶ διαβλέψας πρᾴως πρὸς τὸν ἄνθρωπον· Εὖ λέγεις, εἶπεν, εἰ μὴ πάντα κακῶς

Digitized by Google

πεπράχαμεν. Ἄλλο δὲ μηδὲν εἰπὼν, μηδὲ φθεγξάμενος, ἐξέπιε· καὶ πάλιν αὐτὸν ἀπέκλινεν, οὐ πολλὰ πράγματα τῷ φαρμάκῳ παρασχὼν, ἀλλ' ἀποσβεσθεὶς ταχὺ διὰ τὴν ἀσθένειαν.

XXI. Ὡς οὖν ὁ περὶ τῆς τελευτῆς λόγος ἦκεν εἰς τοὺς Ἀχαιοὺς, τὰς μὲν πόλεις αὐτῶν κοινὴ κατήφεια καὶ πένθος εἶχεν· οἱ δ' ἐν ἡλικίᾳ μετὰ τῶν προβούλων συνελθόντες εἰς Μεγάλην πόλιν, οὐδ' ἠντινοῦν ἀναβολὴν ἐποιήσαντο τῆς τιμωρίας, ἀλλ' ἑλόμενοι στρατηγὸν Λυκόρταν, εἰς τὴν Μεσσηνίαν ἐνέβαλον, καὶ κακῶς ἐποίουν τὴν χώραν, ἄχρις οὗ συμφρονήσαντες ἐδέξαντο τοὺς Ἀχαιούς. Καὶ Δεινοκράτης μὲν αὐτὸς αὑτὸν φθάσας διεχρήσατο· τῶν δ' ἄλλων, ὅσοις μὲν ἀνελεῖν ἔδοξε Φιλοποίμενα, δι' αὐτῶν ἀπέθνησκον, ὅσοις δὲ καὶ βασανίσαι, τούτους ἐν αἰτίας ποιούμενος συνελάμβανεν ὁ Λυκόρτας. Τὸ δὲ σῶμα καύσαντες αὐτοῦ, καὶ τὰ λείψανα συνθέντες εἰς ὑδρίαν, ἀνεζεύγνυσαν, οὐκ ἀτάκτως, οὐδ' ὡς ἔτυχεν, ἀλλ' ἐπινίκιον πομπήν τινα ἅμα ταῖς ταφαῖς μίξαντες. Ἦν μὲν γὰρ ἐστεφανωμένους ἰδεῖν, ἦν δὲ τοὺς αὐτοὺς καὶ δακρύοντας· ἦν δὲ τοὺς ἐχθροὺς δεσμίους ἀγομένους. Αὐτὴν δὲ τὴν ὑδρίαν, ὑπὸ πλήθους ταινιῶν τε καὶ στεφάνων μόλις ὁρωμένην, ἐκόμιζεν ὁ τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν παῖς, Πολύβιος, καὶ περὶ αὐτὸν οἱ πρῶτοι τῶν Ἀχαιῶν. Οἱ δὲ στρατιῶται, ὡπλισμένοι μὲν αὐτοὶ, τοῖς δ' ἵπποις κεκοσμημένοις ἐπηκολούθουν, οὔτε, οἷον ἐπὶ πένθει τοσούτῳ, κατηφεῖς, οὔτε τῇ νίκῃ γαυριῶν-

Digitized by Google

τες. Ἐκ δὲ τῶν διὰ μέσου πόλεων καὶ κωμῶν ἁπαντῶντες, ὥσπερ αὐτὸν ἀπὸ στρατείας ἐπανιόντα δεξιούμενοι, τῆς ὑδρίας ἐφήπτοντο, καὶ συμπροῆγον εἰς Μεγάλην πόλιν. Ὡς οὖν συνανεμίχθησαν αὐτοῖς οἱ πρεσβύτεροι μετὰ γυναικῶν καὶ παίδων, ὁλοφυρμὸς ἤδη διὰ παντὸς ἐχώρει τοῦ στρατεύματος εἰς τὴν πόλιν, ἐπιποθοῦσαν τὸν ἄνδρα, καὶ βαρέως φέρουσαν, οἰομένην συναποβεβληκέναι τὸ πρωτεύειν ἐν τοῖς Ἀχαιοῖς. Ἐτάφη μὲν οὖν, ὡς εἰκὸς, ἐνδόξως, καὶ περὶ τὸ μνημεῖον αὐτοῦ οἱ τῶν Μεσσηνίων αἰχμάλωτοι κατελεύσθησαν. Οὐσῶν δὲ πολλῶν μὲν εἰκόνων αὐτοῦ, μεγάλων δὲ τιμῶν, ἃς αἱ πόλεις ἐψηφίσαντο, Ῥωμαῖος ἀνὴρ, ἐν τοῖς περὶ Κόρινθον ἀτυχήμασι τῆς Ἑλλάδος, ἐπεχείρησεν ἀνελεῖν ἁπάσας, καὶ διώκειν αὐτὸν, ἐνδεικνύμενος, ὥσπερ ἔτι ζῶντα, Ῥωμαίοις πολέμιον καὶ κακόνουν γενέσθαι. Λόγων δὲ λεχθέντων, καὶ Πολυβίου πρὸς τὸν συκοφάντην ἀντειπόντος, οὔθ' ὁ Μόμμιος, οὔτε οἱ πρέσβεις ὑπέμειναν ἀνδρὸς ἐνδόξου τιμὰς ἀφανίσαι, καίπερ οὐκ ὀλίγα τοῖς περὶ Τίτον καὶ Μάνιον ἐναντιωθέντος· ἀλλὰ τῆς χρείας τὴν ἀρετὴν ἐκεῖνοι, καὶ τὸ καλὸν, ὡς ἔοικε, τοῦ λυσιτελοῦς διώριζον· ὀρθῶς καὶ προσηκόντως, τοῖς μὲν ὠφελοῦσι, μισθὸν καὶ χάριν παρὰ τῶν εὖ παθόντων, τοῖς δ' ἀγαθοῖς, τιμὴν ὀφείλεσθαι παρὰ τῶν ἀγαθῶν ἀεὶ νομίζοντες. Ταῦτα περὶ Φιλοποίμενος.

Digitized by Google

Τ. ΚΟΙΝΤΙΟΣ ΦΛΑΜΙΝΙΝΟΣ.

Ὃν δὲ παραβάλλομεν αὐτῷ, Τίτος Κοΐντιος Φλαμινῖνος, ἰδέαν μὲν ὁποῖος ἦν, πάρεστι θεάσασθαι τοῖς βουλομένοις ἀπὸ τῆς ἐν Ῥώμῃ χαλκῆς εἰκόνος, ἣ κεῖται παρὰ τὸν μέγαν Ἀπόλλωνα τὸν ἐκ Καρχηδόνος, ἀντικρὺ τοῦ ἱπποδρόμου, γράμμασιν Ἑλληνικοῖς ἐπιγεγραμμένη. Τὸ δ' ἦθος ὀξὺς λέγεται γενέσθαι καὶ πρὸς ὀργὴν καὶ πρὸς χάριν. Οὐ μὴν ὁμοίως· ἀλλ' ἐλαφρὸς μὲν ἐν τῷ κολάζειν, καὶ οὐκ ἐπίμονος, πρὸς δὲ τὰς χάριτας τελεσιουργός· καὶ τοῖς εὐεργετηθεῖσι διὰ παντός, ὥσπερ εὐεργέταις, εὔνους, καὶ πρόθυμος, ὡς κάλλιστα τῶν κτημάτων, τοὺς εὖ πεπονθότας ὑπ' αὐτοῦ περιέπειν ἀεὶ καὶ σώζειν. Φιλοτιμότατος δὲ καὶ φιλοδοξότατος ὤν, ἐβούλετο τῶν ἀρίστων καὶ μεγίστων πράξεων αὐτουργὸς εἶναι, καὶ τοῖς δεομένοις εὖ παθεῖν μᾶλλον, ἢ τοῖς εὖ ποιῆσαι δυναμένοις ἔχαιρε, τοὺς μὲν ὕλην τῆς ἀρετῆς, τοὺς δὲ ὥσπερ ἀντιπάλους πρὸς δόξαν ἡγούμενος. Παιδευθεὶς δὲ παιδείαν τὴν διὰ τῶν ἐθῶν τῶν στρα-

Digitized by Google

τιωτικῶν, πολλοὺς τότε καὶ μεγάλους τῆς Ῥώμης ἀγωνιζομένης ἀγῶνας, καὶ τῶν νέων εὐθὺς ἐξ ἀρχῆς ἐν τῷ στρατεύεσθαι στρατηγεῖν διδασκομένων, πρῶτον μὲν ἐν τῷ πρὸς Ἀννίβαν πολέμῳ χιλίαρχος ὑπατεύοντι Μαρκέλλῳ συνεστρατεύσατο. Καὶ Μάρκελλος μὲν ἐνέδρᾳ περιπεσὼν ἐτελεύτησε· Τίτος δὲ ἰῆς περὶ Τάραντα χώρας, καὶ Τάραντος αὐτοῦ, τὸ δεύτερον ἡλωκότος, ἔπαρχος ἀποδειχθεὶς, εὐδοκίμησεν οὐχ ἧττον ἐπὶ τοῖς δικαίοις, ἢ κατὰ τὴν στρατείαν. Διὸ καὶ πεμπομένων ἀποίκων εἰς δύο πόλεις, Νάρνειάν τε καὶ Κώνσαν, ἄρχων ἡρέθη καὶ οἰκιστής.

II. Τοῦτο δ' αὐτὸν ἐπῆρε μάλιστα, τὰς διὰ μέσου καὶ συνήθεις τοῖς νέοις ἀρχὰς ὑπερβάντα, δημαρχίαν καὶ στρατηγίαν καὶ ἀγορανομίαν, εὐθὺς αὐτὸν ὑπατείας ἀξιοῦν· καὶ κατῄει τοὺς ἀπὸ τῶν κληρουχιῶν ἔχων προθύμους. Τῶν δὲ περὶ Φούλβιον καὶ Μάλλιον δημάρχων ἐνισταμένων, καὶ δεινὸν εἶναι λεγόντων, ἄνδρα νέον εἰς τὴν μεγίστην ἀρχὴν εἰσβιάζεσθαι παρὰ τοὺς νόμους, οἷον ἀτέλεστον ἔτι τῶν πρώτων ἱερῶν καὶ μυστηρίων τῆς πολιτείας, ἡ μὲν σύγκλητος ἀπέδωκε τῷ δήμῳ τὴν ψῆφον, ὁ δὲ δῆμος ἀπέδειξεν αὐτὸν ὕπατον μετὰ Σέξτου Αἰλίου, καίπερ οὔπω τριάκοντα ἔτη γεγονότα. Κλήρῳ δὲ λαγχάνει τὸν πρὸς Φίλιππον καὶ Μακεδόνας πόλεμον, εὐτυχίᾳ τινὶ τῶν Ῥωμαίων συλλαχὼν πράγμασι, καὶ ἀνθρώποις, οὐ πάντα πολέμῳ καὶ βίᾳ χρωμένου δεομένοις ἄρχοντος, ἀλλὰ πειθοῖ καὶ ὁμιλίᾳ μᾶλλον ἁλωσίμοις. Φιλίππῳ γὰρ ἦν στόμωμα μὲν

Digitized by Google

εἰς μάχην ἀποχρῶν, ἡ Μακεδόνων ἀρχὴ, ῥώμη δὲ πολέμου τριβὴν ἔχοντος, καὶ χορηγία, καὶ καταφυγὴ, καὶ ὄργανον ὅλως τῆς φάλαγγος, ἡ τῶν Ἑλλήνων δύναμις· ὧν μὴ διαλυθέντων ἀπὸ τοῦ Φιλίππου, μιᾶς μάχης οὐκ ἦν ἔργον ὁ πρὸς αὐτὸν πόλεμος. Ἡ δ' Ἑλλὰς οὔπω πολλὰ συνεκνενεγμένη Ῥωμαίοις, ἀλλὰ τότε πρῶτον ἐπιμιγνυμένη ταῖς πράξεσιν, εἰ μὴ φύσει τε χρηστὸς ἦν ὁ ἄρχων, καὶ λόγῳ μᾶλλον, ἢ πολέμῳ χρώμενος, ἐντυγχάνοντί τε προσῆν πιθανότης, καὶ πραότης ἐντυγχανομένῳ, καὶ τόνος πλεῖστος ὑπὲρ τῶν δικαίων, οὐκ ἂν οὕτω ῥᾳδίως ἀντὶ τῶν συνήθων ἀλλόφυλον ἀρχὴν ἠγάπησε. Ταῦτα μὲν οὖν ἐπὶ τῶν πράξεων αὐτοῦ δηλοῦται.

III. Πυνθανόμενος δ' ὁ Τίτος, τοὺς πρὸ ἑαυτοῦ στρατηγοὺς, τοῦτο μὲν Σουλπίκιον, τοῦτο δὲ Πόπλιον, ὀψὲ τῆς ὥρας ἐμβαλόντας εἰς Μακεδονίαν, καὶ τοῦ πολέμου βραδέως ἁψαμένους, κατατετρίφθαι τοπομαχοῦντας καὶ διαπληκτιζομένους ἀκροβολισμοῖς ὑπὲρ ὁδῶν καὶ σιτολογίας πρὸς τὸν Φίλιππον, οὐκ ᾤετο δεῖν, ὥσπερ ἐκεῖνοι καταναλώσαντες οἴκοι τὸν ἐνιαυτὸν ἐν τιμαῖς καὶ πολιτείαις, ὕστερον ἐξώρμησαν ἐπὶ τὰς στρατείας, οὕτω καὶ αὐτὸς ἐν τιμαῖς καὶ πολιτείαις ἐνιαυτὸν ἐπικερδᾶναι τῇ ἀρχῇ, τὸν μὲν ὑπατεύσας, τῷ δὲ πολεμήσας· ἀλλ' ὁμοῦ φιλοτιμούμενος ἐνεργὸν τῷ πολέμῳ τὴν ἀρχὴν παρασχεῖν, τὰς μὲν ἐν τῇ πόλει τιμὰς καὶ προεδρίας ἀφῆκεν· αἰτησάμενος δὲ παρὰ τῆς βουλῆς τὸν ἀδελφὸν αὐτοῦ, Λεύκιον, ἄρχοντα νεῶν συστρατεύειν,

Digitized by Google

καὶ τῶν μετὰ Σκηπίωνος ἐν Ἰβηρίᾳ μὲν Ἀσδρούβαν, ἐν Λιβύῃ δ' Ἀννίβαν αὐτὸν καταμεμαχημένων, τοὺς ἀκμάζοντας ἔτι καὶ προθύμους ἀναλαβών, ὥσπερ στόμωμα, τρισχιλίους γενομένους, εἰς τὴν Ἤπειρον ἀσφαλῶς διεπέρασε. Καὶ τὸν Πόπλιον εὑρὼν μετὰ τῆς δυνάμεως ἀντιστρατοπεδεύοντα τῷ Φιλίππῳ, τὰς περὶ τὸν Ἄψον ποταμὸν ἐμβολὰς καὶ τὰ στενὰ φυλάττοντι, πολὺν ἤδη χρόνον, οὐδὲν δὲ περαίνοντα διὰ τὴν ὀχυρότητα τῶν χωρίων, παρέλαβε τὸ στράτευμα, καὶ τὸν Πόπλιον ἀποπέμψας, κατεσκέπτετο τοὺς τόπους. Εἰσὶ δ' ὀχυροὶ μὲν οὐχ ἧττον τῶν περὶ τὰ Τέμπη· κάλλη δὲ δένδρων, ὡς ἐκεῖνοι, καὶ χλωρότητα ὕλης, καὶ διατριβὰς, καὶ λειμῶνας ἡδεῖς οὐκ ἔχουσι. Ὀρῶν δὲ μεγάλων καὶ ὑψηλῶν ἑκατέρωθεν εἰς μίαν φάραγγα μεγίστην καὶ βαθεῖαν συμφερομένων, διεκπίπτων ὁ Ἄψος, καὶ σχῆμα καὶ τάχος ἐξομοιοῦνται πρὸς τὸν Πηνειόν· τὴν μὲν ἄλλην ἅπασαν ἀποκρύπτων ὑπώρειαν, ἐκτομὴν δὲ κρημνώδη καὶ στενὴν παρὰ τὸ ῥεῖθρον ἀπολείπων ἀτραπόν, οὐδὲ ἄλλως ῥᾳδίαν στρατεύματι διελθεῖν, εἰ δὲ καὶ φυλάττοιτο, παντελῶς ἄπορον.

IV. Ἦσαν μὲν οὖν οἱ τὸν Τίτον ἄγειν κύκλῳ διὰ τῆς Δασσαρήτιδος κατὰ Λύγκον εὔπορον ὁδὸν καὶ ῥᾳδίαν ἐπιχειροῦντες. Ὁ δὲ δεδοικὼς, μὴ πόρρω θαλάττης ἐμβαλὼν ἑαυτὸν εἰς τόπους γλίσχρους καὶ σπειρομένους πονηρῶς, τοῦ Φιλίππου φυγομαχοῦντος, ἀπορήσῃ σιτίων, καὶ πάλιν ἄπρακτος, ὥσπερ ὁ πρὸ αὐτοῦ στρατηγὸς, ἀναχωρεῖν ἀναγκασθῇ πρὸς

Digitized by Google

τὴν θάλασσαν, ἔγνω προσβαλὼν ἀνὰ κράτος διὰ τῶν ἄκρων, βιάσασθαι τὴν πάροδον. Ἐπεὶ δὲ τὰ ὄρη τοῦ Φιλίππου τῇ φάλαγγι κατέχοντος, ἐκ τῶν πλαγίων πανταχόθεν ἐπὶ τοὺς Ῥωμαίους ἀκοντίων καὶ τοξευμάτων φερομένων, πληγαὶ μὲν ἐγίνοντο, καὶ ἀγῶνες ὀξεῖς, καὶ νεκροὶ παρ' ἀμφοτέρων ἔπιπτον, οὐδὲν δὲ τοῦ πολέμου πέρας ἐφαίνετο, προσῆλθον ἄνθρωποι τῶν αὐτόθι νεμόντων, φράζοντες τινὰ κύκλωσιν ἀμελουμένην ὑπὸ τῶν πολεμίων, ᾗ τὸν στρατὸν ἄξειν ὑπισχνοῦντο, καὶ καταστήσειν μάλιστα τριταῖον ἐπὶ τῶν ἄκρων. Γνώστην δὲ τῆς πίστεως παρείχοντο καὶ βεβαιωτὴν Χάροπα τὸν Μαχάτα, πρωτεύοντα μὲν Ἠπειρωτῶν, εὔνουν δὲ Ῥωμαίοις ὄντα, καὶ κρύφα φόβῳ τοῦ Φιλίππου συναγωνιζόμενον. Ὧι πιστεύσας ὁ Τίτος, ἐκπέμπει χιλίαρχον ἕνα, πεζοὺς ἔχοντα τετρακισχιλίους καὶ ἱππεῖς τριακοσίους. Ἡγοῦντο δ' οἱ νομεῖς ἐκεῖνοι δεδεμένοι, καὶ τὰς μὲν ἡμέρας ἀνεπαύοντο, κοίλους προβαλλόμενοι καὶ ὑλώδεις τόπους, ὤδευον δὲ νύκτωρ πρὸς τὴν σελήνην. Καὶ γὰρ ἦν διχόμηνος. Ὁ δὲ Τίτος τούτους ἀποστείλας, τὰς μὲν ἄλλας ἡμέρας διανέπαυε τὸν στρατὸν, ὅσα μὴ περισπᾶν τοῖς ἀκροβολισμοῖς τοὺς πολεμίους. Καθ' ἣν δ' ἔμελλον ὑπερφανήσεσθαι τῶν ἄκρων οἱ περιόντες, ἅμ' ἡμέρᾳ πᾶν μὲν βαρὺ, πᾶν δὲ γυμνητικὸν ὅπλον ἐκίνει· καὶ τριχῇ νείμας τὴν δύναμιν, αὐτὸς μὲν εἰς στενώτατον παρὰ τὸ ῥεῖθρον ὄρθιος ἀνῆγε τὰς σπείρας, βαλλόμενος ὑπὸ τῶν Μακεδόνων, καὶ συμπλε-

Digitized by Google

τῶν πολιτῶν, νέοι δὲ κομιδῆ, δι' εὔνοιαν τοῦ Φιλοποίμενος καὶ ζῆλον ἐθελονταὶ συστρατεύοντες. Ἱππασάμενοι δὲ πρὸς τὴν Μεσσήνην, καὶ περὶ τὸν Εὐάνδρου λόφον ἀπαντῶτι τῷ Δεινοκράτει συμπεσόντες, ἐκεῖνον μὲν ἐτρέψαντο· τῶν δὲ πεντακοσίων, οἳ τὴν χώραν τῶν Μεσσηνίων παρεφύλαττον, ἐξαίφνης ἐπιφερομένων, καὶ τῶν πρότερον ἡττημένων, ὡς τοὺτους κατεῖδον, αὖθις ἀνὰ τοὺς λόφους ἀθροιζομένων, δείσας ὁ Φιλοποίμην κυκλωθῆναι, καὶ τῶν ἱππέων φειδόμενος, ἀνεχώρει διὰ τόπων χαλεπῶν, αὐτὸς οὐραγῶν, καὶ πολλάκις ἀντεξελαύνων τοῖς πολεμίοις, καὶ ὅλως ἐπισπώμενος ἐφ' ἑαυτὸν, οὐ τολμώντων ἀντεμβαλεῖν ἐκείνων, ἀλλὰ κραυγαῖς καὶ περιδρομαῖς χρωμένων ἄπωθεν. Ἀφιστάμενος οὖν πολλάκις διὰ τοὺς νεανίσκους, καὶ καθ' ἕνα παραπέμπων, ἔλαθεν ἐν πολλοῖς ἀπομονωθεὶς πολεμίοις. Καὶ συναψαι μὲν εἰς χεῖρας οὐδεὶς ἐτόλμησεν αὐτῷ, πόρρωθεν δὲ βαλλόμενος καὶ βιαζόμενος πρὸς χωρία πετρώδη καὶ παράκρημνα, χαλεπῶς μετεχειρίζετο καὶ κατέξαινε τὸν ἵππον. Αὐτῷ δὲ τὸ μὲν γῆρας ὑπ' ἀσκήσεως πολλῆς ἐλαφρὸν ἦν, καὶ πρὸς οὐδὲν ἐμπόδιον εἰς τὸ σωθῆναι· τότε δὲ, καὶ διὰ τὴν ἀσθένειαν τοῦ σώματος ἐνδεοῦς γεγονότος, καὶ διὰ τὴν ὁδοιπορίαν κατακόπου, βαρὺν ὄντα καὶ δυσκίνητον ἤδη, σφαλεὶς ὁ ἵππος εἰς τὴν γῆν κατέβαλεν. Σκληροῦ δὲ τοῦ πτώματος γενομένου, καὶ τῆς κεφαλῆς παθούσης, ἔκειτο πολὺν χρόνον ἄναυδος· ὥστε καὶ τοὺς πολεμίους τεθνάναι δύξαντας αὐτὸν, ἐπιχειρεῖν στρέ-

Digitized by Google

φειν τὸ σῶμα καὶ σκυλεύειν. Ἐπεὶ δὲ τὴν κεφαλὴν ἐπάρας διέβλεψεν, ἄθρόοι περιπεσόντες ἀπέστρεφον αὐτοῦ τὰς χεῖρας ὀπίσω, καὶ δήσαντες ἦγον, ὕβρει χρώμενοι πολλῇ καὶ λοιδωρίᾳ κατ' ἀνδρός, οὐδ' ὅναρ ἂν ποτε παθεῖν ὑπὸ Δεινοκράτους ταῦτα προσδοκήσαντος.

XIX. Οἱ δ' ἐν τῇ πόλει, τῇ μὲν ἀγγελίᾳ θαυμαστῶς ἐκπαρθέντες, ἠθροίζοντο περὶ τὰς πύλας. Ὡς δ' εἶδον ἐλκόμενον τὸν Φιλοποίμενα παρ' ἀξίαν τῆς τε δόξης καὶ τῶν ἔμπροσθεν ἔργων καὶ τροπαίων, ἠλέησαν οἱ πλεῖστοι καὶ συνήλγησαν· ὥστε καὶ δακρῦσαι, καὶ τὴν ἀνθρωπίνην ἐκφλαυρίσαι δύναμιν, ὡς ἄπιστον καὶ τὸ μηδὲν οὖσαν. Οὕτω δὲ κατὰ μικρὸν εἰς πολλοὺς φιλάνθρωπος ἐχώρει λόγος, ὡς μνημονευτέον εἴη τῶν πρόσθεν εὐεργεσιῶν, καὶ τῆς ἐλευθερίας, ἣν ἀπέδωκεν αὐτοῖς, Νάβιν ἐξελάσας τὸν τύραννον. Ὀλίγοι δ' ἦσαν, οἳ, τῷ Δεινοκράτει χαριζόμενοι, στρεβλοῦν τὸν ἄνδρα καὶ κτείνειν ἐκέλευον, ὡς βαρὺν πολέμιον καὶ δυσμείλικτον, αὐτῷ τε Δεινοκράτει φοβερώτερον, εἰ διαφύγοι καθυβρισμένος ὑπ' αὐτοῦ καὶ γεγονὼς αἰχμάλωτος. Οὐ μὴν ἀλλὰ κομίσαντες αὐτὸν εἰς τὸν καλούμενον Θησαυρόν, οἴκημα κατάγειον, οὔτε πνεῦμα λαμβάνον, οὔτε φῶς ἔξωθεν, οὔτε θύρας ἔχον, ἀλλὰ μεγάλῳ λίθῳ περιαγομένῳ κατακλειόμενον, ἐνταῦθα κατέθεντο, καὶ τὸν λίθον ἐπιῤῥάξαντες, ἄνδρας ἐνόπλους κύκλῳ περιέστησαν. Οἱ δ' ἱππεῖς τῶν Ἀχαιῶν, ἐκ τῆς φυγῆς ἀναλαβόντες αὑτούς, ὡς οὐδαμοῦ φανερὸς ἦν ὁ Φι-

Digitized by Google

λοποίμην, ἀλλ' ἐδόκει τεθνάναι, πολὺν μὲν χρόνον ἐπέστησαν ἀνακαλούμενοι τὸν ἄνδρα, καὶ διαδιδόντες ἀλλήλοις λόγον, ὡς αἰσχρὰν σωτηρίαν καὶ ἄδικον σώζονται, προέμενοι τοῖς πολεμίοις τὸν στρατηγὸν ἀφειδήσαντα τοῦ ζῆν δι' αὐτούς· ἔπειτα προϊόντες ἅμα, καὶ πολυπραγμονοῦντες, ἐπύθοντο τὴν σύλληψιν αὐτοῦ, καὶ διήγγελλον εἰς τὰς πόλεις τῶν Ἀχαιῶν. Οἱ δὲ συμφορὰν ποιούμενοι μεγάλην, ἀπαιτεῖν μὲν ἔγνωσαν τὸν ἄνδρα παρὰ τῶν Μεσσηνίων, πρεσβείαν πέμψαντες, αὐτοὶ δὲ παρεσκευάζοντο στρατεύειν.

XX. Οὗτοι μὲν οὖν ταῦτ' ἔπραττον. Ὁ δὲ Δεινοκράτης, μάλιστα τὸν χρόνον ὡς σωτήριον τῷ Φιλοποίμενι δεδοικὼς, καὶ φθάσαι τὰ παρὰ τῶν Ἀχαιῶν βουλόμενος, ἐπεὶ νὺξ ἐπῆλθε, καὶ τὸ πλῆθος ἀπεχώρησε τῶν Μεσσηνίων, ἀνοίξας τὸ δεσμωτήριον, εἰσέπεμψε δημόσιον οἰκέτην, φάρμακον κομίζοντα, προσενεγκεῖν, καὶ παραστῆναι, μέχρις ἂν ἐκπίῃ, κελεύσας. Ἔτυχε μὲν οὖν ἐν τῷ χλαμυδίῳ κατακείμενος, οὐ καθεύδων, ἀλλὰ λύπῃ καὶ θορύβῳ κατεχόμενος· ἰδὼν δὲ φῶς, καὶ παρεστῶτα πλησίον τὸν ἄνθρωπον, ἔχοντα τὴν κύλικα τοῦ φαρμάκου, συναγαγὼν μόλις ἑαυτὸν ὑπ' ἀσθενείας, ἀνεκάθισε. Καὶ δεξάμενος, ἠρώτησεν, εἴ τι περὶ τῶν ἵππέων, καὶ μάλιστα Λυκόρτα, πεπυσμένος ἐστίν. Εἰπόντος δὲ τἀνθρώπου, διαπεφευγέναι τοὺς πολλοὺς, ἐπένευσε τῇ κεφαλῇ, καὶ διαβλέψας πρᾴως πρὸς τὸν ἄνθρωπον· Εὖ λέγεις, εἶπεν, εἰ μὴ πάντα κακῶς

Digitized by Google

πεπράχαμεν. Ἄλλο δὲ μηδὲν εἰπὼν, μηδὲ φθεγξάμενος, ἐξέπιε· καὶ πάλιν αὐτὸν ἀπέκλινεν, οὐ πολλὰ πράγματα τῷ φαρμάκῳ παρασχὼν, ἀλλ' ἀποσβεσθεὶς ταχὺ διὰ τὴν ἀσθένειαν.

XXI. Ὡς οὖν ὁ περὶ τῆς τελευτῆς λόγος ἦκεν εἰς τοὺς Ἀχαιοὺς, τὰς μὲν πόλεις αὐτῶν κοινὴ κατήφεια καὶ πένθος εἶχεν· οἱ δ' ἐν ἡλικίᾳ μετὰ τῶν προβούλων συνελθόντες εἰς Μεγάλην πόλιν, οὐδ' ἡντινοῦν ἀναβολὴν ἐποιήσαντο τῆς τιμωρίας, ἀλλ' ἑλόμενοι στρατηγὸν Λυκόρταν, εἰς τὴν Μεσσηνίαν ἐνέβαλον, καὶ κακῶς ἐποίουν τὴν χώραν, ἄχρις οὗ συμφρονήσαντες ἐδέξαντο τοὺς Ἀχαιούς. Καὶ Δεινοκράτης μὲν αὐτὸς αὑτὸν φθάσας διεχρήσατο· τῶν δ' ἄλλων, ὅσοις μὲν ἀνελεῖν ἔδοξε Φιλοποίμενα, δι' αὐτῶν ἀπέθνησκον, ὅσοις δὲ καὶ βασανίσαι, τούτους ἐν αἰτίας ποιούμενος συνελάμβανεν ὁ Λυκόρτας. Τὸ δὲ σῶμα καύσαντες αὐτοῦ, καὶ τὰ λείψανα συνθέντες εἰς ὑδρίαν, ἀνεζεύγνυσαν, οὐκ ἀτάκτους, οὐδ' ὡς ἔτυχεν, ἀλλ' ἐπινίκιον πομπήν τινα ἅμα ταῖς ταφαῖς μίξαντες. Ἦν μὲν γὰρ ἐστεφανωμένους ἰδεῖν, ἦν δὲ τοὺς αὐτοὺς καὶ δακρύοντας· ἦν δὲ τοὺς ἐχθροὺς δεσμίους ἀγομένους. Αὐτὴν δὲ τὴν ὑδρίαν, ὑπὸ πλήθους ταινιῶν τε καὶ στεφάνων μόλις ὁρωμένην, ἐκόμιζεν ὁ τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν παῖς, Πολύβιος, καὶ περὶ αὐτὸν οἱ πρῶτοι τῶν Ἀχαιῶν. Οἱ δὲ στρατιῶται, ὡπλισμένοι μὲν αὐτοὶ, τοῖς δ' ἵπποις κεκοσμημένοις ἐπηκολούθουν, οὔτε, οἷον ἐπὶ πένθει τοσούτῳ, κάτηφεῖς, οὔτε τῇ νίκῃ γαυριῶν-

Digitized by Google

τες. Ἐκ δὲ τῶν διὰ μέσου πόλεων καὶ κωμῶν ἀπαντῶντες, ὥσπερ αὐτὸν ἀπὸ στρατείας ἐπανιόντα δεξιούμενοι, τῆς ὑδρίας ἐφήπτοντο, καὶ συμπροῆγον εἰς Μεγάλην πόλιν. Ὡς οὖν συνανεμίχθησαν αὐτοῖς οἱ πρεσβύτεροι μετὰ γυναικῶν καὶ παίδων, ὅλοφυρμὸς ἤδη διὰ παντὸς ἐχώρει τοῦ στρατεύματος εἰς τὴν πόλιν, ἐπιποθοῦσαν τὸν ἄνδρα, καὶ βαρέως φέρουσαν, οἰομένην συναποβεβληκέναι τὸ πρωτεύειν ἐν τοῖς Ἀχαιοῖς. Ἐτάφη μὲν οὖν, ὡς εἰκὸς, ἐνδόξως, καὶ περὶ τὸ μνημεῖον αὐτοῦ οἱ τῶν Μεσσηνίων αἰχμάλωτοι κατελεύσθησαν. Οὐσῶν δὲ πολλῶν μὲν εἰκόνων αὐτοῦ, μεγάλων δὲ τιμῶν, ἃς αἱ πόλεις ἐψηφίσαντο, Ῥωμαῖος ἀνὴρ, ἐν τοῖς περὶ Κόρινθον ἀτυχήμασι τῆς Ἑλλάδος, ἐπεχείρησεν ἀνελεῖν ἁπάσας, καὶ διώκειν αὐτὸν, ἐνδεικνύμενος, ὥσπερ ἔτι ζῶντα, Ῥωμαίοις πολέμιον καὶ κακόνουν γενέσθαι. Λόγων δὲ λεχθέντων, καὶ Πολυβίου πρὸς τὸν συκοφάντην ἀντειπόντος, οὔθ' ὁ Μόμμιος, οὔτε οἱ πρέσβεις ὑπέμειναν ἀνδρὸς ἐνδόξου τιμὰς ἀφανίσαι, καίπερ οὐκ ὀλίγα τοῖς περὶ Τίτον καὶ Μάνιον ἐναντιωθέντος· ἀλλὰ τῆς χρείας τὴν ἀρετὴν ἐκεῖνοι, καὶ τὸ καλὸν, ὡς ἔοικε, τοῦ λυσιτελοῦς διώριζον· ὀρθῶς καὶ προσηκόντως, τοῖς μὲν ὠφελοῦσι, μισθὸν καὶ χάριν παρὰ τῶν εὖ παθόντων, τοῖς δ' ἀγαθοῖς, τιμὴν ὀφείλεσθαι παρὰ τῶν ἀγαθῶν ἀεὶ νομίζοντες. Ταῦτα περὶ Φιλοποίμενος.

Digitized by Google

Τ. ΚΟΙΝΤΙΟΣ ΦΛΑΜΙΝΙΝΟΣ.

Ὃν δὲ παραβάλλομεν αὐτῷ, Τίτος Κοΐντιος Φλαμινῖνος, ἰδέαν μὲν ὁποῖος ἦν, πάρεστι θεάσασθαι τοῖς βουλομένοις ἀπὸ τῆς ἐν Ῥώμῃ χαλκῆς εἰκόνος, ἣ κεῖται παρὰ τὸν μέγαν Ἀπόλλωνα τὸν ἐκ Καρχηδόνος, ἀντικρὺ τοῦ ἱπποδρόμου, γράμμασιν Ἑλληνικοῖς ἐπιγεγραμμένη. Τὸ δ' ἦθος ὀξὺς λέγεται γενέσθαι καὶ πρὸς ὀργὴν καὶ πρὸς χάριν. Οὐ μὴν ὁμοίως· ἀλλ' ἐλαφρὸς μὲν ἐν τῷ κολάζειν, καὶ οὐκ ἐπίμονος, πρὸς δὲ τὰς χάριτας τελεσιουργός· καὶ τοῖς εὐεργετηθεῖσι διὰ παντὸς, ὥσπερ εὐεργέταις, εὔνους, καὶ πρόθυμος, ὡς κάλλιστα τῶν κτημάτων, τοὺς εὖ πεπονθότας ὑπ' αὐτοῦ περιέπειν ἀεὶ καὶ σώζειν. Φιλοτιμότατος δὲ καὶ φιλοδοξότατος ὢν, ἐβούλετο τῶν ἀρίστων καὶ μεγίστων πράξεων αὐτουργὸς εἶναι, καὶ τοῖς δεομένοις εὖ παθεῖν μᾶλλον, ἢ τοῖς εὖ ποιῆσαι δυναμένοις ἔχαιρε, τοὺς μὲν ὕλην τῆς ἀρετῆς, τοὺς δὲ ὥσπερ ἀντιπάλους πρὸς δόξαν ἡγούμενος. Παιδευθεὶς δὲ παιδείαν τὴν διὰ τῶν ἐθῶν τῶν στρα-

Digitized by Google

τιωτικῶν, πολλοὺς τότε καὶ μεγάλους τῆς Ῥώμης ἀγωνιζομένης ἀγῶνας, καὶ τῶν νέων εὐθὺς ἐξ ἀρχῆς ἐν τῷ στρατεύεσθαι στρατηγεῖν διδασκομένων, πρῶτον μὲν ἐν τῷ πρὸς Ἀννίβαν πολέμῳ χιλίαρχος ὑπατεύοντι Μαρκέλλῳ συνεστρατεύσατο. Καὶ Μάρκελλος μὲν ἐνέδρᾳ περιπεσὼν ἐτελεύτησε· Τίτος δὲ τῆς περὶ Τάραντα χώρας, καὶ Τάραντος αὐτοῦ, τὸ δεύτερον ἡλωκότος, ἔπαρχος ἀποδειχθεὶς, εὐδοκίμησεν οὐχ ἧττον ἐπὶ τοῖς δικαίοις, ἢ κατὰ τὴν στρατείαν. Διὸ καὶ πεμπομένων ἀποίκων εἰς δύο πόλεις, Νάρνειάν τε καὶ Κώνσαν, ἄρχων ἡρέθη καὶ οἰκιστής.

II. Τοῦτο δ' αὐτὸν ἐπῆρε μάλιστα, τὰς διὰ μέσου καὶ συνήθεις τοῖς νέοις ἀρχὰς ὑπερβάντα, δημαρχίαν καὶ στρατηγίαν καὶ ἀγορανομίαν, εὐθὺς αὐτὸν ὑπατείας ἀξιοῦν· καὶ κατῄει τοὺς ἀπὸ τῶν κληρουχιῶν ἔχων προθύμους. Τῶν δὲ περὶ Φούλβιον καὶ Μάλλιον δημάρχων ἐνισταμένων, καὶ δεινὸν εἶναι λεγόντων, ἄνδρα νέον εἰς τὴν μεγίστην ἀρχὴν εἰσβιάζεσθαι παρὰ τοὺς νόμους, οἷον ἀτέλεστον ἔτι τῶν πρώτων ἱερῶν καὶ μυστηρίων τῆς πολιτείας, ἡ μὲν σύγκλητος ἀπέδωκε τῷ δήμῳ τὴν ψῆφον, ὁ δὲ δῆμος ἀπέδειξεν αὐτὸν ὕπατον μετὰ Σέξτου Αἰλίου, καίπερ οὔπω τριάκοντα ἔτη γεγονότα. Κλήρῳ δὲ λαγχάνει τὸν πρὸς Φίλιππον καὶ Μακεδόνας πόλεμον, εὐτυχίᾳ τινὶ τῶν Ῥωμαίων συλλαχὼν πράγμασι, καὶ ἀνθρώποις, οὐ πάντα πολέμῳ καὶ βίᾳ χρωμένου δεομένοις ἄρχοντος, ἀλλὰ πειθοῖ καὶ ὁμιλίᾳ μᾶλλον ἁλωσίμοις. Φιλίππῳ γὰρ ἦν στόμωμα μὲν

Digitized by Google

εἰς μάχην ἀποχρῶν, ἡ Μακεδόνων ἀρχὴ, φώμη δὲ πολέμου τριβὴν ἔχοντος, καὶ χορηγία, καὶ καταφυγὴ, καὶ ὄργανον ὅλως τῆς φάλαγγος, ἡ τῶν Ἑλλήνων δύναμις· ὧν μὴ διαλυθέντων ἀπὸ τοῦ Φιλίππου, μιᾶς μάχης οὐκ ἦν ἔργον ὁ πρὸς αὐτὸν πόλεμος. Ἡ δ' Ἑλλὰς οὔπω πολλὰ συνενηνεγμένη Ῥωμαίοις, ἀλλὰ τότε πρῶτον ἐπιμιγνυμένη ταῖς πράξεσιν, εἰ μὴ φύσει τε χρηστὸς ἦν ὁ ἄρχων, καὶ λόγῳ μᾶλλον, ἢ πολέμῳ χρώμενος, ἐντυγχάνοντί τε προσῆν πιθανότης, καὶ πραότης ἐντυγχανομένῳ, καὶ τόνος πλεῖστος ὑπὲρ τῶν δικαίων, οὐκ ἂν οὕτω ῥᾳδίως ἀντὶ τῶν συνήθων ἀλλόφυλον ἀρχὴν ἠγάπησε. Ταῦτα μὲν οὖν ἐπὶ τῶν πράξεων αὐτοῦ δηλοῦται.

III. Πυνθανόμενος δ' ὁ Τίτος, τοὺς πρὸ ἑαυτοῦ στρατηγοὺς, τοῦτο μὲν Σουλπίκιον, τοῦτο δὲ Πόπλιον, ὀψὲ τῆς ὥρας ἐμβαλόντας εἰς Μακεδονίαν, καὶ τοῦ πολέμου βραδέως ἁψαμένους, κατατετρίφθαι τοπομαχοῦντας καὶ διαπληκτιζομένους ἀκροβολισμοῖς ὑπὲρ ὁδῶν καὶ σιτολογίας πρὸς τὸν Φίλιππον, οὐκ ᾤετο δεῖν, ὥσπερ ἐκεῖνοι καταναλώσαντες οἶκοι τὸν ἐνιαυτὸν ἐν τιμαῖς καὶ πολιτείαις, ὕστερον ἐξώρμησαν ἐπὶ τὰς στρατείας, οὕτω καὶ αὐτὸς ἐν τιμαῖς καὶ πολιτείαις ἐνιαυτὸν ἐπικερδᾶναι τῇ ἀρχῇ, τὸν μὲν ὑπατεύσας, τῷ δὲ πολεμήσας· ἀλλ' ὁμοῦ φιλοτιμούμενος ἐνεργὸν τῷ πολέμῳ τὴν ἀρχὴν παρασχεῖν, τὰς μὲν ἐν τῇ πόλει τιμὰς καὶ προεδρίας ἀφῆκεν· αἰτησάμενος δὲ παρὰ τῆς βουλῆς τὸν ἀδελφὸν αὑτοῦ, Λεύκιον, ἄρχοντα νεῶν συστρατεύειν,

Digitized by Google

καὶ τῶν μετὰ Σκηπίωνος ἐν Ἰβηρίᾳ μὲν Ἀσδρούβαν, ἐν Λιβύῃ δ' Ἀννίβαν αὐτὸν καταμεμαχημένων, τοὺς ἀκμάζοντας ἔτι καὶ προθύμους ἀναλαβὼν, ὥσπερ στόμωμα, τρισχιλίους γενομένους, εἰς τὴν Ἤπειρον ἀσφαλῶς διεπέρασε. Καὶ τὸν Πόπλιον εὑρὼν μετὰ τῆς δυνάμεως ἀντιστρατοπεδεύοντα τῷ Φιλίππῳ, τὰς περὶ τὸν Ἄψον ποταμὸν ἐμβολὰς καὶ τὰ στενὰ φυλάττοντι, πολὺν ἤδη χρόνον, οὐδὲν δὲ περαίνοντα διὰ τὴν ὀχυρότητα τῶν χωρίων, παρέλαβε τὸ στράτευμα, καὶ τὸν Πόπλιον ἀποπέμψας, κατεσκέπτετο τοὺς τόπους. Εἰσὶ δ' ὀχυροὶ μὲν οὐχ ἧττον τῶν περὶ τὰ Τέμπη· κάλλη δὲ δένδρων, ὡς ἐκεῖνοι, καὶ χλωρότητα ὕλης, καὶ διατριβὰς, καὶ λειμῶνας ἡδεῖς οὐκ ἔχουσι. Ὀρῶν δὲ μεγάλων καὶ ὑψηλῶν ἑκατέρωθεν εἰς μίαν φάραγγα μεγίστην καὶ βαθεῖαν συμφερομένων, διεκπίπτων ὁ Ἄψος, καὶ σχῆμα καὶ τάχος ἐξομοιοῦνται πρὸς τὸν Πηνειόν· τὴν μὲν ἄλλην ἅπασαν ἀποκρύπτων ὑπώρειαν, ἐκτομὴν δὲ κρημνώδη καὶ στενὴν παρὰ τὸ ῥεῖθρον ἀπολείπων ἀτραπόν, οὐδὲ ἄλλως ῥᾳδίαν στρατεύματι διελθεῖν, εἰ δὲ καὶ φυλάττοιτο, παντελῶς ἄπορον.

IV. Ἦσαν μὲν οὖν οἱ τὸν Τίτον ἄγειν κύκλῳ διὰ τῆς Δασσαρήτιδος κατὰ Λύγκον εὔπορον ὁδὸν καὶ ῥᾳδίαν ἐπιχειροῦντες. Ὁ δὲ δεδοικὼς, μὴ πόρρω θαλάττης ἐμβαλὼν ἑαυτὸν εἰς τόπους γλίσχρους καὶ σπειρομένους πονηρῶς, τοῦ Φιλίππου φυγομαχοῦντος, ἀπορήσῃ σιτίων, καὶ πάλιν ἄπρακτος, ὥσπερ ὁ πρὸ αὐτοῦ στρατηγὸς, ἀναχωρεῖν ἀναγκασθῇ πρὸς

Digitized by Google

τὴν θάλασσαν, ἔγνω προσβαλὼν ἀνὰ κράτος διὰ τῶν ἄκρων, βιάσασθαι τὴν πάροδον. Ἐπεὶ δὲ τὰ ὄρη τοῦ Φιλίππου τῇ φάλαγγι κατέχοντος, ἐκ τῶν πλαγίων πανταχόθεν ἐπὶ τοὺς Ῥωμαίους ἀκοντίων καὶ τοξευμάτων φερομένων, πληγαὶ μὲν ἐγίνοντο, καὶ ἀγῶνες ὀξεῖς, καὶ νεκροὶ παρ' ἀμφοτέρων ἔπιπτον, οὐδὲν δὲ τοῦ πολέμου πέρας ἐφαίνετο, προσῆλθον ἄνθρωποι τῶν αὐτόθι νεμόντων, φράζοντες τινὰ κύκλωσιν ἀμελουμένην ὑπὸ τῶν πολεμίων, ᾗ τὸν στρατὸν ἄξειν ὑπισχνοῦντο, καὶ καταστήσειν μάλιστα τριταῖον ἐπὶ τῶν ἄκρων. Γνώστην δὲ τῆς πίστεως παρείχοντο καὶ βεβαιωτὴν Χάροπα τὸν Μαχάτα, πρωτεύοντα μὲν Ἠπειρωτῶν, εὔνουν δὲ Ῥωμαίοις ὄντα, καὶ κρύφα φόβῳ τοῦ Φιλίππου συναγωνιζόμενον. Ὧι πιστεύσας ὁ Τίτος, ἐκπέμπει χιλίαρχον ἕνα, πεζοὺς ἔχοντα τετρακισχιλίους καὶ ἱππεῖς τριακοσίους. Ἡγοῦντο δ' οἱ νομεῖς ἐκεῖνοι δεδεμένοι, καὶ τὰς μὲν ἡμέρας ἀνεπαύοντο, κοίλους προβαλλόμενοι καὶ ὑλώδεις τόπους, ὧδευον δὲ νύκτωρ πρὸς τὴν σελήνην. Καὶ γὰρ ἦν διχόμηνος. Ὁ δὲ Τίτος τούτους ἀποστείλας, τὰς μὲν ἄλλας ἡμέρας διανέπαυε τὸν στρατόν, ὅσα μὴ περισπᾶν τοῖς ἀκροβολισμοῖς τοὺς πολεμίους. Καθ' ἣν δ' ἔμελλον ὑπερφανήσεσθαι τῶν ἄκρων οἱ περιόντες, ἅμ' ἡμέρᾳ πᾶν μὲν βαρὺ, πᾶν δὲ γυμνητικὸν ὅπλον ἐκίνει· καὶ τριχῇ νείμας τὴν δύναμιν, αὐτὸς μὲν εἰς στενώτατον παρὰ τὸ ῥεῖθρον ὄρθιος ἀνῆγε τὰς σπείρας, βαλλόμενος ὑπὸ τῶν Μακεδόνων, καὶ συμπλε-

Digitized by Google

κόμενος τοῖς ἅπαντῶσι περὶ τὰς δυσχωρίας. Τῶν δ' ἄλλων ἑκατέρωθεν ἅμα πειρωμένων ἁμιλλᾶσθαι, καὶ ταῖς τραχύτησιν ἐμφυομένων προθύμως, ὅ τε ἥλιος ἀνέσχε, καὶ καπνὸς οὐ βέβαιος, ἀλλ' οἷον ὄρειος δμίχλη, πόρρωθεν ἀνατέλλων καὶ διαφαινόμενος, τοὺς μὲν πολεμίους ἐλάνθανε· κατὰ νώτου γὰρ ἦν αὐτοῖς, ἤδη τῶν ἄκρων ἐχομένων. Οἱ δὲ Ῥωμαῖοι δόξαν ἔσχον ἀμφίβολον ἐν ἀγῶνι καὶ πόνῳ, τὴν ἐλπίδα πρὸς τὸ βουλόμενον λαμβάνοντες. Ἐπεὶ δὲ μᾶλλον αὐξανόμενος, καὶ διαμελαίνων τὸν ἀέρα, καὶ πολὺς ἄνω χωρῶν, ἐδηλοῦτο πυρσὸς εἶναι φίλιος, οἱ μὲν ἀλαλάξαντες ἐπέβαινον ἐρρωμένως, καὶ συνέστελλον εἰς τὰ τραχύτατα τοὺς πολεμίους, οἱ δ' ὄπισθεν ἀπὸ τῶν ἄκρων ἀντηλάλαξαν.

V. Φυγὴ μὲν οὖν ἦν εὐθὺς ὀξεῖα πάντων, ἔπεσον δὲ δισχιλίων οὐ πλείους· ἀφῃροῦντο γὰρ αἱ δυσχωρίαι τὴν δίωξιν. Χρήματα δὲ καὶ σκηνὰς καὶ θεράποντας οἱ Ῥωμαῖοι διαρπάσαντες, ἐκράτουν τῶν στενῶν, καὶ διώδευον τὴν Ἤπειρον οὕτω κοσμίως καὶ μετ' ἐγκρατείας τοσαύτης, ὥστε τῶν πλοίων καὶ τῆς θαλάσσης μακρὰν ὄντας αὐτοὺς, καὶ τὸν ἐπιμήνιον σῖτον μὴ μεμετρημένους, οὐδ' εὐπορουμένους ἀγορᾶς, ἀπέχεσθαι τῆς χώρας ἀμφιλαφεῖς ὠφελείας ἐχούσης. Ὁ γὰρ Τίτος πανθανόμενος τὸν Φίλιππον, ὡς ὅμοια φεύγοντι τὴν Θετταλίαν διερχόμενος, τοὺς μὲν ἀνθρώπους ἐκ τῶν πόλεων ἀνίστησιν εἰς τὰ ὄρη, τὰς δὲ πόλεις καταπίμπρησι, τῶν δὲ χρημάτων τὰ λειπόμενα διὰ πλῆθος, ἢ βάρος, ἁρ-

Digitized by Google

παγὴν προτίθεται, τρόπον τινὰ τῆς χώρας ἐξιστάμενος ἤδη Ῥωμαίοις; ἐφιλοτιμεῖτο, καὶ παρεκάλει τοὺς στρατιώτας, ὥσπερ οἰκείας καὶ παρακεχωρημένης κηδομένους βαδίζειν. Καὶ μέντοι καὶ παρεῖχεν αὐτοῖς τὰ γινόμενα τῆς εὐταξίας αἴσθησιν εὐθύς. Προσεχώρουν μὲν γὰρ αἱ πόλεις ὀψαμένοις Θετταλίας, οἱ δ' ἐντὸς πυλῶν Ἕλληνες ἐπόθουν καὶ διεπτόηντο ταῖς ὁρμαῖς πρὸς τὸν Τίτον. Ἀχαιοὶ δὲ τὴν Φιλίππου συμμαχίαν ἀπειπάμενοι, πολεμεῖν ἐψηφίσαντο μετὰ Ῥωμαίων πρὸς αὐτόν. Ὀπούντιοι δὲ, καίπερ Αἰτωλῶν τότε Ῥωμαίοις συναγωνιζομένων προθυμότατα, καὶ τὴν πάλιν ἀξιούντων παραλαβεῖν καὶ φυλάττειν, οὐ προυέσχον, ἀλλὰ μεταπεμψάμενοι τὸν Τίτον, ἐκείνῳ διεπίστευσαν ἑαυτοὺς καὶ παρέδωκαν. Πύῤῥον μὲν οὖν λέγουσιν, ὅτε πρῶτον ἀπὸ σκοπῆς κατεῖδε τὸ στράτευμα τῶν Ῥωμαίων διακεκοσμημένον, εἰπεῖν, οὐ βαρβαρικὴν αὐτῷ φανῆναι τὴν τῶν βαρβάρων παράταξιν· οἱ δὲ Τίτῳ πρῶτον ἐντυγχάνοντες ἠναγκάζοντο παραπλησίας ἀφιέναι φωνάς. Ἀκούοντες γὰρ τῶν Μακεδόνων, ὡς ἄνθρωπος ἄρχων βαρβάρου στρατιᾶς ἔπεισι, δι' ὅπλων πάντα καταστρεφόμενος καὶ δουλούμενος, εἶτ' ἀπαντῶντες ἀνδρὶ τήν τε ἡλικίαν νέῳ, καὶ τὴν ὄψιν φιλανθρώπῳ, φωνήν τε καὶ διάλεκτον Ἕλληνι, καὶ τιμῆς ἀληθοῦς ἐραστῇ, θαυμασίως ἐκηλοῦντο, καὶ τὰς πόλεις ἀπιόντες ἐνεπίμπλασαν εὐνοίας τῆς πρὸς αὐτόν, ὡς ἐχούσας ἡγεμόνα τῆς ἐλευθερίας. Ἐπεὶ δὲ καὶ Φιλίππῳ, δοκοῦντι συμβατικῶς ἔχειν, εἰς

Digitized by Google

ταὐτὸν ἐλθὼν, πρῦτεινεν εἰρήνην καὶ φιλίαν ἐπὶ τῷ τοὺς Ἕλληνας αὐτονόμους ἐᾶν, καὶ τὰς φρουρὰς ἀπαλλάττειν, ὁ δὲ οὐκ ἐδέξατο· παντάπασι δὴ τότε καὶ τοῖς θεραπεύουσι τὰ τοῦ Φιλίππου παρέστη, Ῥωμαίους πολεμήσοντας ἥκειν, οὐχ Ἕλλησιν, ἀλλ' ὑπὲρ Ἑλλήνων Μακεδόσι.

VI. Τὰ μὲν οὖν ἄλλα προσεχώρει καθ' ἡσυχίαν αὐτῷ· τὴν δὲ Βοιωτίαν ἀπολέμως ἐπιπορευομένῳ Θηβαίων ἀπήντησαν οἱ πρῶτοι, φρονοῦντες μὲν τὰ τοῦ Μακεδόνος διὰ Βραχύλλην, ἀσπαζόμενοι δὲ καὶ τιμῶντες τὸν Τίτον, ὡς φιλίας πρὸς ἀμφοτέρους ὑπαρχούσης. Ὁ δ', ἐντυχὼν αὐτοῖς φιλανθρώπως καὶ δεξιωσάμενος, προῆγεν ἡσυχῇ καθ' ὁδὸν, τὰ μὲν ἐρωτῶν καὶ πυνθανόμενος, τὰ δὲ διηγούμενος, καὶ παράγων ἐπίτηδες, ἄχρι τοῦ τοὺς στρατιώτας ἀναλαβεῖν ἐκ τῆς πορείας. Οὕτω δὲ προάγων, συνεισῆλθε τοῖς Θηβαίοις εἰς τὴν πόλιν, οὐ πάνυ μὲν ἡδομένοις, ὀκνοῦσι δὲ κωλύειν· ἐπεὶ στρατιῶταί γε μέτριοι τὸ πλῆθος εἶπόντο. Καὶ μέντοι παρελθὼν ὁ Τίτος, ὡς οὐκ ἔχων τὴν πόλιν, ἔπεισθεν ἑλέσθαι τὰ Ῥωμαίων, Ἀττάλου τοῦ βασιλέως συναγορεύοντος αὐτῷ, καὶ συνεξορμῶντος τοὺς Θηβαίους. Ἀλλ' Ἄτταλος μὲν, ὡς ἔοικε, τοῦ γήρως προθυμότερον ἑαυτὸν τῷ Τίτῳ ῥήτορα παρασχεῖν φιλοτιμούμενος, ἐν αὐτῷ τῷ λέγειν πρὸσπεσόντος ἰλίγγου τινὸς, ἢ ῥεύματος, ἄφνω τὴν αἴσθησιν ἐπιληφθεὶς ἔπεσε, καὶ μετ' οὐ πολὺ ταῖς ναυσὶν εἰς Ἀσίαν ἀποκομι-

Digitized by Google

σθεὶς ἐτελεύτησεν· οἱ δὲ Βοιωτοὶ προσεχώρησαν τοῖς Ῥωμαίοις.

VII. Φιλίππου δὲ πρέσβεις πέμψαντος εἰς Ῥώμην, ἀπέστειλε καὶ ὁ Τίτος παρ' αὐτοῦ τοὺς πράξοντας, ὅπως ἐπιψηφίσηται ἡ σύγκλητος χρόνον αὐτῷ, τοῦ πολέμου μένοντος· εἰ δὲ μή, δι' ἐκείνου τὴν εἰρήνην γενέσθαι. Φιλότιμος γὰρ ὢν ἰσχυρῶς, ἐδεδίει, πεμφθέντος ἐπὶ τὸν πόλεμον ἑτέρου στρατηγοῦ, τὴν δόξαν ἀφαιρεθῆναι. Διαπραξαμένων δὲ τῶν φίλων αὐτῷ, μήτε τὸν Φίλιππον, ὧν ἔχρῃζε, τυχεῖν, καὶ τοῦ πολέμου τὴν ἡγεμονίαν ἐκείνῳ φυλαχθῆναι, δεξάμενος τὸ δόγμα, καὶ ταῖς ἐλπίσιν ἐπαρθεὶς, εὐθὺς εἰς Θετταλίαν ἐπὶ τὸν Φιλίππου πόλεμον ὥρμησεν, ὑπὲρ ἑξακισχιλίους καὶ δισμυρίους ἔχων στρατιώτας, ὧν Αἰτωλοὶ πεζοὺς ἑξακισχιλίους καὶ ἱππεῖς τετρακοσίους παρεῖχον. Ἦν δὲ καὶ τοῦ Φιλίππου τὸ στράτευμα τῷ πλήθει παραπλήσιον. Ἐπεὶ δὲ βαδίζοντες ἐπ' ἀλλήλους, καὶ γενόμενοι περὶ τὴν Σκοτοῦσσαν, ἐνταῦθα διακινδυνεύειν ἔμελλον, οὐχ, ὅπερ εἰκὸς ἦν, πρὸς δέους ἔλαβον οἱ στρατηγοὶ τὴν ἀλλήλων γειτνίασιν, ἀλλὰ μᾶλλον ὁρμῆς καὶ φιλοτιμίας ἐπληροῦντο· Ῥωμαῖοι μὲν, εἰ Μακεδόνων κρατήσουσιν, ὧν ὄνομα δι' Ἀλέξανδρον ἀλκῆς καὶ δυνάμεως πλεῖστον ἦν παρ' αὐτοῖς· Μακεδόνες δὲ Ῥωμαίους Περσῶν ἡγούμενοι διαφέρειν, ἤλπιζον, εἰ περιγένοιντο, λαμπρότερον ἀποδείξειν Ἀλεξάνδρου Φίλιππον. Ὁ μὲν οὖν Τίτος παρεκάλει τοὺς στρατιώτας ἄνδρας ἀγαθοὺς γενέσθαι καὶ προθύμους,

Digitized by Google

ὡς ἐν τῷ καλλιστῳ θεάτρῳ, τῇ Ἑλλάδι, μέλλοντας ἀγωνίζεσθαι πρὸς τοὺς ἀρίστους τῶν ἀνταγωνιστῶν. Ὁ δὲ Φίλιππος, εἴτε ὑπὸ τύχης, εἴτε ὑπὸ σπουδῆς παρὰ τὸν καιρὸν ἀγνοήσας, ἦν γάρ τι πολυάνδριον ὑψηλὸν ἔξω τοῦ χάρακος, ἐπὶ τοῦτο προβὰς, ἤρξατο μὲν, οἷα πρὸ μάχης φιλεῖ, διαλέγεσθαι, καὶ παρορμᾶν· ἀθυμίας δὲ δεινῆς πρὸς τὸν οἰωνὸν ἐμπεσούσης, διαταραχθεὶς ἐπίσχε τὴν ἡμέραν ἐκείνην.

VIII. Τῇ δ' ὑστεραίᾳ περὶ τὸν ὄρθρον, ἐκ μαλακῆς καὶ νοτίου νυκτὸς, εἰς ὁμίχλην τῶν νεφῶν τρεπομένων, ἀνεπίμπλατο ζόφου βαθέος πᾶν τὸ πεδίον, καὶ κατῄει παχὺς ἐκ τῶν ἄκρων ἀὴρ εἰς τὸ μεταξὺ τῶν στρατοπέδων, εὐθὺς ἀρχομένης ἡμέρας ἀποκρύπτων τοὺς τόπους. Οἱ δ' ὑπ' ἀμφοτέρων ἀποσταλέντες ἐφεδρίας ἕνεκα καὶ κατασκοπῆς, ἐν πάνυ βραχεῖ περιπεσόντες ἀλλήλοις ἐμάχοντο περὶ τὰς καλουμένας Κυνὸς κεφαλὰς, αἳ λόφων οὖσαι πυκνῶν καὶ παραλλήλων ἄκραι λεπταὶ, δι' ὁμοιότητα τοῦ σχήματος οὕτως ὠνομάσθησαν. Γενομένων δ', οἷον εἰκὸς ἐν τόποις σκληροῖς, μεταβολῶν κατὰ τὰς φυγὰς καὶ διώξεις, ἑκάτεροι τοῖς πονοῦσιν ἀεὶ καὶ ὑποχωροῦσιν ἐπιπέμποντες βοήθειαν ἐκ τῶν στρατοπέδων, καὶ ἤδη τοῦ ἀέρος ἀνακαθαιρομένου, καθορῶντες τὰ γινόμενα, πανστρατιᾷ συνέβαλον. Τῷ μὲν οὖν δεξιῷ περιῆν ὁ Φίλιππος, ἐκ τόπων ἐπιφόρων ὅλην ἐπερείσας τὴν φάλαγγα τοῖς Ῥωμαίοις, τὸ βάρος τοῦ συνασπισμοῦ, καὶ τὴν τραχύτητα τῆς προσβολῆς τῶν σαρισσῶν οὐχ ὑπομεινάντων. Τοῦ δ' εὐωνύμου δι-

Digitized by Google

ασπασμὸν ἀνὰ τοὺς λόφους καὶ περίπλασιν λαμβάνοντος, ὁ Τίτος, τὸ μὲν ἡττώμενον ἀπογνοὺς, πρὸς δὲ θάτερον ὀξέως παρελάσας, προσέβαλε τοῖς Μακεδόσι, συστῆναι μὲν εἰς φάλαγγα καὶ πυκνῶσαι τὴν τάξιν εἰς βάθος, ἥπερ ἦν ἀλκὴ τῆς ἐκείνων δυνάμεως, κωλυομένοις διὰ τὴν ἀνωμαλίαν καὶ τραχύτητα τῶν χωρίων, πρὸς δὲ τὸ κατ' ἄνδρα συμπλέκεσθαι καὶ βαρεῖ καὶ δυσέργῳ χρωμένοις ὁπλισμῷ. Ζώῳ γὰρ ἡ φάλαγξ ἔοικεν ἀμάχῳ τὴν ἰσχὺν, ἕως ἓν ἐστι σῶμα, καὶ τηρεῖ τὸν συνασπισμὸν ἐν τάξει μιᾷ. Διαλυθείσης δὲ, καὶ τὴν καθ' ἕνα ῥώμην ἀπόλλυσι τῶν μαχομένων ἕκαστος, διά τε τὸν τρόπον τῆς ὁπλίσεως, καὶ ὅτι γ' ὄντος ὅλου τοῖς παραλλήλοις μέρεσι μᾶλλον, ἢ δι' αὑτόν, ἰσχύει. Τραπομένων δὲ τούτων, οἱ μὲν ἐδίωκον τοὺς φεύγοντας, οἱ δὲ τοὺς μαχομένους τῶν Μακεδόνων παρεκδραμόντες ἐκ πλαγίων ἔκτεινον· ὥστε ταχὺ καὶ τοὺς νικῶντας περισπᾶσθαι καὶ φεύγειν, τὰ ὅπλα καταβάλλοντας. Ἔπεσον μὲν οὖν ὀκτακισχιλίων οὐκ ἐλάττους, ἑάλωσαν δὲ περὶ πεντακισχιλίους. Τοῦ δὲ τὸν Φίλιππον ἀσφαλῶς ἀπελθεῖν τὴν αἰτίαν ἔλαβον Αἰτωλοὶ, περὶ ἁρπαγὴν γενόμενοι καὶ πόρθησιν τοῦ χάρακος, ἔτι τῶν Ῥωμαίων διωκόντων, ὥστε μηδὲν εὑρεῖν ἐκείνους ἐπανελθόντας.

IX. Πρῶτον μὲν οὖν ἐγένοντο λοιδορίαι καὶ διαφοραὶ πρὸς ἀλλήλους αὐτοῖς· ἐκ δὲ τούτων μᾶλλον ἀεὶ τὸν Τίτον ἐλύπουν, ἑαυτοῖς ἀνατιθέντες τὸ νίκημα, καὶ τῇ φήμῃ προκαταλαμβάνοντες τοὺς Ἕλ-

Digitized by Google

ληνας· ὥστε καὶ γράφεσθαι καὶ ᾄδεσθαι προτέρους ἐκείνους ὑπὸ ποιητῶν καὶ ἰδιωτῶν, ὑμνούντων τὸ ἔργον. Ὧν μάλιστα διὰ στόματος ἦν τουτὶ τὸ ἐπίγραμμα·

Ἀκλαυστοι καὶ ἄθαπτοι, ὁδοιπόρε, τῷδ' ἐπὶ νώτῳ
Θεσσαλίας τρισσαὶ κείμεθα μυριάδες,
Αἰτωλῶν δμηθέντες ὑπ' Ἄρεος, ἠδὲ Λατίνων,
Οὓς Τίτος εὐρείης ἦγαγ' ἀπ' Ἰταλίης,
Ἡμαθίῃ μέγα πῆμα. Τὸ δὲ θρασὺ κεῖνο Φιλίππου
Πνεῦμα θοῶν ἐλάφων ὤχετ' ἐλαφρότερον.

Τοῦτ' ἐποίησε μὲν Ἀλκαῖος, ἐφυβρίζων Φιλίππῳ, καὶ τὸν ἀριθμὸν τῶν ἀποθανόντων ἐπιψευσάμενος. Λεγόμενον δὲ πολλαχοῦ καὶ ὑπὸ πολλῶν, μᾶλλον ἠνία τὸν Τίτον, ἢ τὸν Φίλιππον. Ὁ μὲν γὰρ ἀντικωμῳδῶν τὸν Ἀλκαῖον τῷ ἐλεγείῳ παρέβαλεν·

Ἄφλοιος καὶ ἄφυλλος, ὁδοιπόρε, τῷδ' ἐπὶ νώτῳ
Ἀλκαίῳ σταυρὸς πήγνυται ἠλίβατος.

Τὸν δὲ Τίτον, φιλοτιμούμενον πρὸς τοὺς Ἕλληνας, οὐ μετρίως παρώξυνε τὰ τοιαῦτα. Διὸ καὶ τὰ ὑπόλοιπα τῶν πραγμάτων ἔπραττε καθ' ἑαυτὸν, ἐλάχιστα φροντίζων τῶν Αἰτωλῶν. Οἱ δ' ἤχθοντο, καὶ, προσδεξαμένου λόγους αὐτοῦ, καὶ πρεσβείαν ἐπὶ συμβάσεσι παρὰ τοῦ Μακεδόνος, ταῦτ' ἐκεῖνοι, περιϊόντες περὶ τὰς ἄλλας πόλεις ἐβόων, πωλεῖσθαι τὴν εἰρήνην Φιλίππῳ, παρὸν ἐπικόψαι τὸν πόλεμον ἄρδην, καὶ ἀνελεῖν ἀρχὴν, ὑφ' ἧς πρώτης ἐδουλώθη τὸ Ἑλληνικόν. Ταῦτα τῶν Αἰτωλῶν λεγόντων, καὶ διαταραττόντων τοὺς συμμάχους, αὐτὸς ὁ Φίλιππος

Digitized by Google

ἐλθὼν πρὸς τὰς διαλύσεις, ἀνεῖλε τὴν ὑποψίαν, ἐπιτρέψας τῷ Τίτῳ καὶ Ῥωμαίοις τὰ καθ' αὑτόν. Καὶ οὕτω καταλύεται τὸν πόλεμον ὁ Τίτος· καὶ τὴν μὲν Μακεδονικὴν ἀπέδωκεν αὐτῷ βασιλείαν, τῆς δ' Ἑλλάδος προσέταξεν ἀποστῆναι, χιλίοις δὲ ταλάντοις ἐζημίωσε, τὰς δὲ ναῦς πάσας παρείλετο, πλὴν δέκα. Τῶν δὲ παίδων τὸν ἕτερον, Δημήτριον, ὑμηρεύσοντα λαβὼν, εἰς Ῥώμην ἀπέστειλεν, ἄριστα τῷ καιρῷ χρησάμενος, καὶ προλαβὼν τὸ μέλλον. Ἀννίβου γὰρ τοῦ Λίβυος, ἀνδρὸς ἐχθίστου τε Ῥωμαίοις καὶ φυγάδος, ἤδη τότε πρὸς Ἀντίοχον ἥκοντος τὸν βασιλέα, καὶ παροξύνοντος αὐτὸν εἰς τὸ πρόσθεν προϊέναι τῇ τύχῃ, τῆς δυνάμεως εὖ ῥεούσης, ἤδη καθ' ἑαυτὸν ὑπὸ πραγμάτων μεγάλων, ἃ κατεργασάμενος μέγας ἐπωνομάσθη, πρὸς τὴν ἁπάντων ἡγεμονίαν ἀποβλέποντα, μάλιστα δὲ κατὰ Ῥωμαίων ἀνιστάμενον· εἰ μὴ τοῦτο προϊδὼν ὁ Τίτος ἐμφρόνως ἐνέδωκε πρὸς τὰς διαλύσεις, ἀλλὰ τὸν Φιλιππικὸν ὁ Ἀντιοχικὸς κατειλήφει πόλεμον ἐν τῇ Ἑλλάδι, καὶ συνέστησαν ὑπ' αἰτιῶν ἀμφότεροι κοινῶν οἱ μέγιστοι τῶν τότε καὶ δυνατώτατοι βασιλέων ἐπὶ τὴν Ῥώμην, ἔσχεν ἂν ἀγῶνας ἐξ ὑπαρχῆς καὶ κινδύνους τῶν πρὸς Ἀννίβαν οὐκ ἐλάττους. Νῦν δὲ τῶν πολέμων μέσην κατὰ καιρὸν ἐμβαλὼν τὴν εἰρήνην ὁ Τίτος, καὶ, πρὶν ἄρξασθαι τὸν μέλλοντα, διακόψας τὸν παρόντα, τοῦ μὲν τὴν ἐσχάτην ἐλπίδα, τοῦ δὲ τὴν πρώτην ὑφεῖλεν.

X. Ἐπεὶ δ' οἱ δέκα πρέσβεις, οὓς ἡ σύγκλητος ἔπεμψε τῷ Τίτῳ, συνεβούλευον τοὺς μὲν ἄλλους Ἑλ-

Digitized by Google

ληνας ἐλευθεροῦν, Κόρινθον δὲ καὶ Χαλκίδα καὶ Δημητριάδα διατηρεῖν ἐμφρούρους, ἕνεκα τῆς πρὸς Ἀντίοχον ἀσφαλείας. ἐνταῦθα δὴ ταῖς κατηγορίαις λαμπροὶ λαμπρῶς τὰς πόλεις ἀνερρήγνυσαν Αἰτωλοὶ, τὸν μὲν Τίτον κελεύοντες τὰς πέδας τῆς Ἑλλάδος λύειν (οὕτω γὰρ ὁ Φίλιππος εἰώθει τὰς προειρημένας πόλεις ὀνομάζειν), τοὺς δ' Ἕλληνας ἐρωτῶντες, εἰ κλοιὸν ἔχοντες βαρύτερον μέν, λειότερον δὲ τοῦ πάλαι τὸν νῦν, χαίρουσι, καὶ θαυμάζουσι τὸν Τίτον, ὡς εὐεργέτην, ὅτι τοῦ ποδὸς λύσας τὴν Ἑλλάδα, τοῦ τραχήλου δέδεκεν. Ἐφ' οἷς ἀχθόμενος ὁ Τίτος καὶ βαρέως φέρων, καὶ δεόμενος τοῦ συνεδρίου, τέλος ἐξέπεισε καὶ ταύτας τὰς πόλεις ἀνεῖναι τῆς φρουρᾶς, ὅπως ὁλόκληρος ἡ χάρις ὑπάρξῃ παρ' αὐτοῦ τοῖς Ἕλλησιν. Ἰσθμίων οὖν ἀγομένων, πλῆθος μὲν ἀνθρώπων ἐν τῷ σταδίῳ καθῆστο, τὸν γυμνικὸν ἀγῶνα θεώμενον, οἷα δὴ διὰ χρόνου, πεπαυμένης μὲν πολέμων τῆς Ἑλλάδος ἐπ' ἐλπίσιν ἐλευθερίας, σαφεῖ δὲ εἰρήνῃ πανηγυριζούσης. Τῇ σάλπιγγι δὲ σιωπῆς εἰς ἅπαντας διαδοθείσης, προελθὼν εἰς μέσον ὁ κήρυξ ἀνεῖπεν, ὅτι Ῥωμαίων ἡ σύγκλητος, καὶ Τίτος Κοΐντιος, στρατηγὸς ὕπατος, καταπολεμήσαντες βασιλέα Φίλιππον καὶ Μακεδόνας, ἀφιᾶσιν ἀφρουρήτους καὶ ἐλευθέρους καὶ ἀφορολογήτους, νόμοις χρωμένους τοῖς πατρίοις, Κορινθίους, Λοκροὺς, Φωκεῖς, Εὐβοέας, Ἀχαιοὺς, Φθιώτας, Μάγνητας, Θετταλοὺς, Περραιβούς. Τὸ μὲν οὖν πρῶτον οὐ πάνυ πάντες, οὐδὲ σαφῶς ἐπήκουσαν, ἀλλ' ἀνώμαλος καὶ θορυ-

Digitized by Google

βώδης κίνησις ἦν ἐν τῷ σταδίῳ θαυμαζόντων, καὶ διαπυνθανομένων, καὶ πάλιν ἀνειπεῖν κελευόντων. Ὡς δ', αὖθις ἡσυχίας γενομένης, ἀναγαγὼν ὁ κήρυξ τὴν φωνὴν, προθυμότερον εἰς ἅπαντας ἐγεγώνησε, καὶ διῆλθε τὸ κήρυγμα, κραυγὴ μὲν ἄπιστος τὸ μέγεθος διὰ χαρὰν ἐχώρει μέχρι θαλάττης, ὀρθὸν δ' ἀνειστήκει τὸ θέατρον, οὐδεὶς δὲ λόγος ἦν τῶν ἀγωνιζομένων. Ἔσπευδον δὲ πάντες ἀναπηδῆσαι, καὶ δεξιώσασθαι, καὶ προσειπεῖν τὸν σωτῆρα τῆς Ἑλλάδος καὶ πρόμαχον. Τὸ δὲ πολλάκις λεγόμενον εἰς ὑπερβολὴν τῆν φωνῆς καὶ μέγεθος ὤφθη τότε. Κόρακες γὰρ, ὑπερπετόμενοι κατὰ τύχην, ἔπεσον εἰς τὸ στάδιον. Αἰτία δ' ἡ τοῦ ἀέρος ῥῆξις. Ὅταν γὰρ ἡ φωνὴ πολλὴ καὶ μεγάλη φέρηται, διασπώμενος ὑπ' αὐτῆς οὐκ ἀντερείδει τοῖς πετομένοις, ἀλλ' ὀλίσθημα ποιεῖ, καθάπερ κυνεμβατοῦσιν· εἰ μὴ, νὴ Δία, πληγῇ τινι μᾶλλον, ὡς ὑπὸ βέλους διελαυνόμενα, πίπτει καὶ ἀποθνήσκει. Δύναται δὲ καὶ περιδίνησις εἶναι τοῦ ἀέρος, οἷον ἰλιγμὸν ἐν πελάγει καὶ παλιῤῥύμην τοῦ σάλου διὰ μέγεθος λαμβάνοντος.

XI. Ὁ δ' οὖν Τίτος, εἰ μὴ τάχιστα τῆς θέας διαλυθείσης, ὑπειδόμενος τὴν φορὰν τοῦ πλήθους καὶ τὸν δρόμον, ἐξέκλινεν, οὐκ ἂν ἐδόκει περιγενέσθαι τοσούτων ὁμοῦ καὶ πάντοθεν αὐτῷ περιχεομένων. Ὡς δ' ἀπέκαμον περὶ τὴν σκηνὴν αὐτοῦ βοῶντες, ἤδη νυκτὸς οὔσης, αὖθις οὔστινας ἴδοιεν ἢ φίλους, ἢ πολίτας, ἀσπαζόμενοι καὶ περιπλεκόμενοι, πρὸς δεῖπνα καὶ πότους ἐτρέποντο μετ' ἀλλήλων. Ἐν ᾧ καὶ

Digitized by Google

μᾶλλον, ὡς εἰκὸς, ἡδομένοις ἐπῄει λογίζεσθαι καὶ διαλέγεσθαι περὶ τῆς Ἑλλάδος, ὅσους πολεμήσασα πολέμους διὰ τὴν ἐλευθερίαν, οὔπω τύχοι βεβαιότερον, οὐδὲ ἥδιον αὐτῆς, ἑτέρων προαγωνισαμένων, ὀλίγου δεῖν ἀναίμακτος αὐτὴ καὶ ἀπενθὴς φερομένη τὸ κάλλιστον καὶ περιμαχητότατον ἆθλον. Ἦν δ' ἄρα σπάνιον μὲν ἀνδρεία καὶ φρόνησις ἐν ἀνθρώποις, σπανιώτατον δὲ τῶν ἄλλων ἀγαθῶν ὁ δίκαιος. Οἱ γὰρ Ἀγησίλαοι καὶ Λύσανδροι, καὶ οἱ Νικίαι, καὶ οἱ Ἀλκιβιάδαι, πολέμους μὲν εὖ διέπειν, καὶ μάχας νικᾶν, κατά τε γῆν καὶ θάλασσαν ἄρχοντες, ἠπίσταντο, χρῆσθαι δὲ πρὸς χάριν εὐγενῆ καὶ τὸ καλὸν, οἷς κατώρθουν, οὐκ ἔγνωσαν. Ἀλλ', εἰ τὸ Μαραθώνιόν τις ἔργον ἀφέλοι, καὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, καὶ Πλαταιὰς, καὶ Θερμοπύλας, καὶ τὰ πρὸς Εὐρυμέδοντι, καὶ τὰ περὶ Κύπρον Κίμωνος ἔργα, πάσας τὰς μάχας ἡ Ἑλλὰς ἐπὶ δουλείᾳ μεμάχηται πρὸς αὐτὴν, καὶ πᾶν τρόπαιον αὐτῆς συμφορὰ καὶ ὄνειδος ἐπ' αὐτὴν ἔστηκε, τὰ πλεῖστα κακίᾳ καὶ φιλονεικίᾳ τῶν ἡγουμένων περιτραπείσης. Ἀλλόφυλοι δ' ἄνδρες, ἐναύσματα μικρὰ καὶ γλίσχρα κοινωνήματα παλαιοῦ γένους ἔχειν δοκοῦντες, ἀφ' ὧν καὶ λύγῳ τι καὶ γνώμῃ τῶν χρησίμων ὑπάρξαι τῇ Ἑλλάδι θαυμαστὸν ἦν, οὗτοι τοῖς μεγίστοις κινδύνοις καὶ πόνοις ἐξελόμενοι τὴν Ἑλλάδα δεσποτῶν χαλεπῶν καὶ τυράννων ἐλευθεροῦσιν.

XII. Ταῦτα δὴ τοὺς Ἕλληνας ὑπῆει· καὶ τὰ τῶν ἔργων ὁμολογοῦντα τοῖς κηρύγμασιν ἦν. Ἅμα γὰρ ἐξέ-

Digitized by Google

πεμψαν δ Τίτος Λέντλον μὲν εἰς Ἀσίαν, Βαργυλιήτας ἐλευθερώσοντα, Στερτίνιον δ' εἰς Θράκην, τὰς αὐτόθι πόλεις καὶ νήσους ἀπαλλάξοντα τῶν Φιλίππου φρουρῶν. Πόπλιος δὲ Οὐίλλιος ἔπλει διαλεξόμενος Ἀντιόχῳ περὶ τῆς τῶν ὑπ' αὐτὸν Ἑλλήνων ἐλευθερίας. Αὐτὸς δὲ Τίτος εἰς Χαλκίδα παρελθὼν, εἶτα πλεύσας ἐκεῖθεν ἐπὶ Μαγνησίαν, ἐξῆγε τὰς φρουρὰς, καὶ τὰς πολιτείας ἀπεδίδου τοῖς δήμοις. Ἀγωνοθέτης δὲ Νεμείων ἀποδειχθεὶς ἐν Ἄργει, τήν τε πανήγυριν ἄριστα διέθηκε, καὶ πάλιν ἐκεῖ τοῖς Ἕλλησι τὴν ἐλευθερίαν ὑπὸ κήρυκος ἀνεῖπεν. Ἐπιφοιτῶν τε ταῖς πόλεσιν, εὐνομίαν ἅμα καὶ δίκην πολλὴν, ὁμόνοιάν τε καὶ φιλοφροσύνην πρὸς ἀλλήλους παρεῖχε· καταπαύων μὲν τὰς στάσεις, κατάγων δὲ τὰς φυγὰς, ἀγαλλόμενος δὲ τῷ πείθειν καὶ διαλλάσσειν τοὺς Ἕλληνας οὐχ ἧττον, ἢ τῷ κεκρατηκέναι τῶν Μακεδόνων, ὥστε μικρότατον ἤδη τὴν ἐλευθερίαν δοκεῖν ὧν εὐεργετοῦντο. Ξενοκράτη μὲν οὖν τὸν φιλόσοφον, ὅτε Λυκοῦργος αὐτὸν ὁ ῥήτωρ ὑπὸ τῶν τελωνῶν ἀγόμενον πρὸς τὸ μετοίκιον ἀφείλετο, καὶ τοῖς ἄγουσιν ἐπέθηκε δίκην τῆς ἀσελγείας, λέγεται τοῖς παισὶν ἀπαντήσαντα τοῦ Λυκούργου· Καλήν γε ὑμῶν, ὦ παῖδες, φάναι, τῷ πατρὶ χάριν ἀποδίδωμι· πάντες γὰρ αὐτὸν ἐπαινοῦσιν, ἐφ' οἷς ἔπραξε. Τίτῳ δὲ καὶ Ῥωμαίοις, ὧν τοὺς Ἕλληνας εὐεργέτησαν, οὐκ εἰς ἐπαίνους μόνον, ἀλλὰ καὶ πίστιν ἐν τᾶσιν ἀνθρώποις καὶ δύναμιν ἡ χάρις ἀπήνυτα· δικαίως. Οὐ γὰρ προσδεχόμενοι μόνον τοὺς ἡγεμόνας

Digitized by Google

αὐτῶν, ἀλλὰ καὶ μεταπεμπόμενοι καὶ καλοῦντες ἐνεχείριζον αὑτούς. Οὐδὲ δῆμοι καὶ πόλεις, ἀλλὰ καὶ βασιλεῖς ὑφ' ἑτέρων ἀδικούμενοι βασιλέων, κατέφευγον εἰς τὰς ἐκείνων χεῖρας· ὥστ' ἐν βραχεῖ χρόνῳ, τάχα που καὶ θεοῦ συνεφαπτομένου, πάντ' αὐτοῖς ὑπήκοα γενέσθαι. Καὶ αὐτὸς δὲ μέγιστον ἐφρόνησεν ἐπὶ τῇ τῆς Ἑλλάδος ἐλευθερώσει. Ἀνατιθεὶς γὰρ εἰς Δελφοὺς ἀσπίδας ἀργυρᾶς καὶ τὸν ἑαυτοῦ θυρεὸν, ἐπέγραψε·

Ζηνὸς, ἴὼ! κραιπναῖσι γεγαθότες ἱπποσύναισι,
Κοῦροι, ἰώ! Σπάρτας Τυνδαρίδαι βασιλῆες,
Αἰνειάδας Τίτος ἥμιν ὑπέρτατον ἄπασε δῶρον,
Ἑλλήνων τεύξας παισὶν ἐλευθερίαν.

Ἀνέθηκε δὲ καὶ χρυσοῦν τῷ Ἀπόλλωνι στέφανον, ἐπιγράψας·

Τόνδε τοι ἀμβροσίοισιν ἐπὶ πλοκάμοισιν ἔθηκε
Κεῖσθαι, Λατοΐδα, χρυσοφαῆ στέφανον,
Ὃν πόρεν, Αἰνεαδᾶν ταγὸς μέγας. Ἀλλ', Ἑκάεργε,
Ἀλκᾶς τῷ σεῖο κῦδος ὄπαζε Τίτῳ.

Τῇ γοῦν Κορινθίων πόλει πρὸς τοὺς Ἕλληνας τὸ αὐτὸ δὶς ἤδη συμβέβηκε. Καὶ γὰρ Τίτος ἐν Κορίνθῳ τότε, καὶ Νέρων αὖθις καθ' ἡμᾶς ἐν Κορίνθῳ, παραπλησίως Ἰσθμίων ἀγομένων, τοὺς Ἕλληνας ἐλευθέρους καὶ αὐτονόμους ἀφῆκεν, ὁ μὲν διὰ κήρυκος, ὡς εἴρηται· Νέρων δ' αὐτὸς ἐπὶ τῆς ἀγορᾶς ἀπὸ βήματος ἐν τῷ πλήθει δημηγορήσας. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

XIII. Ὁ δὲ Τίτος τότε καλλίστου καὶ δικαιοτάτου

Digitized by Google

τοῦ πρὸς Νάβιν ἀρξάμενος πολέμου, τὸν Λακεδαιμονίων ἐξωλέστατον καὶ παρανομώτατον τύραννον, ἐν τῷ τέλει διεψεύσατο τὰς τῆς Ἑλλάδος ἐλπίδας, ἐλεῖν παρασχόν, οὐκ ἐθελήσας, ἀλλὰ σπεισάμενος, καὶ προέμενος τὴν Σπάρτην ἀναξίως δουλεύουσαν· εἶτε δείσας, μὴ, τοῦ πολέμου μῆκος λαμβάνοντος, ἄλλος ἀπὸ Ῥώμης ἐπελθὼν στρατηγὸς ἀνέληται τὴν δόξαν, εἴτε φιλονεικίᾳ καὶ ζηλοτυπίᾳ τῶν Φιλοποίμενος τιμῶν, ὃν ἔν τε τοῖς ἄλλοις ἅπασιν ἄνδρα δεινότατον τῶν Ἑλλήνων ὄντα, καὶ περὶ ἐκεῖνον τὸν πόλεμον ἔργα θαυμαστὰ τόλμης καὶ δεινότητος ἀποδειξάμενον, ἴσα τῷ Τίτῳ κυδαίνοντες Ἀχαιοὶ, καὶ τιμῶντες ἐν τοῖς θεάτροις, ἐλύπουν ἐκεῖνον, οὐκ ἀξιοῦντα Ῥωμαίων ὑπάτῳ προπολεμοῦντι τῆς Ἑλλάδος ἄνθρωπον Ἀρκάδα, μικρῶν καὶ ὁμόρων πολέμων στρατηγὸν, ὅμοια θαυμάζεσθαι παρ' αὐτοῖς. Οὐ μὴν ἀλλ' αὐτὸς ὁ Τίτος ὑπὲρ τούτων ἀπελογεῖτο, καταθέσθαι τὸν πόλεμον, ὡς ἑώρα σὺν κακῷ μεγάλῳ τῶν ἄλλων Σπαρτιατῶν ἀπολούμενον τὸν τύραννον. Τῶν δ' Ἀχαιῶν αὐτῷ πολλὰ πρὸς τιμὴν ψηφισαμένων, οὐδὲν ἐδόκει πρὸς τὰς εὐεργεσίας ἐξισοῦσθαι, πλὴν μιᾶς δωρεᾶς, ἣν ἐκεῖνος ἀντὶ πάντων ἠγάπησεν. Ἦν δὲ τοιάδε. Ῥωμαίων οἱ δυστυχήσαντες ἐν τῷ πρὸς Ἀννίβαν πολέμῳ, πολλαχοῦ μὲν ἄνιοι γενόμενοι καὶ διασπαρέντες ἐδούλευον. Ἐν δὲ τῇ Ἑλλάδι χίλιοι καὶ διακόσιοι τὸ πλῆθος ἦσαν, ἀεὶ μὲν οἰκτραὶ τῆς μεταβολῆς, τότε δὲ καὶ μᾶλλον, ὡς εἰκὸς, ἐντυγχάνοντες οἱ μὲν υἱοῖς, οἱ δ' ἀδελφοῖς, οἱ δὲ συν-

Digitized by Google

ἤθεσιν, ἐλευθέροις δοῦλοι, καὶ νικῶσιν αἰχμάλωτοι. Τούτους δ μὲν Τίτος οὐκ ἀφείλετο τῶν κεκτημένων, καίπερ ἀνιώμενος ἐπ' αὐτοῖς· οἱ δ' Ἀχαιοὶ, λυτρωσάμενοι πέντε μνῶν ἕκαστον ἄνδρα, καὶ συναγαγόντες εἰς ταὐτὸ πάντας, ἤδη περὶ πλοῦν ὄντι τῷ Τίτῳ πορέδωκαν· ὥστ' αὐτὸν εὐφραινόμενον ἀποπλεῖν, ἀπὸ καλῶν ἔργων καλὰς ἀμοιβὰς καὶ πρεπούσας ἀνδρὶ μεγάλῳ καὶ φιλοπολίτῃ κεκομισμένον· ὃ δὴ δοκεῖ πρὸς τὸν θρίαμβον αὐτῷ πάντων ὑπάρξαι λαμπρότατον. Οἱ γὰρ ἄνδρες οὗτοι, καθάπερ ἔθος ἐστὶ τοῖς οἰκέταις, ὅταν ἐλευθερωθῶσιν, ξύρεσθαί τε τὰς κεφαλὰς, καὶ πιλία φορεῖν, ταῦτα δράσαντες αὐτοὶ θριαμβεύοντι τῷ Τίτῳ παρείποντο.

XIV. Καλλίω δὲ καὶ τὰ λάφυρα πομπευόμενα παρεῖχεν ὄψιν, Ἑλληνικὰ κράνη, καὶ πέλται Μακεδονικαὶ καὶ σάρισσαι. Τό τε τῶν χρημάτων πλῆθος οὐκ ὀλίγον ἦν, ὡς ἀναγράφουσιν οἱ περὶ Τουδιτανὸν ἐν τῷ θριάμβῳ κομισθῆναι χρυσίου μὲν συγκεχωνευμένου λίτρας τρισχιλίας ἑπτακοσίας δέκα τρεῖς, ἀργύρου δὲ τετρακισμυρίας τρισχιλίας διακοσίας ἑβδομήκοντα, φιλιππείους δὲ χρυσοῦς μυρίους τετρακισχιλίους πεντακοσίους δεκατέσσαρας· χωρὶς δὲ τούτων τὰ χίλια τάλαντα, ἃ Φίλιππος ὤφειλεν. Ἀλλὰ ταῦτα μὲν ὕστερον ἐπείσθησαν Ῥωμαῖοι, μάλιστα τοῦ Τίτου συμπράσσοντος, ἀφεῖναι τῷ Φιλίππῳ, καὶ σύμμαχον ἐψηφίσαντο, καὶ τὸν υἱὸν ἀπήλλαξαν αὐτῷ τῆς ὁμηρείας.

XV. Ἐπεὶ δ' ὁ Ἀντίοχος, εἰς τὴν Ἑλλάδα ναυσὶ πολλαῖς καὶ στρατῷ περαιωθεὶς, ἀφίστη τὰς πόλεις

Digitized by Google

καὶ διεστασίαζεν, Αἰτωλῶν αὐτῷ συνεπιλαμβανομένων, καὶ πάλαι διακειμένων πρὸς τὸν Ῥωμαίων δῆμον ἐχθρῶς καὶ πολεμικῶς, ὑπόθεσιν τοῦ πολέμου καὶ πρόφασιν διδόντων, ἐλευθεροῦν τοὺς Ἕλληνας, οὐδὲν δεομένους (ἐλεύθεροι γὰρ ἦσαν), ἀλλ' εὐπρεπεστέρας αἰτίας ἀπορίᾳ, τῷ καλλίστῳ τῶν ὀνομάτων χρῆσθαι διδασκόντων· καὶ σφόδρα δείσαντες οἱ Ῥωμαῖοι τὴν ἀνάστασιν, καὶ δόξαν αὐτοῦ τῆς δυνάμεως, στρατηγὸν μὲν ὕπατον τοῦ πολέμου Μάνιον Ἀκίλιον κατέπεμψαν, πρεσβευτὴν δὲ Τίτον, διὰ τοὺς Ἕλληνας, ὧν τοὺς μὲν εὐθὺς ὀφθεὶς ἐποίησε βεβαιοτέρους, τοὺς δ' ἀρχομένους νοσεῖν, ὥσπερ τι ἐν καιρῷ φάρμακον, διδοὺς τὴν πρὸς αὐτὸν εὔνοιαν, ἔστησε, καὶ διεκώλυσεν ἐξαμαρτεῖν. Ὀλίγοι δ' αὐτὸν ἐξέφυγον, ἤδη προκατειλημμένοι καὶ διεφθαρμένοι παντάπασιν ὑπὸ τῶν Αἰτωλῶν· οὓς, καίπερ ὀργισθεὶς καὶ παροξυνθεὶς, ὅμως μετὰ τὴν μάχην περιεποίησεν. Ἀντίοχος γὰρ ἡττηθεὶς ἐν Θερμοπύλαις, καὶ φυγὼν εὐθὺς εἰς Ἀσίαν ἀπέπλευσε. Μάνιος δ' ὁ ὕπατος, τοὺς μὲν αὐτὸς ἐπιὼν τῶν Αἰτωλῶν ἐπολιόρκει, τοὺς δὲ τῷ βασιλεῖ Φιλίππῳ συνεχώρησεν ἐξαιρεῖν. Ἀγομένων δὲ καὶ φερομένων ὑπὸ τοῦ Μακεδόνος, τοῦτο μὲν Δολόπων καὶ Μαγνήτων, τοῦτο δ' Ἀθαμάνων καὶ Ἀπεραντῶν, αὐτοῦ δὲ τοῦ Μανίου τὴν μὲν Ἡράκλειαν διαπεπορθηκότος, τὴν δὲ Ναύπακτον Αἰτωλῶν ἐχόντων πολιορκοῦντος, σὺν τείρων τοὺς Ἕλληνας ὁ Τίτος, διέπλευσεν ἐκ Πελοποννήσου πρὸς τὸν ὕπατον. Καὶ πρῶτον μὲν ἐπετίμησεν, εἰ

Digitized by Google

νενικηκὼς αὐτὸς τὰ ἔπαθλα τοῦ πολέμου Φίλιππον ἐᾷ φέρεσθαι, καὶ τριβόμενος περὶ μιᾷ πόλει κάθηται δι' ὀργήν, ἔθνη δ' οὐκ ὀλίγα καὶ βασιλείας Μακεδόνες αἱροῦσιν. Ἔπειτα τῶν πολιορκουμένων, ὡς εἶδον αὐτόν, ἀπὸ τοῦ τείχους ἀνακαλούντων, καὶ χεῖρας ὀρεγόντων, καὶ δεομένων, τότε μὲν οὐδὲν εἰπὼν, ἀλλὰ στραφεὶς καὶ δακρύσας ἀπῆλθεν, ὕστερον δὲ διαλεχθεὶς τῷ Μανίῳ, καὶ καταπαύσας τὸν θυμὸν αὐτοῦ, διεπράξατο τοῖς Αἰτωλοῖς ἀνοχὰς διδόναι καὶ χρόνον, ἐν ᾧ πρεσβεύσαντες εἰς Ῥώμην μετρίου τινὸς τυχεῖν ἀξιώσουσι.

XVI. Πλεῖστον δ' ἀγῶνα καὶ πόνον αὐτῷ παρεῖχον αἱ περὶ Χαλκιδέων δεήσεις πρὸς τὸν Μάνιον, ἐν ὀργῇ γεγονότων διὰ τὸν γάμον, ὃν παρ' αὐτῶν ἔγημεν Ἀντίοχος, ἤδη τοῦ πολέμου συνεστῶτος, οὐ καθ' ὥραν, οὐδὲ κατὰ καιρόν, ἀλλ' ἐρασθεὶς ἀνὴρ πρεσβύτερος κόρης, ἣ θυγάτηρ μὲν ἦν Κλεοπτολέμου, καλλίστη δὲ λέγεται παρθένων γενέσθαι. Ταῦτο τοὺς Χαλκιδεῖς ἐποίησε βασιλίσαι προθυμότατα, καὶ τὴν πόλιν αὐτῷ πρὸς τὸν πόλεμον ὁρμητήριον παρασχεῖν. Ἐκεῖνος μὲν οὖν ὡς τάχιστα μετὰ τὴν μάχην φεύγων προσέμιξε τῇ Χαλκίδι· τήν τε κόρην ἀναλαβὼν, καὶ τὰ χρήματα καὶ τοὺς φίλους, εἰς Ἀσίαν ἀπέπλευσε. Τὸν δὲ Μάνιον εὐθὺς ἐπὶ τοὺς Χαλκιδεῖς σὺν ὀργῇ πορευόμενον, ὁ Τίτος παρακολουθῶν ἐμάλαττε καὶ παρῃτεῖτο. Καὶ τέλος ἔπεισε καὶ κατεπράϋνεν, αὐτοῦ τε καὶ τῶν ἐν τέλει Ῥωμαίων δεόμενος. Οὕτω διασωθέντες οἱ Χαλκιδεῖς τὰ κάλλιστα καὶ μέγιστα

Digitized by Google

τῶν παρ' αὐτοῖς ἀναθημάτων τῷ Τίτῳ καθιέρωσαν, ὧν ἐπιγραφάς ἐστι τοιαύτας ἄχρι νῦν ὁρᾶν· „Ὁ δῆμος Τίτῳ καὶ Ἡρακλεῖ τὸ γυμνάσιον.“ Ἑτέρωθι δὲ πάλιν· „Ὁ δῆμος Τίτῳ καὶ Ἀπόλλωνι τὸ Δελφίνιον.“ Ἔτι δὲ καὶ καθ' ἡμᾶς ἱερεὺς χειροτονητὸς ἀπεδείκνυτο Τίτου, καὶ θύσαντες αὐτῷ, τῶν σπονδῶν γενομένων, ᾄδουσι παιᾶνα πεποιημένον· οὗ τἆλλα διὰ μῆκος ἡμεῖς παρέντες, ἀνεγράψαμεν, ἃ παυόμενοι τῆς ᾠδῆς λέγουσι· „Πίστιν δὲ Ῥωμαίων σέβομεν, τὰν μεγαλαλκεστάταν ὅρκοις φυλάσσειν. Μάρτυρε, κοῦραι, Ζῆνα μέγαν, Ῥώμαν τε, Τίτον τε ἅμα, Ῥωμαίων τε πίστιν· Ἰήϊε, Παιάν, ὦ Τίτε σῶτερ.“

XVII. Ἦσαν δὲ καὶ παρὰ τῶν ἄλλων Ἑλλήνων τιμαὶ πρέπουσαι, καὶ τὸ τὰς τιμὰς ἀληθινὰς ποιοῦν, εὔνοια θαυμαστή, δι' ἐπιείκειαν ἤθους. Καὶ γὰρ εἴ τισιν ἐκ πραγμάτων, ἢ φιλοτιμίας ἕνεκα, καθάπερ Φιλοποίμενι, καὶ πάλιν Διοφάνει, στρατηγοῦντι τῶν Ἀχαιῶν, προσέκρουσεν, οὐκ ἦν βαρὺς, οὐδ' εἰς ἔργα διατείνων ὁ θυμός, ἀλλ' ἐν λόγῳ παῤῥησίαν τινὰ πολιτικὴν ἔχοντι παυόμενος. Πικρὸς μὲν οὖν οὐδενὶ, πολλοῖς δ' ὀξὺς ἐδόκει, καὶ κοῦφος εἶναι τὴν φύσιν· ἄλλως δὲ συγγενέσθαι πάντων ἥδιστος, καὶ εἰπεῖν ἐπίχαρις μετὰ δεινότητος. Ἀχαιοὺς μὲν γὰρ σφετεριζομένους τὴν Ζακυνθίων νῆσον ἀποτρέπων, ἔφη κινδυνεύσειν, ἂν, ὥσπερ αἱ χελῶναι, πορῥωτέρω τὴν κεφαλὴν τῆς Πελοποννήσου προτείνωσιν. Φιλίππου δ', ὁπηνίκα περὶ σπονδῶν καὶ εἰρήνης τὸ πρῶτον εἰς

Digitized by Google

λόγους συνῆσαν, εἰπόντος μετὰ πολλῶν ἥκειν ἐκεῖνον, αὐτὸν δὲ μόνον, ὑπολαβὼν ὁ Τίτος· Σαυτὸν γὰρ, ἔφη, μόνον ἐποίησας, ἀποκτείνας τοὺς φίλους καὶ συγγενεῖς. Ἐπεὶ δ' Δεινοκράτης ὁ Μεσσήνιος ἐν Ῥώμῃ παρὰ πότον μεθυσθεὶς ὠρχήσατο, λαβὼν ἱμάτιον γυναικεῖον, τῇ δ' ὑστεραίᾳ τὸν Τίτον ἠξίου βοηθεῖν αὐτῷ διανοουμένῳ τὴν Μεσσήνην ἀφιστάναι τῶν Ἀχαιῶν· ταῦτα μὲν ἔφη σκέψεσθαι, θαυμάζειν δ' ἐκεῖνον, εἰ τηλικαύταις ἐπιχειρηκὼς πράξεσιν, ὀρχεῖσθαι δύναται παρὰ πότον καὶ ᾄδειν. Πρὸς δὲ τοὺς Ἀχαιοὺς τῶν παρ' Ἀντιόχου πρέσβεων πλῆθός τε τῆς βασιλικῆς στρατιᾶς καταλεγόντων, καὶ καταριθμουμένων πολλὰς προσηγορίας, ὁ Τίτος ἔφη, δειπνοῦντος αὐτοῦ παρὰ τῷ ξένῳ, καὶ μεμφομένου τὸ πλῆθος τῶν κρεῶν, καὶ θαυμάζοντος, πόθεν οὕτω ποικίλης ἀγορᾶς εὐπόρησεν, εἰπεῖν τὸν ξένον, ὡς ὕεια πάντα ἐστὶ, τῇ σκευασίᾳ διαφέροντα καὶ τοῖς ἡδύσμασι. Μὴ τοίνυν, ἔφη, μηδὲ ὑμεῖς, ὦ ἄνδρες Ἀχαιοὶ, θαυμάζετε τὴν Ἀντιόχου δύναμιν, λογχοφόρους καὶ ξυστοφόρους καὶ πεζεταίρους ἀκούοντες· πάντες γὰρ οὗτοι Σύροι εἰσὶν, ὁπλαρίοις διαφέροντες.

XVIII. Μετὰ δὲ τὰς Ἑλληνικὰς πράξεις, καὶ τὸν Ἀντιοχικὸν πόλεμον, ἀπεδείχθη τιμητὴς· ἥτις ἐστὶν ἀρχὴ μεγίστη, καὶ τρόπον τινὰ τῆς πολιτείας ἐπιτελείωσις. Καὶ συνῆρχε μὲν αὐτῷ Μαρκέλλου τοῦ πεντάκις ὑπατεύσαντος υἱός· ἐξέβαλον δὲ τῆς βουλῆς τῶν οὐκ ἄγαν ἐπιφανῶν τέσσαρας· προσεδέξαντο δὲ πολίτας ἀπογραφομένους πάντας, ὅσοι γο-

Digitized by Google

νέων ἐλευθέρων ἦσαν, ἀναγκασθέντες ὑπὸ τοῦ δημάρχου Τερεντίου Κουλλεωνος, ὃς ἐπηρεάζων τοῖς ἀριστοκρατικοῖς, ἔπεισε τὸν δῆμον ταῦτα ψηφίσασθαι. Τῶν δὲ γρωριμωτάτων κατ' αὐτὸν ἀνδρῶν καὶ μεγίστων ἐν τῇ πόλει διαφερομένων πρὸς ἀλλήλους, Ἀφρικανοῦ Σκηπίωνος, καὶ Μάρκου Κάτωνος, τὸν μὲν προέγραψε τῆς βουλῆς, ὡς ἄριστον ἄνδρα καὶ πρῶτον· Κάτωνι δ' εἰς ἔχθραν ἦλθε, συμφορᾷ τοιαύτῃ χρησάμενος. Ἀδελφὸς ἦν Τίτῳ Λεύκιος Φλαμινῖνος, οὔτε τἆλλα προσεοικὼς ἐκείνῳ τὴν φύσιν, ἔν τε ταῖς ἡδοναῖς ἀνελεύθερος δεινῶς, καὶ ὀλιγωρότατος τοῦ πρέποντος. Τούτῳ συνῆν μειρακίσκος ἐρώμενος, ὃν καὶ στρατιᾶς ἄρχων ἐπήγετο, καὶ δι' ἐπῶν ἐπαρχίας εἶχεν ἀεὶ περὶ αὑτόν. Ἐν οὖν πότῳ τινὶ θρυπτόμενος πρὸς τὸν Λεύκιον, οὕτως ἔφη σφόδρα φιλεῖν αὐτὸν, ὥστε θέαν μονομάχων ἀπολιπεῖν, οὔπω γεγονὼς ἀνθρώπου φονευομένου θεατής, τὸ πρὸς ἐκεῖνον ἡδὺ τοῦ πρὸς αὑτὸν ἐν πλείονι λόγῳ θέμενος. Ὁ δὲ Λεύκιος ἡσθείς· Οὐδὲν, ἔφη, δεινόν· ἰάσομαι γὰρ ἐγώ σου τὴν ἐπιθυμίαν. Καὶ κελεύσας ἕνα τῶν καταδίκων ἐκ τοῦ δεσμωτηρίου προαχθῆναι, καὶ τὸν ὑπηρέτην μεταπεμψάμενος, ἐν τῷ συμποσίῳ προσέταξεν ἀποκόψαι τοῦ ἀνθρώπου τὸν τράχηλον. Οὐαλέριος δ' Ἀντίας οὐκ ἐρωμένῳ φησὶν, ἀλλ' ἐρωμένῃ τοῦτο χαρίσασθαι τὸν Λεύκιον. Ὁ δὲ Λίβιος ἐν λόγῳ Κάτωνος αὐτοῦ γεγράφθαι φησὶν, ὡς Γαλάτην, αὐτόμολον ἐλθόντα μετὰ παίδων καὶ γυναικὸς ἐπὶ τὰς θύρας, δεξάμενος εἰς τὸ

Digitized by Google

συμπόσιον ὁ Λεύκιος, ἀπέκτεινεν ἰδίᾳ χειρὶ, τῷ ἑρωμένῳ χαριζόμενος. Τοῦτο μὲν οὖν εἰκὸς εἰς δείνωσιν εἰρῆσθαι τῆς κατηγορίας ὑπὸ τοῦ Κάτωνος. Ὅτι δ' οὐκ αὐτόμολος ἦν, ἀλλὰ δεσμώτης ὁ ἀναιρεθεὶς, καὶ ἐκ τῶν καταδίκων, ἄλλοι τε πολλοὶ, καὶ Κικέρων ὁ ῥήτωρ ἐν τῷ Περὶ γήρως, αὐτῷ Κάτωνι τὴν διήγησιν ἀναθεὶς, εἴρηκεν.

XIX. Ἐπὶ τούτῳ Κάτων τιμητὴς γενόμενος, καὶ καθαίρων τὴν σύγκλητον, ἀπήλασε τῆς βουλῆς τὸν Λεύκιον, ὑπατικοῦ μὲν ἀξιώματος ὄντα, συνατιμοῦσθαι δὲ τοῦ ἀδελφοῦ δοκοῦντος αὐτῷ. Διὸ καὶ προσελθόντες τὸν δῆμον ἀμφότεροι ταπεινοὶ καὶ δεδακρυμένοι, μέτρια δεῖσθαι τῶν πολιτῶν ἐδόκουν, ἀξιοῦντες αἰτίαν εἰπεῖν τὸν Κάτωνα καὶ λόγον, ᾧ χρησάμενος, οἶκον ἔνδοξον ἀτιμίᾳ τοσαύτῃ περιβέβληκεν. Οὐδὲν οὖν ὑποστειλάμενος ὁ Κάτων προῆλθε, καὶ καταστὰς μετὰ τοῦ συνάρχοντος, ἠρώτησε τὸν Τίτον, εἰ γινώσκει τὸ συμπόσιον. Ἀρνουμένου δ' ἐκείνου, διηγησάμενος, εἰς ὅρκισμὸν προεκαλεῖτο τὸν Λεύκιον, εἴ τι φησὶ τῶν εἰρημένων μὴ ἀληθὲς εἶναι. Τοῦ δὲ Λευκίου σιωπήσαντος, ὁ μὲν δῆμος ἔγνω δικαίαν γεγονέναι τὴν ἀτιμίαν, καὶ τὸν Κάτωνα προέπεμψε λαμπρῶς ἀπὸ τοῦ βήματος. Ὁ δὲ Τίτος, τῇ συμφορᾷ τοῦ ἀδελφοῦ περιπαθῶν, συνέστη μετὰ τῶν πάλαι μισούντων τὸν Κάτωνα, καὶ πάσας μὲν, ἃς ἐκεῖνος ἐποιήσατο, τῶν δημοσίων ἐκδόσεις καὶ μισθώσεις καὶ ὠνὰς ἠκύρωσε καὶ ἀνέλυσεν, ἐν τῇ βουλῇ κρατήσας· πολλὰς δὲ καὶ με-

Digitized by Google

γάλας δίκας κατ' αὐτοῦ παρεσκεύασεν, οὐκ οἶδ' ὅπως εὖ καὶ πολιτικῶς, καὶ πρὸς ἄρχοντα νόμιμον καὶ πολίτην ἄριστον, ὑπὲρ ἀνδρὸς οἰκείου μὲν, ἀναξίου δὲ, καὶ τὰ προσήκοντα πεπονθότος, ἀνήκεστον ἔχθραν ἀράμενος. Οὐ μὴν ἀλλὰ τοῦ Ῥωμαίων ποτὲ δήμου θέαν ἔχοντος ἐν τῷ θεάτρῳ, καὶ τῆς βουλῆς, ὥσπερ εἴωθεν, ἐν κόσμῳ προκαθημένης, ὀφθεὶς ὁ Λεύκιος ἐπ' ἐσχάτοις που καθήμενος ἀτίμως καὶ ταπεινῶς, οἶκτον ἔσχε· καὶ τὸ πλῆθος οὐκ ἠνέσχετο τὴν ὄψιν, ἀλλ' ἐβόων, μεταβῆναι κελεύοντες, ἕως μετέβη. δεξαμένων αὐτὸν εἰς ἑαυτοὺς τῶν ὑπατικῶν.

XX. Τὸ δ' οὖν φύσει τοῦ Τίτου φιλότιμον, ἄχρι μὲν ἱκανὴν εἶχεν ὕλην, περὶ τοὺς εἰρημένους πολέμους διατρίβοντας, εὐδοκίμει· καὶ γὰρ ἐχιλιάρχησεν αὖθις μετὰ τὴν ὑπατείαν, οὐδενὸς, ἐπείγοντος. Ἀπαλλαγεὶς δὲ τοῦ ἄρχειν, καὶ πρεσβύτερος ὢν, ἠλέγχετο μᾶλλον, ἐν οὐκ ἔχοντι πράξεις ἔτι τῷ λοιπῷ βίῳ σπαργῶν τε πρὸς δόξαν καὶ νεανίζοντι τῷ πάθει κατέχειν ἑαυτὸν οὐ δυνάμενος· τοιαύτῃ γάρ τινι καὶ τὸ περὶ Ἀννίβαν φορᾷ ἐδόκει πράξας, ἐπαχθὴς γενέσθαι τοῖς πολλοῖς. Ὁ γὰρ Ἀννίβας, οἴκοθεν μὲν ἐκ Καρχηδόνος ὑπεκδρὰς, Ἀντιόχῳ συνῆν. Ἐκείνου δὲ μετὰ τὴν ἐν Φρυγίᾳ μάχην εἰρήνης ἀγαπητῶς τυχόντος, αὖθις φυγὼν καὶ πλανηθεὶς πολλὰ, τέλος ἐν τῇ Βιθυνίᾳ κατέστη, Προυσίαν θεραπεύων, οὐδενὸς Ῥωμαίων ἀγνοοῦντος, ἀλλὰ παροράντων ἅπάντων δι' ἀσθένειαν καὶ γῆρας, ὥσπερ ἐῤῥιμμένον ὑπὸ τῆς τύχης. Τίτος δὲ, πρεσβευτὴς δι'

Digitized by Google

δ', εἰ μή σε ἐγὼ νενικήκειν; καὶ τὸν Ἀννίβαν· Οὐκ ἄν, ὦ Σκηπίων, φάναι, τρίτον ἐμαυτὸν, ἀλλὰ πρῶτον ἐποιούμην τῶν στρατηγῶν. Ταῦτα δὴ τοῦ Σκηπίωνος οἱ πολλοὶ θαυμάζοντες, ἐκάκιζον τὸν Τίτον, ὡς ἀλλοτρίῳ νεκρῷ προσενεγκόντα τὰς χεῖρας. Ἔνιοι δ' ἦσαν οἱ τὸ πεπραγμένον ἐπαινοῦντες, καὶ τὸν Ἀννίβαν, ἕως ἔζη, πῦρ ἡγούμενοι δεόμενον τοῦ ῥιπίσοντος. Μηδὲ γὰρ ἀκμάζοντος αὐτοῦ τὸ σῶμα Ῥωμαίοις καὶ τὴν χεῖρα φοβερὰν, ἀλλὰ τὴν δεινότητα καὶ τὴν ἐπειρίαν γεγονέναι μετὰ τῆς ἐμφύτου πικρίας καὶ δυσμενείας· ὧν οὐδὲν ἀφαιρεῖ τὸ γῆρας. Ἀλλ' ὑπομένειν τὴν φύσιν ἐν τῷ ἤθει, τὴν δὲ τύχην οὐ διαμένειν ὁμοίαν· ἀλλὰ μεταπίπτουσαν, ἐκκαλεῖσθαι ταῖς ἐλπίσι πρὸς τὰς ἐπιθέσεις τοὺς ἀεὶ τῷ μισεῖν πολεμοῦντας. Καὶ τὰ ὕστερά πως ἔτι μᾶλλον ἐμαρτύρησε τῷ Τίτῳ· τοῦτο μὲν Ἀριστόνικος ὁ τοῦ κιθαρῳδοῦ, διὰ τὴν Εὐμένους δόξαν ἐμπλήσας ἅπασαν ἀποστάσεων καὶ πολέμων τὴν Ἀσίαν· τοῦτο δὲ Μιθριδάτης, μετὰ Σύλλαν καὶ Φιμβρίαν, καὶ τοσοῦτον ὅλεθρον στρατευμάτων καὶ στρατηγῶν, αὖθις ἐπὶ Λεύκουλλον ἐκ γῆς ὁμοῦ καὶ θαλάττης ἀναστὰς τηλικοῦτος. Οὐ μὴν οὐδὲ Γαΐου Μαρίου ταπεινότερος Ἀννίβας ἔκειτο. Τῷ μὲν γὰρ βασιλεὺς φίλος ὑπῆρχε, καὶ βίος συνήθης, καὶ διατριβαὶ περὶ ναῦς καὶ ἵππους καὶ στρατιωτῶν ἐπιμέλειαν. Τὰς δὲ Μαρίου τύχας Ῥωμαῖοι γελῶντες, ἀλωμένου καὶ πτωχεύοντος ἐν Λιβύῃ, μετὰ μικρὸν ἐν Ῥώμῃ σφαττόμενοι καὶ μαστιγούμενοι προσεκύνουν. Οὕτως

Digitized by Google

οὐδὲν οὔτε μικρὸν, οὔτε μέγα τῶν παρόντων πρὸς τὸ μέλλον ἐστὶν, ἀλλὰ μία τοῦ μεταβάλλειν τελευτὴ ἡ καὶ τοῦ εἶναι. Διὸ καί φασιν ἔνιοι, τὸν Τίτον οὐκ ἀφ' ἑαυτοῦ ταῦτα πρᾶξαι, πεμφθῆναι δὲ πρεσβευτὴν μετὰ Λευκίου Σκηπίωνος, οὐδὲν ἄλλο τῆς πρεσβείας ἐχούσης ἔργον, ἢ τὸν Ἀννίβου θάνατον. Ἐπεὶ δὲ οὐδεμίαν ἔτι τούτων κατόπιν οὔτε πολιτικὴν τοῦ Τίτου πρᾶξιν, οὔτε πολεμικὴν, ἱστορήκαμεν, ἀλλὰ καὶ τελευτῆς ἔτυχεν εἰρηνικῆς, ὥρα τὴν σύγκρισιν ἐπισκοπεῖν.

Digitized by Google

COMPARATIO PHILOPOEMENIS CVM T. QVINTIO FLAMININO.

Μεγέθει μὲν οὖν τῶν εἰς τοὺς Ἕλληνας εὐεργεσιῶν. οὔτε Φλοποίμενα Τίτῳ παραβάλλειν, οὔτε πάνυ πολλοὺς τῶν Φιλοποίμενος ἀμεινόνων ἀνδρῶν ἄξιόν ἐστι. Τοῖς μὲν γὰρ Ἕλλησι πρὸς Ἕλληνας ὁ πόλεμος, τῷ δ' οὐχ Ἕλληνι, καὶ ὑπὲρ Ἑλλήνων. Καὶ ὅτε Φιλοποίμην, ἀμηχανῶν τοῖς ἑαυτοῦ πολίταις ἀμύνειν πολεμουμένοις, εἰς Κρήτην ἀπῆρε, τότε νικήσας Τίτος ἐν μέσῃ τῇ Ἑλλάδι Φίλιππον, ἠλευθέρου καὶ τὰ ἔθνη καὶ πόλεις ἁπάσας. Εἰ δέ τις ἐξετάζοι τὰς μάχας ἑκατέρου, πλείους Ἕλληνας Φιλοποίμην Ἀχαιῶν στρατηγῶν, ἢ Μακεδόνας Τίτος Ἕλλησι βοηθῶν, ἀνεῖλε. Τὰ τοίνυν ἁμαρτήματα, τοῦ μὲν φιλοτιμίας, τοῦ δὲ φιλονεικίας γέγονε· καὶ πρὸς ὀργὴν ὁ μὲν εὐκίνητος, ὁ δὲ καὶ δυσπαραίτητος. Τίτος μὲν γὰρ καὶ Φιλίππῳ τὸ ἀξίωμα τῆς βασιλείας

Digitized by Google

ἐφύλαξε, καὶ πρὸς Αἰτωλοὺς εὐγνωμόνησε· Φιλοποίμην δὲ τῆς πατρίδος δι' ὀργὴν ἀφείλετο τὴν περιοικίδα συντέλειαν. Ἔτι δ' ὁ μὲν τοῖς εὖ παθοῦσιν ἀεὶ βέβαιος, ὁ δὲ θυμῷ λῦσαι χάριν ἕτοιμος. Λακεδαιμονίων μὲν γὰρ εὐεργέτης πρότερον ὢν, ὕστερον καὶ τὰ τείχη κατέσκαψε, καὶ τὴν χώραν περιέκοψε, καὶ τέλος αὐτὴν μετέβαλε καὶ διέφθειρε τὴν πολιτείαν. Ἐδόκει δὲ καὶ τὸν βίον ὀργῇ προέσθαι καὶ φιλονεικίᾳ, μὴ κατὰ καιρὸν ἀλλ' ὀξύτερον τοῦ δέοντος, εἰς Μεσσήνην ἐπιχθεὶς, οὐχ, ὥσπερ Τίτος, πάντα λογισμῷ καὶ πρὸς ἀσφάλειαν στρατηγήσας.

II. Ἀλλὰ πλήθει γε πολέμων καὶ τροπαίων ἡ Φιλοποίμενος ἐμπειρία βεβαιοτέρα. Τῷ μὲν γὰρ τὰ πρὸς Φίλιππον ἐπρίθη δυοῖν ἀγώνοιν· ὁ δὲ, μυρίας μάχας κατορθώσας, οὐδεμίαν ἀμφισβήτησιν τῇ τύχῃ πρὸς τὴν ἐπιστήμην ἀπολέλοιπεν. Ἔτι δ' ὁ μὲν, τῇ Ῥωμαίων ἀκμὴν ἐχούσῃ δυνάμει χρησάμενος, ὁ δὲ, τῆς Ἑλλάδος ἤδη φθινούσης ἐπακμάσας, δόξαν ἔσχεν· ὥστε τοῦ μὲν ἴδιον, τοῦ δὲ κοινὸν ἔργον εἶναι τὸ κατορθούμενον. Ὁ μὲν γὰρ ἦρχεν ἀγαθῶν, ὁ δ' ἄρχων ἀγαθοὺς ἐποίει. Καὶ μὴν τό γε πρὸς Ἕλληνας τούτῳ γενέσθαι τοὺς ἀγῶνας, οὐκ εὐτυχῆ μὲν, ἰσχυρὰν δὲ τῆς ἀρετῆς ἀπόδειξιν παρεῖχεν· οἷς γὰρ ὅμοια τἄλλα, τῷ προὔχειν ἀρετῇ κρατοῦσι. Καὶ γὰρ δὴ πολεμικωτάτοις Ἑλλήνων Κρησὶ καὶ Λακεδαιμονίοις πολεμήσας, τῶν μὲν πανουργοτάτων δόλῳ, τῶν δ' ἀλκιμωτάτων τόλμῃ περιεγένετο. Πρὸς δὲ τούτοις, Τίτος μὲν ἐξ ὑποκειμένων ἐγίνα, χρώμε-

Digitized by Google

νος ὁπλισμοῖς καὶ τάξεσιν, αἷς παρέλαβε· Φιλοποίμην δ' αὐτὸς ἐπεισενεγκών, καὶ μεταβαλὼν τὸν περὶ ταῦτα κόσμον· ὥστε τὸ νικητικώτατον ὑφ' οὗ μὲν οὐκ ὂν εὑρῆσθαι, τῷ δ' ὑπάρχον βοηθεῖν. Κατὰ χεῖρα τοίνυν Φιλοποίμενος μὲν ἔργα πολλὰ καὶ μεγάλα, θατέρου δ' οὐδέν. Ἀλλὰ καὶ τῶν Αἰτωλῶν τις αὐτὸν Ἀρχέδημος ἐπέσκωπτεν, ὡς, ὅτ' αὐτὸς ἐσπασμένος τὴν μάχαιραν, ἔθει δρόμῳ πρὸς τοὺς μαχομένους, καὶ τοὺς συνεστῶτας τῶν Μακεδόνων, τοῦ Τίτου τὰς χεῖρας εἰς τὸν οὐρανὸν ὑπτίας ἀνατείνοντος, ἑστῶτος καὶ προσευχομένου.

III. Καὶ μὴν Τίτῳ μὲν ἄρχοντι συνέβη καὶ πρεσβεύοντι πάντα πρᾶξαι τὰ καλά· Φιλοποίμην δ' οὐ χείρονα παρέσχεν, οὐδ' ἀπρακτότερον ἑαυτὸν ἰδιώτην, ἢ στρατηγόν, τοῖς Ἀχαιοῖς. Στρατηγὸς μὲν γὰρ ὢν, Νάβιν ἐξέβαλεν ἐκ Μεσσήνης, καὶ Μεσσηνίους ἠλευθέρωσεν· ἰδιώτης δὲ, Διοφάνην τὸν στρατηγὸν, καὶ Τίτον ἐπερχομένους ἀπέκλεισε τῆς Σπάρτης, καὶ Λακεδαιμονίους διέσωσεν. Οὕτως ἡγεμονικὴν φύσιν ἔχων, οὐ κατὰ τοὺς νόμους, ἀλλὰ καὶ τῶν νόμων ἄρχειν ἠπίστατο πρὸς τὸ συμφέρον· οὐ δεόμενος παρὰ τῶν ἀρχομένων λαβεῖν τὸ ἄρχειν, ἀλλὰ χρώμενος αὐτὸς, ὅπου καιρὸς εἴη, τὸν ὑπὲρ αὐτῶν φρονοῦντα μᾶλλον, ἢ τὸν ὑπ' αὐτῶν ᾑρημένον, ἡγούμενος στρατηγόν. Γενναῖα μὲν οὖν Τίτου τὰ πρὸς τοὺς Ἕλληνας ἐπιεικῆ καὶ φιλάνθρωπα, γενναιότερα δὲ Φιλοποίμενος τὰ πρὺς τοὺς Ῥωμαίους ὀχυρὰ καὶ φιλελεύθερα· ῥᾷον γὰρ χαρίζεσθαι

Digitized by Google

τοῖς δεομένοις, ἢ λυπεῖν ἀντιτείνοντα τοὺς δυνατωτέρους. Ἐπεὶ δ' οὕτως ἐξεταζομένων δυσθεώρητος ἡ διαφορά, σκόπει, μὴ τῷ μὲν Ἕλληνι τὸν ἐμπειρίας πολεμικῆς καὶ στρατηγίας στέφανον, τῷ δὲ Ῥωμαίῳ τὸν δικαιοσύνης καὶ χρηστότητος ἀποδιδόντες, οὐ φαύλως διαιτᾶν δόξωμεν.

Digitized by Google

ΠΥΡΡΟΣ.

Θεσπρωτῶν καὶ Μολοσσῶν μετὰ τὸν κατακλυσμὸν ἱστοροῦσι Φαέθοντα βασιλεῦσαι πρῶτον, ἕνα τῶν μετὰ Πελασγοῦ παραγενομένων εἰς τὴν Ἤπειρον· ἔνιοι δὲ Λευκαλίωνα καὶ Πύῤῥαν, εἰσαμένους τὸ περὶ Δωδώνην ἱερὸν, αὐτόθι κατοικεῖν ἐν Μολοσσοῖς. Χρόνῳ δ' ὕστερον Νεοπτόλεμος ὁ Ἀχιλλέως, λαὸν ἀγαγὼν, αὐτός τε τὴν χώραν κατέσχε, καὶ διαδοχὴν βασιλέων ἀφ' αὑτοῦ κατέλιπε, Πυῤῥίδας ἐπικαλουμένους. Καὶ γὰρ αὐτῷ Πύῤῥος ἦν παιδικὸν ἐπωνύμιον, καὶ τῶν γνησίων παίδων ἐκ Λανάσσης τῆς Κλεοδέου τοῦ Ὕλλου γενομένων ἕνα Πύῤῥον ὠνόμασεν. Ἐκ τούτου δὲ καὶ Ἀχιλλεὺς ἐν Ἠπείρῳ τιμὰς ἰσοθέους ἔσχεν, Ἄσπετος ἐπιχωρίῳ φωνῇ προσαγορευόμενος. Μετὰ δὲ τοὺς πρώτους, τῶν διὰ μέσου βασιλέων ἐκβαρβαρωθέντων, καὶ γενομένων τῇ τε δυνάμει καὶ τοῖς βίοις ἀμαυροτέρων, Θαῤῥύταν πρῶτον ἱστοροῦ-

Digitized by Google

σιν, Ἑλληνικοῖς ἔθεσι καὶ γράμμασι καὶ νόμοις φιλανθρώποις διακοσμήσαντα τὰς πόλεις, ὀνομαστὸν γενέσθαι. Θαρρύτου δ' Ἀλκέτας υἱὸς ἦν, Ἀλκέτου δ' Ἀρύβας, Ἀρύβα δὲ καὶ Τρωϊάδος Αἰακίδης. Οὗτος ἔγημε τὴν Μένωνος τοῦ Θεσσαλοῦ θυγατέρα, Φθίαν, ἀνδρὸς εὐδοκίμου περὶ τὸν Λαμιακὸν πόλεμον γενομένου, καὶ μέγιστον ἀξίωμα τῶν συμμάχων μετὰ Λεωσθένην λαβόντος. Ἐκ δὲ τῆς Φθίας τῷ Αἰακίδῃ γίνονται θυγατέρες Δηϊδάμεια καὶ Τρωϊὰς, υἱὸς δὲ Πύρρος.

II. Ἐπεὶ δὲ στασιάσαντες οἱ Μολοσσοὶ, καὶ τὸν Αἰακίδην ἐκβαλόντες, ἐπηγάγοντο τοὺς Νεοπτολέμου παῖδας, οἱ μὲν φίλοι τοῦ Αἰακίδου διεφθάρησαν καταληφθέντες, τὸν δὲ Πύρρον ἔτι νήπιον ὄντα, καὶ ζητούμενον ὑπὸ τῶν πολεμίων, ἐκκλέψαντες οἱ περὶ Ἀνδρομαχίδην καὶ Ἄγγελον ἔφευγον, οἰκέτας ὀλίγους καὶ γύναια τιθηνούμενα τὸ παιδίον ἀναγκαίως ἑφελκόμενοι. Καὶ διὰ τοῦτο τῆς φυγῆς γινομένης αὐτοῖς δυσέρρου καὶ βραδείας, καταλαμβανόμενοι, τὸ μὲν παιδίον ἐγχειρίζουσιν Ἀνδρομαχίῳ καὶ Ἱππίᾳ καὶ Νεάνδρῳ, νεανίσκοις οὖσι πιστοῖς καὶ ῥωμαλέοις, ἀναπράτους φεύγειν καὶ Μεγάρων ἔχεσθαι, χωρίου Μακεδονικοῦ, προστάξαντες. Αὐτοὶ δὲ, τὰ μὲν δεόμενοι, τὰ δ' ἀπομαχόμενοι, τοῖς διώκουσιν ἐμποδὼν ἦσαν ἄχρι δείλης ὀψίας. Ἀποτραπομένων δὲ μόλις ἐκείνων, μετέθεον τοὺς τὸν Πύρρον νομίζοντας. Ἤδη δὲ τοῦ ἡλίου καταδεδυκότος, ἐγγὺς γενόμενοι

Digitized by Google

τῆς ἐλπίδος, ἐξαίφνης ἀπεκόπησαν, ἐντυχόντες τῷ παρὰ τὴν πόλιν παραῤῥέοντι ποταμῷ, χαλεπῷ μὲν ὀφθῆναι καὶ ἀγρίῳ, περαιμένοις δὲ διαβῆναι παντάπασιν ἀπορωτάτῳ. Πολὺ τε γὰρ ἐξέπιπτε ῥεῦμα καὶ θολερὸν, ὄμβρων ἐπιγινομένων, καὶ τὸ σκότος ἐποίει πάντα φοβερώτερα. Καθ' αὑτοὺς μὲν οὖν ἀπέγνωσαν ἐπιχειρεῖν, παιδίον φερόμενοι, καὶ γύναια τὰ τρέφοντα τὸ παιδίον· μισθόμενοι δὲ τῶν ἐπιχωρίων τινὰς ἐν τῷ πέραν ἑστῶτας, ἐδέοντο συλλαβέσθαι πρὸς τὴν διάβασιν, καὶ τὸν Πύῤῥον ἀνεδείκνυσαν, βοῶντες καὶ ἱκετεύοντες. Οἱ δὲ οὐ κατήκουον διὰ τραχύτητα καὶ πέλαγον τοῦ ῥεύματος· ἀλλ' ἦν διατριβὴ, τῶν μὲν βοώντων, τῶν δὲ μὴ συνιέντων· ἄχρι τις ἐννοήσας, καὶ περιελὼν δρυὸς φλοιὸν, ἐνέγραψε πόρπῃ γράμματα φράζοντα τήν τε χρείαν καὶ τὴν τύχην τοῦ παιδός· εἶτα λίθῳ τὸν φλοιὸν περιελίξας, καὶ χρησάμενος οἷον ἔρμασι τῆς βολῆς, ἀφῆκεν εἰς τὸ πέραν. Ἔνιοι δέ φασι, σανίδι περιπήξαντας ἀποπέμψαι τὸν φλοιόν. Ὡς δ' οὖν ἀνέγνωσαν οἱ πέραν τὰ γράμματα, καὶ συνεῖδον τὴν ὀξύτητα τοῦ καιροῦ, κόπτοντες ξύλα καὶ πρὸς ἄλληλα συνδέοντες ἐπεραιοῦντο. Καὶ κατὰ τύχην ὁ πρῶτος αὐτῶν περαιωθεὶς, Ἀχιλλεὺς τοὔνομα, τὸν Πύῤῥον ἐδέξατο· τοὺς δ' ἄλλους, ὡς ἔτυχον, οἱ ἄλλοι διεκόμιζον.

III. Οὕτω δὲ σωθέντες καὶ φθάσαντες τὴν δίωξιν, εἰς Ἰλλυριοὺς παρεγένοντο πρὸς Γλαυκίαν τὸν βασιλέα· καὶ καθεζόμενον εὗρόντες οἶκοι μετὰ τῆς γυναικὸς, ἐν μέσῳ τὸ παιδίον ἐπὶ τῆς γῆς κατέθεσαν.

Digitized by Google

Ὁ δ' ἦν ἐπὶ γνώμης, Κάσσανδρον δεδοικὼς, ἐχθρὸν ὄντα τοῦ Αἰακίδου, καὶ σωτὴρ εἶχε πολὺν χρόνον βουλευόμενος. Ἐν τούτῳ δ' ὁ Πύρρος ἀπ' αὐτομάτου προσερπύσας, καὶ λαβόμενος τοῦ ἱματίου ταῖς χερσὶ, καὶ προσεξαναστὰς πρὸς τὰ γόνατα τοῦ Γλαυκίου, γέλωτα πρῶτον, εἶτ' οἶκτον παρέσχεν, ὥσπερ τις ἱκέτης δεόμενος καὶ δακρύων. Ἔνιοι δέ φασιν, οὐ τῷ Γλαυκίᾳ προσπεσεῖν αὐτὸν, ἀλλὰ βωμοῦ θεῶν προσαψάμενον, ἑστάναι πρὸς αὐτῷ περιβαλόντα τὰς χεῖρας· καὶ τὸ πρᾶγμα τῷ Γλαυκίᾳ θεῖον φανῆναι. Διὸ καὶ παραυτίκα τὸν Πύρρον ἐνεχείρισε τῇ γυναικὶ, κελεύσας ἅμα τοῖς τέκνοις τρέφεσθαι, καὶ μικρὸν ὕστερον ἐξαιτουμένων τῶν πολεμίων, Κασσάνδρου δὲ καὶ διακόσια τάλαντα διδόντος, οὐκ ἐξέδωκεν· ἀλλὰ καὶ γενόμενον δυοκαίδεκα ἐτῶν, κατεγαγὼν εἰς τὴν Ἤπειρον μετὰ δυνάμεως, βασιλέα κατέστησεν. Ἦν δ' ὁ Πύρρος τῇ μὲν ἰδέᾳ τοῦ προσώπου φοβερώτερον ἔχων, ἢ σεμνότερον, τὸ βασιλικόν· πολλοὺς δ' ὀδόντας οὐκ εἶχεν, ἀλλ' ἓν ὀστέον συνεχὲς ἦν ἄνωθεν, οἷον λεπταῖς ἁμυχαῖς τὰς διαφυὰς ἐπιγεγραμμένον τῶν ὀδόντων. Τοῖς δὲ σπληνιῶσιν ἐδόκει βοηθεῖν, ἀλεκτρυόνα θύων λευκὸν, ὑπτίων τε κατακειμένων τῷ δεξιῷ ποδὶ πιέζων ἀτρέμα τὸ σπλάγχνον. Οὐδεὶς δ' ἦν πένης, οὔτ' ἄδοξος οὕτως, ὥστε μὴ τυχεῖν τῆς ἰατρείας δεηθείς. Ἐλάμβανε δὲ καὶ τὸν ἀλεκτρυόνα θύσας, καὶ τὸ γέρας τοῦτο ἥδιστον ἦν αὐτῷ. Λέγεται δὲ τοῦ ποδὸς ἐκείνου τὸν μείζονα δάκτυλον ἔχειν δύναμιν θείαν, ὥστε μετὰ τὴν τελευ-

Digitized by Google

τὴν, τοῦ λοιποῦ σώματος κατακαέντος, ἀπαθῆ καὶ ἄθικτον ὑπὸ τοῦ πυρὸς εὑρεθῆναι. Ταῦτα μὲν οὖν ὕστερον.

IV. Γενομένῳ δὲ περὶ ἑπτακαίδεκα ἔτη, καὶ δοκοῦντι τὴν ἀρχὴν ἔχειν βεβαίως, ἀποδημία τις συνέτυχε, τῶν Γλαυκίου παίδων ἑνὸς, οἷς συνετέθραπτο, γυναῖκα λαμβάνοντος. Πάλιν οὖν οἱ Μολοττοὶ συστάντες ἐξέβαλον τοὺς φίλους αὐτοῦ, καὶ τὰ χρήματα διήρπασαν, καὶ Νεοπτολέμῳ παρέδοσαν ἑαυτούς. Ὁ δὲ Πύρρος οὕτω τὴν ἀρχὴν ἀποβαλὼν, καὶ γενόμενος πάντων ἔρημος, Δημητρίῳ τῷ Ἀντιγόνου προσέμιξεν ἑαυτὸν, ἔχοντι τὴν ἀδελφὴν αὐτοῦ, Δηϊδάμειαν· ἣν ἔτι μὲν οὖσαν κόρην ὠνόμαζον Ἀλεξάνδρου τοῦ Ῥωξάνης γυναῖκα, τῶν δὲ κατ' ἐκείνους δυστυχηθέντων, ὥραν ἔχουσαν αὐτὴν ἔγημεν ὁ Δημήτριος. Τῆς δὲ μεγάλης μάχης, ἣν ἐν Ἰψῷ πάντες οἱ βασιλεῖς τῆς γῆς ἠγωνίσαντο, παρὼν ὁ Πύρρος τοῖς περὶ Δημήτριον συμμετεῖχε, μειράκιον ὢν ἔτι, καὶ τοὺς καθ' αὑτὸν ἐτρέψατο, καὶ διεφάνη λαμπρὸς ἐν τοῖς μαχομένοις. Πταίσαντα δὲ Δημήτριον οὐκ ἐγκατέλιπεν, ἀλλὰ καὶ τὰς ἐν τῇ Ἑλλάδι πόλεις πιστευθεὶς διεφύλαξε· καὶ συμβάσεων αὐτῷ γενομένων πρὸς Πτολεμαῖον, ἔπλευσεν εἰς Αἴγυπτον ὁμηρεύσων. Καὶ Πτολεμαίῳ μὲν ἔν τε θήραις καὶ γυμνασίοις ἐπίδειξιν ἀλκῆς καὶ καρτερίας παρεῖχε· τὴν δὲ Βερενίκην ὁρῶν μέγιστον δυναμένην, καὶ πρωτεύουσαν ἀρετῇ καὶ φρονήσει τῶν Πτολεμαίου γυναικῶν, ἐθεράπευε μάλιστα· καὶ δεινὸς ὢν ὑπελθεῖν ἐπ' ὠφε-

Digitized by Google

λείᾳ τοὺς κρείττονας, ὥσπερ ὑπερόπτης τῶν ταπεινοτέρων, κόσμιος δὲ καὶ σώφρων περὶ δίαιταν, ἐκ πολλῶν νέων ἡγεμονικῶν προεκρίθη λαβεῖν Ἀντιγόνην γυναῖκα, τῶν Βερενίκης θυγατέρων, ἣν ἔσχεν ἐκ Φιλίππου, πρὶν ἢ Πτολεμαίῳ συνοικεῖν.

V. Μετὰ δὲ τὸν γάμον τοῦτον, ἔτι μᾶλλον εὐδοκιμῶν, καὶ γυναικὸς ἀγαθῆς τῆς Ἀντιγόνης περὶ αὐτὸν οὔσης, διεπράξατο, χρήματα λαβὼν καὶ δύναμιν, εἰς Ἤπειρον ἐπὶ τὴν βασιλείαν ἀποσταλῆναι. Καὶ παρῆν οὐκ ἄκουσι πολλοῖς διὰ τὴν ἀπέχθειαν τοῦ Νεοπτολέμου, χαλεπῶς καὶ βιαίως ἄρχοντος. Πλὴν ἀλλὰ δείσας, μὴ πρός τινα τῶν ἄλλων βασιλέων ὁ Νεοπτόλεμος τράπηται, διαλύσεις ἔθετο καὶ φιλίαν πρὸς αὐτὸν ἐπὶ κοινωνίᾳ τῆς ἀρχῆς. Χρόνου δὲ προϊόντος ἦσαν οἱ παροξύνοντες αὐτοὺς κρύφα, καὶ κατ' ἀλλήλων ἐμποιοῦντες ὑποψίας. Ἡ μέντοι μάλιστα κινήσασα τὸν Πύρρον αἰτία λέγεται τοιαύτην ἀρχὴν λαβεῖν. Εἰώθεισαν οἱ βασιλεῖς ἐν Πασσαρῶνι, χωρίῳ τῆς Μολοττίδος, Ἀρείῳ Διὶ θύσαντες, ὁρκωμοτεῖν τοῖς Ἠπειρώταις καὶ ὀρκίζειν, αὐτοὶ μὲν ἄρξειν κατὰ τοὺς νόμους, ἐκείνους δὲ τὴν βασιλείαν διαφυλάξειν κατὰ τοὺς νόμους. Ταῦτ' οὖν ἑδρᾶτο ἀμφοτέρων τῶν βασιλέων παρόντων, καὶ σύνηθες ἦν ἀλλήλοις μετὰ τῶν φίλων, δῶρα πολλὰ τὰ μὲν διδόντες, τὰ δὲ λαμβάνοντες. Ἐνταῦθα δὴ Γέλων, ἀνὴρ πιστὸς Νεοπτολέμῳ, δεξιωσάμενος φιλοφρόνως τὸν Πύρρον, ἐδωρήσατο βοῶν ἀροτήρων δυσὶ ζεύγεσι. Ταῦτα Μυρτίλος, ὁ ἐπὶ τοῦ οἴνου, παρὼν ἤτει τὸν

Digitized by Google

Πύῤῥον· ἐκείνου δὲ μὴ διδόντος, ἀλλ' ἑτέρῳ, χαλεπῶς ἐνεγκὼν ὁ Μυρτίλος, οὐκ ἔλαθε τὸν Γέλωνα. Καλέσας οὖν αὐτὸν ἐπὶ δεῖπνον, ὡς δέ φασιν ἔνιοι, καὶ χρησόμενος παρ' οἴνου ὥραν ἔχοντι, λόγους προσήνεγκε, παρακαλῶν ἐλέσθαι τὰ τοῦ Νεοπτολέμου, καὶ φαρμάκοις διαφθεῖραι τὸν Πύῤῥον. Ὁ δὲ Μυρτίλος ἐδέξατο μὲν τὴν πεῖραν, ὡς ἐπαινῶν καὶ συμπεπισμένος, ἐμήνυσε δὲ τῷ Πύῤῥῳ· καὶ κελεύσαντος ἐκείνου, τὸν ἀρχιαιχμοφόρον Ἀλεξικράτην τῷ Γέλωνι συνέστησαν, ὡς δὴ μεθέξοντα τῆς πράξεως αὐτοῖς. Ἐβούλετο γὰρ ἐν πλείοσιν ὁ Πύῤῥος τὸν ἔλεγχον γενέσθαι τοῦ ἀδικήματος. Οὕτω δὲ τοῦ Γέλωνος ἐξαπατωμένου, συνεξαπατώμενος ὁ Νεοπτόλεμος, καὶ τὴν ἐπιβουλὴν ὁδῷ βαδίζειν οἰόμενος, οὐ κατεῖχεν, ἀλλ' ὑπὸ χαρᾶς ἐξέφερε πρὸς τοὺς φίλους. Καί ποτε παρὰ τὴν ἀδελφὴν Καδμείαν, ἐχρῆτο λαλιᾷ περὶ τούτων, οὐδένα συνακούειν οἰόμενος. Οὐδεὶς γὰρ ἦν πλησίον ἄλλος, ἢ Φαιναρέτη, γυνὴ Σαίμαχος, τοῦ τὰ ποίμνια καὶ τὰ βουκόλια τῷ Νεοπτολέμῳ διοικοῦντος. Αὕτη δ' ἀπεστραμμένη πρὸς τοῖχον ἐπὶ κλίνης τινὸς, ἐδάκει καθεύδειν. Συνήκουε δὲ πάντων γινομένη καὶ λανθοῦσα, μεθ' ἡμέρᾶν ἦκε πρὸς Ἀντιγόνην, τὴν Πύῤῥου γυναῖκα, καὶ πάντα κατέπεσε, ὅσα τοῦ Νεοπτολέμου πρὸς τὴν ἀδελφὴν ἤκουσε λέγοντος. Πυθόμενος δ' ὁ Πύῤῥος, ἐκεῖ μὲν ἡσυχίαν ἦγεν· ἐν δὲ θυσίᾳ καλέσας ἐπὶ δεῖπνον τὸν Νεοπτόλεμον, ἀπέκτεινεν, αἰσθόμενος τῶν Ἠπειρωτῶν τοὺς κρατίστους προσέχοντας αὐτῷ, καὶ παρα-

Digitized by Google

κελευομένους ἀπαλλαγῆναι τοῦ Νεοπτολέμου, καὶ μὴ μερίδα μικρὰν ἔχοντα βασιλείας ἀγαπᾶν, ἀλλὰ τῇ φύσει χρήσασθαι, μειζόνων πραγμάτων ἀντιλαμβανόμενον· καὶ τινος ὑποψίας ἅμα προσγενομένης, τὸν Νεοπτόλεμον φθάσας ἀνεῖλεν.

VI. Μεμνημένος δὲ Βερενίκης καὶ Πτολεμαίου, παιδίον μὲν αὐτῷ γενόμενον ἐξ Ἀντιγόνης, Πτολεμαῖον ὠνόμασεν, οἰκίσας δὲ πόλιν ἐν τῇ χερρονήσῳ τῆς Ἠπείρου, Βερενικίδα προσηγόρευσεν. Ἐκ δὲ τούτου, πολλὰ μὲν περινοῶν καὶ μεγάλα τῇ γνώμῃ, ταῖς δ' ἐλπίσι μάλιστα καὶ πρῶτον ἀντιλαμβανόμενος τῶν πλησίον, εὖρεν ἐμφῦναι τοῖς Μακεδόνων πράγμασιν ἐκ τοιᾶσδέ τινος προφάσεως. Τῶν Κασσάνδρου παίδων ὁ πρεσβύτερος Ἀντίπατρος τήν τε μητέρα Θεσσαλονίκην ἀνεῖλε, καὶ τὸν ἀδελφὸν Ἀλέξανδρον ἤλαυνεν. Ὁ δὲ πρός τε Δημήτριον ἔπεμψε, δεόμενος βοηθεῖν, καὶ Πύρρον ἐκάλει. Δημητρίου δὲ ὑπ' ἀσχολιῶν βραδύνοντος, ἐπελθὼν ὁ Πύρρος ἥρπασε μισθὸν τῆς συμμαχίας, τήν τε Νυμφαίαν καὶ τὴν παραλίαν τῆς Μακεδονίας, καὶ τῶν ἐπικτήτων ἐθνῶν, Ἀμβρακίαν, Ἀκαρνανίαν, Ἀμφιλοχίαν. Προελθόντος δὲ τοῦ νεανίσκου, τιμῶντα μὲν αὐτὸς εἶχε, φρουραῖς καταλαβών, τὰ δὲ λοιπὰ κτώμενος ἐκείνῳ, περιέκοπτε τὸν Ἀντίπατρον. Λυσίμαχος δ' ὁ βασιλεύς, αὐτὸς μὲν ἦν ἐν ἀσχολίαις, προθυμούμενος Ἀντιπάτρῳ βοηθεῖν, εἰδὼς δὲ τὸν Πύρρον οὐδὲν ἀχαριστεῖν, οὐδ' ἀρνεῖσθαι Πτολεμαίῳ βουλόμενον, ἔπεμψε πλαστὰ γράμματα πρὸς αὐτὸν, ὡς Πτολεμαίου

Digitized by Google

κελεύοντος ἀπαλλάττεσθαι τῆς στρατείας, τριακόσια τάλαντα παρὰ τοῦ Ἀντιπάτρου λαβόντα. Λύσας δὲ τὴν ἐπιστολὴν ὁ Πύῤῥος, εὐθὺς τὸ ῥᾳδιούργημα τοῦ Λυσιμάχου συνεῖδεν· οὐ γὰρ ἦν ἡ συνήθης γεγραμμένη προσαγόρευσις· „Ὁ πατὴρ τῷ υἱῷ χαίρειν·“ ἀλλὰ „Βασιλεὺς Πτολεμαῖος βασιλεῖ Πύῤῥῳ χαίρειν.“ Λοιδορήσας δὲ τὸν Λυσίμαχον, ὅμως ἐποιεῖτο τὴν εἰρήνην, καὶ συνῆλθον ὡς κατὰ σφαγίων ὁρκωμοτήσοντες. Ἐπεὶ δὲ, κάπρου καὶ ταύρου καὶ κριοῦ προσαχθέντος, ὁ κριὸς αὐτομάτως ἀπέθανε, τοῖς μὲν ἄλλοις γελᾶν ἐπῆλθε, τὸν δὲ Πύῤῥον ὁ μάντις Θεόδοτος ὀμόσαι διεκώλυσε, φήσας τὸ δαιμόνιον ἐνὶ προσημαίνειν τῶν τριῶν βασιλέων θάνατον. Ὁ μὲν οὖν Πύῤῥος οὕτως ἀπέστη τῆς εἰρήνης.

VII. Τῷ δ' Ἀλεξάνδρῳ τῶν πραγμάτων ἤδη κατάστασιν ἐχόντων, ὅμως ὁ Δημήτριος ἀφίκετο, καὶ δῆλος μὲν ἦν εὐθὺς ἥκων μὴ δεομένῳ, καὶ φόβον παρεῖχεν. Ὀλίγαις δ' ἡμέραις συγγενόμενοι, δι' ἀπιστίας ἐπεβούλευσαν ἀλλήλοις ἀμφότεροι. Καιρῷ δὲ χρησάμενος καὶ φθάσας ἀποκτίννυσιν ὁ Δημήτριος τὸ μειράκιον, καὶ βασιλεὺς ἀνηγορεύθη Μακεδονίας. Ἦν μὲν οὖν καὶ πρότερον αὐτῷ πρὸς τὸν Πύῤῥον ἐγκλήματα, καὶ καταδρομαὶ τῆς Θεσσαλίας ἐγεγύνεισαν ὑπ' ἐκείνου, καὶ τὸ σύμφυτον νόσημα ταῖς δυναστείαις, ἡ πλεονεξία, τὴν γειτνίασιν αὐτοῖς ἐπίφοβον καὶ ἄπιστον παρεῖχε, καὶ μᾶλλον ἔτι μετὰ τὴν τῆς Λητδαμείας τελευτήν. Ἐπεὶ δὲ καὶ κατασχόντες ἀμφότεροι Μακεδονίας, συνέπιπτον εἰς τὸ

Digitized by Google

αὐτὸ, καὶ μείζονας ἐλάμβανε προφάσεις ἡ διαφορά. Δημήτριος μὲν ἐπ' Αἰτωλοὺς στρατευόμενος, καὶ κρατήσας, Πάνταυχον αὐτόθι μετὰ πολλῆς δυνάμεως καταλιπὼν, αὐτὸς ἐβάδιζεν ἐπὶ Πύρρον, καὶ Πύρρος ἐπ' ἐκεῖναν, ὡς ἤσθετο. Γενομένης δὲ διαμαρτίας καθ' ὁδὸν, ἀλλήλους παρήλλαξαν· καὶ Δημήτριος μὲν ἐμβαλὼν εἰς Ἤπειρον ἐληλάτει, Πύρρος δὲ Παντάιχῳ περιπεσὼν, εἰς μάχην κατέστη. Καὶ τῶν στρατιωτῶν συμπεσόντων, δεινὸς ἦν καὶ μέγας ἀγὼν, μάλιστα κατὰ τοὺς ἡγεμόνας. Ὅ τε γὰρ Πάνταυχος, ἀνδρείᾳ καὶ χειρὶ καὶ ῥώμῃ σώματος ἄριστος ὢν ὁμολογουμένως τῶν περὶ Δημήτριον στρατηγῶν, καὶ θάρσος ἔχων καὶ φρόνημα, προὐκαλεῖτο τὸν Πύρρον εἰς τὰς χεῖρας· ὅ τε Πύρρος, οὐδενὶ τῶν βασιλέων ὑφιέμενος ἀλκῆς καὶ δόξης, καὶ τὴν Ἀχιλλέως δόξαν αὐτῷ δι' ἀρετὴν μᾶλλον, ἢ κατὰ γένος, συνοικειοῦν βουλόμενος, ἐναντίος ἐχώρει διὰ τῶν προμάχων ἐπὶ τὸν Πάνταυχον. Ἦν δὲ δορατισμὸς τὸ πρῶτον, εἶτ' ἐν χερσὶν γενόμενοι, μετὰ τέχνης ἅμα καὶ βίας ἐχρῶντο τοῖς ξίφεσι. Λαβὼν δ' ὁ Πύρρος ἓν τραῦμα, δοὺς δὲ δύο, τὸ μὲν εἰς τὸν μηρὸν, τὸ δὲ παρὰ τὸν τράχηλον, ἐτρέψατο καὶ κατέβαλε τὸν Πάνταυχον· οὐ μὴν ἀνεῖλεν· ἀνηρπάγη γὰρ ὑπὸ τῶν φίλων. Οἱ δ' Ἠπειρῶται τῇ νίκῃ τοῦ βασιλέως ἐπαρθέντες, καὶ θαυμάσαντες τὴν ἀρετὴν, ἐβιάσαντο καὶ διέκοψαν τὴν φάλαγγα τῶν Μακεδόνων, καὶ φεύγοντας διώκοντες, ἀπέκτειναν τε πολλοὺς, καὶ πεντακισχιλίους ζῶντας εἷλον.

Digitized by Google

VIII. Ὁ δ' ἀγὼν οὗτος οὐ τοσοῦτον ἀρχῆς, ἣν ἔπαθον, οὐδὲ μίσους ἐνέπλησε τοὺς Μακεδόνας πρὸς τὸν Πύῤῥον, ὅσην δόξαν αὐτοῦ, καὶ θαῦμα τῆς ἀρετῆς, καὶ λόγον ἐνειργάσατο τοῖς ἰδοῦσι τὰ ἔργα, καὶ συνενεχθεῖσι κατὰ τὴν μάχην. Καὶ γὰρ ὄψιν ἔφοντο καὶ τάχος ἐοικέναι καὶ κίνημα τοῖς Ἀλεξάνδρου, καὶ τῆς φορᾶς ἐκείνου καὶ βίας παρὰ τοὺς ἀγῶνας ἐν τούτῳ σκιάς τινας ὁρᾶσθαι καὶ μιμήματα· τῶν μὲν ἄλλων βασιλέων ἐν πορφύραις καὶ δορυφόροις καὶ κλίσει τραχήλου, καὶ τῷ μεῖζον διαλέγεσθαι, μόνου δὲ Πύῤῥου τοῖς ὅπλοις καὶ ταῖς χερσὶν ἐπιδεικνυμένου τὸν Ἀλέξανδρον. Τῆς δὲ περὶ τάξεις καὶ στρατηγίας ἐπιστήμης αὐτοῦ καὶ δεινότητος ἔνεστι δείγματα λαβεῖν ἐκ τῶν γραμμάτων, ἃ περὶ τούτων ἀπολέλοιπε. Λέγεται δὲ καὶ Ἀντίγονος, ἐρωτηθείς, τίς ἄριστος τῶν στρατηγῶν; φάναι, Πύῤῥος, ἂν γηράσῃ, περὶ τῶν καθ' αὑτὸν οὕτως ἀποφηνάμενος μόνον. Ἀννίβας δὲ συμπάντων ἀπέφαινε τῶν στρατηγῶν, πρῶτον μὲν ἐμπειρίᾳ καὶ δεινότητι Πύῤῥον, Σκηπίωνα δὲ δεύτερον, ἑαυτὸν δὲ τρίτον, ὡς ἐν τοῖς περὶ Σκηπίωνος γέγραπται. Καὶ ὅλως τοῦτο μελετῶν ἔοικε καὶ φιλοσοφῶν ἀεὶ διατελεῖν ὁ Πύῤῥος, ὡς μαθημάτων βασιλικώτατον, τὰς δ' ἄλλας γλαφυρίας ἐν οὐδενὶ λόγῳ τίθεσθαι. Λέγεται γάρ, ὡς ἐρωτηθεὶς ἔν τινι πότῳ, πότερον φαίνεται αὐτῷ Πύθων αὐλητὴς ἀμείνων, ἢ Καφισίας, εἰπεῖν, ὅτι Πολυσπέρχων στρατηγός· ὡς ταῦτα τῷ βασιλεῖ ζητεῖν μόνα καὶ γινώσκειν προσῆκον.

Digitized by Google

Ἦν δὲ καὶ πρὸς τοὺς συνήθεις ἐπιεικὴς, καὶ πρᾷος ὀργὴν, σφοδρὸς δὲ καὶ πρόθυμος ἐν ταῖς χάρισιν. Ἀερόπου γοῦν ἀποθανόντος, οὐκ ἤνεγκε μετρίως· ἐκεῖνον μὲν ἀνθρώπινα πεπονθέναι φάσκων, ἑαυτὸν δὲ μεμφόμενος καὶ κακίζων, ὅτι μέλλων ἀεὶ καὶ βραδύνων χάριν οὐκ ἀπέδωκεν αὐτῷ. Τὰ μὲν γὰρ χρέα καὶ κληρονόμοις ἐστὶν ἀποδοῦναι τῶν δανεισάντων, αἱ δὲ τῶν χαρίτων ἀμοιβαὶ μὴ γενόμεναι πρὸς αἰσθανομένους, ἀνιῶσι τὸν χρηστὸν καὶ δίκαιον. Ἐν δὲ Ἀμβρακίᾳ κακολόγον τινὰ καὶ βλάσφημον ἄνθρωπον οἰομένων δεῖν μεταστῆσαι τὸν Πύρρον· Αὐτοῦ μένων, ἔφη, μᾶλλον ἡμᾶς ἐν ὀλίγοις, ἢ περιὼν πρὸς ἅπαντας ἀνθρώπους κακῶς λεγέτω. Καὶ τοὺς παρ' οἶνον αὐτὸν λοιδορήσαντας, εἶτ' ἐλεγχομένους, ἠρώτησεν, εἰ ταῦτα εἶπον. Ἀποκρινομένου δὲ τῶν νεανίσκων ἑνὸς, „Ταῦτα, ὦ βασιλεῦ· πλείονα δ' ἂν ἔτι τούτων εἰρήκειμεν, εἰ πλείων παρῆν οἶνος ἡμῖν," γελάσας ἀφῆκε.

IX. Γυναῖκας δὲ, πραγμάτων ἕνεκα καὶ δυνάμεως, πλείονας ἔγημε μετὰ τὴν Ἀντιγόνης τελευτήν. Καὶ γὰρ Αὐτολέοντος, τοῦ Παιόνων βασιλέως, ἔλαβε θυγατέρα, καὶ Βιρκέννων τὴν Βαρδύλλιος τοῦ Ἰλλυριῶν, καὶ Λάνασσαν τὴν Ἀγαθοκλέους τοῦ Συρακουσίου, προῖκα προσφερομένην αὐτῷ τὴν Κερκυραίων πόλιν, ἣν ἐστερήθη ὑπ' Ἀγαθοκλέους. Ἐκ μὲν οὖν Ἀντιγόνης Πτολεμαῖον υἱὸν ἔσχεν, ἐκ δὲ Λανάσσης Ἀλέξανδρον, Ἕλενον δὲ τὸν νεώτατον ἐκ Βιρκέννης. Καὶ πάντας ἀγαθοὺς ἐν τοῖς ὅπλοις

Digitized by Google

ἐθρέψατο καὶ διαπύρους, εὐθὺς ἐκ γενετῆς ἐπὶ τοῦτο θηγομένους ὑπ' αὐτοῦ. Λέγεται γάρ, ὡς ἐρωτηθεὶς ὑφ' ἑνὸς αὐτῶν, ἔτι παιδὸς ὄντος, τίνι καταλείψει τὴν βασιλείαν, εἰπεῖν· Ὃς ἂν ὑμῶν τὴν μάχαιραν ὀξυτέραν ἔχῃ. Τοῦτο δ' οὐδὲν ἀποδεῖ τῆς τραγικῆς ἀρᾶς ἐκείνης· Θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τοὺς ἀδελφούς. Οὕτως ἄμικτός ἐστι καὶ θηριώδης ἡ τῆς πλεονεξίας ὑπόθεσις.

Χ. Μετὰ δὲ τὴν μάχην ταύτην ὁ Πύρρος, ἐπανελθὼν οἴκαδε λαμπρὸς ὑπὸ δόξης καὶ φρονήματος, ἔχαιρε· καὶ Ἀετὸς ὑπὸ τῶν Ἠπειρωτῶν προσαγορευόμενος· Δι' ὑμᾶς, ἔλεγεν, ἀετός εἰμι· πῶς γὰρ οὐ μέλλω τοῖς ὑμετέροις ὅπλοις, ὥσπερ ὠκυπτέροις, ἐπαιρόμενος; Ὀλίγῳ δ' ὕστερον πυθόμενος νοσεῖν τὸν Δημήτριον ἐπισφαλῶς, ἐνέβαλε μὲν ἐξαίφνης εἰς Μακεδονίαν, ὡς ἐπιδρομήν τινα καὶ λεηλασίαν ποιησόμενος. Παρ' ὀλίγον δ' ἦλθε πάντων ὁμοῦ κρατῆσαι, καὶ λαβεῖν ἅμαχεὶ τὴν βασιλείαν, ἐλάσας ἄχρις Ἐδέσσης, μηδενὸς ἀμυνομένου, πολλῶν δὲ καὶ προστιθεμένων καὶ συστρατευόντων. Αὐτόν τε δὴ τὸν Δημήτριον ὁ κίνδυνος ἐξανέστησε παρὰ δύναμιν, οἵ τε φίλοι καὶ ἡγεμόνες ὀλίγῳ χρόνῳ πολλοὺς ἀθροίσαντες, ἐῤῥωμένως καὶ προθύμως ἐπὶ τὸν Πύρρον ὥρμησαν. Ὁ δὲ ληστρικώτερον ἀφιγμένος, οὐκ ἔμεινεν, ἀλλὰ φεύγων μέρος τι τῆς στρατιᾶς ἀπέβαλε, καθ' ὁδὸν ἐπιθεμένων τῶν Μακεδόνων. Οὐ μὴν, ὅτι ῥᾳδίως καὶ ταχὺ τὸν Πύρρον ἐξέβαλε τῆς χώρας ὁ Δημήτριος, ἠμέλησεν· ἐγνωκὼς δὲ μεγάλων πρα-

Digitized by Google

γμάτων ἀντιλαμβάνεσθαι, καὶ τὴν πατρῴαν ἀρχὴν ἀνακτᾶσθαι δίκα μυριάσι στρατοῦ, καὶ ναυσὶ πεντακοσίαις, οὐκ ἐβούλετο τῷ Πύῤῥῳ περιπταῖσαι, οὐδ' ἀπολιπεῖν Μακεδόσι πάροικον ἐργώδη καὶ χαλεπόν· ἀλλ', ἐπεὶ μὴ ἐσχόλαζε πολεμεῖν πρὸς αὐτόν, διαλυθεὶς καὶ θέμενος εἰρήνην, οὕτως ἐπὶ τοὺς ἄλλους βασιλεῖς τραπέσθαι. Γενομένων δὲ διὰ ταῦτα τῶν ὁμολογιῶν, καὶ τῆς γνώμης ἅμα τῷ μεγέθει τῆς παρασκευῆς ἐκφανείσης τοῦ Δημητρίου, φοβηθέντες οἱ βασιλεῖς διεπέμποντο πρὸς τὸν Πύῤῥον ἀγγέλους καὶ γράμματα, θαυμάζειν φάσκοντες, εἰ τὸν αὐτοῦ προέμενος καιρὸν, ἐν τῷ Δημητρίου πολεμῆσαι περιμένει, καὶ δυνάμενος Μακεδονίας ἐκβαλεῖν αὐτὸν πολλὰ πράττοντα καὶ ταραττόμενον, ἐκδέχεται σχολάζοντι καὶ μεγάλῳ γενομένῳ περὶ τῶν ἐν Μολοττοῖς ἱερῶν καὶ τάφων διαγωνίσασθαι· καὶ ταῦτα, Κέρκυραν ἔναγχος ἀφῃρημένος ὑπ' αὐτοῦ μετὰ τῆς γυναικός. Ἡ γὰρ Λάνασσα μεμψαμένη τὸν Πύῤῥον, ὡς μᾶλλον προσέχοντα ταῖς βαρβάροις γυναιξὶν, εἰς Κέρκυραν ἀπεχώρησε, καὶ δεομένη γάμων βασιλικῶν, ἐκάλει Δημήτριον, ἐπισταμένη μάλιστα τῶν βασιλέων εὐκόλως ἔχοντα πρὸς γάμους γυναικῶν. Ἐκεῖνος δὲ πλεύσας τῇ τε Λανάσσῃ συνῆλθε, καὶ φρουρὰν ἐν τῇ πόλει κατέλιπε.

XI. Ταῦτα πρὸς τὸν Πύῤῥον οἱ βασιλεῖς γράφοντες, ἅμα καὶ δι' ἑαυτῶν ἔτι μέλλοντα καὶ παρασκευαζόμενον τὸν Δημήτριον ἐκίνουν. Πτολεμαῖος μὲν γὰρ ἐπιπλεύσας μεγάλῳ στόλῳ, τὰς Ἑλληνίδας

Digitized by Google

ἀφίστη πόλεις. Λυσίμαχος δὲ τὴν ἄνω Μακεδονίαν ἐκ Θρᾴκης ἐμβαλὼν ἐπόρθει. Πύῤῥος δὲ τούτοις ἅμα συνεξαναστὰς, ἐπὶ Βέροιαν ἤλαυνε, προσδοκῶν, ὅπερ συνέβη, Δημήτριον, ὑπαντιάζοντα Λυσιμάχῳ, τὴν κάτω χώραν ἀπολείψειν ἔρημον. Ἐκείνης δὲ τῆς νυκτὸς ἔδοξε κατὰ τοὺς ὕπνους ὑπ' Ἀλεξάνδρου καλεῖσθαι τοῦ μεγάλου, καὶ παραγενόμενος, κλινήρη μὲν αὐτὸν ἰδεῖν, λόγων δὲ χρηστῶν τυχεῖν καὶ φιλοφροσύνης, ἐπαγγελλομένου προθύμως βοηθήσειν. Αὐτοῦ δὲ τολμήσαντος εἰπεῖν· Καὶ πῶς ἂν, ὦ βασιλεῦ, νοσῶν δυνατὸς εἴης ἐμοὶ βοηθεῖν; Αὐτῷ, φάναι, τῷ ὀνόματι· καὶ περιβάντα Νισαῖον ἵππον ἡγεῖσθαι. Ταύτην ἰδὼν τὴν ὄψιν ἐπερῤῥώσθη· τάχει δὲ χρησάμενος καὶ διαδραμὼν τὰ μεταξὺ, καταλαμβάνει τὴν Βέροιαν, καὶ τὸ πλεῖστον αὐτόθι τῆς στρατιᾶς ἱδρύσας, τὰ λοιπὰ προσήγετο διὰ τῶν στρατηγῶν. Ὁ δὲ Δημήτριος, ἐπεὶ ταῦτα ἤκουσε, καὶ πονηρὸν ἐν τῷ στρατοπέδῳ θόρυβον ἤσθετο τῶν Μακεδόνων, ἔδεισε πορῤῥωτέρω προαγαγεῖν, μὴ πλησίον γενόμενοι βασιλέως Μακεδόνος καὶ δόξαν ἔχοντος μεταβάλωνται πρὸς αὐτόν. Ὅθεν ἐπιστρέψας, ἐπὶ τὸν Πύῤῥον ἦγεν ὡς ξένον καὶ μισούμενον ὑπὸ τῶν Μακεδόνων. Ἐπεὶ δὲ παρεστρατοπέδευσεν αὐτόθι, πολλοὶ τῶν ἐκ τῆς Βεροίας ἀφικνούμενοι τὸν Πύῤῥον ἐνεκωμίαζον, ὡς ἄμαχον μὲν ἐν τοῖς ὅπλοις καὶ λαμπρὸν ἄνδρα, πρᾴως δὲ καὶ φιλανθρώπως τοῖς ἡλωκόσι χρώμενον. Ἦσαν δέ τινες, οὓς αὐτὸς ὁ Πύῤῥος ἐγκαθεῖλε, προσποιουμένους εἶναι Μακεδό-

Digitized by Google

νας, καὶ λέγοντας, ὅτι νῦν καιρός ἐστι τῆς Δημητρίου βαρύτητος ἀπαλλαγῆναι, πρὸς ἄνδρα δημοτικὸν καὶ φιλοστρατιώτην μεταβαλομένους, τὸν Πύῤῥον. Ἐκ τούτου τὸ πλεῖστον ἀνηρέθιστο τῆς στρατιᾶς, καὶ τὸν Πύῤῥον ἐζήτουν περισκοποῦντες· ἔτυχε γὰρ ἀφῃρημένος τὸ κράνος· ἄχρις οὗ πάλιν, συμφρονήσας καὶ περιθέμενος, ἐγνώσθη τῷ τε λόφῳ διαπρέποντι καὶ τοῖς τραγικοῖς κέρασιν, ὥστε τοὺς Μακεδόνας σύνθημα προστρέχοντας αἰτεῖν, ἄλλους δὲ κλάδους δρυὸς ἀναστρέφεσθαι, διὰ τὸ καὶ τοὺς περὶ ἐκεῖνον ἐστεφανωμένους ὁρᾶν. Ἤδη δὲ καὶ πρὸς αὐτόν τινες ἐτόλμων λέγειν τὸν Δημήτριον, ὡς ὑπεκστὰς καὶ προέμενος τὰ πράγματα, καλῶς δόξει βεβουλεῦσθαι. Τούτοις τοῖς λόγοις ὅμοιον ὁρῶν τὸ κίνημα τοῦ στρατοπέδου, καὶ φοβηθεὶς, κρύφα διεξέπεσε, καυσίᾳ τινὶ καὶ λιτῷ χλαμυδίῳ περιστείλας ἑαυτόν. Ἐπελθὼν δ' ὁ Πύῤῥος, ἀμαχεὶ παρέλαβε τὸ στρατόπεδον, καὶ βασιλεὺς ἀνηγορεύθη Μακεδόνων.

XII. Ἐπιφανέντος δὲ Λυσιμάχου, καὶ κοινὸν ἔργον ἀμφοῖν ποιουμένου τὴν Δημητρίου κατάλυσιν, καὶ νέμεσθαι τὴν βασιλείαν ἀξιοῦντος, οὔπω πάνυ βεβαίως τοῖς Μακεδόσι πιστεύων ὁ Πύῤῥος, ἀλλ' ἀμφίβολος ὢν ἐν αὐτοῖς, ἐδέξατο τοῦ Λυσιμάχου τὴν πρόκλησιν, καὶ διενείμαντο τὴν χώραν καὶ τὰς πόλεις πρὸς ἀλλήλους. Τοῦτο δ' ἄνησε μὲν ἐν τῷ παρόντι, καὶ κατέπαυσε τὸν πόλεμον αὐτοῖς, ὀλίγῳ δ' ὕστερον ἔγνωσαν οὐκ ἀπαλλαγὴν ἔχθρας, ἀλλ' ἐγκλημάτων καὶ διαφορᾶς ἀρχὴν πεποιημένοι τὴν νέμησιν

Digitized by Google

Οἷς γὰρ οὐ πέλαγος, οὐκ ὄρος, οὐκ ἀοίκητος ἐρημία πέρας ἐστὶ τῆς πλεονεξίας, οὔθ' οἱ διαιροῦντες Εὐρώπην καὶ Ἀσίαν τέρμονες ὁρίζουσι τὰς ἐπιθυμίας, πῶς ἂν ἅπτόμενοι καὶ ψαύοντες ἀλλήλων, ἀτρεμοῖεν ἐν τοῖς παροῦσι, μὴ ἀδικοῦντες, οὐκ ἔστιν εἰπεῖν. Ἀλλὰ πολεμοῦσι μὲν ἀεὶ, τὸ ἐπιβουλεύειν καὶ φθονεῖν ἔμφυτον ἔχοντες· δυεῖν δ' ὀνομάτων, ὥσπερ νομισμάτων, πολέμου καὶ εἰρήνης, τῷ παρατυχόντι χρῶνται πρὸς τὸ συμφέρον, οὐ πρὸς τὸ δίκαιον. Ἐπεὶ βελτίους γε πολεμεῖν ὁμολογοῦντές εἰσιν, ἢ τῆς ἀδικίας τὸ ἀργοῦν καὶ σχολάζον δικαιοσύνην καὶ φιλίαν προσαγορεύοντες. Ἐδήλωσε δὲ ὁ Πύῤῥος· ἐμποδὼν γὰρ αὐξομένῳ τῷ Δημητρίῳ πάλιν ἱστάμενος, καὶ κολούων τὴν δύναμιν, ὥσπερ ἐξ ἀῤῥωστίας μεγάλης ἀναλαμβάνουσαν, ἐβοήθει τοῖς Ἕλλησι, καὶ παρῆλθεν εἰς τὰς Ἀθήνας. Ἀναβὰς δ' εἰς τὴν ἀκρόπολιν, καὶ θύσας τῇ θεῷ, καὶ καταβὰς αὐθημερὸν, ἀγαπᾷν μὲν ἔφησε τοῦ δήμου τὴν πρὸς αὐτὸν εὔνοιαν καὶ πίστιν· ἂν μέντοι σωφρονῶσι, μηδένα τῶν βασιλέων ἔτι παρήσειν αὐτοὺς εἰς τὴν πόλιν, μηδὲ τὰς πύλας ἀνοίξειν. Ἐκ τούτου καὶ πρὸς τὸν Δημήτριον εἰρήνην ἐποιήσατο, καὶ μετ' ὀλίγον χρόνον, εἰς Ἀσίαν ἀπάραντος αὐτοῦ, πάλιν πεισθεὶς ὑπὸ Λυσιμάχου, Θετταλίαν ἀφίστη, καὶ ταῖς Ἑλληνικαῖς φρουραῖς προσεπολέμει, βελτίοσι χρώμενος τοῖς Μακεδόσι στρατευομένοις, ἢ σχολάζουσι· καὶ ὅλως, αὐτὸς οὐκ εὖ πρὸς ἡσυχίαν πεφυκώς. Τέλος δὲ, Δημητρίου καταπολεμηθέντος ἐν Συρίᾳ, Λυσίμαχος ἐπ' ἀδείας γε-

Digitized by Google

νόμενος καὶ σχολάζων, εὐθὺς ἐπὶ τὸν Πύρρον ὥρμησε. Καὶ καθημένου περὶ τὴν Ἔδεσσαν αὐτοῦ, ταῖς ἀγοραῖς κομιζομέναις ἐπιπεσὼν καὶ κρατήσας, ἀπορίαν πρῶτον αὐτῷ περιέστησεν. εἶτα γράμμασι καὶ λόγοις διέφθειρε τοὺς πρώτους τῶν Μακεδόνων, ὀνειδίζων, εἰ ξένον ἄνδρα, καὶ προγόνων ἀεὶ δεδουλευκότων Μακεδόσι, δεσπότην ἑλόμενοι, τοὺς Ἀλεξάνδρου φίλους καὶ συνήθεις ἀπωθοῦσι Μακεδονίας. Ἀναπειθομένων δὲ πολλῶν, δείσας ὁ Πύρρος ἀπηλλάγη μετὰ τῆς Ἠπειρωτικῆς καὶ συμμαχικῆς δυνάμεως, ἀποβαλὼν Μακεδονίαν ᾧ τρόπῳ παρέλαβεν. Ὅθεν οὐδ' αἰτιᾶσθαι τοὺς πολλοὺς ἔχουσιν οἱ βασιλεῖς, μετατιθεμένους πρὸς τὸ συμφέρον. Ἐκείνους γὰρ αὐτοὺς ταῦτα μιμοῦνται ποιοῦντες, ἀπιστίας καὶ προδοσίας διδασκάλους ὄντας, καὶ πλεῖστα νομίζοντας ὠφελεῖσθαι τὸν ἐλάχιστα τῷ δικαίῳ χρώμενον.

XIII. Τότε δ' οὖν εἰς Ἤπειρον ἐκπεσόντι τῷ Πύρρῳ, καὶ προεμένῳ Μακεδονίαν, ἡ μὲν τύχη παρεῖχε χρῆσθαι τοῖς παροῦσιν ἀπραγμόνως, καὶ ζῆν ἐν εἰρήνῃ βασιλεύοντα τῶν οἰκείων· ὁ δὲ τὸ μὴ παρέχειν ἑτέροις κακὰ, μηδ' ἔχειν ὑφ' ἑτέρων, ἄλυν τινὰ ναυτιώδη νομίζων, ὥσπερ ὁ Ἀχιλλεὺς, οὐκ ἔφερε τὴν σχολὴν,

Ἀλλὰ φθινύθεσκε φίλον κῆρ,
Αὖθι μένων, ποθέεσκε δ' ἀϋτήν τε πτόλεμόν τε.

Δεόμενος δ' οὖν ἔλαβε πραγμάτων καινῶν τοιαύτην ὑπόθεσιν. Ῥωμαίοις Ταραντίνοις ἐπολέμουν. Οἱ δὲ μήτε φέρειν τὸν πόλεμον δυνάμενοι, μήτε θέσθαι,

Digitized by Google

θρασύτητι καὶ μοχθηρίᾳ δημαγωγῶν, ἐβουλεύοντο ποιεῖσθαι Πύῤῥον ἡγεμόνα, καὶ καλεῖν ἐπὶ τὸν πόλεμον, ὡς σχολὴν ἄγοντα πλείστην τῶν βασιλέων, καὶ στρατηγὸν ὄντα δεινότατον. Τῶν δὲ πρεσβυτέρων καὶ νοῦν ἐχόντων πολιτῶν οἱ μὲν ἄντικρυς ἐνιστάμενοι πρὸς τὴν γνώμην, ἐξέπιπτον ὑπὸ κραυγῆς καὶ βίας τῶν πολεμοποιῶν. Οἱ δὲ, ταῦτα ὁρῶντες, ἀπέλειπον τὰς ἐκκλησίας. Εἷς δέ τις ἀνὴρ ἐπιεικὴς, Μέτων ὄνομα, τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ τὸ δόγμα κυροῦν ἔμελλον, ἐνστάσης, καὶ τοῦ δήμου καθεζομένου, λαβὼν στέφανον τῶν ἐώλων, καὶ λαμπάδιον, ὥσπερ οἱ μεθύοντες, αὐλητρίδος ὑφηγουμένης αὐτῷ, πρὸς τὴν ἐκκλησίαν ἐκώμασεν. Οἷα δ' ἐν ὄχλῳ δημοκρατίας κόσμον οὐκ ἔχούσης, οἱ μὲν ἐκρότουν ἰδόντες, οἱ δ' ἐγέλων, ἐκώλυε δ' οὐδείς, ἀλλὰ καὶ τὸ γύναιον αὐλεῖν, κἀκεῖνον ᾄδειν ἐκέλευον εἰς μέσον προελθόντα· καὶ τοῦτο ποιήσειν ἐπίδοξος ἦν. Γενομένης δὲ σιωπῆς· Ἄνδρες, ἔφη, Ταραντῖνοι, καλῶς ποιεῖτε, παίζειν καὶ κωμάζειν, ἕως ἔξεστι, τοῖς βουλομένοις μὴ φθονοῦντες. Ἐὰν δὲ σωφρονῆτε, καὶ πάντες ἀπολαύσετε ἔτι τῆς ἐλευθερίας, ὡς ἕτερα πράγματα καὶ βίον καὶ δίαιταν ἕξοντες, ὅταν Πύῤῥος εἰς τὴν πόλιν παραγένηται. Ταῦτα ῥηθέντα τοὺς πολλοὺς ἔπεισε τῶν Ταραντίνων, καὶ θροῦς διέδραμε τῆς ἐκκλησίας, ὡς εὖ λεγομένων. Οἱ δὲ τοὺς Ῥωμαίους δεδιότες, μὴ γενομένης εἰρήνης ἐκδοθῶσι, τόν τε δῆμον ἐλοιδόρουν, εἰ φέρει πρᾴως ἐπικωμαζόμενος οὕτως ἀσελγῶς, καὶ παροινούμενος, τόν τε Μέτωνα

Digitized by Google

συστραφέντες ἐξέβαλον. Οὕτω δὲ τοῦ δόγματος κυρίου γενομένου, πρέσβεις ἔπεμψαν εἰς Ἤπειρον, οὐχ αὑτῶν μόνων, ἀλλὰ καὶ τῶν Ἰταλιωτῶν, θάρρα τῷ Πύρρῳ κομίζοντας, καὶ λέγοντας, ὡς ἡγεμόνος ἄμφρονος δέονται καὶ δόξαν ἔχοντος· δυνάμεις δ' αὐτόθεν ὑπάρξουσι μεγάλαι παρά τε Λευκανῶν καὶ Μεσσαπίων, καὶ Σαυνιτῶν, καὶ Ταραντίνων εἰς δισμυρίους ἱππεῖς, πεζῶν δ' ὁμοῦ πέντε καὶ τριάκοντα μυριάδες. Ταῦτα οὐ μόνον αὐτὸν ἐπῆρε τὸν Πύρρον, ἀλλὰ καὶ τοῖς Ἠπειρώταις προθυμίαν ἐνέβαλε καὶ ὁρμὴν τῆς στρατείας.

XIV. Ἦν δέ τις Κινέας, Θεσσαλὸς ἀνὴρ, τῷ μὲν φρονεῖν δοκῶν ἱκανὸς εἶναι, Δημοσθένους δὲ τοῦ ῥήτορος ἀκηκοὼς, ἐδόκει μόνος μάλιστα τῶν τότε λεγόντων, οἷον ἐν εἰκόνι, τῆς ἐκείνου δυνάμεως καὶ δεινότητος ἀναμιμνήσκειν τοὺς ἀκούοντας. Συνὼν δὲ τῷ Πύρρῳ, καὶ πεμπόμενος ἐπὶ τὰς πόλεις, ἐβεβαίου τὸ Εὐριπίδειον, ὅτι πᾶν ἕλκει λόγος,

Ὅ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.

Ὁ γοῦν Πύρρος ἔλεγε, πλείονας πόλεις ὑπὸ Κινέου τοῖς λόγοις, ἢ τοῖς ὅπλοις ὑφ' ἑαυτοῦ προσῆχθαι· καὶ διετέλει τὸν ἄνδρα τιμῶν ἐν τοῖς μάλιστα καὶ χρώμενος. Οὗτος οὖν τὸν Πύρρον, ὡρμημένον τότε δρᾶν ἐπὶ τὴν Ἰταλίαν, εἰς λόγους ἐπηγάγετο τοιούτους, ἰδὼν σχολάζοντα· Πολεμισταὶ μέν, ὦ Πύρρε, Ῥωμαῖοι λέγονται, καὶ πολλῶν ἐθνῶν μαχίμων ἄρχοντες· εἰ δὲ δοίη θεὸς περιγενέσθαι τῶν ἀνδρῶν, τί χρησόμεθα τῇ νίκῃ; Καὶ ὁ Πύρρος· Ἐρωτᾷς, εἶπεν,

Digitized by Google

ὦ Κινέα, πρᾶγμα φαινόμενον· οὔτε βάρβαρος ἡμῖν ἐκεῖ πόλις, οὔτε Ἑλληνὶς ἀξιόμαχος, Ῥωμαίων κρατηθέντων· ἀλλ' ἕξομεν εὐθὺς Ἰταλίαν ἅπασαν, ἧς μέγεθος καὶ ἀρετὴν καὶ δύναμιν ἄλλῳ που τινὶ μᾶλλον ἀγνοεῖν, ἢ σοὶ, προσήκει. Μικρὸν οὖν ἐπισχὼν ὁ Κινέας. Ἰταλίαν δ', εἶπεν, ὦ βασιλεῦ, λαβόντες, τί ποιήσομεν; Καὶ ὁ Πύῤῥος, οὔπω τὴν διάνοιαν αὐτοῦ καθορῶν· Ἔγγυς, εἶπεν, ἡ Σικελία χεῖρας ὀρέγει, νῆσος εὐδαίμων καὶ πολυάνθρωπος, ἁλῶναι δὲ ῥᾴστη. Στάσις γὰρ, ὦ Κινέα, πάντα νῦν ἐκεῖνα καὶ ἀναρχία πόλεων, καὶ δημαγωγῶν ὀξύτης, Ἀγαθοκλέους ἐκλελοιπότος. Εἰκότα, ἔφη, λέγεις, ὁ Κινέας· ἀλλ' ἦ τοῦτο πέρας ἡμῖν τῆς στρατείας, λαβεῖν Σικελίαν; Θεὸς, ἔφη ὁ Πύῤῥος, νικᾷν διδοίη καὶ κατορθοῦν· τούτοις δὲ προαγῶσι χρησόμεθα πραγμάτων μεγάλων. Τίς γὰρ ἂν ἀπόσχοιτο Λιβύης καὶ Καρχηδόνος ἐν ἐφικτῷ γενομένης, ἣν Ἀγαθοκλῆς ἀποδρὰς ἐκ Συρακουσῶν κρύφα, καὶ περάσας ναυσὶν ὀλίγαις, λαβεῖν παρ' οὐδὲν ἦλθεν; ὅτι δὲ τούτων κρατήσασιν ἡμῖν οὐδεὶς ἀντιστήσεται τῶν νῦν ὑβριζόντων πολεμίων, τί ἂν λέγοι τις; Οὐδὲν, ὁ Κινέας εἶπεν· δῆλον γὰρ, ὅτι καὶ Μακεδονίαν ἀναλαβεῖν, καὶ τῆς Ἑλλάδος ἄρχειν ὑπάρξει βεβαίως ἀπὸ τηλικαύτης δυνάμεως. Γενομένων δὲ πάντων ὑφ' ἡμῖν, τί ποιήσομεν; Καὶ ὁ Πύῤῥος ἐπιγελάσας· Σχολὴν, ἔφη, ἄξομεν πολλὴν, καὶ κώθων, ὦ μακάριε, καθημερινὸς ἔσται, καὶ διὰ λόγων συνόντες ἀλλήλους εὐφρανοῦμεν. Ἐνταῦθα δὴ

Digitized by Google

τοῦ λόγου καταστήσας τὸν Πύῤῥον ὁ Κινέας· Εἶτα, ἔφη, τί νῦν ἐμποδών ἐστιν ἡμῖν βουλομένοις, κώθωνι χρήσασθαι καὶ σχολάζειν μετ' ἀλλήλων, εἰ ταῦτ' ἔχομεν ἤδη, καὶ πάρεστιν ἀπραγμόνως, ἐφ' ἃ δι' αἵματος καὶ πόνων μεγάλων καὶ κινδύνων μέλλομεν ἀφίξεσθαι, πολλὰ καὶ δράσαντες ἑτέρους κακὰ καὶ παθόντες; Τούτοις τοῖς λόγοις ἡνίασε μᾶλλον, ἢ μετέθηκε τὸν Πύῤῥον ὁ Κινέας, νοήσαντα μὲν ὅσην ἀπέλιπεν εὐδαιμονίαν, ὧν δ' ὠρέγετο τὰς ἐλπίδας ἀφεῖναι μὴ δυνάμενον.

XV. Πρῶτον μὲν οὖν ἀπέστειλε τὸν Κινέαν τοῖς Ταραντίνοις, στρατιώτας ἄγοντα τρισχιλίους· ἔπειτα πολλῶν ἱππηγῶν καὶ καταφράκτων, καὶ πορθμείων παντοδαπῶν ἐκ Τάραντος κομισθέντων, ἐνεβίβαζεν ἐλέφαντας εἴκοσι, καὶ τρισχιλίους ἵππεῖς, πεζοὺς δὲ δισμυρίους, καὶ δισχιλίους τοξότας, καὶ σφενδονήτας πεντακοσίους. Γενομένων δὲ πάντων ἑτοίμων, ἀναχθεὶς ἔπλει· καὶ μέσον ἔχων τὸν Ἰόνιον, ἁρπάζεται βορέᾳ ἀνέμῳ, παρ' ὥραν ἐκραγέντι. Καὶ βιασθεὶς, αὐτὸς μὲν ἀρετῇ καὶ προθυμίᾳ ναυτῶν καὶ κυβερνητῶν ἐξανέφερε, καὶ προσανῆγε τῇ γῇ πολυπόνως καὶ παραβόλως. Τοῦ δ' ἄλλου στόλου συσχεθέντος, καὶ τῶν νεῶν σκεδασθεισῶν, αἱ μὲν ἀποσφαλεῖσαι τῆς Ἰταλίας ἐξεώσθησαν εἰς τὸ Λιβυκὸν καὶ Σικελικὸν πέλαγος· τὰς δ' ὑπερβαλεῖν μὴ δυνηθείσας ἄκραν Ἰαπυγίαν νύξ τε κατελάμβανε, καὶ πολλὴ καὶ χαλεπὴ θάλασσα παίουσα πρὸς χώρια δύσορμα καὶ τυφλὰ, πάσας διέφθειρε, πλὴν τῆς βασιλικῆς. Αὕτη δὲ, πλαγίου μὲν ἔτι

Digitized by Google

ὄντος τοῦ κύματος, ἠμύνετο καὶ διέφυγε μεγέθει καὶ ῥώμῃ τὰς ἐπιβολὰς τῆς θαλάσσης· ἐπεὶ δὲ περιελθὸν ἀπὸ γῆς ἅπηντα τὸ πνεῦμα, καὶ κίνδυνον εἶχεν ἡ ναῦς ἀντίπρωρος ἱσταμένη πρὸς κλύδωνα, πολὺν ἀναῤῥαγῆναι· τὸ δὲ ἐφέντας αὖθις ἠγριωμένῳ πελάγει καὶ πνεύματι, τροπὰς λαμβάνοντι παντοδαπὰς, φέρεσθαι φοβερώτατον ἐφαίνετο τῶν παρόντων κακῶν· ἄρας ὁ Πύῤῥος αὐτὸν ἀφῆκεν εἰς θάλασσαν, καὶ τῶν φίλων καὶ τῶν δορυφόρων εὐθὺς ἦν ἅμιλλα καὶ προθυμία περὶ αὐτόν. Ἡ δὲ νὺξ καὶ τὸ κῦμα μετὰ ψόφου μεγάλου καὶ τραχείας ἀνακοπῆς χαλεπὴν ἐποίει τὴν βοήθειαν· ὥστε μόλις τῆς ἡμέρας ἤδη μαραινομένου τοῦ πνεύματος ἐκπεσεῖν αὐτὸν ἐπὶ τὴν γῆν, τῷ μὲν σώματι παντάπασιν ἀδυνάτως ἔχοντα, τόλμῃ δὲ καὶ ῥώμῃ τῆς ψυχῆς ἀνταίροντα πρὸς τὴν ἀπορίαν. Ἅμα δὲ οἵ τε Μεσσάπιοι, καθ' οὓς ἐξεβράσθη, συνέθεον βοηθοῦντες ἐκ τῶν παρόντων προθύμως, καὶ προσεφέροντο τῶν σωζομένων ἔνιαι νεῶν· ἐν αἷς ἦσαν ἱππεῖς μὲν ὀλίγοι παντάπασι, πεζοὶ δὲ δισχιλίων ἐλάττους, ἐλέφαντες δὲ δύο.

XVI. Τούτους ἀναλαβὼν ὁ Πύῤῥος ἐβάδιζεν εἰς Τάραντα. Καὶ τοῦ Κινέου προαγαγόντος εἰς συνάντησιν, ὡς ἤσθετο, τοὺς στρατιώτας, παρελθὼν, οὐδὲν ἀκύντων, οὐδὲ πρὸς βίαν ἔπραττε τῶν Ταραντίνων, ἕως ἀνεσώθησαν αἱ νῆες ἐκ τῆς θαλάττης, καὶ συνῆλθεν ἡ πλείστη τῆς δυνάμεως. Τηνικαῦτα δὲ ὁρῶν τὸ πλῆθος ἄνευ μεγάλης ἀνάγκης μήτε σώζεσθαι δυνάμενον, μήτε σώζειν, ἀλλ' οἷον, ἐκείνου

Digitized by Google

προπολεμοῦντος, οἴκοι καθῆσθαι περὶ λουτρὰ καὶ συνουσίας γενόμενον, ἀπέκλεισε μὲν τὰ γυμνάσια καὶ τοὺς περιπάτους, ἐν οἷς ἀλύοντες ὑπὲρ τῶν πραγμάτων λόγῳ διεστρατήγουν, πότους δὲ καὶ κώμους καὶ θαλίας ἀκαίρους ἀνεῖλεν· ἐκάλει δὲ πρὸς τὰ ὅπλα, καὶ περὶ τοὺς καταλόγους τῶν στρατευομένων ἀπαραίτητος ἦν καὶ λυπηρός· ὥστε πολλοὺς ἐκ τῆς πόλεως ἀπελθεῖν, ἀηθείᾳ τοῦ ἄρχεσθαι, δουλείαν τὸ μὴ πρὸς ἡδονὴν ζῆν καλοῦντας. Ἐπεὶ δὲ Λαιβῖνος, ὁ τῶν Ῥωμαίων ὕπατος, ἠγγέλλετο πολλῇ στρατιᾷ χωρεῖν ἐπ' αὐτόν, ἅμα τὴν Λευκανίαν διαπορθῶν, οὐδέπω μὲν οἱ σύμμαχοι παρῆσαν αὐτῷ· δεινὸν δὲ ποιούμενος ἀνασχέσθαι καὶ περιϊδεῖν τοὺς πολεμίους ἐγγυτέρω προσιόντας, ἐξῆλθε μετὰ τῆς δυνάμεως, προπέμψας κήρυκα πρὸς τοὺς Ῥωμαίους, εἰ φίλοι ἐστὶν αὐτοῖς πρὸ πολέμου δίκας λαβεῖν παρὰ τῶν Ἰταλιωτῶν, αὐτῷ δικαστῇ καὶ διαλλακτῇ χρησαμένους· Ἀποκριναμένου δὲ τοῦ Λαιβίνου, μήτε διαλλακτὴν Πύρρον αἱρεῖσθαι Ῥωμαίους, μήτε δεδοικέναι πολέμιον, προελθὼν κατεστρατοπέδευεν ἐν τῷ μεταξὺ πεδίῳ Πανδοσίας πόλεως καὶ Ἡρακλείας. Πυθόμενος δὲ, τοὺς Ῥωμαίους ἐγγὺς εἶναι, καὶ πέραν τοῦ Σίριος ποταμοῦ καταστρατοπεδεύειν, προσίππευσε τῷ ποταμῷ θέας ἕνεκα· καὶ κατιδὼν τάξιν τε καὶ φυλακὰς καὶ κόσμον αὐτῶν, καὶ τὸ σχῆμα τῆς στρατοπεδείας, ἐθαύμασε, καὶ τῶν φίλων προσαγορεύσας τὸν ἐγγυτάτω· Τάξις μέν, εἶπεν, ὦ Μεγάκλεις, αὕτη τῶν βαρβάρων οὐ βάρβαρος, τὸ δ' ἔργον εἰσόμεθα.

Digitized by Google

Καὶ διὰ φροντίδος ἔχων ἤδη τὸ μέλλον, ἔγνω τοὺς συμμάχους ἀναμένειν. Τοῖς δὲ Ῥωμαίοις, ἂν πρότερον ἐπιχειρῶσι διαβαίνειν, ἐπέστησε φυλακὴν ὑπὲρ τοῦ ποταμοῦ τὴν εἴρξουσαν. Οἱ δὲ, ἅπερ ἐκεῖνος ἔγνω περιμένειν, φθῆναι σπεύδοντες, ἐνεχείρουν τῇ διαβάσει, κατὰ πόρον μὲν οἱ πεζοὶ, πολλαχόθεν δὲ οἱ ἱππεῖς διεξελαύνοντες τὸν ποταμόν· ὥστε δείσαντας τὴν κύκλωσιν ἀναχωρεῖν τοὺς Ἕλληνας. Αἰσθόμενον δὲ τὸν Πύῤῥον καὶ διαταραχθέντα, τοῖς μὲν ἡγεμόσι τοῦ πεζοῦ παρεγγυᾶν εὐθὺς εἰς τάξιν καθίστασθαι, καὶ περιμένειν ἐν τοῖς ὅπλοις· αὐτὸν δὲ τοῖς ἱππεῦσι παρεξελάσαι τρισχιλίοις οὖσιν, ἐλπίζοντα διαβαίνοντας ἔτι καὶ διεσπασμένους ἀτάκτους λήψεσθαι τοὺς Ῥωμαίους. Ἐπεὶ δ' ἑώρα θυρεούς τε πολλοὺς ὑπερφαινομένους τοῦ ποταμοῦ, καὶ τοὺς ἱππεῖς ἐπελαύνοντας ἐν τάξει, συστρέψας ἐνέβαλε πρῶτος, αὐτόθεν τε περίοπτος ὢν ὅπλων κάλλει καὶ λαμπρότητι κεκοσμημένων περιττῶς, καὶ τὴν δόξαν ἐπιδεικνύμενος ἔργοις οὐκ ἀποδέουσαν αὐτοῦ τῆς ἀρετῆς· μάλιστα δὲ, ὅτι τὰς χεῖρας καὶ τὸ σῶμα παρέχων τῷ ἀγῶνι, καὶ τοὺς καθ' αὑτὸν ἀμυνόμενος ἐῤῥωμένους, οὐ συνεχεῖτο τὸν λογισμὸν, οὐδὲ τοῦ φρονεῖν ἐξέπιπτεν, ἀλλ' ὥσπερ ἔξωθεν ἐφορῶν, διεκυβέρνα τὸν πόλεμον, αὐτὸς μεταθέων ἐκασταχόσε, καὶ παραβοηθῶν τοῖς ἐκβιάζεσθαι δοκοῦσιν. Ἔνθα δὴ Λεοννάτος ὁ Μακεδὼν, ἄνδρα κατιδὼν Ἰτιλὸν ἐπέχοντα τῷ Πύῤῥῳ, καὶ τὸν ἵππον ἀντιπαρεξάγοντα, καὶ συμμεθιστάμενον ἀεὶ καὶ συγκινούμενον· Ὁρᾷς, εἶπεν,

Digitized by Google

ὦ βασιλεῦ, τὸν βάρβαρον ἐκεῖνον, ὃν ὁ μέλας ἵππος ὁ λευκόπους φέρει; μέγα τι βουλευομένῳ καὶ δεινὸν ὅμοιός ἐστι. Σοὶ γὰρ ἑνορᾷ, καὶ πρὸς σὲ τέτακται, πνεύματος μεστὸς ὢν καὶ θυμοῦ, τοὺς δ' ἄλλους ἐᾷ χαίρειν. Ἀλλὰ σὺ φυλάττου τὸν ἄνδρα. Καὶ ὁ Πύῤῥος ἀπεκρίνατο· Τὸ μὲν εἱμαρμένον, ὦ Λεοννάτε, διαφυγεῖν ἀδύνατον· χαίρων δὲ οὔτε οὗτος, οὔτ' ἄλλος τις Ἰταλῶν εἰς χεῖρας ἡμῖν σύνεισιν. Ἔτι ταῦτα προσδιαλεγομένων, ὁ Ἰταλὸς διαλαβὼν τὸ δόρυ, καὶ συστρέψας τὸν ἵππον, ὥρμησεν ἐπὶ τὸν Πύῤῥον. Εἶτα ἅμα παίει μὲν αὐτὸς τῷ δόρατι τοῦ βασιλέως τὸν ἵππον, παίει δὲ τὸν ἐκείνου παραλαβὼν ὁ Λεοννάτος. Ἀμφοτέρων δὲ τῶν ἵππων πεσόντων, τὸν μὲν Πύῤῥον οἱ φίλοι περισχόντες ἀνήρπασαν, τὸν δ' Ἰταλὸν μαχόμενον διέφθειραν. Ἦν δὲ τῷ γένει Φρεντανὸς, ἴλης ἡγεμὼν, Ὄπλακος ὄνομα.

XVII. Τοῦτο δ' ἐδίδαξε τὸν Πύῤῥον μᾶλλον φυλάττεσθαι· καὶ τοὺς ἱππεῖς ὁρῶν ἐνδιδόντας, μετεπέμπετο τὴν φάλαγγα καὶ παρέταττεν. Αὐτὸς δὲ τὴν χλαμύδα καὶ τὰ ὅπλα παραδοὺς ἑνὶ τῶν ἑταίρων, Μεγακλεῖ, τοῖς δ' ἐκείνου τρόπον τινὰ κατακρύψας ἑαυτὸν, ἐπῆγε τοῖς Ῥωμαίοις. Δεξαμένων δ' ἐκείνων καὶ συμβαλόντων, χρόνον τε πολὺν ἑστήκει τὰ τῆς μάχης ἄκριτα, καὶ τροπὰς ἑπτὰ λέγεται φευγόντων ἀναπαλιν καὶ διωκόντων γενέσθαι. Καὶ γὰρ ἡ διάμειψις τῶν ὅπλων ἐν καιρῷ πρὸς σωτηρίαν αὐτοῦ γεγονυῖα τοῦ βασιλέως, ὀλίγον ἐδέησεν ἀνατρέψαι τὰ πράγματα, καὶ διαφθεῖραι τὴν νίκην. Πολλῶν

Digitized by Google

γὰρ ἐφιεμένων τοῦ Μεγακλέους, ὁ πρῶτος παταξας καὶ καταβαλὼν αὐτὸν, ὄνομα Δέξιος, ἁφαρπάσας τὸ κράνος καὶ τὴν χλαμύδα, τῷ Λαιβίνῳ προσίππευσεν, ἀναδεικνύων ἅμα καὶ βοῶν ἀνῃρηκέναι τὸν Πύῤῥον. Ἦν οὖν παρὰ τὰς τάξεις τῶν λαφύρων παραφερομένων καὶ ἀναδεικνυμένων, τοῖς τε Ῥωμαίοις χαρὰ μετ' ἀλαλαγμοῦ, καὶ τοῖς Ἕλλησιν ἀθυμία καὶ κατάπληξις· ἄχρις οὗ μαθὼν ὁ Πύῤῥος τὸ γιγνόμενον παρήλαυνε γυμνῷ τῷ προσώπῳ, τήν τε δεξιὰν ὀρέγων τοῖς μαχομένοις, καὶ τῇ φωνῇ σημαίνων ἑαυτόν. Τέλος δὲ, τῶν θηρίων ἐκβιαζομένων μάλιστα τοὺς Ῥωμαίους, καὶ τῶν ἵππων, πρὶν ἐγγὺς γενέσθαι, δυσαναισχετούντων καὶ παραφερόντων τοὺς ἐπιβάτας, ἐπαγαγὼν τὴν Θεσσαλικὴν ἵππον αὐτοῖς ταρασσομένοις, ἐτρέψατο πολλῷ φόνῳ. Διονύσιος μὲν οὖν ὀλίγῳ τῶν πεντακισχιλίων καὶ μυρίων ἐλάσσονας πεσεῖν ἱστορεῖ Ῥωμαίων, Ἱερώνυμος δὲ, μόνους ἑπτακισχιλίους· τῶν δὲ περὶ Πύῤῥον, ὁ μὲν Διονύσιος, μυρίους καὶ τρισχιλίους, ὁ δὲ Ἱερώνυμος, ἐλάττονας τῶν τετρακισχιλίων. Κράτιστοι δ' ἦσαν οὗτοι καὶ τῶν φίλων καὶ τῶν στρατηγῶν, οἷς ὁ Πύῤῥος μάλιστα χρώμενος διετέλει, καὶ πιστεύων ἀπέβαλεν. Οὐ μὴν ἀλλὰ καὶ τὸ στρατόπεδον ἔλαβε, τῶν Ῥωμαίων ἐκλιπόντων, καὶ πόλεις συμμαχίδας αὐτῶν προσηγάγετο, καὶ χώραν πολλὴν διεπόρθησε, καὶ προῆλθεν, ὅσον μὴ πλέον σταδίων τριακοσίων ἀποσχεῖν τῆς Ῥώμης. Ἀφίκοντο δ' αὐτῷ Λευκανῶν τε πολλοὶ καὶ Σαυνιτῶν μετὰ τὴν μάχην· οὓς ἐμέμψατο μὲν ὑστερῆ-

Digitized by Google

σαντας, ἦν δὲ δῆλος ἡδόμενος καὶ μέγα φρονῶν, ὅτι μόνοις τοῖς μετ' αὐτοῦ καὶ Ταραντίνοις ἐκράτησε τῆς μεγάλης Ῥωμαίων δυνάμεως.

XVIII. Ῥωμαῖοι δὲ Λαιβῖνον μὲν οὐκ ἀπήλλαξαν τῆς ἀρχῆς· καίτοι λέγεται, Γάϊον Φαβρίκιον εἰπεῖν, ὡς οὐκ Ἠπειρῶται Ῥωμαίους, ἀλλὰ Πύρρος νενικήκει Λαιβῖνον· οἰόμενον, οὐ τῆς δυνάμεως, ἀλλὰ τῆς στρατηγίας, γεγονέναι τὴν ἥτταν. Ἀναπληροῦντες δὲ τὰς τάξεις, καὶ συντάττοντες ἑτέρας προθύμως, καὶ λόγους ἀδεεῖς καὶ σοβαροὺς περὶ τοῦ πολέμου λέγοντες, ἔκπληξιν τῷ Πύρρῳ παρεῖχον. Ἔδοξεν οὖν αὐτῷ πέμψαντι πρότερον διάπειραν λαβεῖν τῶν ἀνδρῶν, εἰ συμβατικῶς ἔχοιεν· ἡγουμένῳ τὸ μὲν ἑλεῖν τὴν πόλιν καὶ κρατῆσαι παντάπασιν, οὐ μικρὸν ἔργον, οὐδὲ τῆς παρούσης δυνάμεως εἶναι, τὴν δὲ φιλίαν καὶ τὰς διαλύσεις κάλλιστα ἔχειν πρὸς δόξαν αὐτῷ μετὰ νίκην. Πεμφθεὶς οὖν ὁ Κινέας ἐνετύγχανε τοῖς δυνατοῖς, καὶ δῶρα παισὶν αὐτῶν καὶ γυναιξὶν ἔπεμψε παρὰ τοῦ βασιλέως. Ἔλαβε δ' οὐδείς, ἀλλ' ἀπεκρίναντο πάντες καὶ πᾶσαι, ὅτι, δημοσίᾳ σπονδῶν γενομένων, καὶ τὰ παρ' αὐτῶν ὑπάρξει πρόθυμα τῷ βασιλεῖ καὶ κεχαρισμένα. Πρὸς δὲ τὴν σύγκλητον ἐπαγωγὰ τοῦ Κινέου πολλὰ καὶ φιλάνθρωπα διαλεχθέντος, ἄσμενοι μὲν οὐδὲν οὐδ' ἑτοίμως ἐδέχοντο, καίπερ ἄνδρας τε τοὺς ἡλωκότας ἐν τῇ μάχῃ δίχα λύτρων ἀφιέντος αὐτοῖς τοῦ Πύρρου, καὶ συγκατεργάσασθαι τὴν Ἰταλίαν ἐπαγγελλομένου, φιλίαν δ' ἀντὶ τούτων ἑαυτῷ, καὶ τοῖς Ταραντίνοις ἄδειαν, ἕτερον

Digitized by Google

δὲ μηδὲν αἰτουμένου· δῆλοί γε μὴν ἦσαν ἐνδιδόντες οἱ πολλοὶ πρὸς τὴν εἰρήνη, ἥττημένοι τε μεγάλην μάχην, καὶ προσδοκῶντες ἑτέραν ἀπὸ μείζονος δυνάμεως, τῶν Ἰταλικῶν τῷ Πύῤῥῳ προσγεγονότων. Ἔνθα δὴ Κλαύδιος Ἄππιος, ἀνὴρ ἐπιφανὴς, ὑπὸ δὲ γήρως ἅμα καὶ πηρώσεως ὀμμάτων ἀπειρηκὼς πρὸς τὴν πολιτείαν καὶ πεπαυμένος, ἀπαγγελλομένων τότε τῶν παρὰ τοῦ βασιλέως, καὶ λόγου κατασχόντος, ὡς μέλλει ψηφίζεσθαι τὰς διαλύσεις ἡ σύγκλητος, οὐκ ἐκαρτέρησεν, ἀλλὰ τοὺς θεράποντας ἆρασθαι κελεύσας αὐτὸν, ἐκομίζετο πρὸς τὸ βουλευτήριον ἐν φορείῳ δι' ἀγορᾶς. Γενόμενον δὲ πρὸς ταῖς θύραις οἱ μὲν παῖδες ἅμα τοῖς γαμβροῖς ὑπολαβόντες καὶ περισχόντες εἰσῆγον· ἡ δὲ βουλὴ σιωπὴν, αἰδουμένη τὸν ἄνδρα μετὰ τιμῆς, ἔσχεν.

XIX. Ὁ δ' αὐτόθεν καταστὰς, „Πρότερον μὲν (ἔφη) τὴν περὶ τὰ ὄμματα τύχην ἀνιαρῶς ἔφερον, ὦ Ῥωμαῖοι· νῦν δ' ἄχθομαι, πρὸς τῷ τυφλὸς εἶναι, μὴ καὶ κωφὸς ὢν, ἀλλ' ἀκούων αἰσχρὰ βουλεύματα καὶ δόγματα ὑμῶν, ἀνατρέποντα τῆς Ῥώμης τὸ κλέος. Ποῦ γὰρ ὑμῶν ὁ πρὸς ἅπαντας ἀνθρώπους θρυλλούμενος ἀεὶ λόγος, ὡς, εἰ παρῆν ἐκεῖνος εἰς Ἰταλίαν ὁ μέγας Ἀλέξανδρος, καὶ συννηνέχθη νέοις ἡμῖν καὶ τοῖς πατράσιν ἡμῶν ἀκμάζουσιν, οὐκ ἂν ὑμνεῖτο νῦν ἀνίκητος, ἀλλ' ἢ φυγὼν ἂν, ἢ που πεσὼν ἐνταῦθα, τὴν Ῥώμην ἐνδοξοτέραν ἀπέλιπε; Ταῦτα μέντοι κενὴν ἀλαζονείαν καὶ κόμπον ἀποδείκνυτε, Χάονας καὶ Μολοσσοὺς, τὴν ἀεὶ Μακεδόνων

Digitized by Google

λείαν, δεδιότες, καὶ τρέμοντες Πύῤῥον, ὃς τῶν Ἀλεξάνδρου δορυφόρων ἕνα γοῦν ἀεὶ περίεπων καὶ θεραπεύων διατετέλεκε. Καὶ νῦν οὐ βοηθῶν τοῖς ἐνταῦθα μᾶλλον Ἕλλησιν, ἢ φεύγων τοὺς ἐκεῖ πολεμίους, πλανᾶται περὶ τὴν Ἰταλίαν, ἐπαγγελλόμενος ἡμῖν τὴν ἡγεμονίαν ἀπὸ ταύτης τῆς δυνάμεως, ἣ μέρος μικρὸν αὐτῷ Μακεδονίας οὐκ ἤρκεσε διαφυλάξαι. Μὴ τοῦτον οὖν ἀπαλλάξειν νομίζετε, ποιησάμενοι φίλον, ἀλλ' ἐκείνους ἐπάξεσθαι, καταφρονήσαντας ὑμῶν, ὡς πᾶσιν εὐκατεργάστων, εἰ Πύῤῥος ἅπεισι, μὴ δοὺς δίκην ὧν ὕβρισεν, ἀλλὰ καὶ προσλαβὼν μισθὸν τοῦ ἐπεγγελάσαι Ῥωμαίοις, Ταραντίνους καὶ Σαυνίτας." Τοιαῦτα τοῦ Ἀππίου διαλεχθέντος, ὁρμὴ παρέστη πρὸς τὸν πόλεμον αὐτοῖς, καὶ τὸν Κινέαν ἀποπέμπουσιν, ἀποκρινάμενοι· Πύῤῥον, ἐξελθόντα τῆς Ἰταλίας, οὕτως, εἰ δέοιτο, περὶ φιλίας καὶ συμμαχίας διαλέγεσθαι· μέχρι δ' οὗ πάρεστιν ἐν ὅπλοις, πολεμήσειν αὐτῷ Ῥωμαίους κατὰ κράτος, κἂν ἔτι μυρίους Λαιβίνους τρέψηται μαχόμενος. Λέγεται δὲ, Κινέαν, ἐν ᾧ ταῦτ' ἐπραττεν, ἅμα ποιησάμενον ἔργον καὶ σπουδάσαντα, τῶν τε βίων γενέσθαι θεατὴν, καὶ τῆς πολιτείας τὴν ἀρετὴν κατανοῆσαι, καὶ διὰ λόγων ἐλθόντα τοῖς ἀρίστοις, τά τ' ἄλλα τῷ Πύῤῥῳ φράσαι, καὶ εἰπεῖν, ὡς ἡ σύγκλητος αὐτῷ βασιλέων πολλῶν συνέδριον φανείη· περὶ δὲ τοῦ πλήθους δεδιέναι, μὴ πρός τινα φανῶσι Λερναίαν ὕδραν μαχόμενοι. Διπλατίους γὰρ ἤδη τῷ ὑπάτῳ τῶν παρατεταγμένων πρό-

Digitized by Google

τερον ἡθροῖσθαι, καὶ πολλάκις εἶναι τοσούτους ἔτι τῶν Ῥωμαίων ὅπλα φέρειν δυναμένους.

XX. Ἐκ τούτου πρέσβεις ἀφίκοντο περὶ τῶν αἰχμαλώτων οἱ περὶ Γάϊον Φαβρίκιον, οὗ πλεῖστον ἔφη Ῥωμαίους λόγον ἔχειν ὁ Κινέας, ὡς ἀνδρὸς ἀγαθοῦ καὶ πολεμικοῦ, πένητος δὲ ἰσχυρῶς. Τοῦτον οὖν ὁ Πύῤῥος ἰδίᾳ φιλοφρονούμενος ἔπειθε λαβεῖν χρυσίον, ἐπ' οὐδενὶ δῆθεν αἰσχρῷ, φιλίας δέ τι τοῦτο καὶ ξενίας ἐπονομάζων σύμβολον. Ἀπωσαμένου δὲ τοῦ Φαβρικίου, τότε μὲν ἡσύχασε, τῇ δ' ὑστεραίᾳ βουλόμενος αὐτὸν ἐκπλῆξαι, μήπω θεατὴν ἐλέφαντος γεγενημένον, ἐκέλευσε τῶν θηρίων τὸ μέγιστον ἐξόπισθεν αὐτοῖς παραστῆσαι κοινολογουμένοις, αὐλαίαν παρατείναντας. Ἐγένετο δὴ ταῦτα, καὶ σημείου δοθέντος, ἡ μὲν αὐλαία παρήχθη, τὸ δὲ θηρίον ἄφνω τήν τε προνομαίαν ἀράμενον, ὑπερέσχε τῆς κεφαλῆς τοῦ Φαβρικίου, καὶ φωνὴν ἀφῆκε φοβερὰν καὶ τραχεῖαν. Ὁ δ', ῥῆμα μεταστραφεὶς, καὶ διαμειδιάσας, πρὸς τὸν Πύῤῥον εἶπεν· „Οὔτε χθὲς μὲ τὸ χρυσίον ἐκίνησεν, οὔτε σήμερον τὸ θηρίον.“ Ἐν δὲ τῷ δείπνῳ λόγων παντοδαπῶν γενομένων, πλείστων δὲ περὶ τῆς Ἑλλάδος καὶ τῶν φιλοσοφούντων, ἔτυχέ πως ὁ Κινέας ἐπιμνησθεὶς τοῦ Ἐπικούρου, καὶ διῆλθεν, ἃ λέγουσι περὶ θεῶν, καὶ πολιτείας, καὶ τέλους, τὸ μὲν ἐν ἡδονῇ τιθέμενοι, πολιτείαν δὲ φεύγοντες, ὡς βλάβην καὶ σύγχυσιν τοῦ μακαρίου· τὸ δὲ θεῖον ἀπωτάτω χάριτος καὶ ὀργῆς, καὶ τοῦ μέλειν ἡμῶν, εἰς ἀπράγμονα βίον καὶ μα-

Digitized by Google

στὸν εὐπαθειῶν ἀποικίζοντες. Ἔτι δ' αὐτοῦ λέγοντος, ἀναχραγὼν ὁ Φαβρίκιος· Ὦ Ἡράκλεις, εἶπε, Πύῤῥῳ τὲ δόγματα μέλοι ταῦτα καὶ Σαυνίταις, ἕως πολεμοῦσι πρὸς ἡμᾶς. Οὕτω δὴ θαυμάσας τὸ φρόνημα τοῦ ἀνδρὸς καὶ τὸ ἦθος ὁ Πύῤῥος, ἔτι μᾶλλον ἠρέγετο φιλίαν ἀντὶ πολέμου πρὸς τὴν πόλιν αὐτῷ γενέσθαι· κἀκεῖνον ἰδίᾳ παρεκάλει, ποιησάμενον τὰς διαλύσεις ἕπεσθαι καὶ συζῆν μετ' αὐτοῦ, πρῶτον ὄντα πάντων τῶν ἑταίρων καὶ τῶν στρατηγῶν. Ὁ δ' ἡσυχῇ λέγεται πρὸς αὐτὸν εἰπεῖν· „Ἀλλ' οὔ σοι τοῦτο, βασιλεῦ, λυσιτελές ἐστιν. Αὐτοὶ γὰρ οἱ νῦν σε τιμῶντες καὶ θαυμάζοντες, ἂν ἐμοῦ πεῖραν λάβωσιν, ὑπ' ἐμοῦ μᾶλλον ἐθελήσουσιν, ἢ σοῦ, βασιλεύεσθαι." Τοιοῦτος μὲν ὁ Φαβρίκιος. Ὁ δὲ Πύῤῥος οὐ πρὸς ὀργήν, οὐδὲ τυραννικῶς ἐδέξατο τὸν λόγον, ἀλλὰ καὶ τοῖς φίλοις ἀπήγγειλε τοῦ Φαβρικίου τὴν μεγαλοφροσύνην, καὶ τοὺς αἰχμαλώτους ἐκείνῳ μόνῳ διεπίστευσεν, ὅπως, εἰ μὴ ψηφίσαιτο τὴν εἰρήνην ἡ σύγκλητος, ἀσπασάμενοι τοὺς προσήκοντας, καὶ τὰ Κρόνια διεορτάσαντες ἀποπεμφθεῖεν πάλιν πρὸς αὐτόν. Καὶ ἀπεπέμφθησαν μετὰ τὴν ἑορτὴν, τῷ ὑπολειφθέντι τῆς βουλῆς ζημίαν θάνατον ψηφισαμένης.

XXI. Μετὰ ταῦτα τοῦ Φαβρικίου τὴν ἀρχὴν παραλαβόντος, ἦκεν ἀνὴρ εἰς τὸ στρατόπεδον πρὸς αὐτὸν, ἐπιστολὴν κομίζων, ἣν ἔγραψεν ὁ τοῦ βασιλέως ἰατρὸς, ἐπαγγελλόμενος φαρμάκοις ἀναιρήσειν τὸν Πύῤῥον, εἰ χάρις αὐτῷ παρ' ἐκείνων ὁμολογη-

Digitized by Google

θείη, λύσαντι τὸν πόλεμον ἀκινδύνως. Ὁ δὲ Φαβρίκιος, δυσχεράνας πρὸς τὴν ἀδικίαν τοῦ ἀνθρώπου, καὶ τὸν συνάρχοντα διαθεὶς ὁμοίως, ἔπεμψε γράμματα πρὸς τὸν Πύρρον κατὰ τάχος, φυλάττεσθαι τὴν ἐπιβουλὴν κελεύων. Εἶχε δ' οὕτως τὰ γεγραμμένα. „Γάϊος Φαβρίκιος καὶ Κόϊντος Αἰμύλιος, ὕπατοι Ῥωμαίων, Πύρρῳ βασιλεῖ χαίρειν. Οὔτε φίλων εὐτυχὴς ἔοικας εἶναι κριτής, οὔτε πολεμίων. Γνώσῃ δὲ, τὴν πεμφθεῖσαν ἡμῖν ἐπιστολὴν ἀναγνούς, ὅτι χρηστοῖς καὶ δικαίοις ἀνδράσι πολεμεῖς, ἀδίκοις δὲ καὶ κακοῖς πιστεύεις. Οὐδὲ γὰρ ταῦτα σῇ χάριτι μηνύομεν, ἀλλ' ὅπως μὴ τὸ σὸν πάθος ἡμῖν διαβολὴν ἐνέγκῃ, καὶ δόλῳ δόξωμεν, ὡς ἀρετῇ μὴ δυνάμενοι, κατεργάσασθαι τὸν πόλεμον." Ἐντυχὼν τούτοις τοῖς γράμμασιν ὁ Πύρρος, καὶ τὴν ἐπιβουλὴν ἐξελέγξας, τὸν μὲν ἰατρὸν ἐκόλασε, Φαβρικίῳ δὲ καὶ Ῥωμαίοις ἀμοιβὴν ἐδωρεῖτο προῖκα τοὺς αἰχμαλώτους· καὶ πάλιν ἔπεμψε τὸν Κινέαν διαπραξόμενον αὐτῷ τὴν εἰρήνην. Οἱ δὲ Ῥωμαῖοι, μήτ' εἰ χάρις ἐστὶ παρὰ πολεμίου, μήτ' εἰ μισθὸς τοῦ μὴ ἀδικηθῆναι, λαβεῖν προῖκα τοὺς ἄνδρας ἀξιώσαντες, ἴσους ἀπέλυσαν αὐτῷ Ταραντίνων καὶ Σαυνιτῶν. Περὶ δὲ φιλίας καὶ εἰρήνης οὐδὲν εἴων διαλέγεσθαι, πρὶν ἀράμενος τὰ ὅπλα καὶ τὸν στρατὸν, ἐξ Ἰταλίας, αἷς ἦλθε ναυσὶν, ἀποπλεύσῃ πάλιν εἰς Ἤπειρον. Ἐκ τούτου, μάχης ἄλλης τῶν πραγμάτων αὐτῷ δεομένων, ἀναλαβὼν τὴν στρατιὰν ἐχώρει, καὶ περὶ Ἄσκλον πάλιν τοῖς Ῥωμαίοις συνάψας, καὶ

Digitized by Google

βιαζόμενος πρὸς χωρία δύσιππα καὶ ποταμὸν ἑλώδη καὶ τραχὺν, ἔφοδον τῶν θηρίων οὐ λαβόντων, ὥστε προσμίξαι τῇ φάλαγγι, τραυμάτων πολλῶν γενομένων καὶ νεκρῶν πεσόντων, τότε μὲν διεκρίθη μέχρι νυκτὸς ἀγωνισάμενος. Τῇ δ' ὑστεραίᾳ στρατηγῶν δι' ὁμαλοῦ τὴν μάχην θέσθαι, καὶ τοὺς ἐλέφαντας ἐν τοῖς ὅπλοις γενέσθαι τῶν πολεμίων, προέλαβε τὰς δυσχωρίας φυλακῇ, καὶ πολλὰ καταμίξας ἀκοντίσματα καὶ τοξεύματα τοῖς θηρίοις, ἐπῆγε μετὰ φύμης καὶ βίας πυκνὴν καὶ συντεταγμένην τὴν δύναμιν. Οἱ δὲ Ῥωμαῖοι τὰς διακλίσεις καὶ τὰς ἀντιπαραγωγὰς τὰς πρότερον οὐκ ἔχοντες, ἐξ ἐπιπέδου συνεφέροντο κατὰ στόμα· καὶ σπεύδοντες ἄσασθαι τοὺς ὁπλίτας, πρὶν ἐπιβῆναι τὰ θηρία, δεινοὺς περὶ τὰς σαρίσσας τῶν ξιφῶν ἀγῶνας εἶχον, ἀφειδοῦντες ἑαυτῶν, καὶ τὸ τρῶσαι καὶ καταβαλεῖν ὁρῶντες, τὸ δὲ παθεῖν εἰς οὐδὲν τιθέμενοι. Χρόνῳ δὲ πολλῷ λέγεται μὲν ἀρχὴ τροπῆς κατ' αὐτὸν γενέσθαι τὸν Πύρρον, ἐπερείσαντα τοῖς ἀντιτεταγμένοις. Τὸ δὲ πλεῖστον ἀλκῇ καὶ βίᾳ τῶν ἐλεφάντων κατειργάσατο, χρήσασθαι τῇ ἀρετῇ πρὸς τὴν μάχην τῶν Ῥωμαίων μὴ δυναμένων, ἀλλ' οἷον ἐφόδῳ κύματος, ἢ σεισμοῦ κατερείποντος, οἰομένων δεῖν ἐξίστασθαι, μηδ' ὑπομένειν ἀπράκτους ἀποθνήσκειν, ἐν τῷ μηδὲν ὠφελεῖν, πάντα πάσχοντας τὰ χαλεπώτατα. Τῆς δὲ φυγῆς οὐ μακρᾶς εἰς τὸ στρατόπεδον γενομένης, ἑξακισχιλίους ἀπολωλέναι φησὶ τῶν Ῥωμαίων Ἱερώνυμος· τῶν δὲ περὶ Πύρρον ἐν τοῖς βασιλικοῖς ὑπο-

Digitized by Google

μνήμασιν ἀνενεχθῆναι τρισχιλίους πεντακοσίους καὶ πέντε τεθνηκότας. Ὁ μέντοι Διονύσιος οὔτε δύο περὶ Ἄσκλον μάχας, οὔτε ὁμολογουμένην ἧττταν ἱστορεῖ γενέσθαι Ῥωμαίων· ἅπαξ δὲ μέχρι δυσμῶν ἡλίου μαχεσαμένους μόλις ἀπαλλαγῆναι, τοῦ Πύρρου τρωθέντος ὑσσῷ τὸν βραχίονα, καὶ τὴν ἀποσκευὴν ἅμα Σαυνιτῶν διαρπασάντων· ἀποθανεῖν δὲ καὶ Πύρρου καὶ Ῥωμαίων ἄνδρας ὑπὲρ μυρίους πεντακισχιλίους ἑκατέρων. Διελύθησαν δ' ἀμφότεροι, καὶ λέγεται τὸν Πύρρον εἰπεῖν πρός τινα τῶν συνηδομένων αὐτῷ· „Ἂν ἔτι μίαν μάχην Ῥωμαίους νικήσωμεν, ἀπολούμεθα παντελῶς." Πολὺ μὲν γὰρ ἀπολώλει μέρος, ἧς ἄγων ἦκε δυνάμεως, φίλοι δὲ καὶ στρατηγοὶ, πλὴν ὀλίγων, ἅπαντες. Μεταπέμπεσθαι δ' οὐκ ἦσαν ἕτεροι, καὶ τοὺς αὐτόθι συμμάχους ἀμβλυτέρους ἑώρα· τοῖς δὲ Ῥωμαίοις, ὥσπερ ἐκ πηγῆς οἴκοθεν ἐπιῤῥεούσης, ἀναπληρούμενον εὐπόρως καὶ ταχὺ τὸ στρατόπεδον, καὶ ταῖς ἥτταις οὐκ ἀποβάλλοντας τὸ θαῤῥεῖν, ἀλλὰ ῥώμην καὶ φιλοτιμίαν ὑπ' ὀργῆς ἐπὶ τὸν πόλεμον προσλαμβάνοντας.

XXII. Ἐν τοιαύταις δ' ὢν ἀπορίαις, εἰς ἐλπίδας αὖ πάλιν κενὰς ἐνέπεσε, καὶ πράγματα διχοστασίαν ἔχοντα τῆς γνώμης. Ἅμα γὰρ ἦκον ἐκ μὲν Σικελίας ἄνδρες, Ἀκράγαντα καὶ Συρακούσας καὶ Λεοντίνους ἐγχειρίζοντες αὐτῷ, καὶ δεόμενοι Καρχηδονίους τε συνεκβαλεῖν, καὶ τῶν τυράννων ἀπαλλάξαι τὴν νῆσον· ἐκ δὲ τῆς Ἑλλάδος ἀγγέλλοντες, ὡς Πτολεμαῖος ὁ Κεραυνὸς ἀπόλοιτο συμπεσὼν Γαλάταις

Digitized by Google

μετὰ τῆς δυνάμεως, καὶ νῦν ἂν ἐν καιρῷ μάλιστα δεομένοις βασιλέως Μακεδόσι παραγένοιτο. Πολλὰ δὴ τὴν τύχην μεμψάμενος, ὅτι πράξεων μεγάλων ὑποθέσεις εἰς ἕνα καιρὸν αὐτῷ συνήνεγκε, καὶ νομίζων, ἐξ ἀμφοτέρων ὑπαρχουσῶν, ἀπολλύναι θατέραν, διηνέχθη τοῖς λογισμοῖς πολὺν χρόνον. Εἶτα, τοῖς Σικελικοῖς μειζόνων ὑποκεῖσθαι πραγμάτων δοκούντων, Λιβύης ἐγγὺς εἶναι δοκούσης, ἐπὶ ταῦτα τρέψας, Κινέαν μὲν εὐθὺς ἐξέπεμψε προδιαλεξόμενον, ὥσπερ εἰώθει, ταῖς πόλεσιν· αὐτὸς δὲ τοῖς Ταραντίνοις δυσαρεστοῦσιν ἐμβαλὼν φρουράν, καὶ ἀξιοῦσιν, ἢ παρέχειν ἐφ' οἷς ἦκε, συμπολεμοῦντα Ῥωμαίοις, ἢ τὴν χώραν προέμενον αὐτῶν ἀπολιπεῖν τὴν πόλιν, οἵαν παρέλαβε, μηδὲν ἐπιεικὲς ἀποκριγάμενος, ἀλλὰ προστάξας ἡσυχίαν ἄγειν, καὶ περιμένειν τὸν ἑαυτοῦ καιρόν, ἐξέπλευσεν. Ἅψαμένῳ δ' αὐτῷ Σικελίας, ἃ μὲν ἤλπισεν, εὐθὺς ἁπήντα βέβαια, καὶ παρεῖχον αἱ πόλεις ἑαυτὰς προθύμως. Τῶν δ' ἀγῶνος καὶ βίας δεηθέντων οὐδὲν ἀντεῖχε τὸ πρῶτον, ἀλλὰ τρισμυρίοις πεζοῖς, καὶ δισχιλίοις πεντακοσίοις ἱππεῦσι, καὶ διακοσίοις ναυσὶν ἐπίων, τούς τε Φοίνικας ἐξῄρει, καὶ κατεστρέφετο τὴν ἐπικράτειαν αὐτῶν. Τοῦ δ' Ἔρυκος ὀχυρωτάτου τῶν χωρίων ὄντος, καὶ πολλοὺς ἀμυνομένους ἔχοντος, ἔγνω βιάζεσθαι πρὸς τὰ τείχη. Καὶ τῆς στρατιᾶς γενομένης ἑτοίμης, ἐνεδύσατο τὴν πανοπλίαν, καὶ προσελθὼν ηὔξατο τῷ Ἡρακλεῖ ποιήσειν ἀγῶνα καὶ θυσίαν ἀριστεῖον, ἂν τοῦ γένους καὶ τῶν ὑπαρχόν-

Digitized by Google

των ἄξιον ἀγωνιστὴν αὐτὸν ἀποδείξῃ τοῖς Σικελίαν οἰκοῦσιν Ἕλλησι. Τῇ δὲ σάλπιγγι σημήνας, καὶ τοῖς βέλεσι τοὺς βαρβάρους ἀνασκεδάσας, καὶ τὰς κλίμακας προσαγαγών, πρῶτος ἐπέβη τοῦ τείχους. Ἀντιστάντων δὲ πολλῶν, ἀμυνόμενος, τοὺς μὲν ἔξέωσε τοῦ τείχους ἐπ' ἀμφότερα, καὶ κατέβαλε, πλείστους δὲ περὶ αὐτὸν, τῷ ξίφει χρώμενος, ἐσώρευσε νεκρούς. Ἔπαθε δ' αὐτὸς οὐδὲν, ἀλλὰ καὶ προσιδεῖν δεινὸς ἐφάνη τοῖς πολεμίοις, καὶ τὸν Ὅμηρον ἔδειξεν ὀρθῶς καὶ μετ' ἐμπειρίας ἀποφαίνοντα, τῶν ἀρετῶν μόνην τὴν ἀνδρείαν φορὰς πολλάκις ἐνθουσιώδεις καὶ μανικὰς φερομένην. Ἁλούσης δὲ τῆς πόλεως, ἔθυσέ τε τῷ θεῷ μεγαλοπρεπῶς, καὶ θέας ἀγώνων παντοδαπῶν παρέσχε.

XXIII. Τῶν δὲ περὶ Μεσσήνην βαρβάρων, Μαμερτίνων δὲ καλουμένων, πολλὰ τοῖς Ἕλλησιν ἐνοχλούντων, ἐνίους δὲ καὶ φόροις πεποιημένων ὑποτελεῖς, πολλῶν δὲ καὶ μαχίμων ὄντων, (διὸ καὶ προσηγορεύθησαν Ἀρήϊοι γλώσσῃ τῇ Λατίνων,) τοὺς μὲν φορολόγους συλλαβὼν ἀπέκτεινεν, αὐτοὺς δὲ νικήσας μάχῃ, πολλὰ τῶν φρουρίων ἐξέκοψε. Καρχηδονίοις δὲ συμβατικῶς ἔχουσι, καὶ χρήματα βουλομένοις τελεῖν, εἰ γένοιτο φιλία, καὶ ναῦς ἀποστέλλειν, ἀπεκρίνατο πλειόνων ἐφιέμενος, μίαν εἶναι διάλυσιν καὶ φιλίαν πρὸς αὐτοὺς, εἰ πᾶσαν ἐκλιπόντες Σικελίαν, ὅρῳ χρῷντο τῇ Λιβυκῇ θαλάσσῃ πρὸς τοὺς Ἕλληνας. Εὐτυχίᾳ δὲ καὶ ῥώμῃ τῶν παρόντων ἐπαιρόμενος, καὶ διώκων τὰς ἐλπίδας, ἐφ' αἷς ἐπ'

Digitized by Google

ἀρχῆς ἔπλευσε, πρώτης δὲ Λιβύης ἐφιέμενος, καὶ ναῦς ἔχων πολλὰς πληρωμάτων ἐπιδεεῖς, ἤγειρεν ἰρέτας, οὐκ ἐπιεικῶς ἐντυγχάνων, οὐδὲ πρᾴως ταῖς πόλεσιν, ἀλλὰ δεσποτικῶς καὶ πρὸς ὀργὴν βιαζόμενος καὶ κολάζων, οὐκ εὐθὺς ὢν, οὐδ' ἐν ἀρχῇ τοιοῦτος, ἀλλὰ καὶ μᾶλλον ἑτέρων, τῷ πρὸς χάριν ὁμιλεῖν, καὶ πάντα πιστεύειν, καὶ μηδὲν ἐνοχλεῖν, ὑπαγόμενος· εἶτα γενόμενος ἐκ δημαγωγοῦ τύραννος, ἀχαριστίας τῇ χαλεπότητι καὶ ἀπιστίας προσωφλίσκανε δόξαν. Οὐ μὴν ἀλλὰ ταῦτα μὲν, ὡς ἀναγκαῖα, συνεχώρουν, καίπερ δυσφοροῦντες. Ἐπεὶ δὲ Θοίνωνα καὶ Σώστρατον, ἄνδρας ἡγεμονικοὺς ἐν Συρακούσαις, οἱ πρῶτοι μὲν αὐτὸν ἐλθεῖν ἔπεισαν εἰς Σικελίαν, ἐλθόντι δὲ τὴν πόλιν εὐθὺς ἐνεχείρισαν, καὶ τὰ πλεῖστα συγκατειργάσαντο τῶν Σικελικῶν, μήτ' ἄγειν σὺν αὐτῷ, μήτ' ἀπολιπεῖν βουλόμενος, ἐν ὑποψίαις εἶχε, καὶ Σώστρατος μὲν ἀπίστη φοβηθεὶς, Θοίνωνα δὲ τὰ αὐτὰ φρονεῖν αἰτιασάμενος ἀπέκτεινεν· οὐ κατὰ μικρὸν, οὐδὲ καθ' ἓν αὐτῷ μεθίστατο τῶν πραγμάτων, ἀλλά δεινοῦ τινος μίσους ἐγγενομένου τοῖς πόλεσι πρὸς αὐτὸν, αἱ μὲν προσετίθεντο Καρχηδονίοις, αἱ δ' ἐπήγοντο Μαμερτίνους. Ἀποστάσεις δ' ὁρῶν ἅπαντα καὶ νεωτερισμοὺς καὶ σύστασιν ἰσχυρὰν ἐπ' αὐτὸν, ἐδέξατο γράμματα Σαυνιτῶν καὶ Ταραντίνων, μόλις ἀντεχόντων ταῖς πόλεσιν αὐταῖς πρὸς τὸν πόλεμον, εἰργομένων δὲ τῆς χώρας ἁπάσης, καὶ δεομένων βοηθεῖν. Τοῦτο δ' ἦν εὐπρέπεια, μὴ φυγὴν εἶναι, μηδ' ἀπόγνωσιν τὸν ἀπόπλουν τῶν

Digitized by Google

αὐτόθι πραγμάτων· τὸ δ' ἀληθὲς, οὐ δυνάμενος κρατεῖν Σικελίας, ὥσπερ νεὼς ταραχθείσης, ἀλλ' ἔκβασιν ζητῶν, αὖθις ἔῤῥιψεν ἑαυτὸν εἰς Ἰταλίαν. Λέγεται δ', ἀπαλλαττόμενος ἤδη, πρὸς τὴν νῆσον ἐπιδὼν εἰπεῖν τοῖς περὶ αὐτόν· „Οἵαν ἀπολείπομεν, ὦ φίλοι, Καρχηδονίοις καὶ Ῥωμαίοις παλαίστραν!" Καὶ τοῦτο μὲν, ὥσπερ εἰκάσθη, μετ' οὐ πολὺν χρόνον ἐγένετο.

XXIV. Τῶν δὲ βαρβάρων συστάντων ἐπ' αὐτὸν ἀποπλέοντα, Καρχηδονίοις μὲν ἐν τῷ πορθμῷ ναυμαχήσας ἀπέβαλε τῶν νεῶν πολλὰς, ταῖς δ' ἄλλαις κατέφυγε πρὸς τὴν Ἰταλίαν. Μαμερτῖνοι δὲ μυρίων οὐκ ἐλάττους προδιαβάντες, ἀντιτάξασθαι μὲν ἐφοβήθησαν, ἐν δὲ ταῖς δυσχωρίαις ἐπιτιθέμενοι καὶ προσπίπτοντες, ἅπαν τὸ στράτευμα συνετάραξαν. Ἔπεσε δὲ δύο θηρία, καὶ συχνοὶ τῶν ὀπισθοφυλακούντων ἀπέθνησκον. Αὐτὸς οὖν ἀπὸ τοῦ στόματος παρελάσας, ἠμύνετο καὶ διεκινδύνευε πρὸς ἄνδρας ἠσκημένους μάχεσθαι καὶ θυμοειδεῖς. Πληγεὶς δὲ τὴν κεφαλὴν ξίφει, καὶ μικρὸν ἐκ τῶν μαχομένων ἀποστὰς, ἔτι μᾶλλον ἐπῆρε τοὺς πολεμίους. Εἷς δὲ καὶ πολὺ πρὸ τῶν ἄλλων ἐπιδραμὼν, ἀνὴρ τῷ τε σώματι μέγας καὶ τοῖς ὅπλοις λαμπρὸς, ἐχρῆτο τῇ φωνῇ θρασυτέρᾳ, καὶ προελθεῖν ἐκέλευεν αὐτὸν, εἰ ζῇ. Παροξυνθεὶς δ' ὁ Πύῤῥος, ἐπέστρεψε βίᾳ μετὰ τῶν ὑπασπιστῶν, καὶ μετ' ὀργῆς αἵματι πεφυρμένος, καὶ δεινὸς ὀφθῆναι τὸ πρόσωπον, ὠσάμενος δι' αὐτῶν, καὶ φθάσας τὸν βάρβαρον ἔπληξε κατὰ τῆς κεφαλῆς

Digitized by Google

τῷ ξίφει πληγὴν, ῥώμῃ τε τῆς χειρὸς ἅμα καὶ δεξιᾶς ἀρετῇ τοῦ σιδήρου μέχρι τῶν κάτω διαδραμοῦσαν, ὥστε ἑνὶ χρόνῳ περιπεσεῖν ἑκατέρωσε τὰ μέρη τοῦ σώματος διχοτομηθέντος. Τοῦτο τοὺς βαρβάρους ἐπέσχε τοῦ πρόσω χωρεῖν, ὥς τινα τῶν κρειττόνων θαυμάσαντας καὶ καταπλαγέντας τὸν Πύῤῥον. Ὁ δὲ, τὴν ἄλλην ὁδὸν ἀδεῶς διεξελθὼν, ἧκεν εἰς Τάραντα, δισμυρίους πεζοὺς καὶ τρισχιλίους ἱππεῖς κομίζων. Ἀναλαβὼν δὲ τῶν Ταραντίνων τοὺς κρατίστους, εὐθὺς ἐπὶ Ῥωμαίους ἦγεν ἐν τῇ Σατοίτιδι στρατοπεδεύοντας.

XXV. Τῶν δὲ Σαυνιτῶν τά τε πράγματα διέφθαρτο, καὶ τοῦ φρονήματος ὑφεῖντο, κεκρατημένοι μάχαις πολλαῖς ὑπὸ τῶν Ῥωμαίων. Ἐνῆν δέ τι καὶ πρὸς τὸν Πύῤῥον ὀργῆς διὰ τὸν εἰς Σικελίαν πλοῦν· ὅθεν οὐ πολλοὶ τούτων αὐτῷ συνῆλθον. Πάντας δὲ νείμας δίχα, τοὺς μὲν εἰς τὴν Λευκανίαν ἔπεμψεν, ἀντιληψομένους τοῦ ἑτέρου τῶν ὑπάτων, ὡς μὴ βοηθοίη· τοὺς δ' ἦγεν αὐτὸς ἐπὶ Μάνιον Κούριον, περὶ πόλιν Βενέβεντον ἱδρυμένον ἐν ἀσφαλεῖ, καὶ περιμένοντα τὴν ἐκ τῆς Λευκανίας βοήθειαν. Ἔστι δ' ὅτε καὶ, μάντεων αὐτὸν οἰωνοῖς καὶ ἱεροῖς ἀποτρεπόντων, ἡσύχαζε. Σπεύδων οὖν ὁ Πύῤῥος ἐπιθέσθαι τούτοις, πρὶν ἐκείνους ἐπελθεῖν, ἄνδρας τε τοὺς κρατίστους, καὶ τῶν θηρίων τὰ μαχιμώτατα λαβὼν, νυκτὸς ὥρμησεν ἐπὶ τὸ στρατόπεδον. Περιιόντι δὲ αὐτῷ μακρὰν καὶ δασεῖαν ὕλαις ὁδὸν, οὐκ ἀντέσχε τὰ φῶτα, καὶ πλάναι τοῖς στρατιώταις συνέτυχον· καὶ

Digitized by Google

περὶ ταῦτα γενομένης διατριβῆς, ἥ τε νὺξ ἐπέλιπε, καὶ καταφανὴς ἦν ἅμ' ἡμέρᾳ τοῖς πολεμίοις ἐπερχόμενος ἀπὸ τῶν ἄκρων, ὥστε θόρυβον πολὺν καὶ κίνησιν παρασχεῖν. Οὐ μὴν ἀλλὰ τῶν ἱερῶν τῷ Μανίῳ γενομένων, καὶ τοῦ καιροῦ βοηθεῖν ἀναγκάζοντος, ἐξελθὼν ἐνέβαλε τοῖς πρώτοις, καὶ τρεψάμενος ἐφόβησε πάντας· ὥστε καὶ πεσεῖν οὐκ ὀλίγους, καὶ τῶν ἐλεφάντων τινὰς ἁλῶναι καταληφθέντας. Αὕτη τὸν Μάνιον ἡ νίκη κατήγαγε μαχούμενον εἰς τὸ πεδίον· καὶ συμβαλὼν ἐκ προδήλου, τὸ μὲν ἐτρέψατο τῶν πολεμίων, ἔστι δ' ἣ βιασθεὶς ὑπὸ τῶν θηρίων καὶ συσταλεὶς πρὸς τὸ στρατόπεδον, τοὺς φύλακας ἐκάλει συχνοὺς ἐφεστῶτας τῷ χάρακι μετὰ τῶν ὅπλων καὶ ἀκμῆτας. Οἱ δ' ἐπιφανέντες ἐκ τόπων ὀχυρῶν καὶ τὰ θηρία βάλλοντες, ἠνάγκασαν ἀποστρέφεσθαι, καὶ φυγῇ χωροῦντα διὰ τῶν συμμάχων ὀπίσω ταραχὴν ἀπεργάσασθαι καὶ σύγχυσιν, ἣ τὸ νίκημα περέδωκε τοῖς Ῥωμαίοις, ἅμα δὲ καὶ τὸ κράτος τῆς ἡγεμονίας. Καὶ γὰρ φρόνημα καὶ δύναμιν καὶ δόξαν ὡς ἄμαχοι προσλαβόντες ἐκ τῆς ἀρετῆς ἐκείνης καὶ τῶν ἀγώνων, Ἰταλίαν μὲν εὐθὺς, ὀλίγῳ δ' ὕστερον Σικελίαν κατέσχον.

XXVI. Οὕτω μὲν ἐξέπεσε τῶν Ἰταλικῶν καὶ Σικελικῶν ἐλπίδων ὁ Πύρρος, ἕξαετῆ χρόνον ἀναλώσας περὶ τοὺς ἐκεῖ πολέμους, καὶ τοῖς μὲν πράγμασιν ἐλαττωθεὶς, τὸ δ' ἀνδρεῖον ἀνίκητον ἐν ταῖς ἥτταις διαφυλάξας· καὶ νομισθεὶς ἐμπειρίᾳ μὲν πολεμικῇ καὶ χειρὶ καὶ τόλμῃ πολὺ πρῶτος εἶναι τῶν καθ' αὑτὸν βασι-

Digitized by Google

λέων, ἃ δὲ ταῖς πράξεσιν ἐκτᾶτο, ταῖς ἐλπίσιν ἀπολλύναι, δι' ἔρωτα τῶν ἀπόντων οὐδὲν εἰς ὃ δεῖ θέσθαι τῶν ὑπαρχόντων σώσας. Ὅθεν ἀπείκαζεν αὐτὸν ὁ Ἀντίγονος κυβευτῇ πολλὰ βάλλοντι καὶ καλά, χρῆσθαι δ' οὐκ ἐπισταμένῳ τοῖς πεσοῦσι. Κομίσας δ' εἰς Ἤπειρον ὀκτακισχιλίους πεζοὺς καὶ πεντακοσίους ἱππεῖς, χρήματα δ' οὐκ ἔχων, ἐζήτει πόλεμον, ᾧ θρέψει τὸ στράτευμα. Καί τινων Γαλατῶν αὐτῷ προσγενομένων, ἐνέβαλεν εἰς Μακεδονίαν, Ἀντιγόνου τοῦ Δημητρίου βασιλεύοντος, ὡς ἁρπαγῇ καὶ λεηλασίᾳ χρησόμενος. Ἐπεὶ δὲ καὶ πόλεις ἑλάμβανε συχνὰς, καὶ στρατιῶται δισχίλιοι μετέστησαν ἐς αὐτὸν, ἐλπίσας τι πλέον, ὥρμησεν ἐπὶ τὸν Ἀντίγονον· καὶ περὶ τὰ στενὰ προσπεσὼν, συνετάραξε τὴν στρατιὰν ἅπασαν. Οἱ δ' ἐπὶ τῆς οὐραγίας τεταγμένοι Γαλάται τοῦ Ἀντιγόνου, συχνοὶ τὸ πλῆθος ὄντες, ὑπέστησαν εὐρώστως· καὶ καρτερᾶς μάχης γενομένης, τούτων οἱ μὲν πλεῖστοι κατεκόπησαν, οἱ δὲ τῶν ἐλεφάντων ἡγεμόνες ἐγκαταλαμβανόμενοι, παρέδωκαν ἑαυτοὺς καὶ τὰ θηρία πάντα. Προσλαβὼν δ' ὁ Πύρρος τηλικαῦτα, καὶ τῇ τύχῃ μᾶλλον, ἢ τοῖς λογισμοῖς, χρώμενος, ἐπῆγε τῇ φάλαγγι τῶν Μακεδόνων, ἀναπεπλησμένῃ ταραχῆς καὶ φόβου διὰ τὴν ἧτταν. Ὅθεν ἐμβολῆς μὲν ἔσχοντο καὶ μάχης πρὸς αὐτόν· τὴν δὲ δεξιὰν προτείνων, καὶ στρατηγοὺς καὶ ταξιάρχους ἀνακαλούμενος, ἅπαντας δμαλῶς ἀπέστησε τοὺς πεζοὺς τοῦ Ἀντιγόνου. Κἀκεῖνος μὲν ὑποφεύγων, ἅμα τῶν παραλίων τινὰς πόλεων κατέσχεν·

Digitized by Google

ὁ δὲ Πύῤῥος ἐν εὐτυχήμασι τοιούτοις μέγιστον αὑτῷ πρὸς δόξαν οἰόμενος διαπεπρᾶχθαι τὸ περὶ τοὺς Γαλάτας, τὰ κάλλιστα καὶ λαμπρότατα τῶν λαφύρων ἀνέθηκεν εἰς τὸ ἱερὸν τῆς Ἰτωνίδος Ἀθηνᾶς, τόδε τὸ ἐλεγεῖον ἐπιγράψας·

Τοὺς θυρεοὺς ὁ Μολοσσὸς Ἰτωνίδι δῶρον Ἀθάνᾳ
Πύῤῥος ἀπὸ θρασέων ἑκρέμασεν Γαλατῶν,
Πάντα τὸν Ἀντιγόνου καθελὼν στρατόν. οὐ μέγα θαῦμα
Αἰχμηταὶ καὶ νῦν καὶ πάρος Αἰακίδαι.

Μετὰ τὴν μάχην δ' εὐθὺς ἀνελάμβανε τὰς πόλεις. Τῶν δ' Αἰχαίων κρατήσας, τά τ' ἄλλα χαλεπῶς ἐχρήσατο τοῖς ἀνθρώποις, καὶ φρουρὰν Γαλατικὴν ἐν τῇ πόλει κατέλιπε τῶν μετ' αὐτοῦ στρατευομένων. Οἱ δὲ Γαλάται, γένος ἀπληστότατον χρημάτων ὄντες, ἐπέθεντο τῶν βασιλέων αὐτόθι κεκηδευμένων τοὺς τάφους ὀρύττειν, καὶ τὰ μὲν χρήματα διήρπασαν, τὰ δ' ὀστᾶ πρὸς ὕβριν διέῤῥιψαν. Τοῦτο κούφως ἔδοξε καὶ ὀλιγώρως, ἐνεγκεῖν δ Πύῤῥος, ἢ δι' ἀσχολίας τινὰς ὑπερθέμενος, ἢ παρεὶς ὅλως διὰ φόβον τὸ κολάσαι τοὺς βαρβάρους· ὅθεν ἤκουσε κακῶς ὑπὸ τῶν Μακεδόνων. Οὔπω δὲ τῶν πραγμάτων αὐτῷ βεβαιότητα καὶ σύστασιν ἐχόντων μόνιμον, ᾔωρεῖτο τῇ γνώμῃ πάλιν πρὸς ἑτέρας ἐλπίδας. Καὶ τὸν μὲν Ἀντίγονον ἐφυβρίζων, ἀναισχυντον ἐκάλει, μὴ λαμβάνοντα θαιμάτιον, ἀλλ' ἔτι τὴν πορφύραν φοροῦντα. Κλεωνύμου δὲ τοῦ Σπαρτιάτου παραγενομένου, καὶ καλοῦντος αὐτὸν ἐπὶ τὴν Λακεδαίμονα, προθύμως

Digitized by Google

ὑπήκουσεν. Ὁ δὲ Κλεώνυμος ἦν μὲν γένους βασιλικοῦ, δοκῶν δὲ βίαιος εἶναι καὶ μοναρχικός, οὔτ' εὐνοιαν, οὔτε πίστιν εἶχεν· ἀλλ' Ἄρεως ἐβασίλευε. Καὶ τοῦτο μὲν ἦν κοινὸν ἔγκλημα καὶ πρεσβύτερον αὐτῷ πρὸς τοὺς πολίτας. Γυναῖκα δὲ καλὴν καὶ γένους βασιλικοῦ, Χελιδονίδα τὴν Λεωτυχίδου, πρεσβύτερος ὢν ἔγημεν ὁ Κλεώνυμος. Ἡ δὲ, Ἀκροτάτῳ τῷ Ἄρεως ἐπιμανεῖσα, μειρακίῳ καθ' ὥραν ἀκμάζοντι, λυπηρὸν ἐρῶντι τῷ Κλεωνύμῳ καὶ ἄδοξον ὁμοῦ παρεῖχε τὸν γάμον· οὐδένα γὰρ ἐλάνθανε Σπαρτιατῶν καταφρονούμενος ὑπὸ τῆς γυναικός. Οὕτω δὲ τῶν κατ' οἶκον ἐνιαρῶν τοῖς πολιτικοῖς προσγενομένων, ὑπ' ὀργῆς καὶ βαρυθυμίας ἐπῆγε τῇ Σπάρτῃ τὸν Πύῤῥον, ἔχοντα δισμυρίους καὶ πεντακισχιλίους πεζοὺς, δισχιλίους δ' ἱππεῖς, ἐλέφαντας δ' εἰκοσιτέσσαρας· ὥστε τῷ μεγέθει τῆς παρασκευῆς εὐθὺς εἶναι κατάδηλον, οὐ Κλεωνύμῳ τὴν Σπάρτην, ἀλλὰ τὴν Πελοπόννησον ἑαυτῷ κτώμενον· ἐπεὶ τῷ γε λόγῳ καὶ πρὸς αὐτοὺς ἔξαρνος ἦν τοὺς Λακεδαιμονίους, πρεσβεύσαντας εἰς Μεγάλην πόλιν. Ἔφη γὰρ ἐλευθερώσων τὰς ὑπ' Ἀντιγόνῳ πόλεις ἀφῖχθαι, καὶ νὴ Δία τοὺς νεωτέρους παῖδας εἰς Σπάρτην, εἰ μή τι κωλύοι, πέμψων, ἐντραφησομένους τοῖς Λακωνικοῖς ἔθεσιν, ὡς τούτῳ πλέον ἔχοιεν ἤδη τῶν ἄλλων βασιλέων. Ταῦτα πλαττόμενος, καὶ παράγων τοὺς ἐντυγχάνοντας αὐτῷ καθ' ὁδὸν, ὡς πρῶτον ἥψατο τῆς Λακωνικῆς, ἁρπαγὴν ἐποιεῖτο καὶ λεηλασίαν. Ἐγκαλούντων δὲ τῶν πρέσβεων, ὅτι μὴ καταγγείλας πόλε-

Digitized by Google

μον ἐξενήνοχε πρὸς αὐτούς· „Ἀλλ' οὐδ' ὑμᾶς (ἔφη) τοὺς Σπαρτιάτας ἴσμεν, ὅ τι ἂν μέλλητε ποιεῖν, ἑτέροις προλέγοντας." Εἷς δὲ τῶν παρόντων, ὄνομα Μανδρικίδας, εἶπε, τῇ φωνῇ λακωνίζων· „Αἱ μὲν ἐσσὶ τύ γε θεός· οὐδὲν μὴ πάθωμεν· οὐ γὰρ ἀδικεῦμεν· αἰ δ' ἄνθρωπος, ἔσται καὶ τεῦ κἀρρόων ἄλλος."

XXVII. Ἐκ τούτου κατέβαινεν ἐπὶ τὴν Λακεδαίμονα· καὶ τοῦ Κλεωνύμου κελεύοντος ἐξ ἐφόδου προσβαλεῖν, φοβηθεὶς ὁ Πύῤῥος, ὡς λέγεται, μὴ διαρπάσωσιν οἱ στρατιῶται τὴν πόλιν ἐν νυκτὶ προσπεσόντες, ἐπέσχεν, εἰπών, ὅτι ταὐτὰ ποιήσουσι μεθ' ἡμέραν. Αὐτοί τε γὰρ ἦσαν ὀλίγοι καὶ ἀπαράσκευοι διὰ τὸ αἰφνίδιον· ὅ τ' Ἄρευς οὐκ ἐτύγχανε παρὼν, ἀλλ' ἐν Κρήτῃ Γορτυνίοις πολεμουμένοις βοηθῶν. Καὶ τοῦτο δὴ μάλιστα τὴν πόλιν ἔσωσε δι' ἐρημίαν καὶ ἀσθένειαν καταφρονηθεῖσαν. Ὁ μὲν γὰρ Πύῤῥος οὐδένα μαχεῖσθαι νομίζων, κατηυλίσατο· τοῦ δὲ Κλεωνύμου τὴν οἰκίαν οἵ τε φίλοι καὶ εἴλωτες αὐτὸν ἐκόσμησαν καὶ παρεσκεύασαν, ὡς δειπνήσοντος τοῦ Πύῤῥου παρ' αὐτῷ. Γενομένης δὲ νυκτὸς, οἱ Λακεδαιμόνιοι πρῶτον μὲν ἐβουλεύσαντο τὰς γυναῖκας εἰς Κρήτην ἀποστέλλειν, αἱ δ' ἀντέστησαν. Ἀρχιδαμία δὲ καὶ ξίφος ἔχουσα πρὸς τὴν γερουσίαν ἦλθεν, ἐγκαλοῦσα τοῖς ἀνδράσιν ὑπὲρ τῶν γυναικῶν, εἰ ζῆν αὐτὰς ἀξιοῦσι, τῆς Σπάρτης ἁπολομένης. Ἔπειτα τῷ στρατοπέδῳ τῶν πολεμίων παράλληλον ἔγνωσαν ἐμβαλόντες τάφρον, ἔνθεν καὶ ἔνθεν αὐτῆς στῆσαι τὰς ἁμάξας, μέχρι τοῦ μέσου τῶν τροχῶν καταχώσαν-

Digitized by Google

τες, ὅπως, ἕδραν ἔχουσαι δυσεκβίαστον, ἐμποδὼν ὦσι τοῖς θηρίοις. Ἀρχομένοις δὲ ταῦτα πράττειν, ἦκον αὐτοῖς τῶν παρθένων καὶ γυναικῶν, αἱ μὲν ἐν ἱματίοις, καταζωσάμεναι τοὺς χιτωνίσκους, αἱ δὲ μονοχίτωνες, συνεργασόμεναι τοῖς πρεσβυτέροις. Τοὺς δὲ μάχεσθαι μέλλοντας ἐκέλευον ἡσυχάζειν, καὶ λαβοῦσαι μέτρον, αὐταὶ καθ' αὑτὰς ἐξειργάσαντο τῆς τάφρου τὸ τρίτον μέρος. Ἦν δὲ τὸ μὲν πλάτος αὐτῆς πήχεων ἕξ, τὸ δὲ βάθος τεττάρων, τὸ δὲ μῆκος ὀκτάπλεθρον, ὡς ἱστορεῖ Φύλαρχος· ὡς δ' Ἱερώνυμος, ἔλαττον. Ἅμα δ' ἡμέρᾳ, κινουμένων τῶν πολεμίων, τὰ ὅπλα τοῖς νέοις ὀρέγουσαι, καὶ παραδιδοῦσαι τὴν τάφρον, ἀμύνειν καὶ φυλάττειν ἐκέλευον, ὡς ἡδὺ μὲν νικᾶν ἐν ὀφθαλμοῖς τῆς πατρίδος, εὐκλεὲς δὲ θνήσκειν ἐν χερσὶ μητέρων καὶ γυναικῶν, ἀξίως τῆς Σπάρτης πεσόντας. Ἡ δὲ Χελιδονὶς, ἐκ ποδῶν οὖσα καθ' ἑαυτὴν, βρόχον εἶχεν ἐνημμένον, ὅπως ἐπὶ τῷ Κλεωνύμῳ μὴ γένοιτο, τῆς πόλεως ἁλούσης.

XXVIII. Αὐτὸς μὲν οὖν, ὁ Πύρρος ἐβιάζετο κατὰ στόμα τοῖς ὁπλίταις πρὸς ἀσπίδας πολλὰς τῶν Σπαρτιατῶν ἀντιπαρατεταγμένας, καὶ τάφρον οὐ περατὴν, οὐδὲ βάσιν ἀσφαλῆ τοῖς μαχομένοις παρέχουσαν ὑπὸ χαυνότητος. Ὁ δὲ παῖς Πτολεμαῖος, ἔχων δισχιλίους Γαλάτας, καὶ Χαόνων λογάδας, ἐξελίξας τὴν τάφρον, ἐπειρᾶτο κατὰ τὰς ἁμάξας ὑπερβαίνειν. Ἃ δὲ ὑπὸ βάθους καὶ πυκνότητος οὐ μόνον τούτοις τὴν ἔφοδον, ἀλλὰ καὶ τοῖς Λακεδαιμονίοις δύσεργον ἐποίουν τὴν βοήθειαν. Ἀνασπών-

Digitized by Google

των δὲ τῶν Γαλατῶν τοὺς τροχοὺς, καὶ ὑποσυρόντων τὰς ἁμάξας εἰς τὸν ποταμὸν, κατιδὼν τὸν κίνδυνον ὁ νεανίας Ἀκρότατος, καὶ τὴν τε πόλιν διαδραμὼν μετὰ τρακοσίων, περιῆλθε τὸν Πτολεμαῖον, οὐ συνορώμενος ὑπ' αὐτοῦ διά τινας συγκλινίας, ἕως προσέβαλε τοῖς ἐσχάτοις, καὶ μεταβαλόντας ἠνάγκασε μάχεσθαι πρὸς ἑαυτὸν ὠθουμένους ὑπ' ἀλλήλων, εἴς τε τὴν τάφρον καὶ περὶ ταῖς ἁμάξαις πίπτοντας· ἄχρις οὗ φόνῳ πολλῷ μόλις ἀνεκόπησαν. Ἐθεῶντο δὲ οἵ τε πρεσβύτεροι, καὶ τῶν γυναικῶν τὸ πλῆθος ἀριστεύοντα τὸν Ἀκρότατον. Ἐπεὶ δ' ἀπῄει πάλιν διὰ τῆς πόλεως ἐπὶ τὴν αὑτοῦ τάξιν αἵματος κατάπλεως καὶ γαῦρος, ὑπὸ τῆς νίκης ἐπηρμένος, καὶ μείζων ἔδοξε γεγονέναι καὶ καλλίων ταῖς Λακαίναις, καὶ τὴν Χελιδονίδα τοῦ ἔρωτος ἐζήλουν. Τῶν δὲ πρεσβυτέρων τινὲς ἐπηκολούθουν βοῶντες· „Ὄχενε, Ἀκρότατε, καὶ οἶφε τὰν Χελιδονίδα. Μόνον παῖδας ἀγαθοὺς τᾷ Σπάρτᾳ ποίει." Κατὰ δὲ τὸν Πύῤῥον αὐτὸν ἰσχυρᾶς μάχης συνεστώσης, ἄλλοι τε λαμπρῶς ἠγωνίζοντο, καὶ Φύλλιος ἐπὶ πλεῖστον ἀντισχὼν, καὶ πλείστους ἀποκτείνας τῶν βιαζομένων, ὡς ἤσθετο τραυμάτων πλήθει παραλυόμενον ἑαυτὸν, ἑκατός τινι τῶν ἐπιτεταγμένων τῆς χώρας, ἔπεσεν ἐντὸς τῶν ὅπλων ὥστε μὴ γενέσθαι τὸν νεκρὸν ὑπὸ τοῖς πολεμίοις.

XXIX. Νυκτὸς δὲ ἡ μάχη διεκρίθη· καὶ κοιμώμενος ὁ Πύῤῥος, ὄψιν εἶδε τοιαύτην. Ἐδόκει βάλλεσθαι κεραυνοῖς ὑπ' αὐτοῦ τὴν Λακεδαίμονα,

Digitized by Google

καὶ φλέγεσθαι πᾶσαν, αὐτὸς δὲ χαίρειν. Ὑπὸ δὲ τῆς χαρᾶς ἐξεγρόμενος, τούς τε ἡγεμόνας ἐκέλευεν ἐν παρασκευῇ τὸν στρατὸν ἔχειν, καὶ τοῖς φίλοις διηγεῖτο τὸν ὄνειρον, ὡς ληψόμενος κατὰ κράτος τὴν πόλιν. Οἱ μὲν οὖν ἄλλοι θαυμαστῶς ἐπείθοντο· Λυσιμάχῳ δ' οὐκ ἤρεσκεν ἡ ὄψις, ἀλλ' ἔφη δεδιέναι, μὴ, καθάπερ τὰ βαλλόμενα τοῖς κεραυνοῖς ἀτέμβατα μένει χωρία, καὶ τῷ Πύρρῳ προσημαίνῃ τὸ θεῖον ἀνείσοδον ἔσεσθαι τὴν πόλιν. Ὁ δὲ Πύρρος εἰπὼν, ὅτι ταῦτα μέν ἐστι πυλαϊκῆς ὀχλαγωγίας, καὶ ἀσάφειαν ἔχοντα πολλὴν, ἐκεῖνο δὲ δεῖ, τὰ ὅπλα διὰ χειρῶν ἔχοντας, ὑποβάλλειν ἑαυτοῖς,

Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ Πύρρου,

ἐξανέστη, καὶ προσῆγεν ἅμ' ἡμέρᾳ τὸν στρατόν. Ἠμύνοντο δὲ προθυμίᾳ καὶ ἀρετῇ παρὰ δύναμιν οἱ Λακεδαιμόνιοι, καὶ παρῆσαν αἱ γυναῖκες, ὀρέγουσαι βέλη, καὶ σιτία καὶ ποτὸν τοῖς δεομένοις προσφέρουσαι, καὶ ἀναλαμβάνουσαι τοὺς τιτρωσκομένους. Τήν τε τάφρον οἱ Μακεδόνες χοῦν ἐπειρῶντο, πολλὴν συμφοροῦντες ὕλην, ὑφ' ἧς ὅπλα καὶ σώματα νεκρῶν ἐπιχεομένης ἀπεκρύπτετο. Καὶ πρὸς τοῦτο τῶν Λακεδαιμονίων βοηθούντων, ὤφθη παρὰ τὴν τάφρον καὶ τὰς ἁμάξας ὁ Πύρρος ἵππῳ βιαζόμενος εἰς τὴν πόλιν. Κραυγῆς δὲ τῶν κατὰ τοῦτο τεταγμένων γενομένης, καὶ δρόμου καὶ ἀλαλαγμοῦ τῶν γυναικῶν, ἤδη διεξελαύνοντι τῷ Πύρρῳ, καὶ προσκειμένῳ τοῖς κατὰ πρόσωπον, ἐξήλατο Κρητικῷ βέλει πληγεὶς ὁ ἵππος ὑπὸ τὴν γαστέρα, καὶ κατέβα-

Digitized by Google

λε δυσθανατῶν τὸν Πύῤῥον εἰς τύπους ὀκισθηροὺς καὶ κατάντεις. Θορυβουμένων δὲ περὶ τοῦτον τῶν ἑταίρων, ἐπέδραμον οἱ Σπαρτιᾶται, καὶ χρώμενοι τοῖς βέλεσιν, ἐξέωσαν ἅπαντας. Ἐκ τούτου καὶ τὴν ἄλλην μάχην ἔπαυεν, οἰόμενος ἐνδώσειν τι τοὺς Λακεδαιμονίους, σχεδὸν ἁπάντων κατατετρωμένων αὐτοῖς, πεπτωκότων δὲ πολλῶν. Ἡ δ' ἀγαθὴ τύχη τῆς πόλεως, εἴτε πεῖραν ἀρετῆς λαμβάνουσα τῶν ἀνδρῶν, εἶθ' ἑαυτῆς, ὅσην ἐν ἀπόροις ἔχει δύναμιν, ἀπόδειξιν διδοῦσα, μοχθηρὰς ἤδη τῶν Λακεδαιμονίων ἐχόντων τὰς ἐλπίδας, Ἀμεινίαν τε Φωκέα, τῶν Ἀντιγόνου στρατηγῶν, ἐκ Κορίνθου βοηθήσοντα παρεισήγαγε μετὰ ξένων· καὶ, τοῦτον ἄρτι δεδεγμένων, ὁ βασιλεὺς αὐτοῖς Ἄρευς ἦκεν ἐκ Κρήτης, δισχιλίους στρατιώτας κομίζων. Αἵ τε δὴ γυναῖκες εὐθὺς ἐπὶ τὰς οἰκίας ἐσκεδάσθησαν, οὐδὲν ἔτι πολυπραγμονεῖν ἀξιοῦσαι τῶν πολεμικῶν· καὶ τοὺς παρ' ἡλικίαν ἐν τοῖς ὅπλοις ὑπ' ἀνάγκης γενομένους ἀφέντες, αὐτοὺς ἐπὶ τὴν μάχην ἔταξαν.

XXX. Τὸν δὲ Πύῤῥον ἔσχε μέν τις ἀλκὴ καὶ φιλοτιμία μᾶλλον διὰ τοὺς προσγεγονότας, κρατῆσαι τῆς πόλεως· ὡς δ' οὐδὲν ἐπέραινε, πληγὰς λαβὼν ἀπέστη, καὶ τὴν χώραν ἐπόρθει, διανοούμενος αὐτόθι χειμάσαι. Τὸ δὲ χρεὼν ἦν ἄφυκτον. Ἦν γὰρ Ἄργει στάσις ἦν Ἀριστέου πρὸς Ἀρίστιππον. Ἐπεὶ δ' ὁ Ἀρίστιππος ἐδόκει χρῆσθαι φίλῳ τῷ Ἀντιγόνῳ, φθάσας ὁ Ἀριστέας ἐκάλει τὸν Πύῤῥον εἰς τὸ Ἄργος. Ὁ δ', ἐλπίδας ἐξ ἐλπίδων ἀεὶ κυλίνδων,

Digitized by Google

καὶ ταῖς μὲν εὐτυχίαις ἐπ᾽ ἄλλας χρώμενος ἀφορμαῖς, ἃ δ᾽ ἔπταιεν ἑτέροις βουλόμενος ἀναπληροῦν πράγμασιν, οὔτε ἧττον, οὔτε νίκην ὅρον ἐποιεῖτο τοῦ ταράττεσθαι καὶ ταράττειν. Εὐθὺς οὖν ἀνεζεύγνυεν ἐπὶ τὸ Ἄργος. Ὁ δ᾽ Ἄρευς, ἐνέδρας τε πολλὰς ὑφεὶς, καὶ καταλαβὼν τὰ χαλεπώτατα τῆς ὁδοῦ, περιέκοπτε τοὺς Γαλάτας καὶ τοὺς Μολοσσοὺς ὀπισθοφυλακοῦντας. Τῷ δὲ Πύῤῥῳ προείρητο μὲν ἐκ τῶν ἱερῶν, ἀλόβων γενομένων, ὑπὸ τοῦ μάντεως ἀποβολή τινος τῶν ἀναγκαίων. Παρὰ δὲ τὸν καιρὸν τότε τῷ θορύβῳ καὶ τῷ κινήματι τὸν λογισμὸν ἐκκρουσθεὶς, ἐκέλευσε τὸν υἱὸν Πτολεμαῖον λαβόντα τοὺς ἑταίρους παραβοηθεῖν· αὐτὸς δὲ θᾶττον ἐκ τῶν στενῶν ἐφελκόμενος τὴν στρατιὰν ὑπῆγεν. Ὀξείας δὲ περὶ τὸν Πτολεμαῖον μάχης γενομένης, καὶ τῶν ἐπιλέκτων Λακεδαιμονίων, ὧν Εὔαλκος ἡγεῖτο, τοῖς μαχομένοις πρὸς αὐτοὺς συμπλεκομένων, ἀνὴρ πλήκτης καὶ δραμεῖν ὀξὺς, Ὄροισος ὄνομα, Κρὴς Ἀπτεραῖος, ἐκ πλαγίου παραδραμὼν, ἀγωνιζόμενον ἐνθύμως τὸν νεανίσκον ἐπάταξε καὶ κατέβαλε. Πεσόντος δ᾽ ἐκείνου καὶ τροπῆς γενομένης τῶν περὶ αὐτὸν, οἱ Λακεδαιμόνιοι, διώκοντες καὶ κρατοῦντες, ἔλαθον εἰς τὸ πεδίον συνεμβαλόντες, καὶ ἀποληφθέντες ὑπὸ τῶν ὁπλιτῶν· ἐφ᾽ οὓς ὁ Πύῤῥος, ἅρτι τὸν θάνατον τοῦ παιδὸς ἀκηκοὼς καὶ περιπαθῶν, ἐπέστρεψε τοὺς ἱππεῖς τῶν Μολοσσῶν. Καὶ πρῶτος εἰσελάσας, ἐνεπίμπλατο φόνου τῶν Λακεδαιμονίων, ἀεὶ μέν τις ἄμαχος καὶ δεινὸς ἐν τοῖς ὅπλοις φαινό-

Digitized by Google

μενος, τότε δ' ὑπερβάλλων τόλμῃ καὶ βίᾳ τοὺς προτέρους ἀγῶνας. Ἐπεὶ δ' ἐπέβαλε τῷ Εὐάλκῳ τὸν ἵππον, ὁ μὲν ἐκ πλαγίου παραστὰς, μικρὸν ἐδέησε τῷ ξίφει τὴν ἐπὶ τῆς ἡνίας χεῖρα διακόψαι τοῦ Πύῤῥου, τὴν δ' ἡνίαν παταξας ἀπέκοψεν. Ὁ δὲ Πύῤῥος, ἅμα τῇ πληγῇ τοῦ δόρατος διελάσας ἐκεῖνον, ἀπερῥύη τοῦ ἵππου, καὶ πεζὸς ἤδη πάντας ἐπὶ τῷ Εὐάλκῳ μαχομένους ἀπέκτεινε τοὺς λοχάδας. Καὶ μέγα τοῦτο τῇ Σπάρτῃ παρανάλωμα τοῦ πολέμου πέρας ἔχοντος ἐποίησεν ἡ φιλοτιμία τῶν ἀρχόντων.

XXXI. Ὁ δὲ Πύῤῥος, ὥσπερ ἐναγισμόν τινα τῷ παιδὶ τελέσας, καὶ λαμπρὸν ἐπιτάφιον ἀγωνισάμενος, καὶ πολὺ τῆς λύπης ἐν τῷ πρὸς τοὺς πολεμίους ἀφεὶς θυμῷ, προῆγεν ἐπὶ τὸ Ἄργος· καὶ τὸν Ἀντίγονον ἤδη πυνθανόμενος ἐπὶ τῶν ἄκρων ὑπὲρ τοῦ πεδίου καθῆσθαι, περὶ τὴν Ναυπλίαν ἐστρατοπέδευσε. Τῇ δ' ὑστεραίᾳ κήρυκα πρὸς τὸν Ἀντίγονον ἔπεμψε, λυμεῶνά τε καλῶν, καὶ προκαλούμενος εἰς τὸ πεδίον καταβάντα διαγωνίσασθαι περὶ τῆς βασιλείας. Ὁ δ' ἀπεκρίνατο, τὴν μὲν αὐτοῦ στρατηγίαν οὐχ ὕπλων μᾶλλον, ἢ καιρῶν, εἶναι, τῷ δὲ Πύῤῥῳ πολλὰς ὁδοὺς ἀνεῳγέναι πρὸς θάνατον, εἰ ζῆν μὴ σχολάζει. Πρὸς δ' ἀμφοτέρους πρέσβεις ἦκον ἐξ Ἄργους, ἀπαλλάττεσθαι δεόμενοι, καὶ τὴν πόλιν ἐᾶν μηδετέρου γενομένην, εὖνουν δ' οὖσαν ἀμφοτέροις. Ὁ μὲν οὖν Ἀντίγονος ἐπείθετο, καὶ τὸν υἱὸν ἐδίδου τοῖς Ἀργείοις ὅμηρον· ὁ δὲ Πύῤῥος ὡμολόγει μὲν ἀπαλλαγήσεσθαι, μὴ παρέ-

Digitized by Google

χων δὲ πίστιν, ὑποπτότερος ἦν. Γίνεται δὲ σημεῖον αὐτῷ τε τῷ Πύῤῥῳ μέγα· τῶν γὰρ βοῶν τεθυμένων αἱ κεφαλαὶ κείμεναι χωρὶς ἤδη τάς τε γλώττας ὤφθησαν προβάλλουσαι καὶ περιλιχμώμεναι τὸν ἑαυτῶν φόνον· ἔν τε τῇ πόλει τῶν Ἀργείων ἡ τοῦ Λυκείου προφῆτις Ἀπόλλωνος ἐξέδραμε βοῶσα, νεκρῶν ὁρᾶν καὶ φόνου κατάπλεω τὴν πόλιν, τὸν δ' ἀετὸν ἐπὶ τὸν ἀγῶνα χωροῦντα, εἶτα φροῦδον εἶναι.

XXXII. Σκότους δὲ πολλοῦ προσμίξας ὁ Πύῤῥος τοῖς τείχεσι, καὶ πύλην εὑρὼν, ἣν Διαμπερὲς καλοῦσιν, ἀνεῳγμένην ὑπὸ τοῦ Ἀριστέου αὐτοῖς, ἄχρι μὲν τοῦ παρεισπεσεῖν τοὺς Γαλάτας τοὺς παρ' αὐτῷ καὶ τὴν ἀγορὰν καταλαβεῖν ἐλάνθανε· τῆς δὲ πύλης τοὺς ἐλέφαντας οὐ δεχομένης, καὶ διὰ τοῦτο τοὺς πύργους αὐτῶν ἀφαιρούντων, εἶτα πάλιν ἐν σκότει καὶ θορύβῳ περιτιθέντων, καὶ γενομένης διατριβῆς, οἱ Ἀργεῖοι συναισθόμενοι, πρὸς τὴν Ἀσπίδα καὶ τοὺς ὀχυροὺς τόπους ἀνέθεον, καὶ τὸν Ἀντίγονον ἐκάλουν πέμποντες. Ὁ δ', αὐτὸς μὲν ἐγγὺς προσελάσας, ἐφήδρευε, τοὺς δὲ στρατηγοὺς καὶ τὸν υἱὸν εἰσέπεμψε συχνὴν βοήθειαν ἄγοντας. Ἦκε δὲ καὶ Ἄρευς ἔχων χιλίους Κρῆτας, καὶ Σπαρτιάτας τοὺς ἐλαφροτάτους. Καὶ πάντες ἅμα τοῖς Γαλάταις προσβαλόντες, εἰς πολὺν θόρυβον κατέστησαν αὐτούς. Ὁ δὲ Πύῤῥος εἰσιὼν μετ' ἀλαλαγμοῦ καὶ βοῆς παρὰ τὴν Κυλάραβιν, ὡς οἱ Γαλάται τοῖς περὶ αὐτὸν ἀντηλάλαξαν οὐκ ἰταμὸν, οὐδὲ θαῤῥαλέον,

Digitized by Google

εἴκασε ταραττομένων εἶναι τὴν φωνὴν καὶ πονούντων. Ἐπῆγεν οὖν θᾶττον, ὠθῶν τοὺς πρὸ αὐτοῦ τῶν ἱππέων δυσοδοῦντας ἐν τοῖς ὑπονόμοις, ὧν ἡ πόλις ἐστὶ μεστὴ, καὶ κινδυνεύοντας. Ἦν δὲ καὶ ἀσάφεια πολλὴ τῶν δρωμένων καὶ παραγγελλομένων ἐν νυκτομαχίᾳ, καὶ πλάναι καὶ διασπασμοὶ περὶ τοὺς στενωποὺς, καὶ στρατηγίας οὐδὲν ἔργον ὑπὸ σκότους καὶ βοῆς ἀκρίτου καὶ στενότητος· ἀλλὰ διέτριβον ἄλλως περιμένοντες ἀμφότεροι τὴν ἡμέραν. Ἤδη δὲ διαλάμποντος, ἡ τ' Ἀσπὶς ὅπλων περίπλεως πολεμίων ὀφθεῖσα τὸν Πύῤῥον διετάραξε, καὶ τῆς ἀγορᾶς ἐν πολλοῖς ἀναθήμασι κατιδὼν λύκον χαλκοῦν καὶ ταῦρον, οἷον εἰς μάχην συνιόντας ἀλλήλοις, ἐξεπλάγη· χρησμόν τινα πρὸς ἑαυτὸν ἀνενεγκὼν παλαιὸν, ὡς ἀποθανεῖν αὐτῷ πεπρωμένον, ὅταν λύκον ἴδῃ ταύρῳ μαχόμενον. Ταῦτα δ' Ἀργεῖοι πάθους ὑπομνήματα παλαιοῦ γεγενῆσθαι παῤ αὐτοῖς λέγουσι. Δαναῷ γὰρ, ὅτε πρῶτον ἐπέβη τῆς χώρας κατὰ τὰ Πυράμια τῆς Θυρεάτιδος, εἰς Ἄργος πορευομένῳ, λύκον φανῆναι ταύρῳ μαχόμενον. Θέμενον δὲ τὸν Δαναὸν, ὡς ὁ λύκος εἴη πρὸς αὐτοῦ, (ξένον γὰρ ὄντα τοῖς ἐγχωρίοις ἐπιτίθεσθαι, καθάπερ αὐτὸν) ἐφορᾶν τὴν μάχην, καὶ τοῦ λύκου κρατήσαντος, Ἀπόλλωνι Λυκείῳ προσευξάμενον ἐπιχειρῆσαι καὶ περιγενέσθαι, στάσει Γελάνορος, ὃς τότε τῶν Ἀργείων ἐβασίλευεν, ἐκπεσόντος. Τὸ μὲν οὖν ἀνάθημα τοῦτο εἶχε τὸν λόγον.

XXXIII. Πρὸς δὲ τὴν ὄψιν ὁ Πύῤῥος ἅμα καὶ

τὸ μηδὲν, ὧν ἤλπιζε, προχωρεῖν, ἀθυμῶν, ἀναστρέφειν διενοεῖτο· τὰς δὲ πύλας οὔσας στενὰς φοβούμενος, ἔπεμψε πρὸς τὸν υἱὸν Ἕλενον μετὰ τῆς πολλῆς δυνάμεως ἔξω καταλελειμμένον, κελεύων τοῦ τείχους διασκάπτειν καὶ δέχεσθα τοὺς ἐκπίπτοντας, ἂν ἐνοχλῶσιν οἱ πολέμιοι. Σπουδῇ δὲ καὶ θορύβῳ τοῦ πεμφθέντος οὐδὲν σαφὲς ἀπαγγέλλοντος, ἀλλὰ καὶ διαμαρτίας γενομένης, τῶν θηρίων τὰ λοιπὰ καὶ στρατιώτας ἀναλαβὼν ὁ νεανίσκος τοὺς κρατίστους, εἴσω διὰ τῶν πυλῶν ἐχώρει τῷ πατρὶ βοηθήσων. Ἔτυχε δ' ὁ Πύῤῥος ἀναστρέφων ἤδη. Καὶ μέχρι μὲν ἡ ἀγορὰ παρεῖχεν ὑπεξάγοντι χώραν καὶ μαχομένῳ, ἐκ μεταβολῆς ἠμύνετο τοὺς ἐπιφερομένους· ἐπεὶ δὲ τῆς ἀγορᾶς εἰς τὸν στενωπὸν ἐξωσθεὶς τὸν ἐπὶ τὴν πύλην ἀνήκοντα, συνέπιπτε τοῖς ἐπιβοηθοῦσιν, ἐξ ἐναντίας προσφερομένοις, οἱ μὲν οὐχ ὑπήκουον ὑποχωρεῖν βοῶντος αὐτοῦ, τοὺς δὲ καὶ πάνυ προθύμους ὄντας εἶργον οἱ κατόπιν ἀπὸ τῆς πύλης ἐπιχεόμενοι. Καὶ γὰρ ὁ μέγιστος ἐλέφας ἐν τῇ πύλῃ πλάγιος παραπεσὼν καὶ βρυχώμενος ἐμποδὼν ἔκειτο τοῖς ἀποτρεπομένοις. Καὶ τῶν προεισεληλυθότων ἕτερος, ᾧ Νίκων ὄνομα ἦν, ἀποῤῥυέντα τὸν ἐπιβάτην ὑπὸ τραυμάτων ζητῶν ἀναλαβεῖν, καὶ φερόμενος πρὸς τοὐναντίον τοῖς ὑπεξάγουσιν, ἀνέμιξε φίλους ὁμοῦ καὶ πολεμίους ὠθουμένους ὑπ' αὐτοῦ· καὶ περιέπιπτον ἀλλήλοις, ἕως εὑρὼν νεκρὸν, ἀνείλετο τῇ προβοσκίδι, καὶ τοῖς ὀδοῦσιν ἀμφοτέροις ὑπολαβὼν, ἀνέστρεψε πάλιν ὥσπερ ἐμμανὴς ἀνατρέπων καὶ διαφθείρων

Digitized by Google

τοὺς ἐντυγχάνοντας. Οὕτω δὲ θλιβομένων καὶ συμπιλουμένων πρὸς ἀλλήλους, οὐδεὶς οὐδὲν ἑαυτῷ καθ' ἕνα χρῆσθαι δυνατὸς ἦν, ἀλλ' ὥσπερ ἓν σῶμα συγγεγομφωμένον ἑαυτῷ, τὸ πᾶν πλῆθος ἐλάμβανε πολλὰς ἀποκλίσεις καὶ μεταβολὰς ἐπ' ἀμφότερα. Καὶ μάχαι μὲν ἦσαν ὀλίγαι πρὸς τοὺς ἐναπολαμβανομένους ἀεὶ τῶν πολεμίων ἢ προσκειμένους ὄπισθεν, πλεῖστα δ' ἑαυτοὺς εἰργάζοντο κακά. Σπασάμενον γὰρ τὸ ξίφος, ἢ κλίναντα λόγχην, οὐκ ἦν ἀναλαβεῖν, οὐδὲ καταθέσθαι πάλιν· ἀλλ' ἐχώρει δι' ὧν ἔτυχε τὰ τοιαῦτα, καὶ περιπίπτοντες ἀλλήλοις ἔθνησκον.

XXXIV. Ὁ δὲ Πύῤῥος ἐφορῶν τὸν περιέχοντα χειμῶνα καὶ κλύδωνα, τὴν μὲν στεφάνην, ᾗ διάσημον ἦν τὸ κράνος, ἀφελών, ἔδωκε τινὶ τῶν ἑταίρων· αὐτὸς δὲ τῷ ἵππῳ πεποιθὼς, εἰς τοὺς ἑπομένους τῶν πολεμίων ἐνέβαλε, καὶ δόρατι πληγεὶς διὰ τοῦ θώρακος οὐ καιρίαν πληγὴν, οὐδὲ μεγάλην, ἐπέστρεψε κατὰ τοῦ πατάξαντος, ὃς ἦν Ἀργεῖος, οὐ τῶν ἐπιφανῶν, ἀλλὰ πενιχρᾶς καὶ πρεσβυτέρας υἱὸς γυναικός. Αὕτη τότε θεωμένη τὴν μάχην, ὥσπερ αἱ λοιπαὶ γυναῖκες, ἀπὸ τοῦ τέγους, ὡς ἐπέγνω συνεστῶτα τῷ Πύῤῥῳ τὸν υἱὸν, ἐκπαθὴς γενομένη πρὸς τὸν κίνδυνον, ἅρασα κεραμίδα ταῖς χερσὶν ἀμφοτέραις, ἀφῆκεν ἐπὶ τὸν Πύῤῥον. Ἐμπεσούσης δὲ τῇ κεφαλῇ κατὰ τοῦ κράνους, καὶ τῶν σφονδύλων πρὸς τὴν βάσιν τοῦ τραχήλου συντριβέντων, αἱ τ' ὄψεις συνεχύθησαν αὐτοῦ, καὶ προήκαντο τὰς ἡνίας αἱ χεῖρες.

Digitized by Google

Αὐτὸς δὲ κατενεχθεὶς παρὰ τὸν τοῦ Λικυμνίου σηκὸν ἔπεσεν, ὑπὸ τῶν πολλῶν ἀγνοούμενος. Ζώπυρος δέ τις τῶν παρ' Ἀντιγόνῳ στρατευομένων, καὶ δύο ἢ τρεῖς ἕτεροι προσδραμόντες καὶ κατανοήσαντες, εἴς τινα θυρῶνα παρείλκυσαν αὐτὸν ἀρχόμενον ἐκ τῆς πληγῆς ἀναφέρεσθαι. Σπασαμένου δὲ τοῦ Ζωπύρου μάχαιραν Ἰλλυρικὴν, ὡς τὴν κεφαλὴν ἀποτεμοῦντος, ἐνέβλεψε δεινὸν, ὥστε τὸν Ζώπυρον περίφοβον γενόμενον, καὶ τὰ μὲν τρέμοντα ταῖς χερσὶ, τὰ δ' ἐπιχειροῦντα, θορύβου δὲ καὶ ταραχῆς μεστὸν ὄντα, μὴ κατ' ὀρθὸν, ἀλλὰ παρὰ τὸ στόμα καὶ τὸ γένειον ἀποτέμνοντα, βραδέως καὶ μόλις ἀποσπάσαι τὴν κεφαλήν. Ἤδη δὲ σύνδηλον ἦν τὸ γεγονὸς πλείοσι, καὶ προσδραμὼν ὁ Ἀλκυονεὺς ᾔτησε τὴν κεφαλὴν ὡς κατανοήσων. Λαβὼν δ' ἀφίππευσε πρὸς τὸν πατέρα, καὶ καθεζομένῳ μετὰ τῶν φίλων προσέβαλε. Θεασάμενος δὲ καὶ γνοὺς ὁ Ἀντίγονος, τὸν μὲν υἱὸν ἀπήλασε τῇ βακτηρίᾳ παίων, καὶ καλῶν ἐναγῆ καὶ βάρβαρον· αὐτὸς δὲ τὴν χλαμύδα προσθέμενος τοῖς ὄμμασιν ἐδάκρυσεν, Ἀντιγόνου τοῦ πάππου μνησθεὶς, καὶ Δημητρίου τοῦ πατρὸς, οἰκείων παραδειγμάτων εἰς τύχης μεταβολήν. Τὴν μὲν οὖν κεφαλὴν καὶ τὸ σῶμα τοῦ Πύῤῥου κοσμήσας ἔκαυσεν. Ἐπεὶ δ' ὁ Ἀλκυονεὺς τῷ Ἑλένῳ περιτυχὼν ταπεινῷ, καὶ χλαμύδιον λιτὸν ἀμπεχομένῳ, φιλανθρώπως ἐνέτυχε, καὶ τῷ πατρὶ προσήγαγεν, ἰδὼν ὁ Ἀντίγονος· Βελτίονα μὲν, εἶπεν, ὦ παῖ, ταῦτα τῶν προτέρων· ἀλλ' οὐδὲ νῦν ὀρθῶς, τῷ μὴ περιελεῖν τὴν ἐσθῆτα ταύτην, ἣ μᾶλ-

Digitized by Google

λον ἡμᾶς καταισχύνει, τοὺς κρατεῖν δοκοῦντας. Ἐκ τούτου φιλοφρονησάμενος, καὶ κοσμήσας τὸν Ἕλενον, ἀπέστειλεν εἰς Ἤπειρον, καὶ τοῖς φίλοις τοῦ Πύῤῥου πρᾴως ἐνετύγχανε, τοῦ στρατοπέδου καὶ τῆς δυνάμεως πάσης κύριος γενόμενος.

Digitized by Google

ΓΑΙΟΣ ΜΑΡΙΟΣ.

Γαΐου Μαρίου τρίτον οὐκ ἔχομεν εἰπεῖν ὄνομα, καθάπερ οὐδὲ Κοΐντου Σερτωρίου, τοῦ κατασχόντος Ἰβηρίαν, οὐδὲ Λευκίου Μομμίου, τοῦ Κόρινθον ἑλόντος. Ὁ γὰρ Ἀχαϊκὸς τούτῳ γε τῆς πράξεως ἐπώνυμον γέγονεν, ὡς ὁ Ἀφρικανὸς Σκηπίωνι, καὶ ὁ Μακεδονικὸς Μετέλλῳ. Ἐξ οὗ καὶ μάλιστα Ποσειδώνιος ἐλέγχειν οἴεται τοὺς τὸ τρίτον ὄνομα Ῥωμαίοις κύριον εἶναι νομίζοντας, οἷον τὸν Κάμιλλον, καὶ τὸν Μάρκελλον, καὶ τὸν Κάτωνα· γίνεσθαι γὰρ ἀνωνύμους τοὺς ἀπὸ μόνων τῶν δυοῖν προσαγορευομένους. Λανθάνει δ' ἑαυτόν, ὅτι τούτῳ τῷ λόγῳ πάλιν αὐτὸς ἀνωνύμους ποιεῖ τὰς γυναῖκας. Οὐδεμιᾷ γὰρ γυναικὶ τίθεται τῶν ὀνομάτων τὸ πρῶτον, ὅπερ οἴεται κυρίως ὄνομα Ῥωμαίοις ὑπάρχειν ὁ Ποσειδώνιος. Τῶν δ' ἄλλων, τὸ μὲν κοινὸν, ἀπὸ συγγενείας, τοὺς Πομπηΐους, καὶ τοὺς Μαλλίους, καὶ τοὺς Κορνηλίους, ὥσπερ ἂν Ἡρακλείδας τις εἴποι καὶ Πελοπίδας· τὸ δὲ προσηγορικὸν, ἐξ ἐπιθέτου πρὸς τὰς φύσεις, ἢ τὰς πράξεις, ἢ τὰ τοῦ σώματος εἴδη καὶ πάθη τίθε-

Digitized by Google

σθαι, τὸν Μακρῖνον, καὶ τὸν Τουρκουάτον, καὶ τὸν Σύλλαν, οἷόν ἐστιν ὁ Μνήμων, ἢ ὁ Γρυπὸς, ἢ ὁ Καλλίνικος. Εἰς μὲν οὖν ταῦτα πολλὰς δίδωσιν ἐπιχειρήσεις ἡ τῆς συνηθείας ἀνωμαλία.

II. Τῆς δ' ὄψεως τῆς Μαρίου λιθίνην εἰκόνα κειμένην ἐν Ῥαβέννῃ τῆς Γαλατίας ἐθεώμεθα, πάνυ τῇ λεγομένῃ περὶ τὸ ἦθος στρυφνότητι καὶ πικρίᾳ πρέπουσαν. Ἀνδρώδης γὰρ φύσει καὶ πολεμικὸς γενόμενος, καὶ στρατιωτικῆς μᾶλλον, ἢ πολιτικῆς, παιδείας μεταλαβών, ἄκρατον ἐν ταῖς ἐξουσίαις τὸν θυμὸν ἔσχε. Λέγεται δὲ μήτε γράμματα μαθεῖν Ἑλληνικὰ, μήτε γλώττῃ πρὸς μηδὲν Ἑλληνίδι χρῆσθαι τῶν σπουδῆς ἐχομένων· ὡς γελοῖον ὂν γράμματα μανθάνειν, ὧν οἱ διδάσκαλοι δουλεύοιεν ἑτέροις· μετὰ δὲ τὸν δεύτερον θρίαμβον, ἐπὶ ναοῦ τινος καθιερώσει θέας Ἑλληνικὰς παρέχων, εἰς τὸ θέατρον ἐλθὼν, καὶ μόνον καθίσας, εὐθὺς ἀπαλλάγῆναι. Ὥσπερ οὖν Ξενοκράτει τῷ φιλοσόφῳ, σκυθρωποτέρῳ δοκοῦντι τὸ ἦθος εἶναι, πολλάκις εἰώθει λέγειν ὁ Πλάτων· Ὦ μακάριε Ξενόκρατες, θύε ταῖς Χάρισιν· οὕτως, εἴ τις ἔπεισε Μάριον θύειν ταῖς Ἑλληνικαῖς Μούσαις καὶ Χάρισιν, οὐκ ἂν ἐκπρεπεστάταις στρατηγίαις καὶ πολιτείαις ἀμορφοτάτην ἐπέθηκε κορωνίδα, ὑπὸ θυμοῦ καὶ φιλαρχίας ἀώρου, καὶ πλεονεξιῶν ἀπαρηγορήτων, εἰς ὠμότατον καὶ ἀγριώτατον γῆρας ἐξοκείλας. Ταῦτα μὲν οὖν ἐπὶ τῶν πράξεων αὐτῶν εὐθὺς θεωρείσθω.

III. Γενόμενος δὲ γονέων παντάπασιν ἀδόξων, αὐ-

Digitized by Google

τουργῶν τε καὶ πενήτων, πατρὸς μὲν ὁμωνύμου, μητρὸς δὲ Φουλκινίας, ὀψέ ποτε πόλιν εἶδε, καὶ τῶν ἐν πόλει διατριβῶν ἐγεύσατο, τὸν δ' ἄλλον χρόνον ἐν κώμῃ Κερεατινῶν τῆς Ἀρπίνης δίαιταν εἶχε, πρὸς μὲν ἀστεῖον καὶ γλαφυρὸν βίον ἀγροικοτέραν, σώφρονα δὲ, καὶ ταῖς πάλαι Ῥωμαίων τροφαῖς ἐοικυῖαν. Πρώτην δὲ στρατείαν στρατευσάμενος ἐπὶ Κελτίβηρας, ὅτε Σκηπίων Ἀφρικανὸς Νομαντίαν ἐπολιόρκει, τὸν στρατηγὸν οὐκ ἐλάνθανεν ἀνδρείᾳ τῶν ἄλλων νέων διαφέρων, καὶ τὴν μεταβολὴν τῆς διαίτης, ἣν ὑπὸ τρυφῆς καὶ πολυτελείας διεφθαρμένοις ἐπῆγε τοῖς στρατεύμασιν ὁ Σκηπίων, εὐκολώτατα προσδεχόμενος. Λέγεται δὲ καὶ πολέμιον ἄνδρα συστὰς καταβαλεῖν ἐν ὄψει τοῦ στρατηγοῦ. Διὸ ταῖς τ' ἄλλαις προήγετο τιμαῖς ὑπ' αὐτοῦ, καί ποτε, λόγου μετὰ δεῖπνον ἐμπεσόντος ὑπὲρ στρατηγῶν, καὶ τῶν παρόντων ἑνός, εἴτ' ἀληθῶς διαπορήσαντος, εἴτε πρὸς ἡδονὴν ἐρομένου τὸν Σκηπίωνα, τίνα δὴ τοιοῦτον ἕξει μετ' ἐκεῖνον ἡγεμόνα καὶ προστάτην ὁ Ῥωμαίων δῆμος, ὑπερκατακειμένου τοῦ Μαρίου τῇ χειρὶ τὸν ὦμον πατάξας ἠρέμα ὁ Σκηπίων, Τάχα δὲ τοῦτον, εἶπεν. Οὕτως εὐφυὴς ἦν, ὁ μὲν ἐκ μειρακίου φανῆναι μέρας, ὁ δ', ἀπὸ τῆς ἀρχῆς τὸ τέλος νοῆσαι.

IV. Τὸν δ' οὖν Μάριον ὑπὸ ταύτης λέγεται μάλιστα τῆς φωνῆς, ὥσπερ ὑπὸ θείας κληδόνος, ἐπαρθέντα ταῖς ἐλπίσιν, ὁρμῆσαι πρὸς τὴν πολιτείαν, καὶ τυχεῖν δημαρχίας, Καικιλίου Μετέλλου σπουδάσαντος, οὗ τὸν οἶκον ἐξ ἀρχῆς καὶ πατρόθεν ἐθεράπευεν.

Digitized by Google

Ἐν δὲ τῇ δημαρχίᾳ νόμον τινὰ περὶ ψηφοφορίας γράφοντος αὐτοῦ, δοκοῦντα τῶν δυνατῶν ἀφαιρεῖσθαι τὴν περὶ τὰς αἱρέσεις ἰσχύν, ἐνιστάμενος Κόττας ὁ ὕπατος, συνέπεισε τὴν βουλὴν τῷ μὲν νόμῳ μάχεσθαι, τὸν δὲ Μάριον καλεῖν, λόγον ὑφέξοντα. Καὶ τοῦ δόγματος τούτου γραφέντος, εἰσελθὼν ἐκεῖνος οὐκ ἔπαθε νέου πάθος, ἀπὸ μηδενὸς λαμπροῦ προεληλυθότος ἄρτι πρὸς τὴν πολιτείαν, ἀλλ' ἑαυτῷ διδοὺς ἤδη φρονεῖν, ἡλίκον ἔδωκαν αἱ μετέπειτα πράξεις, ἠπείλησε τὸν Κότταν ἀπάξειν εἰς τὸ δεσμωτήριον, εἰ μὴ διαχράψειε τὸ δόγμα. Τοῦ δὲ πρὸς Μέτελλον τραπομένου, καὶ γνώμην ἐρωτῶντος, Μέτελλος μὲν ἀναστὰς συνηγόρει τῷ ὑπάτῳ, Μάριος δὲ τὸν ὑπηρέτην μεταπεμψάμενος ἔξωθεν, ἐκέλευσεν ἀπάγειν αὐτὸν τὸν Μέτελλον εἰς τὸ δεσμωτήριον. Ἐκείνου δὲ τοὺς ἄλλους ἐπικαλουμένου δημάρχους, ἐβοήθει μὲν οὐδείς, ἡ δὲ σύγκλητος εἶξασα προήκατο τὸ δόγμα. Καὶ λαμπρὸς ἐξελάσας ὁ Μάριος εἰς τὸ πλῆθος ἐπεκύρωσε τὸν νόμον, δόξας ἄκαμπτος μὲν εἶναι πρὸς φόβον, ἄτρεπτος δ' ὑπ' αἰδοῦς, δεινὸς δὲ κατὰ τῆς βουλῆς ἀνίστασθαι, χάριτι τῶν πολλῶν δημαγωγῶν. Οὐ μὴν ἀλλὰ ταύτην μὲν ταχέως μετέστησεν ἑτέρῳ πολιτεύματι τὴν δόξαν. Νόμου γὰρ εἰσφερομένου περὶ σίτου διανομῆς, τοῖς πολίταις ἐναντιωθεὶς ἐρρωμενέστατα, καὶ κρατήσας, εἰς τὸ ἴσον ἑαυτὸν κατέστησε τῇ τιμῇ πρὸς ἀμφοτέρους, ὡς μηδετέροις παρὰ τὸ συμφέρον χαριζόμενος.

V. Μετὰ δὲ τὴν δημαρχίαν, ἀγορανομίαν τὴν

Digitized by Google

μείζονα παρήγγειλε. Δύο γάρ εἰσι τάξεις ἀγορανομιῶν, ἡ μὲν ἀπὸ τῶν δίφρων τῶν ἀγκυλοπόδων, ἐφ' ὧν καθεζόμενοι χρηματίζουσιν, ἔχουσα τοὔνομα τῆς ἀρχῆς· τὴν δ' ὑποδεεστέραν δημοτικὴν καλοῦσιν. Ὅταν δὲ τοὺς ἐντιμοτέρους ἕλωνται, περὶ τῶν ἑτέρων πάλιν τὴν ψῆφον λαμβάνουσιν. Ὡς οὖν ὁ Μάριος φανερὸς ἦν λειπόμενος ἐν ἐκείνῃ, ταχὺ μεταστὰς αὖθις ᾔτει τὴν ἑτέραν. Δόξας δὲ θρασὺς εἶναι καὶ αὐθάδης, ἀπέτυχε· καὶ δυσὶν ἐν ἡμέρᾳ μιᾷ περιπεσὼν ἀποτεύξεσιν, ὃ μηδεὶς ἔπαθεν ἄλλος, οὐδὲ μικρὸν ὑφήκατο τοῦ φρονήματος. Ὕστερον δ' οὐ πολλῷ στρατηγίαν μετελθὼν, ὀλίγον ἐδέησεν ἐμπεσεῖν· ἔσχατος δὲ πάντων ἀναγορευθεὶς δίκην ἔσχε δεκασμοῦ. Μάλιστα δ' ὑποψίαν παρέσχε Κασσίου Σαβάκωνος οἰκέτης, ὀφθεὶς ἐντὸς τῶν δρυφάκτων, ἀναμεμιγμένος τοῖς φέρουσι τὰς ψήφους. Ὁ γὰρ Σαβάκων ἦν ἑταῖρος ἐν τοῖς μάλιστα Μαρίου. Κληθεὶς οὖν οὗτος ὑπὸ τῶν δικαστῶν, ἔφη, διὰ τὸ καῦμα διψήσας, ὕδωρ ψυχρὸν αἰτῆσαι, καὶ τὸν οἰκέτην ἔχοντα ποτήριον εἰσελθεῖν εἰς αὐτὸν, εἶτ' εὐθὺς οἴχεσθαι πιόντος. Οὗτος μὲν οὖν ὑπὸ τῶν μετὰ ταῦτα τιμητῶν ἐξέπεσε τῆς βουλῆς, ἐπιτήδειος εἶναι παθεῖν τοῦτο δόξας, ἢ διὰ τὴν ψευδομαρτυρίαν, ἢ διὰ τὴν ἀκρασίαν. Ἐπὶ δὲ τὸν Μάριον Γάϊος Ἐρέννιος μάρτυς εἰσαχθεὶς, οὐκ ἔφη πάτριον εἶναι καταμαρτυρεῖν πελατῶν, ἀλλὰ τὸν νόμον ἀφιέναι ταύτης τῆς ἀνάγκης τοὺς πάτρωνας· οὕτω γὰρ οἱ Ῥωμαῖοι τοὺς προστάτας καλοῦσι· τοῦ δ' Ἐρεννίου

Digitized by Google

οἴκου τοὺς Μαρίου γονεῖς, καὶ Μάριον αὐτὸν ἐξ ἀρχῆς γεγονέναι πελάτας. Ἀποδεξαμένων δὲ τὴν ἀπόῤῥησιν τῆς μαρτυρίας τῶν δικαστῶν, αὐτὸς ἀντεῖπεν ὁ Μάριος πρὸς τὸν Ἐρέννιον, ὡς, ὅτε πρῶτον ἄρχων ἀνηγορεύθη, τὸν πελάτην ἐκβεβηκώς· ὅπερ ἦν οὐ παντάπασιν ἀληθές. Ἀρχὴ γὰρ οὐ πᾶσα τοῦ νέμειν προστάτην ἀπαλλάσσει τοὺς τυχόντας αὐτοὺς καὶ γένος, ἀλλ' ἢ τὸν ἀγκυλόποδα δίφρον ὁ νόμος δίδωσιν. Οὐ μὴν ἀλλὰ ταῖς πρώταις ἡμέραις ἐν τῇ δίκῃ κακῶς πράττων ὁ Μάριος, καὶ χαλεποῖς χρώμενος τοῖς δικασταῖς, τῇ τελευταίᾳ παραλόγως ἀπέφυγεν, ἴσων τῶν ψήφων γενομένων.

VI. Ἐν μὲν οὖν τῇ στρατηγίᾳ μετρίως ἐπαινούμενον ἑαυτὸν παρέσχε. Μετὰ δὲ τὴν στρατηγίαν, κλήρῳ λαβὼν τὴν ἐκτὸς Ἰβηρίαν, λέγεται καθᾶραι λῃστηρίων τὴν ἐπαρχίαν, ἀνήμερον οὖσαν ἔτι τοῖς ἔθισμοῖς καὶ θηριώδη, καὶ τὸ λῃστεύειν οὔπω τότε τῶν Ἰβήρων οὐχὶ κάλλιστον ἡγουμένων. Ἐν δὲ τῇ πολιτείᾳ γενόμενος, οὐκ εἶχεν οὐδὲ πλοῦτον, οὐδὲ λόγον, οἷς ἦγον οἱ τότε μάλιστα τιμώμενοι τὸν δῆμον. Αὐτὴν δὲ τὴν ἀνάτασιν τοῦ φρονήματος καὶ τὸ περὶ τοὺς πόνους ἐδελεχὲς αὐτοῦ, καὶ τὸ δημοτικὸν τῆς διαίτης, ἔν τινι σπουδῇ τιθεμένων τῶν πολιτῶν, ηὐξάνετο τῇ τιμῇ πρὸς δύναμιν· ὥστε καὶ γάμον γῆμαι λαμπρὸν, οἰκίας ἐπιφανοῦς τῆς Καισάρων, Ἰουλίαν, ἧς ἦν ἀδελφιδοῦς Καῖσαρ, ὁ χρόνοις ὕστερον Ῥωμαίων μέγιστος γενόμενος, καίτοι κατ' οἰκειότητα ζηλώσας Μάριον, ὡς ἐν τοῖς περὶ

Digitized by Google

ἐκείνου γέγραπται. Τῷ δὲ Μαρίῳ καὶ σωφροσύνην μαρτυροῦσι καὶ καρτερίαν, ἧς δεῖγμα καὶ τὸ περὶ τὴν χειρουργίαν ἐστίν. Ἀξιῶν γὰρ, ὡς ἔοικε, μεγάλων ἀνάπλεως ἄμφω τὰ σκέλη γεγονὼς, καὶ τὴν ἀμορφίαν δυσχεραίνων, ἔγνω παρασχεῖν ἑαυτὸν ἰατρῷ· καὶ παρέσχεν ἄδετος θάτερον σκέλος, οὐδὲν κινηθεὶς, οὐδὲ στενάξας, ἀλλὰ καθεστῶτι τῷ προσώπῳ καὶ μετὰ σιωπῆς ὑπερβολάς τινας ἀλγηδόνων ἐν ταῖς τομαῖς ἀνασχόμενος. Τοῦ δ' ἰατροῦ μετιόντος ἐπὶ θάτερον, οὐκέτι παρέσχε, φήσας· Ὁρῶ τὸ ἐπανόρθωμα τῆς ἀλγηδόνος οὐκ ἄξιον.

VII. Ἐπεὶ δὲ Καικίλιος Μέτελλος, ἀποδειχθεὶς ἐπεὶ τὸν κατὰ Ἰουγούρθα πόλεμον ὕπατος στρατηγὸς εἰς Λιβύην, ἐπηγάγετο πρεσβευτὴν Μάριον, ἐνταῦθα πράξεων μεγάλων καὶ λαμπρῶν ἀγώνων ἐπιλαβόμενος, τὸ μὲν αὔξειν τὸν Μέτελλον, ὥσπερ οἱ λοιποὶ, καὶ πολιτεύεσθαι πρὸς ἐκεῖνον, εἴασε χαίρειν· ἀξιῶν δὲ οὐχ ὑπὸ Μετέλλου κεκλῆσθαι πρεσβευτὴς, ὑπὸ δὲ τῆς τύχης εἰς εὐφυέστατον καιρὸν ὁμοῦ καὶ μεγίστων εἰσάγεσθαι πράξεων θέατρον, ἐπεδείκνυτο πᾶσαν ἀνδραγαθίαν. Καὶ πολλὰ τοῦ πολέμου δυσχερῆ φέροντος, οὔτε τῶν μεγάλων τινὰ πόνων ὑποτρέσας, οὔτε τῶν μικρῶν ἀπαξιώσας, ἀλλὰ τοὺς μὲν ὁμοτίμους εὐβουλίᾳ καὶ προνοίᾳ τοῦ συμφέροντος ὑπερβαλλόμενος, πρὸς δὲ τοὺς στρατιώτας ὑπὲρ εὐτελείας καὶ καρτερίας διαμιλλώμενος, εὔνοιαν ἔσχε πολλὴν παρ' αὐτοῖς. Ὅλως μὲν γὰρ ἔοικε τοῦ κάμνειν ἑκάστῳ παραμυθία τὸ συγκάμνον ἑκουσίως

Digitized by Google

εἶναι· δοκεῖ γὰρ ἀφαιρεῖν τὴν ἀνάγκην. Ἥδιστον δὲ Ῥωμαίῳ θέαμα στρατιώτῃ, στρατηγὸς ἐσθίων ἐν ὄψει κοινὸν ἄρτον, ἢ κατακείμενος ἐπὶ στιβάδος εὐτελοῦς, ἢ περὶ ταφρείαν τινὰ καὶ χαράκωσιν ἔργου συνεφαπτόμενος. Οὐ γὰρ οὕτω τοὺς τιμῆς καὶ χρημάτων μεταδιδόντας, ὡς τοὺς πόνου καὶ κινδύνου μεταλαμβάνοντας ἡγεμόνας θαυμάζουσιν, ἀλλὰ μᾶλλον ἀγαπῶσι τῶν ῥᾳθυμεῖν ἐπιτρεπόντων τοὺς συμπονεῖν ἐθέλοντας. Ταῦτα πάντα ποιῶν ὁ Μάριος, καὶ διὰ τούτων τοὺς στρατιώτας δημαγωγῶν, ταχὺ μὲν ἐνέπλησε τὴν Λιβύην, ταχὺ δὲ τὴν Ῥώμην ὀνόματος καὶ δόξης, τῶν ἀπὸ στρατοπέδου ταῖς οἴκοι γραφόντων, ὡς οὐκ ἔστι πέρας, οὐδ' ἀπαλλαγὴ τοῦ πρὸς τὸν βάρβαρον πολέμου, μὴ Γάϊον Μάριον ἑλομένοις ὕπατον.

VIII. Ἐφ' οἷς δῆλος ἦν ὁ Μέτελλος ἀχθόμενος. Μάλιστα δ' αὐτὸν ἠνίασε τὰ περὶ Τουρπίλλιον. Οὗτος γὰρ ὁ ἀνὴρ ἦν μὲν ἐκ πατέρων ξένος τῷ Μετέλλῳ, καὶ τότε τὴν ἐπὶ τῶν τεκτόνων ἔχων ἀρχὴν συνεστράτευε. Φρουρῶν δὲ Βάγαν, πόλιν μεγάλην, καὶ τῷ μηδὲν ἀδικεῖν τοὺς ἐνοικοῦντας, ἀλλὰ πράως καὶ φιλανθρώπως αὐτοῖς προσφέρεσθαι πιστεύων, ἔλαθεν ὑποχείριος τοῖς πολεμίοις γενόμενος. Παρεδέξαντο γὰρ τὸν Ἰουγούρθαν, τὸν δὲ Τουρπίλλιον οὐδὲν ἠδίκησαν, ἀλλὰ σῶον ἐξαιτησάμενοι διῆκαν. Ἔσχεν οὖν αἰτίαν προδοσίας, καὶ παρὼν ὁ Μάριος τῇ κρίσει σύμβουλος, αὐτός τε οἷ πικρὸς ἦν, καὶ τῶν ἄλλων παρώξυνε τοὺς πλείστους, ὥστ' ἄκοντα

Digitized by Google

τὸν Μέτελλον ἐκβιασθῆναι καὶ καταψηφίσασθαι θάνατον τοῦ ἀνθρώπου. Μετ' ὀλίγον δὲ, τῆς αἰτίας ψευδοῦς φανείσης, οἱ μὲν ἄλλοι συνήχθοντο τῷ Μετέλλῳ βαρέως φέροντι· Μάριος δὲ χαίρων, καὶ ποιούμενος ἴδιον τὸ ἔργον, οὐκ ἠσχύνετο λέγειν περιϊὼν, ὡς αὐτὸς εἴη προστετριμμένος ἀλάστορα τῷ Μετέλλῳ ξενοκτόνον. Ἐκ τούτου φανερῶς ἀπηχθάνοντο· καὶ λέγεται ποτὲ τοῦ Μαρίου παρόντος, οἷον ἐφυβρίζων ὁ Μέτελλος εἰπεῖν· Σὺ δὴ καταλιπὼν ἡμᾶς, ὦ γενναῖε, πλεῖν ἐπ' οἶκου διανοῇ, καὶ παραγγέλλειν ὑπατείαν; οὐ γὰρ ἀγαπήσεις, ἂν τῷ ἐμῷ παιδὶ τούτῳ συνυπατεύσῃς; Ἦν δὲ ὁ παῖς τότε τοῦ Μετέλλου παντάπασι μειράκιον. Οὐ μὴν ἀλλὰ τοῦ Μαρίου σπουδάζοντος ἀφεθῆναι, πολλὰς ἀναβολὰς ποιησάμενος, ἔτι δώδεκα λειπομένων ἡμερῶν ἐπὶ τὴν τῶν ὑπάτων ἀνάδειξιν, ἀφήκειν αὐτόν. Ὁ δὲ, πολλὴν ἀπὸ στρατοπέδου τὴν ἐπὶ θάλασσαν εἰς Ἰτύκην ὁδὸν ἡμέραις δυσὶ καὶ μιᾷ νυκτὶ συνελὼν, ἔθυε πρὸ τοῦ πλοῦ. Καὶ λέγεται, τὸν μάντιν εἰπεῖν, ὡς ἀπίστους τινὰς τὸ μέγεθος καὶ κρείττονας ἐλπίδος ἁπάσης εὐπραξίας προφαίνοι τῷ Μαρίῳ τὸ δαιμόνιον. Ὁ δὲ τούτοις ἐπαρθεὶς ἀνήχθη. Καὶ τὸ πέλαγος τεταρταῖος οὐρίῳ πνεύματι περάσας, αὐτίκα τε τῷ δήμῳ ποθεινὸς ὤφθη, καὶ προαχθεὶς ὑπό τινος τῶν δημάρχων εἰς τὸ πλῆθος, ἐπὶ πολλαῖς κατὰ τοῦ Μετέλλου διαβολαῖς ἠτεῖτο τὴν ἀρχὴν, ὑπισχνούμενος, ἢ κτενεῖν, ἢ ζῶντα λήψεσθαι τὸν Ἰουγούρθαν.

Digitized by Google

IX. Ἀναγορευθεὶς δὲ λαμπρῶς, εὐθὺς ἐστρατολόγει παρὰ τὸν νόμον καὶ τὴν συνήθειαν, πολὺν ὄχλον ἄπορον καὶ δοῦλον καταγράφων· τῶν πρόσθεν ἡγεμόνων οὐ προσδεχομένων τοὺς τοιούτους, ἀλλ', ὥσπερ ἄλλο τι τῶν καλῶν, τὰ ὅπλα μετὰ τιμῆς τοῖς ἀξίοις νεμόντων, ἐνέχυρον τὴν οὐσίαν ἑκάστου τιθέναι δοκοῦντος. Οὐ μὴν ταῦτά γε μάλιστα διέβαλλε τὸν Μάριον, ἀλλ' οἱ λόγοι, θρασεῖς ὄντες ὑπεροψίᾳ καὶ ὕβρει, τοὺς πρώτους ἐλύπουν, σκῦλόν τε βοῶντος αὐτοῦ τὴν ὑπατείαν φέρεσθαι τῆς τῶν εὐγενῶν καὶ πλουσίων μαλακίας, καὶ τραύμασιν οἰκείοις πρὸς τὸν δῆμον, οὐ μνήμασι νεκρῶν, οὐδ' ἀλλοτρίαις εἰκόσι νεανιεύεσθαι. Πολλάκις δὲ καὶ τοὺς ἀτυχήσαντας ἐν Λιβύῃ στρατηγοὺς, τοῦτο μὲν Βηστίαν, τοῦτο δ' Ἄλβῖνον, ἀνθρώπους οἴκων μὲν ἐπιφανῶν, αὐτοὺς δὲ τύχῃ σφαλέντας, ἀπολέμους καὶ δι' ἀπειρίαν παίσαντας ὀνομάζων, ἐπυνθάνετο τῶν παρόντων, εἰ μὴ καὶ τοὺς ἐκείνων οἴονται προγόνους αὐτῷ μᾶλλον ἂν εὔξασθαι παραπλησίους ἐκγόνους ἀπολιπεῖν, ἅτε δὴ μηδ' αὐτοὺς δι' εὐγένειαν, ἀλλ' ἀπ' ἀρετῆς καὶ καλῶν ἔργων ἐνδόξους γενομένους. Ταῦτα δ' οὐ κενῶς, οὐδ' ἀλαζονικῶς ἔλεγεν, οὐδὲ μάτην ἀπεχθάνεσθαι τοῖς δυνατοῖς βουλόμενος, ἀλλ' ὁ δῆμος αὐτὸν, ἡδόμενός τε τῇ βουλῇ προπηλακιζομένῃ, καὶ λόγου κόμπῳ μετρῶν ἀεὶ φρονήματος μέγεθος, ἐξεκούφιζε, καὶ συνεξώρμα μὴ φείδεσθαι τῶν ἀξιολόγων, χαριζόμενον τοῖς πολλοῖς.

X. Ὡς δὲ διέπλευσεν εἰς Λιβύην, Μέτελλος μὲν,

Digitized by Google

ἥττων τοῦ φθόνου γενόμενος, καὶ περιπαθῶν, ὅτι, κατειργασμένου τὸν πόλεμον αὐτοῦ, καὶ μηδὲν ὑπόλοιπον, ἢ τὸ σῶμα τοῦ Ἰουγούρθα λαβεῖν, ἔχοντος, ἦκει Μάριος ἐπὶ τὸν στέφανον καὶ τὸν θρίαμβον, ἐκ τῆς πρὸς ἐκεῖνον ἀχαριστίας ηὐξημένος, οὐχ ὑπέμεινεν εἰς τὸ αὐτὸ συνελθεῖν· ἀλλ' αὐτὸς μὲν ὑπεξεχώρησε, Ῥουτίλιος δὲ τὸ στράτευμα τῷ Μαρίῳ παρέδωκε, πρεσβευτὴς γεγονὼς τοῦ Μετέλλου. Καὶ περιῆλθέ τις νέμεσις ἐν τῷ τέλει τῶν πράξεων Μάριον· ἀφῃρέθη γὰρ ὑπὸ Σύλλα τὴν τοῦ κατορθώματος δόξαν, ὡς ὑπ' ἐκείνου Μέτελλος. Ὃν τρόπον δ', ἀφηγήσομαι βραχέως, ἐπεὶ τὰ καθ' ἕκαστα μᾶλλον ἐν τοῖς περὶ Σύλλα γέγραπται. Βόκχος, ὁ τῶν ἄνω βαρβάρων βασιλεὺς, ἦν πενθερὸς Ἰουγούρθα, καὶ πολεμοῦντι μὲν οὐ πάνυ τι συλλαμβάνειν ἐδόκει, προβαλλόμενος αὐτοῦ τὴν ἀπιστίαν, καὶ τὴν αὔξησιν δεδοικώς. Ἐπεὶ δὲ φεύγων καὶ πλανώμενος, ἐκεῖνον ὑπ' ἀνάγκης ἔθετο τῶν ἐλπίδων τελευταῖον, καὶ κατῆρε πρὸς αὐτὸν, αἰσχύνῃ μᾶλλον ὡς ἱκέτην, ἢ δι' εὔνοιαν ὑποδεξάμενος, διὰ χειρὸς εἶχε, φανερῶς μὲν ὑπὲρ αὐτοῦ παραιτούμενος Μάριον, καὶ γράφων, ὡς οὐκ ἂν ἐκδοίη, καὶ παῤῥησιαζόμενος· κρύφα δὲ βουλεύων προδοσίαν ἐπ' αὐτῷ, καὶ μεταπεμπόμενος Λεύκιον Σύλλαν, ταμίαν μὲν ὄντα Μαρίου, χρήσιμον δὲ τῷ Βόκχῳ γεγενημένον ἐπὶ στρατείας. Ὡς δὲ πιστεύσας ἀνέβη πρὸς αὐτὸν ὁ Σύλλας, ἔσχε μέν τις τροπὴ γνώμης καὶ μετάνοια τὸν βάρβαρον, ἡμέρας τε συχνὰς διη-

Digitized by Google

νέχθη τῷ λογισμῷ, βουλευόμενος, ἢ παραδοῦναι τὸν Ἰουγούρθαν, ἢ μηδὲ τὸν Σύλλαν ἀφεῖναι. Τέλος δὲ, τὴν προτέραν κυρώσας παραδοσίαν, ἐνεχείρισε τῷ Σύλλᾳ ζῶντα τὸν Ἰουγούρθαν. Καὶ τοῦτο πρῶτον ὑπῆρξεν αὐτοῖς σπέρμα τῆς ἀνηκέστου καὶ χαλεπῆς ἐκείνης στάσεως, ἢ μικρὸν ἐδέησεν ἀνατρέψαι τὴν Ῥώμην. Πολλοὶ γὰρ ἐβούλοντο τοῦ Σύλλα τὸ ἔργον εἶναι, τῷ Μαρίῳ φθονοῦντες· αὐτός τε Σύλλας σφραγῖδα ποιησάμενος, ἐφόρει γλυφὴν ἔχουσαν ἐγχειριζόμενον ὑπὸ τοῦ Βόκχου τὸν Ἰουγούρθαν ἑαυτῷ. Καὶ ταύτῃ χρώμενος ἀεὶ διετέλει, φιλότιμον ἄνδρα καὶ πρὸς κοινωνίαν δόξης ἀγνώμονα καὶ δύσεριν ἐρεθίζων τὸν Μάριον, ἐναγόντων μάλιστα τῶν ἐχθρῶν τῶν ἐκείνου, καὶ τὰ μὲν πρῶτα τοῦ πολέμου καὶ μέγιστα τῷ Μετέλλῳ, τὰ δ' ἔσχατα καὶ τὸ πέρας αὐτοῦ Σύλλᾳ προστιθέντων, ὡς παύσαιτο θαυμάζων καὶ προυέχων ἐκείνῳ μάλιστα πάντων ὁ δῆμος.

XI. Ταχὺ μέντοι τὸν φθόνον τοῦτον, καὶ τὰ μίση, καὶ τὰς διαβολὰς ἀπεσκέδασε τοῦ Μαρίου καὶ μετέστησεν ὁ κατασχὼν τὴν Ἰταλίαν ἀπὸ τῆς ἑσπέρας κίνδυνος, ἅμα τῷ πρῶτον ἐν χρείᾳ μεγάλου στρατηγοῦ γενέσθαι, καὶ περισκέψασθαι τὴν πόλιν, ᾧ χρωμένη κυβερνήτῃ διαφεύξεται κλύδωνα πολέμου τοσοῦτον· οὐδενὸς ἀνασχομένου τῶν ἀπὸ γένους μεγάλων, ἢ πλουσίων οἴκων, ἐπὶ τὰς ὑπατικὰς κατιόντων ἀρχαιρεσίας, ἀλλὰ ἀπόντα τὸν Μάριον ἀναγορευσάντων. Ἄρτι γὰρ ἀπηγγελμένης αὐτοῖς

Digitized by Google

τῆς Ἰουγούρθα συλλήψεως, αἱ περὶ Τευτόνων καὶ Κίμβρων φῆμαι προσέπιπτον, ἀπιστίαν μὲν ἐν ἀρχῇ παρασχοῦσαι πλήθους τε καὶ ῥώμης τῶν ἐπερχομένων στρατῶν, ὕστερον δὲ τῆς ἀληθείας ὑποδεέστεραι φανεῖσαι. Μυριάδες μὲν γὰρ αἱ μάχιμοι τριάκοντα σὺν ὅπλοις ἐχώρουν, ὄχλοι δὲ παίδων καὶ γυναικῶν ἐλέγοντο πολὺ πλείους συμπεριάγεσθαι, γῆς χρῄζοντες, ἣ θρέψει τοσοῦτον πλῆθος, καὶ πόλεων, ἐν αἷς ἱδρυνθέντες βιώσονται, καθάπερ πρὸ αὐτῶν ἐπυνθάνοντο Κελτοὺς τῆς Ἰταλίας τὴν ἀρίστην κατασχεῖν, Τυῤῥηνῶν ἀφελομένους. Αὐτοὶ μὲν γὰρ ἀμιξίᾳ τῇ πρὸς ἑτέρους, μήκει τε χώρας, ἣν ἐπῆλθον, ἠγνοοῦντο, τίνες ὄντες ἀνθρώπων, ἢ πόθεν ὁρμηθέντες, ὥσπερ νέφος ἐμπέσοιεν τῇ Γαλατίᾳ καὶ Ἰταλίᾳ. Καὶ μάλιστα μὲν εἰκάζοντο Γερμανικὰ γένη τῶν καθηκόντων ἐπὶ τὸν βόρειον ὠκεανὸν εἶναι, τοῖς μεγέθεσι τῶν σωμάτων, καὶ τῇ χαροπότητι τῶν ὀμμάτων· καὶ ὅτι Κίμβρους ἐπονομάζουσι Γερμανοὶ τοὺς λῃστάς. Εἰσὶ δ' οἳ καὶ τὴν Κελτικὴν, διὰ βάθος χώρας καὶ μέγεθος, ἀπὸ τῆς ἔξωθεν θαλάσσης, καὶ τῶν ὑπαρκτίων κλιμάτων, πρὸς ἥλιον ἀνέσχοντα καὶ τὴν Μαιῶτιν ἐπιστρέφουσαν, ἅπτεσθαι τῆς Ποντικῆς Σκυθίας λέγουσι, κἀκεῖθεν τὰ γένη μεμίχθαι. Τούτους ἐξαναστάντας οὐκ ἐκ μιᾶς ὁρμῆς, οὐδὲ συνεχῶς, ἀλλ' ἔτους ὥρᾳ καθ' ἕκαστον ἐνιαυτὸν εἰς τοὔμπροσθεν ἀεὶ χωροῦντας, πολέμῳ χρόνοις πολλοῖς ἐπελθεῖν τὴν ἤπειρον. Διὸ καὶ πολλὰς κατὰ μέρος ἐπικλήσεις ἐχόντων, κοινῇ Κελ-

Digitized by Google

τοσκύθας τὸν στρατὸν ὠνόμαζον. Ἄλλοι δὲ φασὶ, Κιμμερίων τὸ μὲν πρῶτον ὑφ' Ἑλλήνων τῶν πάλαι γνωσθέντων, οὐ μέγα γενέσθαι τοῦ παντὸς μύριον, ἀλλὰ φυγὴν, ἣ στάσιν τινὰ βιασθεῖσαν ὑπὸ Σκυθῶν, εἰς Ἀσίαν ἀπὸ τῆς Μαιώτιδος διαπεράσαι, Λυγδάμιος ἡγουμένου. Τὸ δὲ πλεῖστον αὐτῶν καὶ μαχιμώτατον, ἐπ' ἐσχάτοις οἰκοῦν παρὰ τὴν ἔξω θάλασσαν, γῆν μὲν νέμεσθαι σύσκιον καὶ ὑλώδη καὶ δυσήλιον πάντη, διὰ βάθος καὶ πυκνότητα δρυμῶν, οὓς μέχρι τῶν Ἑρκυνίων εἴσω διήκειν· οὐρανοῦ δ' εἰληχέναι, καθ' ὃ δοκεῖ μέγα λαμβάνων ὁ πόλος ἔξαρμα, διὰ τὴν ἔγκλισιν τῶν παραλλήλων, ὀλίγον ἀπολείπειν τοῦ κατὰ κορυφὴν ἱσταμένου σημείου πρὸς τὴν οἴκησιν· αἵ τε ἡμέραι βραχύτητι καὶ μήκει πρὸς τὰς νύκτας ἴσαι κατανέμεσθαι τὸν χρόνον· δι' ὃ καὶ τὴν εὐπορίαν τοῦ μυθεύματος Ὁμήρῳ γενέσθαι πρὸς τὴν νεκυίαν. Ἔνθεν οὖν τὴν ἔφοδον εἶναι τῶν βαρβάρων τούτων ἐπὶ τὴν Ἰταλίαν, Κιμμερίων μὲν ἐξ ἀρχῆς, τότε δὲ Κίμβρων, οὐκ ἄπο τρόπου προσαγορευομένων. Ἀλλὰ ταῦτα μὲν εἰκασμῷ μᾶλλον, ἢ κατὰ βέβαιον ἱστορίαν, λέγεται. Τὸ δὲ πλῆθος οὐκ ἔλαττον, ἀλλὰ πλέον εἶναι τοῦ λεχθέντος, ὑπὸ πολλῶν ἱστόρηται. Θυμὸν δὲ καὶ τόλμαν ἀνυπόστατοι, καὶ χειρῶν ἔργα παρὰ τὰς μάχας ὀξύτητι καὶ βίᾳ πυρὸς ἐοικότες ἐπήεσαν, οὐδενὸς ἀντέχοντος αὐτῶν πρὸς τὴν ἔφοδον, ἀλλὰ πάντων μὲν, ὅσους ἐπῆλθον, ἐν λόγῳ λείας ἀγομένων καὶ φερομένων· πολλῶν δὲ καὶ μεγάλων Ῥωμαϊκῶν

Digitized by Google

στρατοπέδων καὶ στρατηγῶν, ὅσοι προεστήκεσαν τῆς ἐντὸς Ἄλπεων Γαλατίας, ἀνηρπασμένων ἐκλεῶς· οἳ καὶ μάλιστα τὴν φορὰν αὐτῶν, κακῶς ἀγωνισάμενοι, καὶ τῆς Ῥώμης ἐπεσπάσαντο. Νικήσαντες γὰρ οἷς ἐνέτυχον, καὶ χρημάτων πολλῶν κρατήσαντες, ἔγνωσαν μηδαμοῦ γῆς ἑαυτοὺς ἱδρύειν, πρὶν ἀνατρέψωσι τὴν Ῥώμην, καὶ διαπορθήσωσι τὴν Ἰταλίαν.

XII. Ταῦτα Ῥωμαῖοι πυνθανόμενοι πολλαχόθεν, ἐκάλουν Μάριον ἐπὶ τὴν στρατηγίαν. Καὶ τὸ δεύτερον ὕπατος ἀπεδείχθη, τοῦ μὲν νόμου κωλύοντος ἅπαξ, καὶ μὴ διαλιπόντα χρόνον ὡρισμένον, αὖθις αἱρεῖσθαι, τοῦ δὲ δήμου τοὺς ἀντιλέγοντας ἐκβαλόντος. Ἡγοῦντο γὰρ οὔτε νῦν πρῶτον εἶξειν τῷ συμφέροντι τὸν νόμον, οὔτ' ἀλογωτέρον εἶναι τὴν παροῦσαν αἰτίαν ἐκείνης· δι' ἣν τὸν Σκηπίωνα παρὰ τοὺς νόμους ὕπατον ἀπέδειξαν, οὐ φοβούμενοι τὴν ἑαυτῶν ἀποβαλεῖν, ἀλλὰ τὴν Καρχηδονίων ἐπιθυμοῦντες ἀνελεῖν. Ταῦτ' ἔδοξε· καὶ Μάριος, ἐκ Λιβύης μετὰ τοῦ στρατεύματος διακομισθεὶς, αὐταῖς Καλάνδαις Ἰανουαρίαις, ἣν ἔτους ἀρχὴν ἄγουσι Ῥωμαῖοι, τήν τε ὑπατείαν ἀνέλαβε, καὶ τὸν θρίαμβον εἰσήλασεν, ἄπιστον ἐπιδειξάμενος θέαμα Ῥωμαίοις Ἰουγούρθαν αἰχμάλωτον· οὔ ζῶντος οὐδ' ἂν εἷς ἤλπισε πολεμίων κρατήσειν. Οὕτω τις ἦν ποικίλος ἀνὴρ τύχαις δμιλῆσαι, καὶ πανουργίᾳ πολλῇ μεμιγμένον ἔχων τὸ θυμοειδές. Ἀλλ' ἐξέστη γε πομπευθεὶς, ὥς λέγουσι, τότε τοῦ φρονεῖν· καὶ μα-

Digitized by Google

τὰ τὸν θρίαμβον εἰς τὸ δεσμωτήριον ἐμπεσὼν, ὡς οἱ μὲν αὐτοῦ βίᾳ περιέῤῥηξαν τὸν χιτωνίσκον, οἱ δὲ σπεύδοντες ἀφελέσθαι βίᾳ τὸ χρυσοῦν ἑλλόβιον, ἅμα τὸν λοβὸν συναπέῤῥηξαν, ὠσθεὶς δὲ γυμνὸς εἰς τὸ βάραθρον κατεβλήθη, μεστὸς ὢν ταραχῆς, καὶ διασεσηρὼς, Ἡράκλεις, εἶπεν, ὡς ψυχρὸν ὑμῶν τὸ βαλανεῖον. Ἀλλὰ τοῦτον μὲν, ἐξ ἡμέρας ζυγομαχήσαντα τῷ λιμῷ, καὶ μέχρι τῆς ἐσχάτης ὥρας ἐκκρεμασθέντα τῆς τοῦ ζῆν ἐπιθυμίας, εἶχεν ἀξία δίκη τῶν ἀσεβημάτων. Ἐν δὲ τῷ θριάμβῳ κομισθῆναι λέγουσι χρυσοῦ μὲν ἑπτὰ καὶ τρισχιλίας λίτρας, ἀργύρου δὲ ἀσήμου πεντακισχιλίας ἑπτακοσίας ἑβδομήκοντα πέντε, νομίσματος δὲ δραχμὰς ἑπτακισχιλίας ἐπὶ μυριάσιν ὀκτὼ καὶ εἴκοσι. Μετὰ δὲ τὴν πομπὴν ὁ Μάριος σύγκλητον ἤθροισεν ἐν Καπιτωλίῳ, καὶ παρῆλθε μὲν, εἴτε λαθὼν αὐτὸν, εἴτε τῇ τύχῃ χρώμενος ἀγροικότερον, ἐν τῇ θριαμβικῇ κατασκευῇ. Ταχὺ δὲ τὴν βουλὴν ἀχθεσθεῖσαν αἰσθόμενος, ἐξανέστη, καὶ μεταλαβὼν τὴν περιπόρφυρον, αὖθις ἦλθεν.

XIII. Ἐν δὲ τῇ στρατείᾳ τὴν δύναμιν διεπόνει καθ' ὁδὸν, ἐξασκῶν δρόμοις τε παντοδαποῖς καὶ μακραῖς ὁδοιπορίαις, ἑαυτὸν δ' ἀχθοφορεῖν ἀναγκάζων καὶ αὐτουργεῖν τὰ πρὸς τὴν δίαιταν. Ὥστε καὶ μετὰ ταῦτα τοὺς φιλοπόνους καὶ σιωπῇ μετ' εὐκολίας τὰ προστασσόμενα ποιοῦντας, ἡμιόνους Μαριανοὺς καλεῖσθαι. Καίτοι τινὲς αἰτίαν ἑτέραν τοῦ λόγου τούτου νομίζουσι. Σκηπίωνος γὰρ, ὅτε Νομαντίαν

Digitized by Google

ἐπολιόρκει, βουληθέντος ἐπεδεῖν μὴ μόνον τὰ ὅπλα, μηδὲ τοὺς ἵππους, ἀλλὰ καὶ τοὺς ὀρεῖς καὶ τὰς ἁμάξας, ὅπως ἑκάστοις ἐξησκημένα καὶ παρεσκευασμένα τυγχάνοι, προαγαγεῖν τὸν Μάριον ἵππον τε κάλλιστα τεθραμμένον ὑπ' αὐτοῦ, καὶ ἡμίονον εὐεξίᾳ καὶ πραότητι καὶ ῥώμῃ διαφέροντα πολὺ τῶν ἄλλων. Ἡσθέντος οὖν τοῦ στρατηγοῦ τοῖς τοῦ Μαρίου θρέμμασι, καὶ πολλάκις αὐτῶν μνησθέντος, οὕτως ἄρα τοὺς σκώπτοντας ἐν ἐπαίνῳ τὸν ἐνδελεχῆ καὶ τλήμονα καὶ φιλόπονον, Μαριανὸν ἡμίονον προσαγορεύειν.

XIV. Εὐτύχημα δὲ δοκεῖ τῷ Μαρίῳ μέγα γενέσθαι. Τῶν γὰρ βαρβάρων ὥσπερ τινὰ παλίῤῥοιαν τῆς ὁρμῆς λαβόντων, καὶ ῥυέντων πρότερον ἐπὶ τὴν Ἰβηρίαν, χρόνον ἔσχε καὶ τὰ σώματα γυμνάσαι τῶν ἀνδρῶν, καὶ τὰ φρονήματα πρὸς τὸ θαῤῥεῖν ἀναῤῥῶσαι· τὸ δὲ μέγιστον, αὐτοῖς οἷος ἦν κατανοηθῆναι. Τὸ γὰρ ἐν ἀρχῇ σκυθρωπὸν αὐτοῦ, καὶ περὶ τὰς τιμωρίας δυσμείλικτον, ἐθισθεῖσι μηδὲν ἁμαρτάνειν, μηδ' ἀπειθεῖν, ἅμα τῷ δικαίῳ σωτήριον ἐφαίνετο· τήν τε τοῦ θυμοῦ σφοδρότητα, καὶ τὸ τραχὺ τῆς φωνῆς καὶ ἀγριωπὸν τοῦ προσώπου συντρεφόμενον κατὰ μικρόν, οὐχ αὑτοῖς ἐνόμιζον εἶναι φοβερόν, ἀλλὰ τοῖς πολεμίοις. Μάλιστα δ' ἡ περὶ τὰς κρίσεις ὀρθότης αὐτοῦ τοῖς στρατιώταις ἤρεσκεν· ἧς καὶ τοιόνδε τι δεῖγμα λέγεται. Γάϊος Λούσιος, ἀδελφιδοῦς αὐτοῦ, τεταγμένος ἐφ' ἡγεμονίας ἐστρατεύετο, τἆλλα μὲν ἀνὴρ οὐ δοκῶν εἶναι πονηρὸς, ἥττων δὲ μειρακίων καλῶν. Οὗτος

Digitized by Google

ἦρα νεανίσκου τῶν ὑφ' αὑτῷ στρατευομένων, ὄνομα Τρεβωνίου, καὶ πολλάκις πειρῶν οὐκ ἐτύγχανε· τέλος δὲ νύκτωρ ὑπηρέτην ἀποστείλας, μετεπέμπετο τὸν Τρεβώνιον· ὁ δὲ νεανίας ἦκε μὲν, ἀντειπεῖν γὰρ οὐκ ἐξὴν καλούμενον, εἰσαχθεὶς δ' ὑπὸ τὴν σκηνὴν πρὸς αὐτὸν, ἐπιχειροῦντα βιάζεσθαι σπασάμενος τὸ ξίφος ἀπέκτεινε. Ταῦτ' ἐπράχθη τοῦ Μαρίου μὴ παρόντος· ἐπανελθὼν δὲ προὔθηκε τῷ Τρεβωνίῳ κρίσιν. Ἐπεὶ δὲ, πολλῶν κατηγορούντων, οὐδενὸς δὲ συνηγοροῦντος, αὐτὸς εὐθαρσῶς καταστὰς διηγήσατο τὸ πρᾶγμα, καὶ μάρτυρας ἔσχεν, ὅτι πειρῶντι πολλάκις ἀντεῖπε τῷ Λουσίῳ, καὶ μεγάλων διδομένων, ἐπ' οὐδενὶ προήκατο τὸ σῶμα· θαυμάσας ὁ Μάριος, καὶ ἡσθεὶς, ἐκέλευσε τὸν πάτριον ἐπὶ ταῖς ἀριστείαις στέφανον κομισθῆναι, καὶ λαβὼν αὐτὸς ἐστεφάνωσε τὸν Τρεβώνιον, ὡς κάλλιστον ἔργον ἐν καιρῷ παραδειγμάτων δεομένῳ καλῶν ἀποδειγμένον. Τοῦτ' εἰς τὴν Ῥώμην ἀπαγγελθὲν, οὐκ ἧκιστα τῷ Μαρίῳ συνέπραξε τὴν τρίτην ὑπατείαν· ἅμα δὲ καὶ τῶν βαρβάρων ἔτους ὥρᾳ προσδοκίμων ὄντων, ἐβούλοντο μετὰ μηδενὸς ἄλλου στρατηγοῦ κινδυνεῦσαι πρὸς αὐτούς. Οὐ μὴν ἦκον ὡς προσεδοκῶντο ταχέως, ἀλλὰ πάλιν διῆλθε τῷ Μαρίῳ ὁ τῆς ὑπατείας χρόνος. Ἐνισταμένων δὲ τῶν ἀρχαιρεσιῶν, καὶ τοῦ συνάρχοντος αὐτοῦ τελευτήσαντος, ἀπολιπὼν ἐπὶ τῶν δυνάμεων Μάνιον Ἀκύλλιον, αὐτὸς ἦκεν εἰς Ῥώμην. Μετιόντων δὲ πολλῶν καὶ ἀγαθῶν τὴν ὑπατείαν, Λούκιος Σατορνῖνος, ὁ μά-

Digitized by Google

λιστα τῶν δημάρχων ἄγων τὸ πλῆθος, ὑπὸ τοῦ Μαρίου τεθεραπευμένος, ἐδημηγόρει, κελεύων ἐκεῖνον ὕπατον αἱρεῖσθαι. Θρυπτομένου δὲ τοῦ Μαρίου καὶ παραιτεῖσθαι τὴν ἀρχὴν φάσκοντος, ὡς δὴ μὴ δεομένου, προδότην αὐτὸν ὁ Σατορνῖνος ἀπεκάλει τῆς πατρίδος, ἐν κινδύνῳ τοσούτῳ φεύγοντα τὸ στρατηγεῖν. Καὶ φανερὸς μὲν ἦν ἀπιθάνως συνυποκρινόμενος τὸ προσποίημα τῷ Μαρίῳ. τὸν δὲ καιρὸν ὁρῶντες οἱ πολλοὶ τῆς ἐκείνου δεινότητος ἅμα καὶ τύχης δεόμενον, ἐψηφίσαντο τὴν τετάρτην ὑπατείαν, καὶ συνάρχοντα Κάτλον αὐτῷ Λουτάτιον κατέστησαν, ἄνδρα καὶ τιμώμενον ὑπὸ τῶν ἀρίστων, καὶ τοῖς πολλοῖς οὐκ ἐπαχθῆ.

XV. Πυνθανόμενος δὲ τοὺς πολεμίους ὁ Μάριος ἐγγὺς εἶναι, διὰ ταχέων ὑπερέβαλε τὰς Ἄλπεις, καὶ τειχίσας στρατόπεδον παρὰ τῷ Ῥοδανῷ ποταμῷ, συνήγαγεν εἰς αὐτὸ χορηγίαν ἄφθονον· ὡς μηδέποτε παρὰ τὸν τοῦ συμφέροντος λογισμὸν ἐκβιασθείη δι' ἔνδειαν τῶν ἀναγκαίων εἰς μάχην καταστῆναι. Τὴν δὲ κομιδὴν ὧν ἔδει τῷ στρατεύματι, μακρὰν καὶ πολυτελῆ πρότερον οὖσαν πρὸς τὴν θάλασσαν, αὐτὸς εἰργάσατο ῥᾳδίαν καὶ ταχεῖαν. Τὰ γὰρ στόματα τοῦ Ῥοδανοῦ, πρὸς τὰς ἀποκοπὰς τῆς θαλάσσης, ἰλύν τε πολλὴν λαμβάνοντα καὶ ψάνα, πηλῷ βαθεῖ συμπεπιλημένην ὑπὸ τοῦ κλύδωνος, χαλεπὴν καὶ ἐπίπονον καὶ βραχύπορον τοῖς σιταγωγοῖς ἐποίει τὸν εἴσπλουν. Ὁ δὲ, τρέψας ἐνταῦθα τὸν στρατὸν σχολάζοντα, τάφρον μεγάλην ἐνέβαλε, καὶ ταύτῃ πολὺ

Digitized by Google

μερος τοῦ ποταμοῦ μεταστήσας, περιήγαγεν εἰς ἐπιτηδειον αἰγιαλὸν, βαθὺ μὲν, καὶ ναυσὶ μεγάλαις ἐποχον, λεῖον δὲ καὶ ἄκλυστον στόμα λαβοῦσαν πρὸς τὴν θάλασσαν. Αὕτη μὲν οὖν ἀπ' ἐκείνου τὴν ἐπωνυμίαν ἔτι φυλάττει. Τῶν δὲ βαρβάρων διελόντων σφᾶς αὐτοὺς δίχα, Κίμβροι μὲν ἔλαχον διὰ Νωρικῶν ἄνωθεν ἐπὶ Κάτλον χωρεῖν, καὶ τὴν πάροδον ἐκείνην βιάζεσθαι· Τεύτονες δὲ καὶ Ἄμβρωνες διὰ Αιγύων ἐπὶ Μάριον παρὰ θάλατταν. Καὶ Κίμβροις μὲν ἐγένετο πλείων ἡ διατριβὴ καὶ μέλλησις, Τεύτονες δὲ καὶ Ἄμβρωνες, ἅραντες εὐθὺς καὶ διελθόντες τὴν ἐν μέσῳ χώραν, ἐφαίνοντο πλήθει τ' ἄπειροι καὶ δυσπρόσωποι τὰ εἴδη, φθόγγον τε καὶ θόρυβον οὐχ ἑτέροις ὅμοιοι. Περιβαλόμενοι δὲ τοῦ πεδίου μέγα μέρος, καὶ στρατοπεδεύσαντες, προσκαλοῦντο τὸν Μάριον εἰς μάχην.

XVI. Ὁ δὲ τούτων μὲν οὐκ ἐφρόντιζεν, ἐν δὲ τῷ χάρακι τοὺς στρατιώτας συνεῖχε, καὶ καθήπτετο πικρῶς τῶν θρασυνομένων, καὶ τοὺς προπίπτοντας ὑπὸ θυμοῦ καὶ μάχεσθαι βουλομένους, προδότας ἀπεκάλει τῆς πατρίδος. Οὐ γὰρ ὑπὲρ θριάμβων τὴν φιλοτιμίαν εἶναι καὶ τροπαίων, ἀλλ' ὅπως νέφος τοσοῦτον πολέμου καὶ σκηπτὸν ὠσάμενοι διασώσουσι τὴν Ἰταλίαν. Ταῦτα μὲν ἰδίᾳ πρὸς τοὺς ἡγεμόνας καὶ τοὺς ὁμοτίμους ἔλεγε, τοὺς δὲ στρατιώτας ὑπὲρ τοῦ χάρακος ἱστὰς ἀνὰ μέρος, καὶ θεῖσθαι κελεύων, εἴθιζε τὴν μορφὴν ἀνέχεσθαι τῶν πολεμίων, καὶ τὴν

Digitized by Google

φωνὴν ὑπομένειν, ὅλως οὖσαν ἀλλόκοτον καὶ θηριώδη, σκευήν τε καὶ κίνησιν αὐτῶν καταμανθάνειν, ἅμα τῷ χρόνῳ τὰ φαινόμενα δεινὰ ποιουμένους τῇ διανοίᾳ χειροήθη διὰ τῆς ὄψεως. Ἠγεῖτο γὰρ πολλὰ μὲν ἐπιψεύδεσθαι τῶν οὐ προσόντων τὴν καινότητα τοῖς φοβεροῖς· ἐν δὲ τῇ συνηθείᾳ, καὶ τὰ φύσει δεινὰ τὴν ἔκπληξιν ἀποβάλλειν. Τῶν δ' οὐ μόνον ἡ καθ' ἡμέραν ὄψις ἀφῄρει τι τοῦ θάμβους, ἀλλὰ καὶ πρὸς τὰς ἀπειλὰς τῶν βαρβάρων καὶ τὸν κόμπον, οὐκ ἀνεκτὸν ὄντα, θυμὸς αὐτοῖς παριστάμενος ἐξεθέρμαινε καὶ διέφλεγε τὰς ψυχάς, οὐ μόνον ἀγόντων καὶ φερόντων τὰ περιξ ἅπαντα τῶν πολεμίων, ἀλλὰ καὶ τῷ χάρακι ποιουμένων προσβολὰς μετὰ πολλῆς ἀσελγείας καὶ θρασύτητος. Ὥστε φωνὰς καὶ διαγανακτήσεις τῶν στρατιωτῶν πρὸς τὸν Μάριον ἐκφέρεσθαι· „Τίνα δὴ καταγνοὺς ἀνανδρίαν ἡμῶν Μάριος εἴργει μάχης, ὥσπερ γυναῖκας, ὑπὸ κλεισὶ καὶ θυρωροῖς; Φέρε παθόντες ἀνδρῶν πάθος ἐλευθέρων, ἐρώμεθα, πάτερον ἄλλους· ἀναμένει μαχουμένους ὑπὲρ τῆς Ἰταλίας, ἡμῖν δὲ λειτουργοῖς χρήσεται διὰ παντὸς, ὅταν δέηται τάφρους ὀρύσσειν, καὶ πηλὸν ἐκκαθαίρειν, καὶ ποταμούς τινας παρατρέπειν; ἐπὶ ταῦτα γὰρ, ὡς ἔοικεν, ἦγε τοῖς πολλοῖς πόνοις ἡμᾶς, καὶ ταῦτα τῶν ὑπατειῶν ἀποδειξάμενος ἔργα τοῖς πολίταις ἐπάνεισιν. Ἢ τὰ Κάρβωνος αὐτὸν φοβεῖ, καὶ Καιπίωνος, οὓς ἐνίκησαν οἱ πολέμιοι, πολὺ μὲν αὐτοὺς τῆς Μαρίου δόξης καὶ ἀρετῆς ἀποδέοντας, πολὺ δὲ χείρονα στρατὸν ἄγοντας; Ἀλλὰ καὶ παθεῖν τι

Digitized by Google

δρῶντας, ὡς ἐκεῖνοι, κάλλιον, ἢ καθῆσθαι πορθουμένων τῶν συμμάχων θεατάς."

XVII. Ταῦτ' ἀκούων ὁ Μάριος ἥδετο, καὶ κατεπράϋνεν αὐτοὺς, ὡς οὐκ ἐκείνοις ἀπιστῶν, ἀλλ' ἔκ τινων λογίων τὸν τῆς νίκης ἅμα καιρὸν καὶ τόπον ἐκδεχόμενος. Καὶ γάρ τινα Σύραν γυναῖκα, Μάρθαν ὄνομα, μαντεύεσθαι λεγομένην, ἐν φορείῳ κατακειμένην σεμνῶς περιήγετο, καὶ θυσίας ἔθυεν ἐκείνης κελευούσης. Ἦν πρότερον μὲν ἀπήλασεν ἡ σύγκλητος ἐντυχεῖν ὑπὲρ τούτων βουλομένην, καὶ τὰ μέλλοντα προθεσπίζουσαν. Ἐπεὶ δὲ πρὸς τὰς γυναῖκας εἰσιοῦσα διάπειραν ἐδίδου, καὶ μάλιστα τὴν Μαρίου, ἢ παρακαθίζουσα παρὰ τοὺς πόδας, τῶν μονομάχων ἐπιτυχῶς προηγόρευε τὸν μέλλοντα νικᾶν, ἀναπεμφθεῖσα πρὸς Μάριον ὑπ' ἐκείνης, ἐθαυμάζετο. Καὶ τὰ πολλὰ μὲν ἐν φορείῳ παρεκομίζετο, πρὸς δὲ τὰς θυσίας κατῄει φοινικίδα διπλῆν ἐμπεπορπημένη, καὶ λόγχην ἀναδεδεμένην ταινίαις καὶ στεφανώμασι φέρουσα. Τοῦτο μὲν οὖν τὸ δρᾶμα πολλοῖς ἀμφισβήτησιν παρεῖχεν, εἴτε πεπεισμένος ὡς ἀληθῶς, εἴτε πλαττόμενος, καὶ συνυποκρινόμενος ἐπιδείκνυται τὴν ἄνθρωπον. Τὸ δὲ περὶ τοὺς γύπας θαύματος ἄξιον Ἀλέξανδρος ὁ Μύνδιος ἱστόρηκε. Δύο γὰρ ἐφαίνοντο πρὸ τῶν κατορθωμάτων ἀεὶ περὶ τὰς στρατείας, καὶ παρηκολούθουν γνωριζόμενοι χαλκοῖς περιδεραίοις. Ταῦτα δ' οἱ στρατιῶται, συλλαβόντες αὐτοὺς, περιῆψαν, εἶτ' ἀφῆκαν. Ἐκ δὲ τούτου γνωρίζοντες ἠσπάζοντο τοὺς γύπας· καὶ, φανέντων ἐπὶ ταῖς ἐξό-

Digitized by Google

δοις, ἔχαιρον ὡς ἀγαθόν τι πράξοντες. Πολλῶν δὲ σημείων προφαινομένων, τὰ μὲν ἄλλα χαρακτῆρα κοινὸν εἶχεν· ἐκ δ' Ἀμερίας καὶ Τουδέρτου, πόλεων Ἰταλικῶν, ἀπηγγέλθη, νυκτὸς ὦφθαι κατὰ τὸν οὐρανὸν αἰχμάς τε φλογοειδεῖς καὶ θυρεοὺς διαφερομένους τὸ πρῶτον, εἶτα συμπίπτοντας ἀλλήλοις, καὶ σχήματα καὶ κινήματα λαμβάνοντας, οἷα γίνεται μαχομένων ἀνδρῶν· τέλος δὲ, τῶν μὲν ἐνδιδόντων, τῶν δ' ἐπιφερομένων, πάντας ἐπὶ δυσμὰς ῥυῆναι. Περὶ τοῦτον δέ πως τὸν χρόνον ἀφίκετο καὶ Βαταβάκης ἐκ Πεσσινοῦντος, ὁ τῆς Μεγάλης Μητρὸς ἱερεὺς, ἀπαγγέλλων, ὡς ἡ θεὸς ἐκ τῶν ἀνακτόρων αὐτῷ ἐφθέγξατο, νίκην καὶ μέγα κράτος πολέμου Ῥωμαίοις ὑπάρχειν. Τῆς δὲ συγκλήτου προσθεμένης, καὶ τῇ θεῷ ναὸν ἐπινίκιον ἱδρύσασθαι ψηφισαμένης, τὸν Βαταβάκην εἰς τὸν δῆμον προελθόντα, καὶ ταῦτὰ βουλόμενον εἰπεῖν, ἐκώλυσε δημαρχῶν Αὖλος Πομπήϊος, ἀγύρτην ἀποκαλῶν, καὶ πρὸς ὕβριν ἀπελαύνων τοῦ βήματος· ὃ δὴ καὶ μάλιστα τῷ λόγῳ τοῦ ἀνθρώπου πίστιν παρέσχεν. Οὐ γὰρ ἔφθη, τῆς ἐκκλησίας λυθείσης, ὁ Αὖλος εἰς οἶκον ἐπανελθεῖν, καὶ πυρετὸς ἐξήνθησεν αὐτῷ τοσοῦτος, ὥστε πᾶσι καταφανῆ γενόμενον καὶ περιβόητον, ἐντὸς ἑβδόμης ἡμέρας ἀποθανεῖν.

XVIII. Οἱ δὲ Τεύτονες ἐπεχείρησαν μὲν, ἡσυχάζοντος τοῦ Μαρίου, πολιορκεῖν τὸ στρατόπεδον, βέλεσι δὲ πολλοῖς ἐντυχόντες ἀπὸ τοῦ χάρακος φερομένοις, καί τινας ἐξ αὐτῶν ἀποβαλόντες, ἔγνωσαν εἰς

Digitized by Google

τοὔμπροσθεν χωρεῖν, ὡς ὑπερβαλοῦντες αὐθεῶς τὰς Ἄλπεις· καὶ συσκευασάμενοι, παρήμειβον τὸ στρατόπεδον τῶν Ῥωμαίων, τότε δὴ μάλιστα παμπληθεῖς μήκει καὶ χρόνῳ τῆς παρόδου φανέντες. Ἡμέραις γὰρ ἓξ λέγονται τὸν χάρακα τοῦ Μαρίου παραμείψασθαι συνεχῶς ὁδεύοντες. Ἐπορεύοντο δ' ἐγγὺς, πυνθανόμενοι τῶν Ῥωμαίων μετὰ γέλωτος, εἴ τι πρὸς τὰς γυναῖκας ἐπιστέλλοιεν· αὐτοὶ γὰρ ἔσεσθαι ταχέως παρ' αὐταῖς. Ἐπεὶ δὲ παρήλλαξαν οἱ βάρβαροι, καὶ προῆσαν, ἄρας καὶ αὐτὸς ἐπηκολούθει σχέδην, ἐγγὺς μὲν ἀεὶ καὶ παρ' αὐτοὺς ἐκείνους ἱδρυόμενος, ὀχυραῖς δὲ χρώμενος στρατοπεδείαις, καὶ χωρία καρτερὰ περιβαλλόμενος, ὥστ' ἐν ἀσφαλεῖ νυκτερεύειν. Οὕτω δὴ προϊόντες, ἐγένοντο πρὸς τοῖς καλουμένοις ὕδασι Σεξτίοις· ὅθεν ἔδει πορευθέντας οὐ πολλὴν ὁδὸν ἐν ταῖς Ἄλπεσιν εἶναι. Διὸ δὴ καὶ Μάριος ἐνταῦθα παρεσκευάζετο μάχεσθαι, καὶ κατέλαβε τῷ στρατοπέδῳ τόπον, ὀχυρὸν μὲν, ὕδωρ δ' ἄφθονον οὐκ ἔχοντα, βουλόμενος, ὥς φασι, καὶ τούτῳ παροξῦναι τοὺς στρατιώτας. Πολλῶν γέ τοι δυσχεραινόντων, καὶ διψήσειν λεγόντων, δείξας τῇ χειρὶ ποταμόν τινα ῥέοντα πλησίον τοῦ βαρβαρικοῦ χάρακος, ἐκεῖθεν αὐτοῖς ἔφησεν εἶναι τὸ ποτὸν ὤνιον αἵματος. „Τί οὖν (ἔφασαν) οὐκ εὐθὺς ἡμᾶς ἄγεις ἐπ' αὐτοὺς, ἕως ὑγρὸν τὸ αἷμα ἔχομεν;" Κἀκεῖνος ἠρέμα τῇ φωνῇ· „Πρότερον (εἶπεν) ὀχυρωτέον ἡμῖν τὸ στρατόπεδον."

XIX. Οἱ μὲν οὖν στρατιῶται, καίπερ ἀσχάλλοντες, ἐπείθοντο· τῆς δὲ θεραπείας τὸ πλῆθος, οὔτ' αὐτοὶ πο-

Digitized by Google

τὸν, οὔθ' ὑποζυγίοις ἔχοντες, ἀθρόοι κατέβαινον ἐπὶ τὸν ποταμὸν, οἱ μὲν ἀξίνας, οἱ δὲ πελέκεις, ἔνιοι δὲ καὶ ξίφη καὶ λόγχας ἅμα ταῖς ὑδρίαις ἀναλαβόντες, ὡς καὶ διὰ μάχης ὑδρευσόμενοι. Τούτοις τὸ πρῶτον ὀλίγοι προσεμάχοντο τῶν πολεμίων· ἔτυχον γὰρ ἀριστῶντες οἱ πολλοὶ μετὰ λουτρόν, οἱ δ' ἐλούοντο. Ῥήγνυσι γὰρ αὐτόθι ναμάτων θερμῶν πηγὰς ὁ χῶρος· καὶ μέρος τι περὶ ταῦτα τοὺς βαρβάρους εὐπαθοῦντας καὶ παντηγυρίζοντας ἡδονῇ καὶ θαύματι τοῦ τόπου κατέλαβον οἱ Ῥωμαῖοι. Πρὸς δὲ τὴν κραυγὴν πλειόνων συντρεχόντων, τῇ τε Μαρίῳ χαλεπὸν ἦν ἔτι τοὺς στρατιώτας ἐπισχεῖν, περὶ τῶν οἰκετῶν δεδιότας· καὶ τῶν πολεμίων τὸ μαχιμώτατον μέρος, ὑφ' οὗ προήττητο Ῥωμαῖοι μετὰ Μαλλίου καὶ Καιπίωνος πρότερον (Ἄμβρωνες δ' ὠνομάζοντο, καὶ πλῆθος ὑπὲρ τρισμυρίους αὐτοὶ καθ' αὑτοὺς ἦσαν), ἀναίξαντες, ἐπὶ τὰς πανοπλίας ἐχώρουν. Τὰ μὲν οὖν σώματα πλησμονῇ βεβαρημένοι, τοῖς δὲ φρονήμασι γαῦροι καὶ διακεχυμένοι πρὸς τὸν ἄκρατον, οὐκ ἀτάκτοις, οὐδὲ μανιώδεσι φερόμενοι δρόμοις, οὐδ' ἄναρθρον ἀλαλαγμὸν ἱέντες, ἀλλὰ κρούοντες ῥυθμῷ τὰ ὅπλα, καὶ συναλλόμενοι πάντες ἅμα, τὴν αὑτῶν ἐφθέγγοντο πολλάκις προσηγορίαν Ἄμβρωνες· εἴτε ἀναπαλούμενοι σφᾶς αὐτοὺς, εἴτε τοὺς πολεμίους τῇ προδηλώσει προεκφοβοῦντες. Τῶν δ' Ἰταλικῶν πρῶτοι καταβαίνοντες ἐπ' αὐτοὺς Λίγυες, ὡς ἤκουσαν βοώντων καὶ συνῆκαν, ἀντεφώνουν καὶ αὐτοὶ τὴν πάτριον ἐπίκλησιν αὐτῶν εἶναι· σφᾶς γὰρ αὐτοὺς οὕτως ὀνομάζουσι

Digitized by Google

κατὰ γένος Λίγυες. Πυκνὸν οὖν καὶ παράλληλον ἀντήχει, πρὶν εἰς χεῖρας συνελθεῖν, τὸ ἀναφώνημα· καὶ τῶν στρατηγῶν ἑκατέροις ἀνὰ μέρος συναναφθεγγομένων, καὶ φιλοτιμουμένων πρῶτον ἀλλήλους τῷ μεγέθει τῆς βοῆς ὑπερβαλέσθαι, παρώξυνε καὶ διηρέθιζε τὸν θυμὸν ἡ κραυγή. Τοὺς μὲν οὖν Ἄμβρωνας διέσπασε τὸ ῥεῖθρον· οὐ γὰρ ἔφθασαν εἰς τάξιν κατασταθῆναι διαβάντες, ἀλλὰ τοῖς πρώτοις εὐθὺς μετὰ δρόμου τῶν Λιγύων προσπεσόντων, ἐν χερσὶν ἦν ἡ μάχη. Τοῖς δὲ Λίγυσι τῶν Ῥωμαίων ἐπιβοηθούντων, καὶ φερομένων ἄνωθεν ἐπὶ τοὺς βαρβάρους, βιασθέντες ἐτράποντο, καὶ πλεῖστοι μὲν αὐτοῦ περὶ τὸ ῥεῖθρον ὠθούμενοι κατ' ἀλλήλων ἐπαίοντο, καὶ κατεπίμπλασαν φόνου καὶ νεκρῶν τὸν ποταμόν· τοὺς δὲ διαβάντας οἱ Ῥωμαῖοι μὴ τολμῶντας ἀναστρέφειν ἔκτεινον, ἄχρι τοῦ στρατοπέδου καὶ τῶν ἁμαξῶν φεύγοντας. Ἐνταῦθα δ' αἱ γυναῖκες ἁπαντῶσαι μετὰ ξιφῶν καὶ πελέκεων, δεινὸν τετριγυῖαι καὶ περίθυμον, ἠμύνοντο τοὺς φεύγοντας, ὁμοίως καὶ τοὺς διώκοντας, τοὺς μὲν ὡς προδότας, τοὺς δ' ὡς πολεμίους· ἀναπεφυρμέναι μαχομένοις, καὶ χερσὶ γυμναῖς τούς τε θυρεοὺς τῶν Ῥωμαίων ἀποσπῶσαι, καὶ τῶν ξιφῶν ἐπιλαμβανόμεναι, καὶ τραύματα καὶ διακοπὰς σωμάτων ὑπομένουσαι μέχρι τελευτῆς ἀήττητοι τοῖς θυμοῖς. Τὴν μὲν οὖν παραποταμίαν μάχην οὕτω κατὰ τύχην μᾶλλον, ἢ γνώμῃ τοῦ στρατηγοῦ, γενέσθαι λέγουσιν.

XX. Ἐπεὶ δὲ πολλοὺς τῶν Ἀμβρώνων οἱ Ῥω-

Digitized by Google

μαῖοι διαφθείραντες ἀνεχώρησαν ὀπίσω, καὶ σκότος ἐπέσχεν, οὐχ, ὥσπερ ἐπ' εὐτυχήματι τοσούτῳ, τὸν στρατὸν ἐδέξαντο παιᾶνες ἐπινίκιοι, καὶ πότοι κατὰ σκηνὰς, καὶ φιλοφροσύναι περὶ δεῖπνα, καὶ, τὸ πάντων ἥδιστον ἀνδράσιν εὐτυχῶς μεμαχημένοις, ὕπνος ἥπιος· ἀλλ' ἐκείνην μάλιστα τὴν νύκτα φοβερὰν καὶ ταραχώδη διήγαγον. Ἦν μὲν γὰρ αὐτοῖς ἀχαράκωτον τὸ στρατόπεδον καὶ ἀτείχιστον· ὑπελείποντο δὲ τῶν βαρβάρων ἔτι πολλαὶ μυριάδες ἀήττητοι, καὶ συμμεμιγμένων τούτοις, ὅσοι διαπεφεύγεσαν, τῶν Ἀμβρώνων ὄθυρμὸς ἦν διὰ νυκτὸς, οὐ κλαυθμοῖς, οὐδὲ στεναγμοῖς ἀνθρώπων ἐοικὼς, ἀλλά θηριμιγής τις ὠρυγὴ καὶ βρύχημα μεμιγμένον ἀπειλαῖς καὶ θρήνοις, ἀναπεμπόμενον ἐκ πλήθους τοσούτου, τά τε πέριξ ὄρη καὶ τὰ κοῖλα τοῦ ποταμοῦ περιεφύνει. Καὶ κατεῖχε φρικώδης ἦχος τὸ πεδίον, τοὺς δὲ Ῥωμαίους δέος, αὐτόν τε τὸν Μάριον ἔκπληξις, ἄκοσμόν τινα καὶ ταραχώδη νυκτομαχίαν προσδεχόμενον. Οὐ μὴν ἐπῆλθον οὔτε νυκτὸς, οὔτε τῆς ἐπιούσης ἡμέρας, ἀλλὰ συντάττοντες ἑαυτοὺς καὶ παρασκευαζόμενοι διετέλουν. Ἐν τούτῳ δὲ Μάριος (ἦσαν γὰρ ὑπὲρ κεφαλῆς τῶν βαρβάρων νάπαι περικλινεῖς, καὶ κατάσκιοι δρυμοῖς αὐλῶνες) ἐνταῦθα Κλαύδιον Μάρκελλον ἐκπέμπει μετὰ τρισχιλίων ὁπλιτῶν, ἐνεδρεῦσαι κελεύσας κρύφα, καὶ μαχομένοις ἐξόπισθεν ἐπιφανῆναι. Τοὺς δ' ἄλλους, δειπνήσαντας ἐν ὥρᾳ καὶ κοιμηθέντας, ἅμ' ἡμέρᾳ συνέταττε, πρὸ τοῦ χάρακος ἀγαγών, καὶ προεξέπεμπε τοὺς ἱππέας εἰς τὸ πεδίον. Θεασάμενοι δ'

Digitized by Google

οἱ Τεύτονες, οὐκ ἠνέσχοντο καταβαίνοντας αὐτοῖς ἐξ ἴσου διαγωνίζεσθαι τοὺς Ῥωμαίους, ἀλλὰ σὺν τάχει καὶ δι' ὀργῆς ὁπλισάμενοι, τῷ λόφῳ προσέβαλλον. Ὁ δὲ Μάριος, ἐκτασχοῦ διαπέμπων τοὺς ἡγεμόνας, ἑστάναι καὶ καρτερεῖν παρεκάλει· πελασάντων δ' εἰς ἐφικτὸν, ἐξακοντίσαι τοὺς ὑσσοὺς, εἶτα χρῆσθαι ταῖς μαχαίραις, καὶ τοῖς θυρεοῖς ἀντερείσαντας βιάζεσθαι. Τῶν γὰρ τόπων ἐπισφαλῶν ὄντων ἐκείνοις, οὔτε τόνον ἔξειν τὰς πληγὰς, οὔτε ῥώμην τὸν συνασπισμὸν, ἐν περιωπῇ καὶ σάλῳ τῶν σωμάτων ὄντων διὰ τὴν ἀνωμαλίαν. Ταῦτα ἅμα παρῄνει, καὶ δρῶν ἐωρᾶτο πρῶτος· οὐδενὸς γὰρ ἧσσητο χεῖρον τὸ σῶμα, καὶ πάντας πολὺ τῇ τόλμῃ παρήλλαττεν.

XXI. Ὡς οὖν ἀντιάσαντες αὐτοῖς οἱ Ῥωμαῖοι, καὶ συμπεσόντες ἔσχον ἄνω φερομένους, ἐκθλιβόμενοι κατὰ μικρὸν ὑπεχώρουν εἰς τὸ πεδίον· καὶ τῶν πρώτων ἤδη καθισταμένων εἰς τάξιν ἐν τοῖς ἐπιπέδοις, βοὴ καὶ διασπασμὸς ἦν περὶ τοὺς ὄπισθεν. Ὁ γὰρ καιρὸς οὐκ ἔλαθε τὸν Μάρκελλον, ἀλλὰ τῆς κραυγῆς ὑπὲρ τοὺς λόφους ἄνω φερομένης, ἀναστήσας τοὺς μετ' αὐτοῦ, δρόμῳ καὶ ἀλαλαγμῷ προσέπιπτε κατὰ νώτου, κτείνων τοὺς ἐσχάτους. Οἱ δὲ, τοὺς πρὸ αὑτῶν ἐπισπώμενοι, ταχὺ πᾶν τὸ στράτευμα ταραχῆς ἐνέπλησαν· οὐ πολύν τε χρόνον ἠνέσχοντο παυόμενοι διχόθεν, ἀλλὰ τὴν τάξιν λύσαντες ἔφευγον. Οἱ δὲ Ῥωμαῖοι διώκοντες, αὐτῶν μὲν ὑπὲρ δέκα μυριάδας ἢ ζῶντας εἷλον, ἢ κατέβαλον· σκηνῶν δὲ καὶ ἁμαξῶν καὶ χρημάτων κρατήσαντες, ὅσα

Digitized by Google

μὴ διεκλάπῃ, Μάριον λαβεῖν ἐψηφίσαντο. Καὶ δωρεᾶς ταύτης λαμπροτάτης τυχὼν, οὐδὲν ἄξιον ἔχειν, ὧν ἐστρατήγησεν, ἐνομίσθη, διὰ τὸ τοῦ κινδύνου μέγεθος. Ἕτεροι δὲ περὶ τῆς δωρεᾶς τῶν λαφύρων οὐχ ὁμολογοῦσιν, οὐδὲ περὶ τοῦ πλήθους τῶν πεσόντων. Μασσαλιώτας μὲν λέγουσι τοῖς ὀστέοις περιθριγκῶσαι τοὺς ἀμπελῶνας, τὴν δὲ γῆν, τῶν νεκρῶν καταναλωθέντων ἐν αὐτῇ, καὶ διὰ χειμῶνος ὄμβρων ἐπιπεσόντων, οὕτως ἐκλιπανθῆναι, καὶ γενέσθαι διὰ βάθους περίπλεω τῆς σηπεδόνος ἐνδύσης, ὥστε καρπῶν ὑπερβάλλον εἰς ὥρας πλῆθος ἐξενεγκεῖν, καὶ μαρτυρῆσαι τῷ Ἀρχιλόχῳ, λέγοντι πιαίνεσθαι πρὸς τοῦ τοιούτου τὰς ἀρούρας. Ἐπικωμῶς δὲ ταῖς μεγάλαις μάχαις ἑξαισίους ὑετοὺς ἐπικαταῤῥήγνυσθαι λέγουσιν, εἴτε δαιμονίου τινὸς τὴν γῆν καθαροῖς καὶ διϊπετέσιν ἁγνίζοντος ὕδασι καὶ κατακλύζοντος, εἴτε τοῦ φόνου καὶ τῆς σηπεδόνος ἐξανιείσης ὑγρὰν καὶ βαρεῖαν ἀναθυμίασιν, ἢ τὸν ἀέρα συνίστησιν, εὔτρεπτον ὄντα καὶ ῥᾴδιον μεταβάλλειν ἀπὸ σμικροτάτης ἐπὶ πλεῖστον ἀρχῆς.

XXII. Μετὰ δὲ τὴν μάχην ὁ Μάριος, τῶν βαρβαρικῶν ὅπλων καὶ λαφύρων τὰ μὲν ἐκπρεπῆ καὶ ὁλόκληρα καὶ πομπικὴν ὄψιν τῷ θριάμβῳ δυνάμενα παρασχεῖν, ἐπέλεξε· τῶν δ' ἄλλων ἐπὶ πυρᾶς μεγάλης κατασωρεύσας τὸ πλῆθος, ἔθυσε θυσίαν μεγαλοπρεπῆ. Καὶ, τοῦ στρατοῦ περιεστῶτος ἐν ὅπλοις ἐστεφανωμένου, περιζωσάμενος αὐτὸς, ὥσπερ ἔθος ἐστὶν, ἀναλαβὼν τὴν περιπόρφυρον, καὶ λαβὼν

Digitized by Google

δᾷδα καιομένην, καὶ δι' ἀμφοτέρων τῶν χειρῶν ἀνασχὼν πρὸς τὸν οὐρανὸν, ἔμελλεν ὑφήσειν τῇ πυρᾷ· καὶ προσελαύνοντες ἵπποις ἐωρῶντο φίλοι σὺν τάχει πρὸς αὐτὸν, ὥστε πολλὴν γενέσθαι σωτηρίαν καὶ προσδοκίαν ἁπάντων. Ἐπεὶ δ' ἐγγὺς ἦσαν, ἀποπηδήσαντες ἐδεξιοῦντο τὸν Μάριον, εὐαγγελιζόμενοι τὸ πέμπτον αὐτὸν ὕπατον γενέσθαι, καὶ γράμματα περὶ τούτων ἀπέδοσαν. Μεγάλης οὖν χαρᾶς τοῖς ἐπινικίοις προσγενομένης, ὅ τε στρατὸς ὑφ' ἡδονῆς ἐνοπλίῳ τινὶ κρότῳ καὶ πατάγῳ συνηλάλαξαν, καὶ τῶν ἡγεμόνων τὸν Μάριον αὖθις ἀναδούντων δάφνης στεφάνοις, ἀνῆψε τὴν πυρὰν, καὶ τὴν θυσίαν ἐπετελείωσεν.

XXIII. Ἡ δὲ μηθὲν ἐῶσα τῶν μεγάλων εὐτυχημάτων ἄκρατον εἰς ἡδονὴν καὶ καθαρὸν, ἀλλὰ μίξει κακῶν καὶ ἀγαθῶν ποικίλλουσα τὸν ἀνθρώπινον βίον, ἢ τύχη τις, ἢ νέμεσις, ἢ πραγμάτων ἀναγκαία φύσις, οὐ πολλαῖς ὕστερον ἡμέραις ἐπήγαγε τῷ Μαρίῳ καὶ τὴν περὶ Κάτλου τοῦ συνάρχοντος ἀγγελίαν, ὥσπερ ἐν εὐδίᾳ καὶ γαλήνῃ νέφος αὖθις ἕτερον, φόβον καὶ χειμῶνα τῇ Ῥώμῃ περιστήσασα. Ὁ γὰρ δὴ Κάτλος ἀντικαθήμενος τοῖς Κίμβροις, τὰς μὲν ὑπερβολὰς τῶν Ἄλπεων ἀπέγνω φυλάσσειν, μὴ, κατὰ πολλὰ τὴν δύναμιν μέρη διαιρεῖν ἀναγκαζόμενος, ἀσθενὴς γένοιτο· καταβὰς δ' εὐθὺς εἰς Ἰταλίαν, καὶ τὸν Ἄτισῶνα ποταμὸν λαβὼν πρὸ αὐτοῦ, καὶ φραξάμενος πρὸς τὰς διαβάσεις ἑκατέρωθεν ἰσχυροῖς χαρακώμασιν, ἔζευξε τὸν

Digitized by Google

πόρον, ὡς ἐπιβοηθεῖν εἴη τοῖς πέραν, εἰ πρὸς τὰ φρούρια βιάζοιντο διὰ τῶν στενῶν οἱ βάρβαροι. Τοῖς δὲ τοσοῦτον περιῆν ὑπεροψίας καὶ θράσους κατὰ τῶν πολεμίων, ὥστε, ῥώμην καὶ τόλμαν ἐπιδεικνύμενοι μᾶλλον, ἢ πράττοντές τι τῶν ἀναγκαίων, γυμνοὶ μὲν ἠνείχοντο νιφόμενοι, καὶ διὰ πάγων καὶ χιόνος βαθείας τοῖς ἄκροις προσέβαινον, ἄνωθεν δὲ, τοὺς θυρεοὺς πλατεῖς ὑποτιθέντες τοῖς σώμασιν, εἶτ' ἀφέντες αὐτοὺς, ὑπεφέροντο κατὰ κρημνῶν ὀλισθήματα καὶ λισσάδας ἀχανεῖς ἐχόντων. Ὡς δὲ παραστρατοπεδεύσαντες ἐγγὺς καὶ κατασκεψάμενοι τὸν πόρον, ἤρξαντο χοῦν, καὶ τοὺς περιξ λόφους ἀναῤῥηγνύντες, ὥσπερ οἱ γίγαντες, ἅμα δένδρα πρόῤῥιζα καὶ κρημνῶν σπαράγματα καὶ γῆς κολωνοὺς ἐφόρουν εἰς τὸν ποταμὸν, ἐκθλίβοντες τὸ ῥεῦμα, καὶ τοῖς ἐρείδουσι τὰ ζεύγματα βάθροις ἀφιέντες βάρη μεγάλα, συρόμενα κατὰ ῥοῦν καὶ τινάσσοντα ταῖς πληγαῖς τὴν γέφυραν, ἀποδειλιάσαντες οἱ πλεῖστοι τῶν στρατιωτῶν ἐξέλιπον τὸ μέγα στρατόπεδον καὶ ἀνεχώρουν. Ἔνθα δὴ Κάτλος ἔδειξεν ἑαυτὸν, ὥσπερ χρὴ τὸν ἀγαθὸν καὶ τέλειον ἄρχοντα, τὴν αὐτοῦ δόξαν ἐν ὑστέρῳ τῆς τῶν πολιτῶν τιθέμενον. Ἐπεὶ γὰρ οὐκ ἔπειθε τοὺς στρατιώτας μένειν, ἀλλ' ἑώρα περιδεῶς ἀναζευγνύντας, ἄρασθαι κελεύσας τὸν ἀετὸν, εἰς τοὺς πρώτους τῶν ἀπερχομένων ὥρμησε δρόμῳ, καὶ πρῶτος ἠγείτο, βουλόμενος αὐτοῦ τὸ αἰσχρὸν, ἀλλὰ μὴ τῆς πατρίδος γενέσθαι, καὶ δοκεῖν μὴ φεύγοντας, ἀλλ' ἑπομένους τῷ

Digitized by Google

στρατηγῷ ποιεῖσθαι τὴν ἀποχώρησιν. Οἱ δὲ βάρβαροι τὸ μὲν πέραν τοῦ Ἀτισῶνος φρούριον ἐπελθόντες ἔλαβον, καὶ τοὺς αὐτόθι Ῥωμαίους, ἀνδρῶν κρατίστους γενομένους, καὶ προκινδυνεύσαντας ἀξίως τῆς πατρίδος θαυμάσαντες, ὑποσπόνδους ἀφῆκαν, ὀμόσαντες τὸν χαλκοῦν ταῦρον, ὃν ὕστερον ἁλόντα μετὰ τὴν μάχην, εἰς τὴν Κάτλου φασὶν οἰκίαν, ὥσπερ ἀκροθίνιον τῆς νίκης, κομισθῆναι. Τὴν δὲ χώραν ἔρημον βοηθείας ἐπιχυθέντες ἐπόρθουν.

XXIV. Ἐπὶ τούτοις ἐκαλεῖτο Μάριος εἰς τὴν πόλιν· καὶ παραγενόμενος, πάντων αὐτὸν οἰομένων θριαμβεύσειν, καὶ τῆς βουλῆς προθύμως ψηφισαμένης, οὐκ ἠξίωσεν, εἴτε τοὺς στρατιώτας καὶ συναγωνιστὰς ἀποστερῆσαι τῆς φιλοτιμίας μὴ βουλόμενος, εἴτε πρὸς τὰ παρόντα θαῤῥύνων τὸ πλῆθος, ὡς τῇ τύχῃ τῆς πόλεως παρακατατιθέμενος τὴν τῶν πρώτων κατορθωμάτων δόξαν, ἐν τοῖς δευτέροις λαμπροτέραν ἀποδοθησομένην. Διαλεχθεὶς δὲ τὰ πρέποντα τῷ καιρῷ, καὶ πρὸς τὸν Κάτλον ἐξορμήσας, τοῦτόν τε παρεθάῤῥυνε, καὶ τοὺς αὐτοῦ μετεπέμπετο στρατιώτας ἐκ Γαλατίας. Ὡς δ' ἀφίκοντο, διαβὰς τὸν Ἠριδανὸν, εἴργειν ἐπειρᾶτο τῆς ἐντὸς Ἰταλίας τοὺς βαρβάρους. Οἱ δὲ, τοὺς Τεύτονας ἐκδέχεσθαι, καὶ θαυμάζειν ὡς βραδυνόντων φάσκοντες, ἀνεβάλλοντο τὴν μάχην· εἴτ' ἀγνοοῦντες ὄντως τὴν ἐκείνων φθορὰν, εἴτε βουλόμενοι δοκεῖν ἀπιστεῖν. Καὶ γὰρ τοὺς ἀγγέλλοντας ἠπίζοντο δεινῶς, καὶ τὸν Μάριον ἤτουν πέμψαντες ἑαυτοῖς καὶ τοῖς

Digitized by Google

ἀδελφοῖς χώραν, καὶ πόλεις ἱκανὰς ἐνοικεῖν. Ἐρομένου δὲ τοῦ Μαρίου τοὺς πρέσβεις περὶ τῶν ἀδελφῶν, καὶείνων ὀνομασάντων τοὺς Τεύτονας, οἱ μὲν ἄλλοι πάντες ἐγέλασαν, ὁ δὲ Μάριος ἔσκωψεν εἰπών· „Ἐᾶτε τοίνυν τοὺς ἀδελφούς· ἔχουσι γὰρ γῆν ἐκεῖνοι, καὶ διὰ παντὸς ἕξουσι, παρ' ἡμῶν λαβόντες." Οἱ δὲ πρέσβεις, τὴν εἰρωνείαν συνέντες, ἐλοιδόρουν αὐτὸν, ὡς δίκην ὑφέξοντα, Κίμβροις μὲν αὐτίκα, Τεύτοσι δ', ὅταν παραγένωνται. „Καὶ μὴν πάρεισιν (ἔφη ὁ Μάριος), καὶ οὐχ ἕξει καλῶς ὑμῖν ἀπαλλαγῆναι πρότερον, ἢ τοὺς ἀδελφοὺς ἀσπάσασθαι." Καὶ ταῦτ' εἰπὼν ἐκέλευε τοὺς βασιλεῖς τῶν Τευτόνων προαχθῆναι δεδεμένους. Ἑάλωσαν γὰρ ἐν ταῖς Ἄλπεσι φεύγοντες ὑπὸ Σηκουανῶν.

XXV. Ὡς δ' ἀπηγγέλθη ταῦτα τοῖς Κίμβροις, αὖθις ἐξ ἀρχῆς ἐχώρουν ἐπὶ τὸν Μάριον, ἡσυχάζοντα καὶ διαφυλάσσοντα τὸ στρατόπεδον. Λέγεται δ', εἰς ἐκείνην τὴν μάχην πρῶτον ὑπὸ Μαρίου καινοτομηθῆναι τὸ περὶ τοὺς ὑσσούς. Τὸ γὰρ εἰς τὸν σίδηρον ἔμβλημα τοῦ ξύλου πρότερον μὲν ἦν δυσὶ περόναις κατειλημμένον σιδηραῖς· τότε δὲ ὁ Μάριος τὴν μὲν, ὥσπερ εἶχεν, εἴασε, τὴν δ' ἑτέραν ἐξελὼν, ξύλινον ἧλον εὔθραυστον ἀντ' αὐτῆς ἐνέβαλε· τεχνάζων προσπεσόντα τὸν ὑσσὸν τῷ θυρεῷ τοῦ πολεμίου, μὴ μένειν ὀρθὸν, ἀλλὰ τοῦ ξυλίνου κλασθέντος ἧλου, καμπὴν γίνεσθαι περὶ τὸν σίδηρον, καὶ παρέλκεσθαι τὸ δόρυ διὰ τὴν στρεβλότητα τῆς αἰχμῆς ἐνεχόμενον. Βοιῶριξ δὲ, ὁ τῶν Κίμβρων βασι-

Digitized by Google

λεὺς, ὀλιγοστὸς προσιππεύσας τῷ στρατοπέδῳ, προὐκαλεῖτο τὸν Μάριον ἡμέραν ὁρίσαντα καὶ τόπον προελθεῖν καὶ διαγωνίσασθαι περὶ τῆς χώρας. Τοῦ δὲ Μαρίου φήσαντος, οὐδέποτε Ῥωμαίους συμβούλοις κεχρῆσθαι περὶ μάχης τοῖς πολεμίοις, οὐ μὴν ἀλλὰ καταχαριεῖσθαι τοῦτο Κίμβροις, ἡμέραν μὲν ἔθεντο τὴν ἀπ' ἐκείνης τρίτην, χώραν δὲ τὸ πεδίον τὸ περὶ Βερκέλλας, Ῥωμαίοις μὲν ἐπιτήδειον ἐνιππάσασθαι, τῶν δ' ἀνάχυσιν τῷ πλήθει παρασχεῖν. Τηρήσαντες οὖν τὸν ὡρισμένον χρόνον, ἀντιπαρετάσσοντο, Κάτλος μὲν ἔχων δισμυρίους καὶ τριακοσίους στρατιώτας· οἱ δὲ Μαρίου δισχίλιοι μὲν ἐπὶ τρισμυρίοις ἐγένοντο, περιέσχον δὲ τὸν Κάτλον ἐν μέσῳ νεμηθέντες εἰς ἑκάτερον κέρας, ὡς Σύλλας, ἠγωνισμένος ἐκείνην τὴν μάχην, γέγραφε. Καί φησι, τὸν Μάριον, ἐλπίσαντα τοῖς ἄκροις μάλιστα καὶ κατὰ κέρας συμπεσεῖν τὰς φάλαγγας, ὅπως ἴδιος ἡ νίκη τῶν ἐκείνου στρατιωτῶν γένοιτο, καὶ μὴ μεταίσχοι τοῦ ἀγῶνος ὁ Κάτλος, μηδὲ προσμίξειε τοῖς πολεμίοις, κόλπωμα τῶν μέσων, ὥσπερ εἴωθεν ἐν μεγάλοις μετώποις, λαμβανόντων, οὕτω διαστῆσαι τὰς δυνάμεις. Ὅμοια δὲ καὶ τὸν Κάτλον αὐτὸν ἀπολογεῖσθαι περὶ τούτων ἱστοροῦσι, πολλὴν κατηγοροῦντα τοῦ Μαρίου κακοήθειαν πρὸς αὐτόν. Τοῖς δὲ Κίμβροις τὸ μὲν πεζὸν ἐκ τῶν ἑρυμάτων καθ' ἡσυχίαν προῆει, βάθος ἴσον τῷ μετώπῳ ποιούμενον· ἑκάστη γὰρ ἐπέσχε πλευρὰ σταδίους τριάκοντα τῆς παρατάξεως. Οἱ δ' ἱππεῖς, μύριοι καὶ πεντα-

Digitized by Google

κισχίλιοι τὸ πλῆθος ὄντες, ἐξήλασαν λαμπροὶ, κράνη μὲν εἰκασμένα θηρίων φοβερῶν χάσμασι καὶ προτομαῖς ἰδιομόρφοις ἔχοντες, ἃς ἐπαιρόμενοι λόφοις πτερωτοῖς εἰς ὕψος ἐφαίνοντο μείζους, θώραξι δὲ κεκοσμημένοι σιδηροῖς, θυρεοῖς δὲ λευκοῖς στίλβοντες. Ἀκόντισμα δ' ἦν ἑκάστῳ διβολία· συμπεσόντες δὲ μεγάλαις ἐχρῶντο καὶ βαρείαις μαχαίραις.

XXVI. Τότε δ' οὐχὶ κατὰ στόμα προσεφέροντο τοῖς Ῥωμαίοις, ἀλλ' ἐκκλίνοντες ἐπὶ δεξιὰ, ὑπῆγον αὐτοὺς, κατὰ μικρὸν ἐμβάλλοντες εἰς τὸ μέσον αὐτῶν τε καὶ τῶν πεζῶν ἐξ ἀριστερᾶς παρατεταγμένων. Καὶ συνεῖδον μὲν οἱ τῶν Ῥωμαίων στρατηγοὶ τὸν δόλον, ἐπισχεῖν δὲ τοὺς στρατιώτας οὐκ ἔφθησαν ἀλλ' ἑνὸς ἐκβοήσαντος, ὅτι φεύγουσιν οἱ πολέμιοι, πάντες ὥρμησαν διώκειν. Καὶ τὸ πεζὸν ἐν τούτῳ τῶν βαρβάρων ἐπῆει, καθάπερ πέλαγος ἀχανὲς κινούμενον. Ἐνταῦθα νιψάμενος ὁ Μάριος τὰς χεῖρας καὶ πρὸς τὸν οὐρανὸν ἀνασχὼν, ηὔξατο τοῖς θεοῖς κατὰ ἑκατόμβης· ηὔξατο δὲ καὶ Κάτλος, ὁμοίως ἀνασχὼν τὰς χεῖρας, καθιερώσειν τὴν τύχην τῆς ἡμέρας ἐκείνης. Τὸν δὲ Μάριον καὶ θύσαντα λέγεται, τῶν ἱερῶν αὐτῷ δειχθέντων, μέγα φθεγξάμενον εἰπεῖν· Ἐμὴ ἡ νίκη. Γενομένης δὲ τῆς ἐφόδου, πρᾶγμα νεμεσητὸν παθεῖν τὸν Μάριον οἱ περὶ Σύλλαν ἱστοροῦσι. Κονιορτοῦ γὰρ ἀρθέντος, οἷον εἰκὸς, ἁπλέτου, καὶ τῶν στρατοπέδων ἀποκεκρυμμένων, ἐκεῖνον μὲν, ὡς τὸ πρῶτον ὥρμησε πρὸς τὴν δίωξιν, ἐπισπασάμενον τὴν δύναμιν, ἀστοχῆσαι τῶν πολε-

Digitized by Google

μίων, καὶ παρενεχθέντα τῆς φάλαγγος ἐν τῷ πεδίῳ διωφέρεσθαι πολὺν ἤδη χρόνον· τῷ δὲ Κάτλῳ τοὺς βαρβάρους ἀπὸ τύχης συῤῥαγῆναι, καὶ γενέσθαι τὸν ἀγῶνα κατ' ἐκεῖνον καὶ τοὺς ἐκείνου μάλιστα στρατιώτας, ἐν οἷς αὐτὸς ὁ Σύλλας τετύχθαι φησί· συναγωνίσασθαι δὲ τοῖς Ῥωμαίοις τὸ καῦμα καὶ τὸν ἥλιον ἀντιλάμποντα τοῖς Κίμβροις. Δεινοὶ γὰρ ὄντες ὑπομεῖναι κρύη, καὶ τόποις ἐντεθραμμένοι σκιεροῖς, ὡς λέλεκται, καὶ ψυχροῖς, ἀνετρέποντο πρὸς τὸ θάλπος, ἱδρῶτά τε μετ' ἄσθματος πολὺν ἐκ τῶν σωμάτων ἀφιέντες, καὶ τοὺς θυρεοὺς προβαλλόμενοι πρὸ τῶν προσώπων, ἅτε δὴ καὶ μετὰ τροπὰς θέρους τῆς μάχης γενομένης, ὡς λέγουσι Ῥωμαῖοι, πρὸ τριῶν ἡμερῶν τῆς νουμηνίας τοῦ νῦν μὲν Αὐγούστου, τότε δὲ Σεξτιλίου μηνός. Ὤνησε δὲ καὶ πρὸς τὸ θαῤῥεῖν ὁ κονιορτὸς, ἀποκρύψας τοὺς πολεμίους. Οὐ γὰρ κατεῖδον ἐκ πολλοῦ τὸ πλῆθος αὐτῶν, ἀλλὰ δρόμῳ τοῖς καθ' αὑτοὺς ἕκαστοι προσμίξαντες, ἐν χερσὶν ἦσαν, ὑπὸ τῆς ὄψεως μὴ προεκφοβηθέντες. Οὕτω δ' ἦσαν διάπονοι τὰ σώματα καὶ κατηθληκότες, ὡς μήτε ἱδροῦντά τινα, μήτ' ἄσθμαινοντα Ῥωμαίων ὀφθῆναι, διὰ πόνους τοσούτου καὶ μετὰ δρόμου τῆς συῤῥάξεως γενομένης· ὡς τὸν Κάτλον αὐτὸν ἱστορεῖν λέγουσι, μεγαλύνοντα τοὺς στρατιώτας.

XXVII. Τὸ μὲν οὖν πλεῖστον μέρος καὶ μαχιμώτατον τῶν πολεμίων αὐτοῦ κατεκόπη. Καὶ γὰρ ἦσαν, ὑπὲρ τοῦ μὴ διασπᾶσθαι τὴν τάξιν, οἱ πρό-

Digitized by Google

μαχοι μακραῖς ἁλύσεσι πρὸς ἀλλήλους συνεχόμενοι, διὰ τῶν ζωστήρων ἀναδεδεμέναις. Τοὺς δὲ φεύγοντας ὥσαντες πρὸς τὸ χαράκωμα, τραγικωτάτοις ἐνετύγχανον πάθεσιν. Αἱ γὰρ γυναῖκες, ἐπὶ τῶν ἁμαξῶν μελανείμονες ἐφεστῶσαι, τούς τε φεύγοντας ἔκτεινον, αἱ μὲν ἄνδρας, αἱ δ' ἀδελφοὺς, αἱ δὲ πατέρας, καὶ τὰ νήπια τῶν τέκνων, ἀπάγχουσαι ταῖς χερσὶν, ἐῤῥίπτουν ὑπὸ τοὺς τροχοὺς καὶ τοὺς πόδας τῶν ὑποζυγίων· αὐτὰς δ' ἀπέσφαττον. Μίαν δέ φασιν ἐξ ἄκρου ῥυμοῦ κρεμαμένην, τὰ παιδία τῶν αὐτῆς σφυρῶν ἀφημμένα βρόχοις ἑκατέρωθεν ἠρτῆσθαι. Τοὺς δ' ἄνδρας, ἀπορίᾳ δένδρων, τοῖς κέρασι τῶν βοῶν, τοὺς δὲ τοῖς σκέλεσι προσδεῖν τοὺς αὐτῶν τραχήλους· εἶτα κέντρα προσφέροντας, ἐξαλλομένων τῶν βοῶν, ἐφελκομένους καὶ πατουμένους ἀπόλλυσθαι. Πλὴν, καίπερ οὕτως αὐτῶν διαφθαρέντων, ἑάλωσαν ὑπὲρ ἓξ μυριάδας· αἱ δὲ τῶν πεσόντων ἐλέγοντο δὶς τοσαῦται γενέσθαι. Τὰ μὲν οὖν χρήματα διήρπασαν οἱ Μαρίου στρατιῶται, τὰ δὲ λάφυρα καὶ τὰς σημαίας καὶ τὰς σάλπιγγας εἰς τὸ Κάτλου στρατόπεδον ἀνενεχθῆναι λέγουσιν· ᾧ καὶ μάλιστα τεκμηρίῳ χρῆσθαι τὸν Κάτλον, ὡς κατ' αὐτὸν ἡ νίκη γένοιτο. Καὶ μέντοι καὶ τοῖς στρατιώταις, ὡς ἔοικεν, ἐμπεσούσης ἔριδος, ἠρέθησαν οἷον διαιτηταὶ πρέσβεις Πανορμιτῶν παρόντες· οὓς οἱ Κάτλου διὰ τῶν πολεμίων νεκρῶν ἄγοντες, ἐπεδείκνυντο τοῖς ἑαυτῶν ὁσσοῖς διαπεπαρμένους. Γνώριμοι δ' ἦσαν ὑπὸ γραμμάτων, τοὔνομα τοῦ Κάτλου

Digitized by Google

παρὰ τὸ ξύλον αὐτῶν ἐγχειρήξαντος. Οὐ μὴν ἀλλὰ τῷ Μαρίῳ προσετίθει τὸ σύμπαν ἔργον, ἥ τε προτέρα νίκη, καὶ τὸ πρόσχημα τῆς ἀρχῆς. Μάλιστα δ' οἱ πολλοὶ κτίστην τε Ῥώμης τρίτον ἐκεῖνον ἀνηγόρευον, ὡς οὐχ ἧττονα τοῦ Κελτικοῦ τοῦτον ἀπεωσμένον τὸν κίνδυνον· εὐθυμούμενοί τε μετὰ παίδων καὶ γυναικῶν ἕκαστοι κατ' οἶκον, ἅμα τοῖς θεοῖς, καὶ Μαρίῳ δείπνου καὶ λοιβῆς ἀπήρχοντο, καὶ θριαμβεύειν μόνον ἠξίουν ἀμφοτέρους τοὺς θριάμβους. Οὐ μὴν ἐθριάμβευσιν οὕτως, ἀλλὰ μετὰ τοῦ Κάτλου, μέτριον ἐπὶ τηλικαύταις εὐτυχίαις βουλόμενος παρέχειν ἑαυτόν· ἔτι δὲ καὶ τοὺς στρατιώτας φοβηθεὶς παρευκευασμένους, εἰ Κάτλος ἀπείργοιτο τῆς τιμῆς, μηδ' ἐκεῖνον ἐᾶν θριαμβεύειν.

XXVIII. Πέμπτην μὲν οὖν ὑπατείαν διεῖπε· τῆς δὲ ἕκτης, ὡς οὐδ' εἷς πρώτης, ὠρέγετο, θεραπείαις τὸν δῆμον ἀναλαμβάνων, καὶ πρὸς χάριν ἐνδιδοὺς τοῖς πολλοῖς, οὐ μόνον παρὰ τὸν ὄγκον καὶ τὸ κοινὸν ἀξίωμα τῆς ἀρχῆς, ἀλλὰ καὶ παρὰ τὴν αὑτοῦ φύσιν, ὑγρός τις εἶναι βουλόμενος καὶ δημοτικός, ἥκιστα τοιοῦτος πεφυκώς. Ἀλλ' ἦν, ὡς λέγουσι, πρὸς πολιτείαν καὶ τοὺς ἐν ὄχλοις θορύβους ὑπὸ φιλοδοξίας ἀτολμότατος· καὶ τὸ παρὰ τὰς μάχας ἀνέκπληκτον καὶ στάσιμον, ἐν ταῖς ἐκκλησίαις ἀπέλειπεν αὐτόν, ὑπὸ τῶν τυχόντων ἐπαίνων καὶ ψόγων ἐξιστάμενον. Καίτοι λέγεται Καμερίνων ἄνδρας δμοῦ χιλίους, διαπρεπῶς ἀγωνισαμένους ἐν τῷ πολέμῳ, δωρησάμενος πολιτείᾳ, δοκοῦντος εἶναι τού-

Digitized by Google

του παρανόμου, καὶ τινων ἐγκαλούντων, εἰπεῖν, ὅτι τοῦ νόμου διὰ τὸν τῶν ὅπλων ψόφον οὐ κατακούσειεν. Οὐ μὴν ἀλλὰ μᾶλλον ἔοικεν ἐκπλήσσεσθαι καὶ δεδιέναι τὴν ἐν ταῖς ἐκκλησίαις κραυγήν. Ἐν μέν γε τοῖς ὅπλοις ἀξίωμα καὶ δύναμιν εἶχε, διὰ τὴν χρείαν· ἐν δὲ τῇ πολιτείᾳ περικοπτόμενος τὰ πρωτεῖα, κατέφευγεν ἐπὶ τὴν τῶν πολλῶν εὔνοιαν καὶ χάριν, ὑπὲρ τοῦ μέγιστος γενέσθαι, τὸ βέλτιστος εἶναι ποιέμενος. Πᾶσι μὲν οὖν προσέκρουε τοῖς ἀριστοκρατικοῖς, μάλιστα δ' ὀρῴωδῶν τὸν Μέτελλον ἠχαριστημένον ὑπ' αὐτοῦ, καὶ φύσει δι' ἀρετὴν ἀληθῆ πολεμοῦντα τοῖς οὐ κατὰ τὸ βέλτιστον ὑποδυομένοις τὰ πλήθη, καὶ πρὸς ἡδονὴν δημαγωγοῦσιν, ἐπεβούλευε τῆς πόλεως ἐκβαλεῖν τὸν ἄνδρα. Καὶ πρὸς τοῦτο Γλαυκίαν καὶ Σατορνῖνον, ἀνθρώπους θρασυτάτους, καὶ πλῆθος ἄπορον καὶ θορυβοποιὸν ὑπ' αὐτοῖς ἔχοντας, οἰκειωσάμενος, εἰσέφερε νόμους δι' αὐτῶν· καὶ τὸ στρατιωτικὸν ἐπάρας, κατεμίγνυε ταῖς ἐκκλησίαις, καὶ κατεστασίαζε τὸν Μέτελλον. Ὡς δὲ Ῥουτίλιος ἱστορεῖ, τὰ μὲν ἄλλα φιλαλήθης ἀνὴρ καὶ χρηστὸς, ἰδίᾳ δὲ τῷ Μαρίῳ προσκεκρουκὼς, φησὶν, ὡς καὶ τῆς ἕκτης ἔτυχεν ὑπατείας, ἀργύριον εἰς τὰς φυλὰς καταβαλὼν πολὺ, καὶ πριάμενος τὸν Μέτελλον ἐκκροῦσαι τῆς ἀρχῆς, Οὐαλέριον δὲ Φλάκκον ὑπηρέτην μᾶλλον, ἢ συνάρχοντα, τῆς ὑπατείας λαβεῖν. Οὐδενι μέντοι τῶν πρὸ αὐτοῦ, πλὴν μόνῳ Κορβίνῳ Οὐαλερίῳ, τοσαύτας ὑπατείας ἔδωκεν ὁ δῆμος· ἀλλ' ἐκείνῳ μὲν ἀπὸ τῆς

Digitized by Google

πρώτης εἰς τὴν τελευταίαν ἔτη πέντε καὶ τεσσαράκοντα γενέσθαι λέγουσι, Μάριος δὲ μετὰ τὴν πρώτην τὰς πέντε ῥύμῃ μιᾷ τύχης διέδραμε.

XXIX. Καὶ μάλιστα περὶ τὴν τελευταίαν ἐφθονεῖτο, πολλὰ συνεξαμαρτάνων τοῖς περὶ τὸν Σατορνῖνον. Ὧν ἦν καὶ ὁ Νωνίου φάνος, ὃν ἀντιπαραγγέλλοντα δημαρχίαν ἀπέσφαξεν ὁ Σατορνῖνος. Εἶτα δημαρχῶν, ἐπῆγε τὸν περὶ τῆς χώρας νόμον, ᾧ προσεγέγραπτο, τὴν σύγκλητον ὀμόσαι προσελθοῦσαν, μὴ ἐμμενεῖν οἷς ἂν ὁ δῆμος ψηφίσαιτο, καὶ πρὸς μηδὲν ὑπεναντιώσεσθαι. Τοῦτο τοῦ νόμου τὸ μέρος προσποιούμενος ἐν τῇ βουλῇ διώκειν ὁ Μάριος, οὐκ ἔφη δέξεσθαι τὸν ὅρκον, οὐδ' ἄλλον οἴεσθαι σωφρονοῦντα. Καὶ γὰρ εἰ μὴ μοχθηρὸς ἦν ὁ νόμος, ὕβριν εἶναι, τὰ τοιαῦτα τὴν βουλὴν διδόναι βιαζομένην, ἀλλὰ μὴ πειθοῖ, μηδὲ ἑκοῦσαν. Ταῦτα δ' οὐχ οὕτως φρονῶν ἔλεγεν, ἀλλὰ τῷ Μετέλλῳ ἀπάτην περιτιθεὶς ἄφυκτον. Αὐτὸς μὲν γὰρ εἰς ἀρετῆς καὶ δεινότητος μερίδα τὸ ψεύσασθαι τιθέμενος, λόγον οὐδένα τῶν πρὸς τὴν σύγκλητον ὡμολογημένων ἔξειν ἔμελλε. Τὸν δὲ Μέτελλον εἰδὼς βέβαιον ἄνδρα καὶ τὴν ἀληθειαν ἀρχὴν μεγάλης ἀρετῆς κατὰ Πίνδαρον ἡγούμενον, ἐβούλετο τῇ πρὸς τὴν σύγκλητον ἀρνήσει προληφθέντα, καὶ μὴ δεξάμενον τὸν ὅρκον, εἰς ἀνήκεστον ἐμβαλεῖν πρὸς τὸν δῆμον ἔχθραν. Ὃ καὶ συνέβη. Τοῦ γὰρ Μετέλλου φήσαντος μὴ ὀμόσειν, τότε μὲν ἡ βουλὴ διελύθη· μετὰ δ' ἡμέρας ὀλίγας τοῦ Σατορνίνου πρὸς τὸ βῆμα τοὺς συγκλη-

Digitized by Google

τικοὺς ἀνακαλουμένου, καὶ τὸν ὅρκον ὀμνύειν ἀναγκάζοντος, ὁ Μάριος παρελθὼν, γενομένης σιωπῆς, καὶ πάντων εἰς ἐκεῖνον ἀνηρτημένων, μακρὰ χαίρειν φράσας τοῖς ἐν τῇ βουλῇ νεανιευθεῖσιν ἀπὸ φωνῆς, οὐχ οὕτω πλατὺν ἔφη φορεῖν τὸν τράχηλον, ὡς προαποφαίνεσθαι καθάπαξ εἰς πρᾶγμα τηλικοῦτον, ἀλλ' ὀμεῖσθαι καὶ τῷ νόμῳ πειθαρχήσειν, εἴπερ ἐστὶ νόμος. Καὶ γὰρ τοῦτο προσέθηκε τὸ σοφὸν, ὥσπερ παρακάλυμμα τῆς αἰσχύνης. Ὁ μὲν οὖν δῆμος ἡσθεὶς ὀμόσαντος, ἀνεκρότησε καὶ κατευφήμησε· τοὺς δ' ἀρίστους κατῆφεια δεινὴ καὶ μῖσος ἔσχε τοῦ Μαρίου τῆς μεταβολῆς. Ὤμνυσαν οὖν ἅπαντες ἐφεξῆς, δεδιότες τὸν δῆμον, ἄχρι Μετέλλου· Μέτελλος δὲ, καίπερ ἀντιβολούντων καὶ δεομένων τῶν φίλων ὀμόσαι, καὶ μὴ περιβαλεῖν ἑαυτὸν ἐπιτιμίοις ἀνηκέστοις, ἃ κατὰ τῶν μὴ ὀμνυόντων ὁ Σατορνῖνος εἰσέφερεν, οὐχ ὑφήκατο τοῦ φρονήματος, οὐδ' ὤμοσεν· ἀλλ' ἐμμένων τῷ ἤθει, καὶ πᾶν παθεῖν δεινὸν ἐπὶ τῷ μηθὲν αἰσχρὸν ἐργάσασθαι παρεσκευασμένος, ἀπῆλθεν ἐκ τῆς ἀγορᾶς, διαλεγόμενος τοῖς περὶ αὐτὸν, ὡς τὸ κακόν τι πρᾶξαι, φαῦλον εἴη· τὸ δὲ καλὸν μὲν, ἀκινδύνως δὲ, κοινόν· ἴδιον δ' ἀνδρὸς ἀγαθοῦ τὸ μετὰ κινδύνων τὰ καλὰ πράσσειν. Ἐπ τούτου ψηφίζεται Σατορνῖνος ἀποκηρύξαι τοὺς ὑπάτους, ὅπως πυρὸς καὶ ὕδατος καὶ στέγης εἴργηται Μέτελλος· καὶ τὸ φαυλότατον αὐτοῖς τοῦ πλήθους παρῆν ἕτοιμον ἀποκτινύναι τὸν ἄνδρα. Τῶν δὲ βελτίστων περιπαθούντων καὶ συντρεχόντων πρὸς τὸν

Digitized by Google

Μέτελλον, οὐκ εἴα στασιάζειν δι' αὐτὸν, ἀλλ' ἀπῆλθεν ἐκ τῆς πόλεως, ἔμφρονι λογισμῷ χρησάμενος. „Ἢ γὰρ ἀμεινόνων (ἔφη) τῶν πραγμάτων γενομένων, καὶ τοῦ δήμου μετανοήσαντος, ἀφίξομαι παρακαλούμενος· ἢ μενόντων ὁμοίων, ἀπηλλάχθαι κράτιστον." Ἀλλὰ γὰρ ὅσης μὲν ἀπέλαυσεν εὐνοίας παρὰ τὴν φυγὴν καὶ τιμῆς Μέτελλος, ὃν δὲ τρόπον ἐν Ῥόδῳ φιλοσοφῶν διητήθη, βέλτιον ἐν τοῖς περὶ ἐκείνου γραφομένοις εἰρήσεται.

XXX. Μάριος δὲ τὸν Σατορνῖνον ἀντὶ τῆς ὑπουργίας ταύτης ἐπὶ πᾶν προϊόντα τόλμης καὶ δυνάμεως περιορᾷν ἀναγκαζόμενος, ἔλαθεν οὐκ ἀνεκτὸν ἀπεργασάμενος κακὸν, ἀλλ' ἄντικρυς ὅπλοις καὶ σφαγαῖς ἐπὶ τυραννίδα καὶ πολιτείας ἀνατροπὴν πορευόμενον. Αἰδούμενος δὲ τοὺς κρατίστους, θεραπεύων δὲ τοὺς πολλοὺς, ἔργον ἀνελεύθερον ἐσχάτως ὑπέμεινε καὶ παλίμβολον. Ἐλθόντων γὰρ ὡς αὐτὸν ὑπὸ νύκτα τῶν πρώτων ἀνδρῶν, καὶ παρακαλούντων ἐπὶ τὸν Σατορνῖνον, ἑτέραις θύραις ἐκεῖνον ὑπεδέξατο, τούτων ἀγνοούντων· εἶτα πρόφασιν λέγων πρὸς ἀμφοτέρους κοιλίας διάῤῥοιαν, νῦν μὲν ὡς τούτους, νῦν δ' ὡς ἐκεῖνον ἐπὶ τῆς οἰκίας ἀνὰ μέρος διατρέχων, συνέκρουε καὶ παρώξυνεν. Οὐ μὴν ἀλλὰ καὶ τῆς βουλῆς καὶ τῶν ἱππέων συνισταμένων καὶ ἀγανακτούντων, ἐξήνεγκεν εἰς ἀγορὰν τὰ ὅπλα, καὶ καταδιωχθέντας αὐτοὺς εἰς τὸ Καπετώλιον, εἷλε δίψει· τοὺς γὰρ ὀχετοὺς ἀπέκοψεν. Οἱ δ' ἀπειπόντες ἐκεῖνον ἐκάλουν, καὶ παρέδωκαν σφῶς αὐτοὺς

Digitized by Google

διὰ τῆς λεγομένης δημοσίας πίστεως. Ἐπεὶ δὲ παντοῖος γενόμενος ὑπὲρ τοῦ σῶσαι τοὺς ἄνδρας, οὐδὲν ὤνησεν, ἀλλὰ κατιόντες εἰς ἀγορὰν ἀνῃρέθησαν, ἐκ τούτου τοῖς τε δυνατοῖς ἅμα καὶ τῷ δήμῳ προσκεκρουκὼς, τιμητείας παραπεσούσης, ἐπίδοξος ὢν, οὐ μετῆλθεν, ἀλλ' εἴασεν ἑτέρους ὑποδεεστέρους αἱρεθῆναι, δεδιὼς ἀποτυχεῖν. Ἄλλως δ' αὐτὸς ἐκαλλωπίζετο πολλοῖς μὴ θέλειν ἀπεχθάνεσθαι, τοὺς βίους αὐτῶν καὶ τὰ ἤθη πικρῶς ἐξετάζων.

XXXI. Λόγματος δ' εἰσφερομένου Μέτελλον ἀπὸ τῆς φυγῆς ἀνακαλεῖσθαι, πολλὰ καὶ διὰ λόγων καὶ δι' ἔργων μάτην ἐναντιωθεὶς, τέλος ἀπεῖπε· καὶ δεξαμένου τὴν γνώμην τοῦ δήμου προθύμως, οὐχ ὑπομένων κατερχόμενον ἰδεῖν τὸν Μέτελλον, ἐξέπλευσεν εἰς Καππαδοκίαν καὶ Γαλατίαν, λόγῳ μὲν ἀποδώσων ἃς εὔξατο τῇ μητρὶ τῶν θεῶν θυσίας, ἑτέραν δὲ τῆς ἀποδημίας ἔχων ὑπόθεσιν, λανθάνουσαν τοὺς πολλούς. Ἄφυὴς γὰρ ὢν πρὸς εἰρήνην καὶ ἀπολίτευτος, ἡὐξημένος δὲ τοῖς πολέμοις, εἶτα κατὰ μικρὸν αὖθις ὑπ' ἀργίας καὶ ἡσυχίας ἀπομαραίνεσθαι τὴν δύναμιν αὐτοῦ καὶ τὴν δόξαν οἰόμενος, ἐζήτει καινῶν πραγμάτων ἀρχάς. Ἤλπιζε γὰρ, τοὺς βασιλεῖς συνταράξας, καὶ Μιθριδάτην, ἐπίδοξον ὄντα πολεμήσειν, ἀναστήσας καὶ παροξύνας, εὐθὺς ἐπ' αὐτὸν ἡγεμὼν αἱρεθήσεσθαι, καὶ νέων μὲν τὴν πόλιν θριάμβων, σκύλων δὲ Ποντικῶν καὶ πλούτου βασιλικοῦ τὸν οἶκον ἐμπλήσειν. Διὸ καὶ Μιθριδάτου πάσῃ χρησαμένου θεραπείᾳ καὶ τιμῇ

Digitized by Google

πρὸς αὐτὸν, οὐ καμφθεὶς, οὐδ' ὑπείξας, ἀλλ' εἰπών, „Ἢ μεῖζον, ὦ βασιλεῦ, πειρῶ δύνασθαι Ῥωμαίων, ἢ ποίει σιωπῇ τὸ προστασσόμενον," ἐξέπληξεν αὐτὸν, ὡς φήμης μὲν πολλάκις, παῤῥησίας δὲ τότε πρῶτον ἀκούσαντα Ῥωμαϊκῆς.

XXXII. Ἐπανελθὼν δ' εἰς Ῥώμην, οἰκίαν ἐδείματο τῆς ἀγορᾶς πλησίον, εἴτε, ὡς αὐτὸς ἔλεγε, τοὺς θεραπεύοντας αὐτὸν ἐνοχλεῖσθαι μὴ βουλόμενος μακρὰν βαδίζοντας, εἴτε τοῦτ' αἴτιον οἰόμενος εἶναι τοῦ μὴ πλείονας ἄλλων ἐπὶ θύρας αὐτοῦ φοιτᾶν. Τὸ δ' αὐκ ἦν ἄρα τοιοῦτον· ἀλλ' ὁμιλίας χάριτι καὶ πολιτικαῖς χρείαις ἑτέρων λειπόμενος, ὥσπερ ὄργανον πολεμικὸν ἐπ' εἰρήνης παρημελεῖτο. Καὶ τοῖς μὲν ἄλλοις ἧττον ἤχθετο παρευδοκιμούμενος, σφόδρα δ' αὐτὸν ἠνία Σύλλας, ἐκ τοῦ πρὸς ἐκεῖνον αὐξανόμενος φθόνου τῶν δυνατῶν, καὶ τὰς πρὸς ἐκεῖνον διαφορὰς ἀρχὴν πολιτείας ποιούμενος. Ἐπεὶ δὲ καὶ Βόκχος ὁ Νομὰς, σύμμαχος Ῥωμαίων ἀναγεγραμμένος, ἔστησεν ἐν Καπετωλίῳ Νίκας τροπαιοφόρους, καὶ παῤ αὐταῖς ἐν εἰκόσι χρυσαῖς Ἰουγόῤῥαν ἐγχειριζόμενον ὑπ' αὐτοῦ Σύλλᾳ, ταῦτ' ἐξέστησεν ὀργῇ καὶ φιλονεικίᾳ Μάριον, ὡς Σύλλα περισπῶντος εἰς ἑαυτὸν τὰ ἔργα, καὶ παρεσκευάζετο βίᾳ τὰ ἀναθήματα καταβάλλειν. Ἀντεφιλονείκει δὲ Σύλλας, καὶ τὴν στάσιν, ὅσον οὔπω φερομένην εἰς μέσον, ἐπέσχεν ὁ συμμαχικὸς πόλεμος ἐξαίφνης ἐπὶ τὴν πόλιν ἀναῤῥαγείς. Τὰ γὰρ μαχιμώτατα τῶν Ἰταλικῶν ἐθνῶν καὶ πολυανθρωπότατα κατὰ τῆς Ῥώμης συνέστησαν,

Digitized by Google

καὶ μικρὸν ἔδέησαν συγχέαι τὴν ἡγεμονίαν, οὐ μόνον ὅπλοις ἐρρωμένα καὶ σώμασιν, ἀλλὰ καὶ τόλμαις στρατηγῶν καὶ δεινότησι χρησάμενα θαυμασταῖς καὶ ἀντιπάλοις.

XXIII. Οὗτος ὁ πόλεμος, τοῖς πάθεσι ποικίλος γενόμενος, καὶ ταῖς τύχαις πολυτροπώτατος, ὅσον Σύλλᾳ προσέθηκε δόξης καὶ δυνάμεως, τοσοῦτον ἀφεῖλε Μαρίου. Βραδὺς γὰρ ἐφάνη ταῖς ἐπιβολαῖς, ὄκνου τε περὶ πάντα καὶ μελλήσεως ὑπόπλεως, εἴτε τοῦ γήρως τὸ δραστήριον ἐκεῖνο καὶ θερμὸν ἐν αὐτῷ κατασβεννύντος, (ἑξηκοστὸν γὰρ ἤδη καὶ πέμπτον ἔτος ὑπερέβαλλεν) εἴτε, ὡς αὐτὸς ἔλεγε, περὶ νεῦρα γεγονὼς νοσώδης, καὶ σώματι δύσεργος ὤν, ὑπέμενε πικρὰ δύναμιν αἰσχύνῃ τὰς στρατείας. Οὐ μὴν ἀλλὰ καὶ τότε μάχῃ τε μεγάλῃ νικήσας, ἑξακισχιλίους ἀνεῖλε τῶν πολεμίων, καὶ λαβὴν οὐδαμῇ παρέσχεν αὐτοῖς, ἀλλὰ καὶ περιταφρευόμενος ἠνέσχετο, καὶ χλευαζόμενος καὶ καλούμενος οὐ παρωξύνθη. Λέγεται δὲ, Ποπεδίου Σίλωνος, ὃς μέγιστον εἶχε τῶν πολεμίων ἀξίωμα καὶ δύναμιν, εἰπόντος πρὸς αὐτὸν, „Εἰ μέγας εἶ στρατηγὸς, ὦ Μάριε, διαγώνισαι καταβάς,“ ἀποκρίνασθαι· „Σὺ μὲν οὖν, εἰ μέγας εἶ στρατηγὸς, ἀνάγκασόν με διαγωνίσασθαι μὴ βουλόμενον.“ Πάλιν δέ ποτε, τῶν μὲν πολεμίων καιρὸν ἐπιχειρήσεως παραδιδόντων, τῶν δὲ Ῥωμαίων ἀποδειλιασάντων, ὡς ἀνεχώρησαν ἀμφότεροι, συναγαγὼν εἰς ἐκκλησίαν τοὺς στρατιώτας, „Ἀπορῶ (φησὶ) πότερον εἴπω τοὺς πολεμίους ἀνανδροτέρους, ἢ ὑμᾶς. Οὔτε γὰρ ἐκεῖ-

Digitized by Google

νοι τὸν νῶτον ὑμῶν, οὔτε ὑμεῖς ἐκείνων τὸ ἰνίον ἰδεῖν ἐδυνήθητε." Τέλος δ' ἀφῆκε τὴν στρατηγίαν, ὡς ἐξαδυνατῶν τῷ σώματι διὰ τὴν ἀσθένειαν.

XXXIV. Ἐπεὶ δ' ἤδη, τῶν Ἰταλικῶν ἐγκεκλικότων, ἐμνηστεύοντο πολλοὶ τὸν Μιθριδατικὸν πόλεμον ἐν Ῥώμῃ διὰ τῶν δημαγωγῶν, παρὰ πᾶσαν ἐλπίδα Σουλπίκιος δήμαρχος, ἀνὴρ θρασύτατος, παραγαγὼν Μάριον ἀπεδείκνυεν ἀνθύπατον στρατηγὸν ἐπὶ Μιθριδάτην. Καὶ ὁ δῆμος διέστη, τῶν μὲν αἱρουμένων τὰ Μαρίου, τῶν δὲ Σύλλαν καλούντων, καὶ τὸν Μάριον ἐπὶ θερμὰ κελευόντων εἰς Βαΐας βαδίζειν, καὶ τὸ σῶμα θεραπεύειν, ὑπό τε γήρως καὶ ῥευμάτων ἀπειρηκός, ὡς αὐτὸς ἔλεγε. Καὶ γὰρ ἦν ἐκεῖ περὶ Μισήνους τῷ Μαρίῳ πολυτελὴς οἰκία, τρυφὰς ἔχουσα καὶ διαίτας θηλυτέρας, ἢ κατ' ἄνδρα πολέμων τοσούτων καὶ στρατειῶν αὐτουργόν. Ταύτην λέγεται μυριάδων ἑπτὰ ἡμίσους Κορνηλίᾳ πρίασθαι· χρόνου δ' οὐ πάνυ πολλοῦ διαγενομένου, Λεύκιος Λεύκουλλος ὠνεῖται μυριάδων πεντήκοντα καὶ διακοσίων. Οὕτως ταχέως ἀνέδραμεν ἡ πολυτέλεια, καὶ τοσαύτην ἐπίδοσιν τὰ πράγματα πρὸς τρυφὴν ἔλαβεν. Οὐ μὴν ἀλλὰ Μάριος, φιλοτίμως πάνυ καὶ μειρακιωδῶς ἀποτριβόμενος τὸ γῆρας καὶ τὴν ἀσθένειαν, δσημέραι κατέβαινεν εἰς τὸ πεδίον, καὶ μετὰ τῶν νεανίσκων γυμναζόμενος, ἐπεδείκνυε τὸ σῶμα κοῦφον μὲν ἐν ὅπλοις, ἔπαχον δὲ ταῖς ἱππασίαις, καίπερ οὐκ εὐσταλὴς γεγονὼς ἐν γήρᾳ τὸν ὄγκον, ἀλλ' εἰς σάρκα περιπληθῆ καὶ βαρεῖαν ἐν-

Digitized by Google

δεδωκώς. Ἐνίοις μὲν οὖν ἤρεσκε ταῦτα πράττων, καὶ κατιόντες ἐθεῶντο τὴν φιλοτιμίαν αὐτοῦ καὶ τὰς ἁμίλλας· τοῖς δὲ βελτίστοις ὁρῶσιν οἰκτείρειν ἐπῆει τὴν πλεονεξίαν, καὶ τὴν φιλοδοξίαν, ὅτι πλουσιώτατος ἐκ πένητος, καὶ μέγιστος ἐκ μικροῦ γεγονώς, ὅρον οὐκ οἶδεν εὐτυχίας, οὐδὲ θαυμαζόμενος ἀγαπᾷ καὶ ἀπολαύων ἐν ἡσυχίᾳ τῶν παρόντων, ἀλλ', ὥσπερ ἐνδεὴς ἁπάντων, εἰς Καππαδοκίαν καὶ τὸν Εὔξεινον Πόντον ἄρας ἐκ θριάμβων καὶ δόξης ἐκφέρει τοσοῦτον γῆρας, Ἀρχελάῳ καὶ Νεοπτολέμῳ, τοῖς Μιθριδάτου σατράπαις, διαμαχούμενος. Αἱ δὲ πρὸς ταῦτα τοῦ Μαρίου δικαιολογίαι παντάπασιν ἐφαίνοντο ληρώδεις· ἔφη γὰρ ἐθέλειν τὸν υἱὸν ἀσκῆσαι πατὼν αὐτὸς ἐπὶ στρατείας.

XXXV. Ταῦτα τὴν πόλιν, ἐκ πολλῶν χρόνων ὕπουλον γεγενημένην καὶ νοσοῦσαν, ἀνέῤῥηξεν, εὐφυέστατον εὑρόντος ὄργανον Μαρίου πρὸς τὸν κοινὸν ὄλεθρον τὸ Σουλπικίου θράσος· ὃς διὰ τἄλλα πάντα θαυμάζων καὶ ζηλῶν τὸν Σατορνῖνον, ἀτολμίαν ἐπεκάλει τοῖς πολιτεύμασιν αὐτοῦ καὶ μέλλησιν. Αὐτὸς δὲ μὴ μέλλων, ἑξακοσίους μὲν εἶχε περὶ αὑτὸν τῶν ἱππικῶν, οἷον δορυφόρους, καὶ τούτους ἀντισύγκλητον ὠνόμαζεν. Ἐπελθὼν δὲ μεθ' ὅπλων ἐκκλησιάζουσι τοῖς ὑπάτοις, τοῦ μὲν ἑτέρου, φυγόντος ἐξ ἀγορᾶς, τὸν υἱὸν ἐγκαταλαβὼν ἀπέσφαξε. Σύλλας δὲ παρὰ τὴν οἰκίαν τοῦ Μαρίου διωκόμενος, οὐδενὸς ἂν προσδοκήσαντος, εἰσέπεσε· καὶ τοὺς μὲν διώκοντας ἔλαθε δρόμῳ παρενεχθέντας, ὑπ' αὐτοῦ δὲ Μαρίου

Digitized by Google

λέγεται κατὰ θύρας ἑτέρας ἀσφαλῶς ἀποπεμφθεὶς διεκπεσεῖν εἰς τὸ στρατόπεδον. Αὐτὸς δὲ Σύλλας ἐν τοῖς ὑπομνήμασιν οὔ φησι καταφυγεῖν πρὸς τὸν Μάριον, ἀλλ' ἀπαχθῆναι βουλευσόμενος ὑπὲρ ὧν Σουλπίκιος ἠνάγκαζεν αὐτὸν ἅκοντα ψηφίσασθαι, περισχὼν ἐν κύκλῳ ξίφεσι γυμνοῖς, καὶ συνελάσας πρὸς τὸν Μάριον· ἄχρις οὗ προελθὼν ἐκεῖθεν εἰς ἀγορὰν, ὡς ἠξίουν ἐκεῖνοι, τὰς ἀπραξίας ἔλυσε. Γενομένων δὲ τούτων, ὅ τε Σουλπίκιος ἤδη κρατῶν ἐπεχειροτόνησε τῷ Μαρίῳ τὴν στρατηγίαν· ὅ τε Μάριος ἐν παρασκευῇ τῆς ἐξόδου καθειστήκει, καὶ δύο χιλιάρχους ἐξέπεμψε παραληψομένους τὸ Σύλλα στράτευμα. Σύλλας δὲ τοὺς στρατιώτας παροξύνας (ἦσαν δὲ τρισμυρίων ἱππεῖς καὶ πεντακισχιλίων οὐ μείους ὁπλῖται) προήγαγεν ἐπὶ τὴν Ῥώμην. Τοὺς δὲ χιλιάρχους, οὓς ἔπεμψε Μάριος, προσπεσόντες οἱ στρατιῶται διέφθειραν. Πολλοὺς δὲ καὶ Μάριος ἐν Ῥώμῃ τῶν Σύλλα φίλων ἀνῄρηκει, καὶ δούλοις ἐλευθερίαν ἐκήρυττεν ἐπὶ συμμαχίᾳ. Λέγονται δὲ τρεῖς μόνοι προσγενέσθαι. Μικρὰ δ' ἀντιστὰς εἰσελάσαντι τῷ Σύλλᾳ, καὶ ταχέως ἐκβιασθεὶς, ἔφυγε. Τῶν δὲ περὶ αὐτὸν, ὡς πρῶτον ἐξέπεσε τῆς πόλεως, διασπαρέντων, σκότους ὄντος, εἴς τι τῶν ἐπαυλίων αὐτοῦ, Σολλώνιον, κατέφυγε. Καὶ τὸν μὲν υἱὸν ἔπεμψεν, ἐκ τῶν Μουκίου τοῦ πενθεροῦ χωρίων, οὐ μακρὰν ὄντων, τὰ ἐπιτήδεια λησόμενον· αὐτὸς δὲ καταβὰς εἰς Ὄστιαν, φίλου τινὸς Νουμερίου πλοῖον αὐτῷ παρασκευάσαντος, οὐκ ἀναμείνας τὸν υἱὸν, ἀλλὰ Γρά-

Digitized by Google

νιον ἔχων μεθ' αὑτοῦ τὸν πρόγονον, ἐξέπλευσεν. Ὁ δὲ νεανίας, ὡς ἦλθεν εἰς τὰ χωρία τοῦ Μουνίου, καὶ λαμβάνων τι καὶ σκευοζόμενος, ἡμέρας καταλαβούσης, οὐ παντάπασι τοὺς πολεμίους διέλαθεν, ἀλλ' ἦλθον ἱππεῖς ἐλαύνοντες καθ' ὑπόνοιαν ἐπὶ τὸν τόπον· οὓς ὁ τῶν ἀγρῶν ἐπιμελητὴς προϊδόμενος, ἔκρυψε τὸν Μάριον ἐν ἁμάξῃ κυάμους ἀγούσῃ, καὶ βοῦς ὑποζεύξας, ἀπήντα τοῖς ἱππεῦσιν, εἰς πόλιν ἐλαύνων τὴν Μιντουρνῶν. Οὕτω δὴ πρὸς τὴν οἰκίαν τῆς γυναικὸς ὁ Μάριος διακομισθεὶς, καὶ λαβὼν, ὅσων ἐδεῖτο, νυκτὸς ἐπὶ θάλασσαν ἦλθε, καὶ νεὼς ἐμβὰς εἰς Λιβύην πλεούσης ἀπεπέρασεν.

XXXVI. Ὁ δὲ πρεσβύτης Μάριος, ὡς ἀνήχθη, πνεύματι φορῷ κομιζόμενος παρὰ τὴν Ἰταλίαν, ἐφοβήθη Γεμίνιόν τινα τῶν ἐν Ταῤῥακίνῃ δυνατῶν, ἐχθρὸν αὐτοῦ, καὶ τοῖς ναύταις προεῖπεν εἴργεσθαι Ταῤῥακίνης. Οἱ δ' ἐβούλοντο μὲν αὐτῷ χαρίζεσθαι, τοῦ δὲ πνεύματος εἰς πελάγιον μεθισταμένου, καὶ κλύδωνα κατάγοντος πολὺν, οὔτε τὸ πορθμεῖον ἐθέλει περικλυζόμενον ἀνθέξειν, τοῦ τε Μαρίου δυσφοροῦντος καὶ κακῶς ἔχοντος ὑπὸ ναυτίας, μόλις ἀντιλαμβάνονται τῶν περὶ τὸ Κίρκαιον αἰγιαλῶν. Τοῦ δὲ χειμῶνος αὐξανομένου, καὶ τῶν σιτίων ἐπιλειπόντων, ἐκβάντες, ἐπλάζοντο πρὸς οὐδένα σκοπὸν, ἀλλ' οἷα συμβαίνει ταῖς μεγάλαις ἀπορίαις, ἀεὶ φεύγειν ἐκ τοῦ παρόντος ὡς χαλεπωτάτου, καὶ τὰς ἐλπίδας ἔχειν ἐν τοῖς ἀδήλοις. Ἐπεὶ πολεμία μὲν ἐ-

Digitized by Google

κείνοις ἡ γῆ, πολεμία δὲ ἡ θάλασσα, φοβερὸν δ' ἦν ἀνθρώποις περιπεσεῖν, φοβερὸν δὲ καὶ μὴ περιπεσεῖν δι' ἔνδειαν τῶν ἀναγκαίων. Οὐ μὴν ἀλλ' ὑψό που βοτῆρσιν ὀλίγοις ἐντυγχάνουσιν, οἳ δοῦναι μὲν οὐδὲν ἔσχον αὐτοῖς δεομένοις, γνωρίσαντες δὲ τὸν Μάριον, ἐκέλευον ἀπαλλάττεσθαι τὴν ταχίστην· ὀλίγον γὰρ ἔμπροσθεν αὐτόθι κατὰ ζήτησιν αὐτοῦ συχνοὺς ἱππέας ὀφθῆναι διεξελαύνοντας. Ἐν παντὶ δὴ γεγονὼς ἀπορίας, μάλιστα δὲ νηστείᾳ τῶν περὶ αὐτὸν ἀπαγορευόντων, τότε μὲν ἐκτραπόμενος τῆς ὁδοῦ, καὶ καταβαλὼν ἑαυτὸν εἰς ὕλην βαθεῖαν, ἐπιπόνως διενυκτέρευσε. Τῇ δ' ὑστεραίᾳ συνηγμένος ὑπ' ἐνδείας, καὶ τῷ σώματι, πρὶν ἐκλελύσθαι παντάπασι, χρήσασθαι βουλόμενος, ἐχώρει παρὰ τὸν αἰγιαλόν, ἐπιθαρσύνων τοὺς ἑπομένους, καὶ δεόμενος μὴ προαποκάμνειν τῆς τελευταίας ἐλπίδος, ἐφ' ἣν ἑαυτὸν φυλάττει μαντεύμασι παλαιοῖς πιστεύων. Νέος γὰρ ὢν ἔτι παντελῶς, καὶ διατρίβων κατ' ἀγρὸν, ὑποδέξασθαι τῷ ἱματίῳ καταφερομένην ἀετοῦ νεοττιὰν, ἑπτὰ νεοττοὺς ἔχουσαν. Ἰδόντας δὲ τοὺς γονεῖς καὶ θαυμάσαντας διαπυνθάνεσθαι τῶν μάντεων· τοὺς δ' εἰπεῖν, ὡς ἐπιφανέστατος ἀνθρώπων ἔσοιτο· καὶ τὴν μεγίστην ἡγεμονίαν καὶ ἀρχὴν ἑπτάκις αὐτὸν λαβεῖν ἀναγκαῖον εἴη. Ταῦτα οἱ μὲν ἀληθῶς τῷ Μαρίῳ συντυχεῖν οὕτω λέγουσιν· οἱ δὲ τοὺς τότε καὶ παρὰ τὴν ἄλλην φυγὴν ἀκούσαντας αὐτοῦ καὶ πιστεύσαντας, ἀναγράψαι πρᾶγμα κομιδῇ μυθῶδες. Ἀετὸς γὰρ οὐ τίκτει πλείονα τοῖν

Digitized by Google

δυοῖν· ἀλλὰ καὶ Μουσαῖον ἐφεῦσθαι λέγουσιν, εἰπόντα περὶ τοῦ ἄετοῦ,

Ὃς τρία μὲν νικᾷ, δύο δ' ἐλλείπει, ἓν δ' ἀλεγίζει.

Τὸ μέντοι πολλάκις ἐν τῇ φυγῇ καὶ ταῖς ἐσχάταις ἀπορίαις Μάριον εἰπεῖν, ὡς ἄχρις ἑβδόμης ὑπατείας πρόεισιν, ὁμολογούμενόν ἐστιν.

XXXVII. Ἤδη δὲ Μιντοῦρνης, πόλεως Ἰταλικῆς, ὅσον εἴκοσι σταδίων ἀπέχοντες, ὁρῶσιν ἵππέων ἴλην πρόσωθεν ἐλαύνοντας ἐπ' αὐτούς, καὶ κατὰ τύχην ὁλκάδας δύο φερομένας. Ὡς οὖν ἕκαστος ποδῶν εἶχε καὶ ῥώμης, καταδραμόντες ἐπὶ τὴν θάλασσαν, καὶ καταβαλόντες ἑαυτοὺς προσενήχοντο ταῖς ναυσί. Καὶ λαβόμενοι τῆς ἑτέρας οἱ περὶ τὸν Γράνιον, ἀπεπέρασαν εἰς τὴν ἀντικρὺ νῆσον, ἣ Αἰναρία καλεῖται· αὐτὸν δὲ Μάριον, βαρὺν ὄντα τῷ σώματι καὶ δυσμεταχείριστον, οἰκέται δύο μόλις καὶ χαλεπῶς ὑπὲρ τῆς θαλάσσης ἐξάραντες, εἰς τὴν ἑτέραν ἔθεντο ναῦν, ἤδη τῶν ἱππέων ἐφεστώτων, καὶ διακελευομένων ἀπὸ γῆς τοῖς ναύταις κατάγειν τὸ πλοῖον, ἢ τὸν Μάριον ἐκβαλόντας, αὐτοὺς ἀποπλεῖν, ὅποι χρήζοιεν. Ἱκετεύοντος δὲ τοῦ Μαρίου καὶ δακρύοντος, οἱ κύριοι τῆς ὁλκάδος, ὡς ἐν ὀλίγῳ, πολλὰς ἐπ' ἀμφότερα τῆς γνώμης τροπὰς λαβόντες, ὅμως ἀπεκρίναντο τοῖς ἱππεῦσι μὴ προέσθαι τὸν Μάριον. Ἐκείνων δὲ πρὸς ὀργὴν ἀπελασάντων, αὖθις ἑτέρων γενόμενοι λογισμῶν, κατεφέροντο πρὸς τὴν γῆν· καὶ περὶ τὰς ἐκβολὰς τοῦ Λίριος ποταμοῦ, διάχυσιν λιμνώδη λαμβάνοντος, ἀγκύρας βαλόμενοι,

Digitized by Google

παρεκέλευν αὐτὸν ἐκβῆναι, καὶ τροφὴν ἐπὶ γῆς λαβεῖν, καὶ τὸ σῶμα θεραπεῦσαι κεκακωμένον, ἄχρις οὗ φορὰ γένηται· γίγνεσθαι δὲ τὴν εἰωθυῖαν ὥραν, τοῦ πελαγίου μαραινομένου, καὶ τῶν ἑλῶν αὔραν ἀναδιδόντων ἐπιεικῶς διαρκῆ. Ταῦτα πεισθεὶς ὁ Μάριος ἔπραττε, καὶ τῶν ναυτῶν ἐξελομένων αὐτὸν ἐπὶ τὴν γῆν, κατακλινεὶς ἔν τινι πόρρωτάτω τοῦ μέλλοντος εἶχε τὴν διάνοιαν. Οἱ δ', εὐθὺς ἐπιβάντες ἐπὶ τὴν ναῦν, καὶ τὰς ἀγκύρας ἀναλαβόντες, ἔφευγον, ὡς οὔτε καλὸν ὂν ἐκδοῦναι τὸν Μάριον αὐτοῖς, οὔτε σώζειν ἀσφαλές. Οὕτω δὴ πάντων ἔρημος ἀπολειφθεὶς, πολὺν μὲν χρόνον ἄναυδος ἐπὶ τῆς ἀκτῆς ἔκειτο, μόλις δέ πως ἀναλαβὼν ἑαυτὸν ἐπορεύετο ταλαιπώρως ἀνοδίαις· καὶ διεξελθὼν ἕλη βαθέα, καὶ τάφρους ὕδατος καὶ πηλοῦ γεμούσας, ἐπιτυγχάνει καλύβῃ λιμνουργοῦ γέροντος, ὃν περιπεσὼν ἱκέτευε γενέσθαι σωτῆρα καὶ βοηθὸν ἀνδρὸς, εἰ διαφύγοι τὰ παρόντα, μείζονας ἐλπίδων ἀμοιβὰς ἀποδώσοντος. Ὁ δ' ἄνθρωπος, εἴτε πάλαι γινώσκων, εἴτε πρὸς τὴν ὄψιν ὡς κρεῖττονα θαυμάσας, ἀναπαύσασθαι μὲν ἔφη δεομένῳ τὸ σκηνύδριον ἐξαρκεῖν· εἰ δέ τινας ὑποφεύγων πλάζοιτο, κρύψειν αὐτὸν ἐν τόπῳ μᾶλλον ἡσυχίαν ἔχοντι. Τοῦ δὲ Μαρίου δεηθέντος οὕτω ποιεῖν, ἄγαγὼν αὐτὸν εἰς τὸ ἕλος, καὶ πῆξαι κελεύσας ἐν χωρίῳ κοίλῳ παρὰ τὸν ποταμὸν, ἐπέβαλε τῶν τε καλάμων πολλοὺς, καὶ τῆς ἄλλης ἐπιφέρων ὕλης, ὅση κούφη καὶ περιπέσειν ἀβλαβῶς δυναμένη.

Digitized by Google

XXXVIII. Χρόνου δ' οὐ πολλοῦ διαγενομένου, ψόφος αὐτῷ καὶ θόρυβος ἀπὸ τῆς καλύβης προσέπεσεν. Ὁ γὰρ Γεμίνιος ἐκ Ταῤῥακίνης ἔπεμψε πολλοὺς ἐπὶ τὴν δίωξιν. Ὧν ἔνιοι κατὰ τύχην ἐκεῖ προσελθόντες, ἐξεφόβουν καὶ κατεβόων τοῦ γέροντος, ὡς ὑποδεξαμένου καὶ κατακρύπτοντος πολέμιον Ῥωμαίων. Ἐξαναστὰς οὖν ὁ Μάριος, καὶ ἀποδυσάμενος, καθῆκεν ἑαυτὸν εἰς τὴν λίμνην, ὕδωρ παχὺ καὶ τελματῶδες ἔχουσαν. Ὅθεν οὐ διέλαθε τοὺς ζητοῦντας, ἀλλ' ἀνασπασθεὶς βορβόρου κατάπλεως καὶ γυμνός, εἰς Μιντούρνας ἀνήχθη, καὶ παρεδόθη τοῖς ἄρχουσιν. Ἦν γὰρ εἰς ἅπασαν ἤδη πόλιν ἐξενηνεγμένον παράγγελμα περὶ τοῦ Μαρίου, δημοσίᾳ διώκειν καὶ κτείνειν τοὺς λαβόντας. Ὅμως δὲ βουλεύσασθαι πρότερον ἐδόκει τοῖς ἄρχουσι· καὶ κατατίθενται τὸν Μάριον εἰς οἰκίαν Φαννίας γυναικός, οὐκ εὐμενῶς δοκούσης ἔχειν πρὸς αὐτὸν ἐξ αἰτίας παλαιᾶς. Ἦν γὰρ ἀνὴρ τῇ Φαννίᾳ Τίννιος· τούτου διαστᾶσα τὴν φερνὴν ἀπῄτει λαμπρὰν οὖσαν. Ὁ δὲ μοιχείαν ἐνεκάλει· καὶ γίνεται Μάριος, ὑπατεύων τὸ ἕκτον, δικαστής. Ἐπεὶ δὲ, τῆς δίκης λεγομένης, ἐφαίνετο καὶ τὴν Φαννίαν ἀκόλαστον γεγονέναι, καὶ τὸν ἄνδρα τοιαύτην εἰδότα λαβεῖν καὶ συμβιῶσαι πολὺν χρόνον, ἀμφοτέρους δυσχεράνας, τὸν μὲν ἄνδρα τὴν φερνὴν ἐκέλευσεν ἀποδοῦναι, τῆς δὲ γυναικὸς, ἀτιμίας ἕνεκα, τῇ καταδίκῃ χαλκοῦς τέσσαρας προσετίμησεν. Οὐ μὴν ἥ γε Φαννία τότε πάθος γυναικὸς ἠδικημένης ἔλαβεν, ἀλλ', ὡς εἶδε τὸν

Digitized by Google

Μάριον, ῥᾳθυμοτάτου γενομένου τοῦ μνησικακεῖν, ἐκ τῶν παρόντων ἐπεμελεῖτο, καὶ παρεθάῤῥυνεν αὐτόν. Ὁ δὲ κἀκείνην ἐπῄνει καὶ θαῤῥεῖν ἔφασκε· σημεῖον γὰρ αὐτῷ γεγονέναι χρηστόν. Ἦν δὲ τοιοῦτον. Ὡς ἀγόμενος πρὸς τῇ οἰκίᾳ τῆς Φαννίας ἐγεγόνει, τῶν θυρῶν ἀνοιχθεισῶν, ὄνος ἔνδοθεν ἐχώρει δρόμῳ πιόμενος ἀπὸ κρήνης ἐγγὺς ἀποῤῥεούσης. Προσβλέψας δὲ τῷ Μαρίῳ λαμυρόν τι καὶ γεγηθὸς, ἔστη πρῶτον ἐναντίον, εἶτα φωνὴν ἀφῆκε λαμπρὰν, καὶ παρεσκίρτησε παρ' αὐτὸν ὑπὸ γαυρότητος. Ἐξ οὗ συμβαλὼν ὁ Μάριος, ἔφασκεν, ὡς διὰ θαλάσσης αὐτῷ μᾶλλον, ἢ διὰ γῆς, ὑποδείκνυσι σωτηρίαν τὸ δαιμόνιον· τὸν γὰρ ὄνον σὺ προσέχοντα τῇ ξηρᾷ τροφῇ, πρὸς τὸ ὕδωρ ἀπ' αὐτοῦ τραπέσθαι. Ταῦτα διαλεχθεὶς τῇ Φαννίᾳ, καθ' αὑτὸν ἀνεπαύετο, τὴν θύραν τοῦ δωματίου προσθεῖναι κελεύσας.

XXXIX. Βουλευομένοις δὲ τοῖς ἄρχουσι καὶ συνέδροις τῶν Μιντουρνησίων, ἔδοξε μὴ μέλλειν, ἀλλὰ διαχρήσασθαι τὸν ἄνδρα. Καὶ τῶν μὲν πολιτῶν οὐδεὶς ὑπέστη τὸ ἔργον, ἱππεὺς δὲ, Γαλάτης τὸ γένος, ἢ Κίμβρος (ἀμφοτέρως γὰρ ἱστορεῖται), λαβὼν ξίφος, ἐπεισῆλθεν αὐτῷ. Τοῦ δ' οἰκήματος, ἐν ᾧ ἔτυχε μέρει κατακείμενος, οὐ πάνυ λαμπρὸν φῶς ἔχοντος, ἀλλ' ὄντος ἐπισκίου, λέγεται τὰ μὲν ὄμματα τοῦ Μαρίου φλόγα πολλὴν ἐκβάλλοντα τῷ στρατιώτῃ φανῆναι, φωνὴν δὲ μεγάλην ἐκ τοῦ ἐπισκίου γενέσθαι, „ Σὺ δὴ τολμᾷς, ἄνθρωπε, Γάϊον Μάριον ἀναιρεῖν;“ Ἐξῆλθεν οὖν εὐθὺς ὁ βάρβαρος

Digitized by Google

φυγῇ, καὶ τὸ ξίφος ἐν μέσῳ καταβαλὼν, ἐχώρει διὰ θυρῶν, τοῦτο μόνον βοῶν· „Οὐ δύναμαι Γάϊον Μάριον ἀποκτεῖναι.“ Πάντας οὖν ἔκπληξις ἔσχεν, εἶτ' οἶκτος καὶ μετάνοια τῆς γνώμης, καὶ κατάμεμψις ἑαυτῶν, ὡς βούλευμα βεβουλευκότων ἄνομον καὶ ἀχάριστον ἐπ' ἀνδρὶ σωτῆρι τῆς Ἰταλίας, ᾧ μὴ βοηθῆσαι δεινὸν ἦν. „Ἴτω δ' οὖν ὅπη χρήζει φυγὰς, ἀνατλησόμενος ἀλλαχόθι τὸ πεπρωμένον. Ἡμεῖς δ' εὐχώμεθα μὴ νεμεσῆσαι θεοὺς Μάριον ἄπορον καὶ γυμνὸν ἐκ τῆς πόλεως ἐκβαλοῦσιν.“ Ὑπὸ τοιούτων λογισμῶν εἰσπεσόντες ἀθρόοι καὶ περισχόντες αὐτὸν, ἐξῆγον ἐπὶ τὴν θάλασσαν. Ἄλλου δ' ἄλλο τι προθύμως ὑπηρετοῦντος, καὶ σπευδόντων ἁπάντων, ἐγίνετο τριβὴ τοῦ χρόνου. Τὸ γὰρ τῆς λεγομένης Μαρίκας ἄλσος, ὃ σέβονται, καὶ παραφυλάττουσι μηθὲν ἐκεῖθεν ἐκκομισθῆναι τῶν εἰσκομισθέντων, ἐμποδὼν ἦν τῆς ἐπὶ θάλασσαν ὁδοῦ, καὶ κύκλῳ περιϊόντας ἔδει βραδύνειν· ἄχρις οὗ τῶν πρεσβυτέρων τις ἐμβοήσας, ἔφη, μηδεμίαν ἄβατον, μηδ' ἀπόρευτον ὁδὸν εἶναι, δι' ἧς σώζεται Μάριος. Καὶ πρῶτος αὐτὸς, λαβών τι τῶν νομιζομένων ἐπὶ ναῦν, διὰ τοῦ τόπου διεξῆλθε.

XL. Τοιαύτῃ δὲ προθυμίᾳ ταχὺ πάντων συμπορισθέντων, καὶ Βηλαίου τινὸς ναῦν τῷ Μαρίῳ παρασχόντος, ὕστερον πίνακα τῶν πράξεων ἐκείνων γραψάμενος ἀνέθηκεν εἰς τὸ ἱερόν. Ὅθεν ἐμβὰς ὁ Μάριος, ἀνήχθη τῷ πνεύματι φερόμενος. Ἐφέρετο δέ πως κατὰ τύχην πρὸς Αἰναρίαν τὴν νῆσον, ὅπου

Digitized by Google

τὸν Γράνιον καὶ τοὺς ἄλλους φίλους εὑρὼν, ἔπλει μετ' αὐτῶν ἐπὶ Λιβύης. Ὕδατος δ' ἐπιλιπόντος αὐτοὺς, ἀναγκαίως Σικελίᾳ κατὰ τὴν Ἐρυκίνην προσέσχον. Ἔτυχε δὲ περὶ τοὺς τόπους ἐκείνους ὁ Ῥωμαίων ταμίας παραφυλάσσων, καὶ μικροῦ μὲν αὐτὸν ἀποβάντα τὸν Μάριον εἷλεν, ἀπέκτεινε δὲ περὶ ἑκκαίδεκα τῶν ὑδρευομένων. Μάριος δὲ, κατὰ σπουδὴν ἀναχθεὶς, καὶ διαπεράσας τὸ πέλαγος πρὸς Μήνιγγα τὴν νῆσον, ἐνταῦθα διαπυνθάνεται πρῶτον, ὡς ὁ παῖς αὐτοῦ διασέσωσται μετὰ Κεθήγου, καὶ πορεύονται πρὸς τὸν βασιλέα τῶν Νομάδων, Ἰάμψαν, δεησόμενοι βοηθεῖν. Ἐφ' οἷς μικρὸν ἀναπνεύσας, ἐθάῤῥησεν ἀπὸ τῆς νήσου πρὸς τὴν Καρχηδονίαν προσβαλεῖν. Ἐστρατήγει δὲ τῆς Λιβύης τότε Σεξτίλιος, ἀνὴρ Ῥωμαῖος, οὔτε φαῦλον οὐδὲν, οὔτε χρηστὸν ἐκ Μαρίου προειληφὼς, ἀλλ' ὅσον ἀπ' οἴκτου τι προσδοκώμενος ὠφελήσειν. Ἄρτι δ' αὐτοῦ μετ' ὀλίγων ἀποβεβηκότος, ὑπηρέτης ἀπαντήσας καὶ καταστὰς ἐναντίον, εἶπεν· „Ἀπαγορεύει σοι Σεξτίλιος ὁ στρατηγὸς, ὦ Μάριε, Λιβύης μὴ ἐπιβαίνειν· εἰ δὲ μὴ, φησὶν ἀμυνεῖν τοῖς τῆς βουλῆς δόγμασιν, ὡς Ῥωμαίων πολεμίῳ χρώμενος.“ Ταῦτ' ἀκούσαντα τὸν Μάριον ὑπὸ λύπης καὶ βαρυθυμίας ἀπορία λόγων ἔσχε, καὶ πολὺν χρόνον ἡσυχίαν ἦγε, δεινὸν εἰς τὸν ὑπηρέτην ἀποβλέπων. Ἐρομένου δ' ἐκείνου, τί φράζει, καὶ τί λέγει πρὸς τὸν στρατηγὸν, ἀπεκρίνατο μέγα στενάξας· „Ἄγγελλε τοίνυν, ὅτι Γάϊον Μάριον ἐν τοῖς Καρχηδόνος ἐρειπίοις φυγά-

Digitized by Google

δα καθεζόμενον εἶδες," οὐ κακῶς ἅμα τήν τε τῆς πόλεως ἐκείνης τύχην καὶ τὴν ἑαυτοῦ μεταβολὴν ἐν παραδείγματος λόγῳ θέμενος. Ἐν τούτῳ δ' Ἰάμψας, ὃ βασιλεὺς τῶν Νομάδων, ἐπαμφοτερίζων τοῖς λογισμοῖς, ἐν τιμῇ μὲν ἦγε τοὺς περὶ τὸν νέον Μάριον, ἀπιέναι δὲ βουλομένους ἔκ τινος ἀεὶ προφάσεως κατεῖχε· καὶ δῆλος ἦν ἐπ' οὐδενὶ χρηστῷ ποιούμενος τὴν ἀναβολήν. Οὐ μὴν ἀλλὰ συμβαίνει τι τῶν εἰκότων αὐτοῖς πρὸς σωτηρίαν. Ὁ γὰρ νέος Μάριος, εὐπρεπὴς ὢν τὴν ὄψιν, ἠνία τινὰ τῶν παλλακίδων τοῦ βασιλέως παρ' ἀξίαν πράττων· ὁ δ' οἶκτος οὗτος ἀρχὴ καὶ πρόφασις ἦν ἔρωτος. Τὸ μὲν οὖν πρῶτον ἀπετρίβετο τὴν ἄνθρωπον· ὡς δ' οὔτε φυγῆς ἑτέραν ὁδὸν εἴρα, καὶ τὰ παρ' ἐκείνης σπουδαιότερον, ἢ πρὸς ἡδονὴν ἀκύλαστον διεπράττετο, δεξάμενος τὴν φιλοφροσύνην, καὶ συνεκπεμφθεὶς ὑπ' αὐτῆς, ἀπέδρα μετὰ τῶν φίλων, καὶ διέφυγε πρὸς τὸν Μάριον. Ἐπεὶ δ' ἀλλήλους ἠσπάσαντο, πορευόμενοι παρὰ τὴν θάλασσαν, ἐντυγχάνουσι σκορπίοις μαχομένοις· καὶ τὸ σημεῖον ἐφάνη τῷ Μαρίῳ πονηρόν. Εὐθὺς οὖν ἐπιβάντες ἁλιάδος, εἰς Κέρκιναν διεπέρων, νῆσον ἀπέχουσαν οὐ πολὺ τῆς ἠπείρου· καὶ τοσοῦτον ἔφθασαν, ὅσον ἀνηγμένων αὐτῶν ἵππεῖς ὁρᾶσθαι παρὰ τοῦ βασιλέως ἐλαύνοντας ἐπὶ τὸν τόπον, ὅθεν ἀνήχθησαν. Τοῦτον οὐδενὸς ἐλάττονα κίνδυνον ἔδοξεν ἐκφυγεῖν ὁ Μάριος.

XLI. Ἐν δὲ Ῥώμῃ Σύλλας μὲν ἠκούετο τοῖς

Digitized by Google

Μιθριδάτου πολεμεῖν στρατηγοῖς περὶ Βοιωτίαν. Οἱ δ' ὕπατοι στασιάσαντες ἐχώρουν εἰς ὅπλα· καὶ μάχης γενομένης, Ὀκτάβιος μὲν κρατήσας ἐξέβαλε Κίνναν, ἐπιχειροῦντα τυραννικώτερον ἄρχειν, καὶ κατέστησεν ἀντ' αὐτοῦ Κορνήλιον Μερουλᾶν ὕπατον. Ὁ δὲ Κίννας ἐκ τῆς ἄλλης Ἰταλίας συναγαγὼν δύναμιν, ἐπολέμει πρὸς αὐτούς. Ταῦτα τῷ Μαρίῳ πυνθανομένῳ, πλεῦσαι τὴν ταχίστην ἐφαίνετο· καὶ παραλαβὼν ἐκ τῆς Λιβύης Μαυρουσίων τινὰς ἱππότας, καὶ τῶν ἀπὸ τῆς Ἰταλίας τινὰς καταφερομένων, συναμφοτέρους οὐ πλείονας χιλίων γενομένους, μεθ' ὧν ἀνήχθη. Προσβαλὼν δὲ Τελαμῶνι τῆς Τυρρηνίας, καὶ ἀποβὰς, ἐκήρυττε δούλοις ἐλευθερίαν· καὶ τῶν αὐτόθι γεωργούντων καὶ νεμόντων ἐλευθέρων κατὰ δόξαν αὐτοῦ συντρεχόντων ἐπὶ τὴν θάλασσαν, ἀναπείθων τοὺς ἀκμαιοτάτους, ἐν ἡμέραις ὀλίγαις χεῖρα μεγάλην ἤθροισε, καὶ τεσσαράκοντα ναῦς ἐπλήρωσεν. Εἰδὼς δὲ τὸν μὲν Ὀκτάβιον ἄνδρα ἄριστον, καὶ τῷ δικαιοτάτῳ τρόπῳ βουλόμενον ἄρχειν, τὸν δὲ Κίνναν ὑποπτόν τε τῷ Σύλλᾳ, καὶ πολεμοῦντα τῇ καθεστώσῃ πολιτείᾳ, τούτῳ προσνέμειν ἑαυτὸν ἔγνω μετὰ τῆς δυνάμεως. Ἔπεμψεν οὖν, ἐπαγγελλόμενος ὡς ὑπάτῳ πάντα ποιήσειν τὰ προστασσόμενα. Δεξαμένου δὲ τοῦ Κίννα, καὶ προσαγορεύσαντος αὐτὸν ἀνθύπατον, ῥάβδους δὲ καὶ τἆλλα παράσημα τῆς ἀρχῆς ἀποστείλαντος, οὐκ ἔφη πρέπειν αὐτοῦ ταῖς τύχαις τὸν κόσμον, ἀλλ' ἐσθῆτι φαύλῃ κεχρημένος, καὶ κομῶν, ἀφ' ἧς ἔφυγεν ἡμέ-

Digitized by Google

ρας, ὑπὲρ ἑβδομήκοντα γεγονὼς ἔτη, βάδην προῆει, βουλόμενος μὲν ἐλεεινὸς εἶναι, τῷ δ' οἰκτῳ συμμέμικτο τὸ οἰκεῖον τῆς ὄψεως αὐτοῦ πλέον τὸ φοβερόν· καὶ διέφαινεν ἡ κατήφεια τὸν θυμὸν οὐ τεταπεινωμένον, ἀλλ' ἐξηγριωμένον ὑπὸ τῆς μεταβολῆς.

XLII. Ἀσπασάμενος δὲ τὸν Κίνναν, καὶ τοῖς στρατιώταις ἐντυχών, εὐθὺς εἴχετο τοῦ ἔργου, καὶ μεγάλην μεταβολὴν τῶν πραγμάτων ἐποίησε. Πρῶτον μὲν γὰρ ταῖς ναυσὶ τὰ σιτηγὰ περικόπτων, καὶ τοὺς ἐμπόρους λῃζόμενος, ἐκράτησε τῆς ἀγορᾶς. Ἔπειτα τὰς παραλίους πόλεις ἐπιπλέων ἥρει. Τέλος δὲ τὴν Ὥστιαν αὐτὴν λαβὼν ἐκ προδοσίας, τά τε χρήματα διήρπασε, καὶ τῶν ἀνθρώπων τοὺς πολλοὺς ἀπέκτεινε· καὶ γεφυρώσας τὸν ποταμὸν, ἀπέκοψε κομιδῇ τὰς ἐκ θαλάσσης εὐπορίας τῶν πολεμίων. Ἅρας δὲ τῷ στρατῷ, πρὸς τὴν πόλιν ἐχώρει, καὶ τὸ καλούμενον Ἰανοῦκλον ὄρος κατέσχεν· οὐ τοσοῦτον ἀπειρίᾳ τοῦ Ὀκταβίου τὰ πράγματα βλάπτοντος, ὅσον ἀκριβείᾳ τῶν δικαίων προϊεμένου τὰ χρειώδη, παρὰ τὸ συμφέρον. Ὅς γε, πολλῶν κελευόντων αὐτὸν ἐπ' ἐλευθερίᾳ καλεῖν τοὺς οἰκέτας, οὐκ ἔφη δούλοις μεταδώσειν τῆς πατρίδος, ἧς Γάϊον Μάριον εἴργει τοῖς νόμοις ἀμύνων. Ἐπεὶ δὲ Μέτελλος, υἱὸς ὢν Μετέλλου τοῦ στρατηγήσαντος ἐν Λιβύῃ, καὶ διὰ Μάριον ἐκπεσόντος, ἦκεν εἰς Ῥώμην, καὶ πολὺ τοῦ Ὀκταβίου στρατηγικώτερος ἐφαίνετο, καταλιπόντες οἱ στρατιῶται τὸν Ὀκτάβιον, ἦκον ὡς ἐκεῖ-

Digitized by Google

νον, ἄρχειν δεόμενοι καὶ σώζειν τὴν πόλιν. Εὖ γὰρ ἀγωνιεῖσθαι καὶ κρατήσειν, ἔμπειρον ἡγεμόνα καὶ δραστήριον λαβόντες. Ἀγανακτήσαντος δὲ τοῦ Μετέλλου, καὶ κελεύσαντος ἀπιέναι πρὸς τὸν ὕπατον, ᾤχοντο πρὸς τοὺς πολεμίους. Ἔπεξέστη δὲ καὶ Μέτελλος, ἀπογνοὺς τὴν πόλιν. Ὀκτάβιον δὲ Χαλδαῖοι καὶ θῦταί τινες καὶ σιβυλλισταὶ πείσαντες, ἐν Ῥώμῃ κατέσχον, ὡς εὖ γενησομένων. Ὁ γὰρ ἀνὴρ οὗτος δοκεῖ, τἆλλα Ῥωμαίων εὐγνωμονέστατος γενόμενος, καὶ μάλιστα δὴ τὸ πρόσχημα τῆς ὑπατείας ἀκολάκευτον ἐπὶ τῶν πατρίων ἐθῶν καὶ νόμων, ὥσπερ διαγραμμάτων ἀμεταβόλων, φυλάξας, ἀῤῥωστίᾳ τῇ περὶ ταῦτα χρήσασθαι, πλείονα δὲ συνὼν χρόνον ἀγύρταις καὶ μάντεσιν, ἢ πολιτικοῖς καὶ πολεμικοῖς ἀνδράσιν. Οὗτος μὲν οὖν, πρὶν εἰσελθεῖν τὸν Μάριον, ὑπὸ τῶν προπεμφθέντων ἀπὸ τοῦ βήματος κατασπασθεὶς ἐσφέττετο· καὶ λέγεται διάγραμμα Χαλδαϊκὸν ἐν τοῖς κόλποις αὐτοῦ φονευθέντος εὑρεθῆναι. Καὶ τὸ πρᾶγμα πολλὴν ἀλογίαν εἶχε, τὸ δυοῖν ἡγεμόνοιν ἐπιφανεστάτων, Μάριον μὲν ὀρθῶσαι τὸ μὴ καταφρονῆσαι μαντικῆς, Ὀκτάβιον δ' ἀπολέσαι.

XLIII. Οὕτω δὴ τῶν πραγμάτων ἐχόντων, ἡ βουλὴ συνελθοῦσα, πρέσβεις ἐξέπεμψε πρὸς Κίνναν καὶ Μάριον, εἰσιέναι καὶ φείδεσθαι δεομένη τῶν πολιτῶν. Κίννας μὲν οὖν, ὡς ὕπατος, ἐπὶ τοῦ δίφρου καθήμενος ἐχρημάτιζε, καὶ φιλανθρώπους ἀποκρίσεις ἔδωκε τοῖς πρέσβεσι. Μάριος δὲ τῷ δί-

Digitized by Google

φρῳ παρειστήκει, φθεγγόμενος μὲν οὐδέν, ὑποδηλῶν δ' ἀεὶ τῇ βαρύτητι τοῦ προσώπου, καὶ τῇ στυγνότητι τοῦ βλέμματος, ὡς εὐθὺς ἐμπλήσων φόνων τὴν πόλιν. Ἐπεὶ δ' ἀναστάντες ἐβάδιζον, Κίννας μὲν εἰσῄει δορυφορούμενος, Μάριος δὲ παρὰ ταῖς πύλαις ὑποστὰς εἰρωνεύετο πρὸς ὀργήν, φυγὰς εἶναι λέγων καὶ τῆς πατρίδος εἴργεσθαι κατὰ τὸν νόμον· εἰ δὲ χρῄζοι τις αὐτοῦ παρόντος, ἑτέρᾳ ψήφῳ λυτέον εἶναι τὴν ἐκβάλλουσαν, ὡς δὴ νόμιμός τις ὢν ἀνὴρ, καὶ κατιὼν εἰς πόλιν ἐλευθέραν. Ἐκάλει δὴ τὸ πλῆθος εἰς ἀγοράν, καὶ πρὸ τοῦ τρεῖς, ἢ τέσσαρας φυλὰς ἐνεγκεῖν τὴν ψῆφον, ἀφεὶς τὸ πλάσμα καὶ τὴν φυγαδικὴν ἐκείνην δικαιολογίαν, κατῄει δορυφόρους ἔχων λογάδας ἐκ τῶν προσπεφοιτηκότων δούλων, οὓς Βαρδιαίους προσηγόρευεν. Οὗτοι πολλοὺς μὲν ἀπὸ φωνῆς, πολλοὺς δ' ἀπὸ νεύματος ἀνῄρουν, προστάσσοντος αὐτοῦ· καὶ τέλος Ἀγχάριον, ἄνδρα βουλευτὴν καὶ στρατηγικὸν, ἐντυχχάνοντα τῷ Μαρίῳ καὶ μὴ προσαγορευθέντα, καταβάλλουσιν ἔμπροσθεν αὐτοῦ, ταῖς μαχαίραις τύπτοντες. Ἐκ δὲ τούτου καὶ τῶν ἄλλων ὅσους ἀσπασαμένους μὴ προσαγορεύσειε, μηδ' ἀνταspάσαιτο, τοῦτ' αὐτὸ σύμβολον ἦν ἀποσφάττειν εὐθὺς ἐν ταῖς ὁδοῖς· ὥστε καὶ τῶν φίλων ἕκαστον ἀγωνίας μεστὸν εἶναι καὶ φρίκης, ὁσάκις ἀσπασόμενοι τῷ Μαρίῳ πελάζοιεν. Κτεινομένων δὲ πολλῶν, Κίννας μὲν ἀμβλὺς ἦν καὶ μεστὸς ἤδη τοῦ φονεύειν, Μάριος δὲ καθ' ἑκάστην ἡμέραν ἀκμάζοντι τῷ θυμῷ καὶ διψῶντι διὰ πάντων ἐχώρει

Digitized by Google

τῶν ὁπωσοῦν ἐν ὑποψίᾳ γεγονότων. Καὶ πᾶσα μὲν ὁδὸς, πᾶσα δὲ πόλις τῶν διωκόντων καὶ κυνηγετούντων τοὺς ὑποφεύγοντας καὶ κεκρυμμένους ἔγεμεν. Ἠλέγχετο δὲ καὶ ξενίας καὶ φιλίας πίστις οὐδὲν ἔχουσα παρὰ τὰς τύχας βέβαιον· ὀλίγοι γὰρ ἐγένοντο παντάπασιν οἱ μὴ προδόντες αὐτοῖς τοὺς παρὰ σφᾶς καταφυγάντας. Ἄξιον οὖν ἄγασθαι καὶ θαυμάσαι τοὺς τοῦ Κορνούτου θεράποντας, οἳ τὸν δεσπότην ἀποκρύψαντες οἴκοι, νεκρὸν δέ τινα τῶν πολλῶν ἀναρτήσαντες ἐκ τοῦ τραχήλου, καὶ περιθέντες αὐτῷ χρυσοῦν δακτύλιον, ἐπεδείκνυον τοῖς Μαρίου δορυφόροις, καὶ κοσμήσαντες ὡς ἐκεῖνον αὐτὸν ἔθαπτον. Ὑπενόησε δ' οὐδείς, ἀλλ' οὕτω λαθὼν ὁ Κορνοῦτος ὑπὸ τῶν οἰκετῶν εἰς Γαλατίαν διεκομίσθη.

XLIV. Χρηστῷ δὲ καὶ Μάρκος Ἀντώνιος ὁ ῥήτωρ φίλῳ χρησάμενος, ἠτύχησεν. Ὁ γὰρ ἄνθρωπος ἦν μὲν πένης καὶ δημοτικὸς, ὑποδεξάμενος δὲ πρῶτον ἄνδρα Ῥωμαίων, καὶ φιλοφρονούμενος ἐκ τῶν παρόντων, οἰκέτην ἔπεμψε πρός τινα τῶν ἐγγὺς καπήλων, ληψόμενον οἶνον. Διαγευομένου δὲ ἐπιμελέστερον, καὶ βελτίονα μετρῆσαι κελεύοντος, ἠρώτησεν ὁ κάπηλος, ὅ τι παθὼν, οὐχὶ τοῦ νέου, ὥσπερ εἴωθεν, ὠνεῖται καὶ δημοτικοῦ, ἀλλὰ τοῦ σπουδαίου καὶ πολυτελοῦς. Ἁπλῶς δέ πως ἐκείνου φράσαντος, ὡς πρὸς συνήθη καὶ γνώριμον, ὅτι Μάρκον Ἀντώνιον ὁ δεσπότης ἑστιᾷ, παρ' αὐτῷ κρυπτόμενον, ἄσεβὴς καὶ μιαρὸς ὢν ὁ κάπηλος, ἅμα τῷ τὸν οἰκέτην ἀπελθεῖν, αὐτὸς συνέτεινε πρὸς Μάριον ἤδη περὶ

Digitized by Google

δεῖπνον ὄντα, καὶ προσαχθεὶς ὡμολόγησε παραδώσειν αὐτῷ τὸν Ἀντώνιον. Ἀκούσας οὖν ἐκεῖνος ἐκραγεῖν λέγεται μέγα, καὶ ταῖς χερσὶν ὑφ' ἡδονῆς ἀνακροτῆσαι. Καὶ μικροῦ μὲν ἐδέησεν ἐξαναστὰς αὐτὸς ἐπὶ τὸν τόπον φέρεσθαι· τῶν δὲ φίλων κατασχόντων, Ἄννιον ἔπεμπε, καὶ στρατιώτας μετ' αὐτοῦ, κελεύσας κατὰ τάχος τὴν κεφαλὴν τοῦ Ἀντωνίου κομίζειν. Ὡς οὖν ἦκον ἐπὶ τὴν οἰκίαν, ὁ μὲν Ἄννιος ὑπέστη παρὰ τὰς θύρας, οἱ δὲ στρατιῶται διὰ κλιμάκων ἀναβάντες εἰς τὸ δωμάτιον, καὶ θεασάμενοι τὸν Ἀντώνιον, ἄλλος ἄλλον ἐπὶ τὴν σφαγὴν ἀνθ' ἑαυτοῦ παρεκάλει καὶ προὐβάλλετο. Τοιαύτη δέ τις ἦν, ὡς ἔοικε, τοῦ ἀνδρὸς ἡ τῶν λόγων σειρὴν καὶ χάρις, ὥστ', ἀρξαμένου λέγειν καὶ παραιτεῖσθαι τὸν θάνατον, ἅψασθαι μὲν οὐδεὶς ἐτόλμησεν, οὐδ' ἀντιβλέψαι, κάτω δὲ κύψαντες ἐδάκρυον ἅπαντες. Διατριβῆς δὲ γενομένης, ἀναβὰς ὁ Ἄννιος ὁρᾷ τὸν μὲν Ἀντώνιον διαλεγόμενον, τοὺς δὲ στρατιώτας ἐκπεπληγμένους καὶ κατακεκηλημένους ὑπ' αὐτοῦ. Κακίσας οὖν ἐκείνους καὶ προσδραμών, αὐτὸς ἀποτέμνει τὴν κεφαλήν. Κάτλος δὲ Λουτάτιος, Μαρίῳ συνάρξας, καὶ συνθριαμβεύσας ἀπὸ Κίμβρων, ἐπεὶ πρὸς τοὺς δεομένους ὑπὲρ αὐτοῦ καὶ παραιτουμένους ὁ Μάριος τοσοῦτον μόνον εἶπεν, „Ἀποθανεῖν δεῖ," κατακλεισάμενος εἰς οἴκημα, καὶ πολλοὺς ἄνθρακας ἐκζωπυρήσας, ἀπεπνίγη. Ῥιπτουμένων δὲ τῶν σωμάτων ἀκεφάλων, καὶ πατουμένων ἐν ταῖς ὁδοῖς, ἔλεος οὐκ ἦν, ἀλλὰ φρίκη καὶ τρόμος ἁπάντων πρὸς τὴν ὄψιν. Ἤνία δὲ

Digitized by Google

μάλιστα τὸν δῆμον ἡ τῶν καλουμένων Βαρδιαίων ἀσέλγεια. Τοὺς γὰρ δεσπότας ἐν ταῖς οἰκίαις σφάττοντες, ἥσχυνον μὲν αὐτῶν παῖδας, ἐμίγνυντο δὲ βίᾳ ταῖς δεσποίναις· ἀκατάσχετοι δ' ἦσαν ἁρπάζοντες καὶ μιαιφονοῦντες, ἕως οἱ περὶ Κίνναν καὶ Σερτώριον συμφρονήσαντες, ἐπέθεντο κοιμωμένοις αὐτοῖς ἐν τῷ στρατοπέδῳ, καὶ κατηκόντισαν ἅπαντας.

XLV. Ἐν τούτῳ δὲ, ὥσπερ τροπαίας τινὸς ἀμειβούσης, ἐφοίτων ἀγγελίαι πανταχόθεν, ὡς Σύλλας συνῃρηκὼς τὸν Μιθριδατικὸν πόλεμον, καὶ τὰς ἐπαρχίας ἀνειληφὼς ἐπιπλέοι μετὰ πολλῆς δυνάμεως. Καὶ τοῦτο βραχεῖαν ἐπίσχεσιν ἐποίησε καὶ παῦλαν ὀλίγην ἀφάτων κακῶν, ὅσον οὔπω τὸν πόλεμον ἥκειν ἐπ' αὐτοὺς οἰομένων. Ὕπατος μὲν οὖν ἀπεδείχθη τὸ ἕβδομον Μάριος, καὶ προελθὼν αὐταῖς Καλάνδαις Ἰανουαρίαις, ἔτους ἀρχῇ, Σέξτον τινὰ Λουκῖνον κατεκρήμνισεν· ὃ κἀκείνοις καὶ τῇ πόλει τῶν αὖθις ἐδύκει κακῶν γενονέναι σημεῖον μέγιστον. Αὐτὸς δ' ἤδη, τοῖς τε πόνοις ἀπειρηκὼς, καὶ ταῖς φροντίσιν οἷον ὑπέραντλος ὢν καὶ κατάπονος τὴν ψυχὴν, πρὸς τοσαύτην αὖθις ἐπίνοιαν νέου πολέμου καὶ καινῶν ἀγώνων καὶ φόβων, ὑπ' ἐμπειρίας δεινῶν καὶ καμάτου τρέμουσαν, οὐκ ἀνέφερε· λογιζόμενος, ὡς οὐ πρὸς Ὀκτάβιον, οὐδὲ Μερουλᾶν, σύγκλυδος ὄμιλον καὶ στασιώδους ὄχλου στρατηγοὺς, ὃ κίνδυνος ἔσοιτο, Σύλλας δ' ἐκεῖνος ἔπεισιν, ὃ τῆς πατρίδος αὐτὸν ἐξελάσας πάλαι, νῦν δὲ Μιθριδάτην συνεσταλκὼς εἰς τὸν Εὔξεινον Πόντον. Ὑπὸ τοιούτων θρανόμενος

Digitized by Google

λογισμῶν, καὶ τὴν μακρὰν ἄλην αὐτοῦ καὶ φυγὰς καὶ κινδύνους διὰ γῆς καὶ θαλάττης ἐλαυνομένου λαμβάνων πρὸ ὀφθαλμῶν, εἰς ἀπορίας ἐνέπιπτε δεινὰς, καὶ νυκτερινὰ δείματα, καὶ ταραχώδεις ὀνείρους, ἀεί τινος ἀκούειν φθεγγομένου δοκῶν·

Δειναὶ γὰρ κοῖται καὶ ἀποιχομένοιο λέοντος.

Μάλιστα δὲ πάντων φοβούμενος τὰς ἀγρυπνίας, ἐνέβαλεν εἰς πότους ἑαυτὸν καὶ μέθας ἀώρους καὶ παρ' ἡλικίαν, ὥσπερ ἀπόδρασιν τῶν φροντίδων τὸν οἶον μηχανώμενος. Τέλος δ', ὡς ἦκέ τις ἀπαγγέλλων ἀπὸ θαλάσσης, νέοι προσπίπτοντες αὐτῷ φόβοι, τὰ μὲν δέει τοῦ μέλλοντος, τὰ δὲ ὥσπερ ἄχθει καὶ κόρῳ τῶν παρόντων, ῥοπῆς βραχείας ἐπιγενομένης, εἰς νόσον κατηνέχθη πλευρῖτιν, ὡς ἱστορεῖ Ποσειδώνιος ὁ φιλόσοφος, αὐτὸς εἰσελθεῖν καὶ διαλεχθῆναι περὶ ὧν ἐπρέσβευεν ἤδη νοσοῦντι φάσκων αὐτῷ. Γάϊος δέ τις Πείσων, ἀνὴρ ἱστορικὸς, ἱστορεῖ, τὸν Μάριον ἀπὸ δείπνου περιπατοῦντα μετὰ τῶν φίλων, ἐν λόγοις γενέσθαι περὶ τῶν ἑαυτοῦ πραγμάτων, ἄνωθεν ἀρξάμενον· καὶ τὰς ἐπ' ἀμφότερα πολλάκις μεταβολὰς ἀφηγησάμενον, εἰπεῖν, ὡς οὐκ ἔστι νοῦν ἔχοντος ἀνδρὸς, ἔτι τῇ τύχῃ πιστεύειν ἑαυτόν· ἐκ δὲ τούτου τοὺς παρόντας ἀσπασάμενον, καὶ κατακλιθέντα συνεχῶς ἡμέρας ἑπτὰ, τελευτῆσαι· Τινὲς δὲ τὴν φιλοτιμίαν αὐτοῦ φασὶν ἐν τῇ νόσῳ παντάπασιν ἀποκαλυφθεῖσαν, εἰς ἄτοπον ἐξοκεῖλαι παρακοπὴν, οἰομένου τὸν Μιθριδατικὸν στρατηγεῖν πόλεμον. εἶτα, ὥσπερ ἐπ' αὐτῶν εἰώθει τῶν ἀγώνων, σχήματα

Digitized by Google

παντοδαπὰ καὶ κινήματα σώματος μετὰ συντόνου κραυγῆς καὶ πυκνῶν ἀλαλαγμάτων ἀποδιδόντος. Οὕτω δεινὸς αὐτῷ καὶ δυσπαραμύθητος ἐκ φιλαρχίας καὶ ζηλοτυπίας ἔρως ἐντετήκει τῶν πράξεων ἐκείνων. Διὸ ἔτη μὲν ἑβδομήκοντα βεβιωκὼς, ὕπατος δὲ πρῶτος ἀνθρώπων ἑπτάκις ἀνηγορευμένος, οἰκόν τε καὶ πλοῦτον ἀρκοῦντα βασιλείαις ὁμοῦ πολλαῖς κεκτημένος, ὠδύρετο τὴν αὑτοῦ τύχην, ὡς ἐνδεὴς καὶ ἀτελὴς ὧν ἐπόθει προαποθνήσκων.

XLVI. Πλάτων μὲν οὖν, ἤδη πρὸς τῷ τελευτᾷν γενόμενος, ὕμνει τὸν αὑτοῦ δαίμονα καὶ τὴν τύχην, ὅτι πρῶτον μὲν ἄνθρωπος, εἶτα Ἕλλην, οὐ βάρβαρος, οὐδ' ἄλογον τῇ φύσει θηρίον γένοιτο· πρὸς δὲ τούτοις, ὅτι τοῖς Σωκράτους χρόνοις ἀπήντησεν ἡ γένεσις αὐτοῦ. Καὶ νὴ Δία τὸν Ταρσέα λέγουσιν Ἀντίπατρον, ὡσαύτως ὑπὸ τὴν τελευτὴν ἀναλογιζόμενον ὧν τύχοι μακαρίων, μηδὲ τῆς εἰς Ἀθήνας οἴκοθεν εὐπλοίας ἐπιλαθέσθαι, καθάπερ φίλου χρηστοῦ, τῆς τύχης ἅπασαν δόσιν εἰς μεγάλην χάριν τιθέμενον, καὶ σώζοντα τῇ μνήμῃ διὰ τέλους, ἧς οὐδὲν ἐστιν ἀνθρώπῳ ταμιεῖον ἀγαθῶν βεβαιότερον. Τοὺς δὲ ἀμνήμονας καὶ ἀνοήτους ὑπεκρεῖ τὰ γινόμενα μετὰ τοῦ χρόνου· διὸ μηθὲν στέγοντες, μηδὲ διατηροῦντες, ἀεὶ κενοὶ μὲν ἀγαθῶν, πλήρεις δ' ἐλπίδων, πρὸς τὸ μέλλον ἀποβλέπουσι, τὸ παρὸν προϊέμενοι. Καίτοι τὸ μὲν ἂν ἡ τύχη κωλῦσαι δύναιτο, τὸ δ' ἀναφαίρετόν ἐστιν· ἀλλ' ὅμως τοῦτο τῆς τύχης, ὡς ἀλλότριον, ἐκβάλλοντες, ἐκεῖνο τὸ ἄδηλον ὀνειρώττου-

Digitized by Google

σιν, εἰκότα πάσχοντες. Πρὶν γὰρ ἐκ λόγου καὶ παιδείας ἔδραν ὑποβαλέσθαι καὶ κρηπῖδα τοῖς ἔξωθεν ἀγαθοῖς, συνάγοντες αὐτὰ καὶ συμφοροῦντες, ἐμπλῆσαι τῆς ψυχῆς οὐ δύνανται τὸ ἀκόρεστον. Ἀποθνήσκει δ' οὖν Μάριος ἡμέρας ἑπτακαίδεκα τῆς ἑβδόμης ὑπατείας ἐπιλαβών. Καὶ μέγα ἔσχε παραυτίκα τὴν Ῥώμην χάρμα καὶ θάρσος, ὡς χαλεπῆς τυραννίδος ἀπηλλαγμένην. Ὀλίγαις δὲ ἡμέραις ἤσθοντο νέον ἀντηλλαγμένοι καὶ ἀκμάζοντα ἀντὶ πρεσβύτου δεσπότην. Τοσαύτην ὁ υἱὸς αὐτοῦ, Μάριος, ὠμότητα καὶ πικρίαν ἐπεδείξατο, τοὺς ἀρίστους καὶ δοκιμωτάτους ἀναιρῶν. Δόξας δὲ καὶ τολμητὴς καὶ φιλοκίνδυνος εἶναι πρὸς τοὺς πολεμίους, ἐν ἀρχῇ παῖς Ἄρεος ὠνομάζετο, ταχὺ δὲ τοῖς ἄργοις ἐλεγχόμενος, αὖθις Ἀφροδίτης υἱὸς ἐκαλεῖτο. Τέλος δὲ, κατακλεισθεὶς εἰς Πραινεστὸν ὑπὸ Σύλλα, καὶ πολλὰ φιλοψυχήσας μάτην, ὡς ἦν ἄφυκτα τῆς πόλεως ἁλισκομένης, αὐτὸς αὑτὸν ἀπέκτεινεν.

Digitized by Google

ΛΥΣΑΝΔΡΟΣ.

Ἀκανθίων θησαυρὸς ἐν Δελφοῖς ἐπιγραφὴν ἔχει τοιαύτην· „Βρασίδας καὶ Ἀκάνθιοι ἀπ' Ἀθηναίων." Διὸ καὶ πολλοὶ τὸν ἐντὸς ἑστῶτα τοῦ οἴκου παρὰ ταῖς θύραις λίθινον ἀνδριάντα Βρασίδου νομίζουσιν εἶναι. Λυσάνδρου δέ ἐστιν εἰκονικός, εὖ μάλα κομῶντος ἔθει τῷ παλαιῷ καὶ πώγωνα καθειμένου γενναῖον. Οὐ γὰρ, ὡς ἔνιοί φασιν, Ἀργείων μετὰ τὴν μεγάλην ἧτταν ἐπὶ πένθει καρέντων, οἱ Σπαρτιᾶται πρὸς τὸ ἀντίπαλον αὐτοῖς τὰς κόμας, ἀγαλλόμενοι τοῖς πεπραγμένοις, ἀνῆκαν· οὐδὲ Βακχιαδῶν τῶν ἐκ Κορίνθου φυγόντων εἰς Λακεδαίμονα, ταπεινῶν καὶ ἀμόρφων, διὰ τὸ κείρασθαι τὰς κεφαλὰς, φανέντων, εἰς ζῆλον αὐτοὶ τοῦ κομᾶν ἦλθον· ἀλλὰ καὶ τοῦτο Λυκούργειόν ἐστι. Καί φασιν εἰπεῖν αὐτὸν, ὡς ἡ κόμη τοὺς μὲν καλοὺς εὐπρεπεστέρους ὁρᾶσθαι ποιεῖ, τοὺς δὲ αἰσχροὺς φοβερωτέρους.

Digitized by Google

II. Λέγεται δὲ ὁ Λυσάνδρου πατὴρ, Ἀριστόκλειτος, οἰκίας μὲν οὐ γενέσθαι βασιλικῆς, ἄλλως δὲ γένους εἶναι τοῦ τῶν Ἡρακλειδῶν. Ἐτράφη δὲ ὁ Λύσανδρος ἐν πενίᾳ, καὶ παρέσχεν ἑαυτὸν εὔτακτον, ὡς εἴ τις ἄλλος, πρὸς τοὺς ἐθισμοὺς, καὶ ἀνδρώδη καὶ κρείττονα πάσης ἡδονῆς, πλὴν εἴ τινα τιμωμένοις καὶ κατορθοῦσιν αἱ καλαὶ πράξεις ἐπιφέρουσι. Ταύτης δὲ οὐκ αἰσχρόν ἐστιν ἡττᾶσθαι τοὺς νέους ἐν Σπάρτῃ. Βούλονται γὰρ εὐθὺς ἐξ ἀρχῆς πάσχειν τι τοὺς παῖδας αὐτῶν πρὸς δόξαν, ἀλγυνομένους τε τοῖς ψόγοις, καὶ μεγαλυνομένους ὑπὸ τῶν ἐπαίνων. Ὁ δὲ ἀπαθὴς καὶ ἀκίνητος ἐν τούτοις, ὡς ἀφιλότιμος πρὸς ἀρετὴν καὶ ἀργός, καταφρονεῖται. Τὸ μὲν οὖν φιλότιμον αὐτῷ καὶ φιλόνεικον ἐκ τῆς Λακωνικῆς παρέμεινε παιδείας ἐγγενόμενον, καὶ οὐδέν τι μέγα χρὴ τὴν φύσιν ἐν τούτοις αἰτιᾶσθαι. Θεραπευτικὸς δὲ τῶν δυνατῶν μᾶλλον, ἢ κατὰ Σπαρτιάτην, φύσει δοκεῖ γενέσθαι, καὶ βάρος ἐξουσίας διὰ χρείαν ἐνεγκεῖν εὔκολος· ὃ πολιτικῆς δεινότητος οὐ μικρὸν ἔνιοι ποιοῦνται μέρος. Ἀριστοτέλης δὲ τὰς μεγάλας φύσεις ἀποφαίνων μελαγχολικὰς, ὡς τὴν Σωκράτους καὶ Πλάτωνος καὶ Ἡρακλέους, ἱστορεῖ καὶ Λύσανδρον οὐκ εὐθὺς, ἀλλὰ πρεσβύτερον ὄντα τῇ μελαγχολίᾳ περιπεσεῖν. Ἴδιον δὲ αὐτοῦ μάλιστα, τὸ καλῶς πενίαν φέροντα, καὶ μηδαμοῦ κρατηθέντα, μηδὲ διαφθαρέντα χρήμασιν αὐτὸν, ἐμπλῆσαι τὴν πατρίδα πλούτου καὶ φιλοπλουτίας, καὶ παῦσαι θαυμαζομένην ἐπὶ τῷ μὴ θαυ-

Digitized by Google

μάζειν πλοῦτον, εἰσάγοντα χρυσίου καὶ ἀργυρίου πλῆθος μετὰ τὸν Ἀττικὸν πόλεμον, ἑαυτῷ δὲ μηδεμίαν δραχμὴν ἀπολειπόμενον. Διονυσίου δὲ τοῦ τυράννου πέμψαντος αὐτοῦ ταῖς θυγατράσι πολυτελῆ χιτῶνια τῶν Σικελικῶν, οὐκ ἔλαβεν, εἰπὼν φοβεῖσθαι, μὴ διὰ ταῦτα μᾶλλον αἰσχραὶ φανῶσιν. Ἀλλ' ὀλίγον ὕστερον, πρὸς τὸν αὐτὸν τύραννον ἐκ τῆς αὐτῆς πόλεως ἀποσταλεὶς πρεσβευτὴς, προσπέμψαντος αὐτῷ δύο στολὰς ἐκείνου, καὶ κελεύσαντος, ἣν βούλεται τούτων ἑλόμενον τῇ θυγατρὶ κομίζειν, αὐτὴν ἐκείνην ἔφη βέλτιον αἱρήσεσθαι· καὶ λαβὼν ἀμφοτέρας ἀπῆλθεν.

III. Ἐπεὶ δὲ τοῦ Πελοποννησιακοῦ πολέμου μῆκος λαμβάνοντος, καὶ μετὰ τὴν ἐν Σικελίᾳ τῶν Ἀθηναίων κακοπραγίαν, αὐτίκα μὲν ἐπιδόξων ὄντων ἐκπεσεῖσθαι τῆς θαλάσσης, οὐ πολλῷ δὲ ὕστερον ἁπαγορεύσειν παντάπασιν, Ἀλκιβιάδης ἀπὸ τῆς φυγῆς ἐπιστὰς τοῖς πράγμασι, μεγάλην μεταβολὴν ἐποίησε, καὶ κατέστησε τοὺς ναυτικοὺς ἀγῶνας εἰς ἀντίπαλον αὐτοῖς· δείσαντες οὖν οἱ Λακεδαιμόνιοι πάλιν, καὶ γενόμενοι ταῖς προθυμίαις καινοὶ πρὸς τὸν πόλεμον, ὡς ἡγεμόνος τε δεινοῦ καὶ παρασκευῆς ἐρρωμενεστέρας δεόμενον, ἐκπέμπουσιν ἐπὶ τὴν τῆς θαλάσσης ἡγεμονίαν Λύσανδρον. Γενόμενος δ' ἐν Ἐφέσῳ, καὶ τὴν πόλιν εὖρὼν εὔνουν μὲν αὐτῷ καὶ λακωνίζουσαν προθυμότατα, πράττουσαν δὲ τότε λυπηρῶς, καὶ κινδυνεύουσαν ἐκβαρβαρωθῆναι τοῖς Περσικοῖς ἔθεσι διὰ τὰς ἐπιμιξίας, ἅτε δὴ τῆς Αυ-

Digitized by Google

δίας παρακεχυμένης, καὶ τῶν βασιλικῶν στρατηγῶν αὐτόθι τὰ πολλὰ διατριβόντων· στρατόπεδον βαλόμενος, καὶ τὰ πλοῖα πανταχόθεν ἕλκεσθαι κελεύσας ἐκεῖ τὰ φορτηγά, καὶ ναυπηγίαν τριηρῶν ἐκεῖ κατασκευασάμενος, ταῖς μὲν ἐμπορίαις τοὺς λιμένας αὐτῶν ἀνέβαλεν, ἐργασίαις δὲ τὴν ἀγοράν, χρηματισμῶν δὲ τοὺς οἴκους καὶ τὰς τέχνας ἐνέπλησεν, ὥστε πρῶτον ἀπ' ἐκείνου τοῦ χρόνου τὴν πόλιν ἐν ἐλπίδι τοῦ περὶ αὐτὴν νῦν ὄντος ὄγκου καὶ μεγέθους διὰ Λύσανδρον γενέσθαι.

IV. Πυθόμενος δὲ, Κῦρον εἰς Σάρδεις ἀφῖχθαι, τὸν βασιλέως υἱόν, ἀνέβη, διαλεξόμενος αὐτῷ, καὶ Τισαφέρνου κατηγορήσων, ὃς, ἔχων πρόσταγμα Λακεδαιμονίοις βοηθεῖν, καὶ τῆς θαλάσσης ἐξελάσαι τοὺς Ἀθηναίους, ἐδόκει, δι' Ἀλκιβιάδην ὑφιέμενος, ἀπρόθυμος εἶναι, καὶ γλίσχρως χορηγῶν, τὸ ναυτικὸν φθείρειν. Ἦν δὲ καὶ Κύρῳ βουλομένῳ τὸν Τισαφέρνην ἐν αἰτίαις εἶναι καὶ κακῶς ἀκούειν, πονηρὸν ὄντα, καὶ πρὸς αὐτὸν ἰδίᾳ διαφερόμενον. Ἔκ τε δὴ τούτων καὶ τῆς ἄλλης συνδιαιτήσεως ὁ Λύσανδρος ἀγαπηθεὶς, καὶ τῷ θεραπευτικῷ μάλιστα τῆς ὁμιλίας ἑλὼν τὸ μειράκιον, ἐπέῤῥωσε πρὸς τὸν πόλεμον. Ἐπεὶ δὲ ἀπαλλάττεσθαι βουλόμενον αὐτὸν ἑστιῶν ὁ Κῦρος ἠξίου μὴ διωθεῖσθαι τὰς παρ' αὐτοῦ φιλοφροσύνας, ἀλλ' αἰτεῖν ὅ βούλοιτο καὶ φράζειν, ὡς οὐδενὸς ἁπλῶς ἀποτευξόμενον, ὑπολαβὼν ὁ Λύσανδρος, „Ἐπεὶ τοίνυν (εἶπεν) οὕτως ἔχεις, ὦ Κῦρε, προθυμίας, αἰτοῦμαί σε καὶ παρακαλῶ προσ-

Digitized by Google

θεῖναι τῷ μισθῷ τῶν ναυτῶν ὀβολόν, ὅπως τετρώβολον ἀντὶ τριωβόλου λαμβάνωσιν." Ἡσθεὶς οὖν ὁ Κῦρος ἐπὶ τῇ φιλοτιμίᾳ τοῦ ἀνδρὸς, μυρίους αὐτῷ δαρεικοὺς ἔδωκεν· ἐξ ὧν ἐπιμετρήσας τὸν ὀβολὸν τοῖς ναύταις, καὶ λαμπρυνάμενος, ὀλίγῳ χρόνῳ τὰς ναῦς τῶν πολεμίων κενὰς ἐποίησεν. Ἀπεφοίτων γὰρ οἱ πολλοὶ πρὸς τοὺς πλέον διδόντας· οἱ δὲ μένοντες, ἀπρόθυμοι καὶ στασιώδεις ἐγίνοντο, καὶ κακὰ παρεῖχον ὁσημέραι τοῖς στρατηγοῖς. Οὐ μὴν ἀλλὰ, καίπερ οὕτως περισπάσας καὶ κακώσας τοὺς πολεμίους ὁ Λύσανδρος, ὡρῴωδει ναυμαχεῖν, δραστήριον ὄντα τὸν Ἀλκιβιάδην, καὶ νεῶν πλήθει περιόντα, καὶ μάχας καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν εἰς ἐκεῖνο χρόνου πάσας ἀήττητον ἠγωνισμένον δεδοικώς.

V. Ἐπεὶ δὲ ὁ μὲν Ἀλκιβιάδης εἰς Φωκαίαν ἐκ Σάμου διέπλευσεν, ἐπὶ τοῦ στόλου καταλιπὼν Ἀντίοχον τὸν κυβερνήτην, ὁ δὲ Ἀντίοχος, οἷον ἐφυβρίζων τῷ Λυσάνδρῳ, καὶ θρασυνόμενος, ἐπέπλευσε δυσὶ τριήρεσιν εἰς τὸν λιμένα τῶν Ἐφεσίων, καὶ παρὰ τὸν ναύσταθμον γέλωτι καὶ πατάγῳ χρώμενος, σοβαρῶς παρήλαυνεν· ἀγανακτήσας ὁ Λύσανδρος, καὶ κατασπάσας τὸ πρῶτον οὐ πολλὰς τῶν τριηρῶν ἐδίωκεν αὐτὸν, ἰδὼν δὲ αὖ τοὺς Ἀθηναίους βοηθοῦντας, ἄλλας ἐπλήρου, καὶ τέλος ἐναυμάχουν συμπεσόντες. Ἐνίκα δὲ Λύσανδρος, καὶ πεντεκαίδεκα τριήρεις λαβὼν, ἔστησε τρόπαιον. Ἐπὶ τούτῳ τὸν Ἀλκιβιάδην ὁ μὲν ἐν ἄστει δῆμος ὀργισθεὶς ἀπεχει-

Digitized by Google

ροτόνησεν· ὑπὸ δὲ τῶν ἐν Σάμῳ στρατιωτῶν ἀτιμαζόμενος καὶ κακῶς ἀκούων, ἀπέπλευσεν εἰς Χερρόνησον ἐκ τοῦ στρατοπέδου. Ταύτην μὲν οὖν τὴν μάχην, καίπερ οὐ μεγάλην τῇ πράξει γενομένην, ἡ τύχη δι' Ἀλκιβιάδην ὀνομαστὴν ἐποίησεν. Ὁ δὲ Λύσανδρος, ἀπὸ τῶν πόλεων εἰς Ἔφεσον μεταπεμπόμενος, οὓς ἑώρα μάλιστα ταῖς τε τόλμαις καὶ ταῖς φρονήμασιν ὑπὲρ τοὺς πολλοὺς ὄντας, ἀρχὰς ὑπέσπειρε τῶν ὕστερον ἐπ' αὐτοῦ γενομένων δεκαδαρχιῶν καὶ νεωτερισμῶν, προτρέπων καὶ παροξύνων ἑταιρικὰ συνίστασθαι, καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασιν, ὡς ἅμα τῷ καταλυθῆναι τοὺς Ἀθηναίους, τῶν τε δήμων ἀπαλλαξομένους, καὶ δυναστεύσοντας ἐν ταῖς πατρίσι. Τούτων δὲ τὴν πίστιν ἑκάστῳ δι' ἔργων παρεῖχε, τοὺς ἤδη γεγονότας φίλους αὐτῷ καὶ ξένους εἰς μεγάλα πράγματα καὶ τιμὰς καὶ στρατηγίας ἀνάγων, καὶ συναδικῶν καὶ συνεξαμαρτάνων αὐτὸς ὑπὲρ τῆς ἐκείνων πλεονεξίας· ὥστε προσέχειν ἅπαντας αὐτῷ καὶ χαρίζεσθαι καὶ ποθεῖν, ἐλπίζοντας οὐδενὸς ἀτυχήσειν τῶν μεγίστων, ἐκείνου κρατοῦντος. Διὸ καὶ Καλλικρατίδαν οὔτ' εὐθὺς ἡδέως εἶδον ἐλθόντα τῷ Λυσάνδρῳ διάδοχον τῆς ναυαρχίας, οὔτε, ὡς ὕστερον διδοὺς καὶ πεῖραν ἀνὴρ ἐφαίνετο πάντων ἄριστος καὶ δικαιότατος, ἠρέσκοντο τῷ τρόπῳ τῆς ἡγεμονίας, ἁπλοῦν τι καὶ Δώριον ἐχούσης καὶ ἀληθινόν. Ἀλλὰ τούτου μὲν τὴν ἀρετὴν, ὥσπερ ἀγάλματος ἡρωϊκοῦ κάλλος, ἐθαύμαζον, ἐπόθουν δὲ τὴν ἐκείνου σπουδὴν, καὶ τὸ φιλέταιρον

Digitized by Google

καὶ χρειῶδες ἐζήτουν, ὥστε ἀθυμεῖν ἐκπλέοντος αὐτοῦ καὶ δακρύειν.

VI. Ὁ δὲ τούτους τε τῷ Καλλικρατίδᾳ δυσμενεστέρους ἐποίει ἔτι μᾶλλον, καὶ τῶν ὑπὸ Κύρου χρημάτων αὐτῷ δεδομένων εἰς τὸ ναυτικὸν, τὰ περιόντα πάλιν εἰς Σάρδεις ἀνέπεμψεν· αὐτὸν αἰτεῖν, εἰ βούλοιτο, τὸν Καλλικρατίδαν, καὶ σκοπεῖν, ὅπως θρέψει τοὺς στρατιώτας, κελεύσας. Τέλος δὲ, ἀποπλέων ἐμαρτύρατο πρὸς αὐτὸν, ὅτι θαλασσοκρατοῦν τὸ ναυτικὸν παραδίδωσιν. Ὁ δὲ, βουλόμενος ἐλέγξαι τὴν φιλοτιμίαν ἀλαζονικὴν καὶ κενὴν οὖσαν, „Οὐκοῦν (ἔφη) λαβὼν ἐν ἀριστερᾷ Σάμον, καὶ περιπλεύσας εἰς Μίλητον, ἐκεῖ μοι παράδος τὰς τριήρεις· δεδιέναι γὰρ οὐ χρὴ παραπλέοντας ἡμᾶς τοὺς ἐν Σάμῳ πολεμίους, εἰ θαλασσοκρατοῦμεν.“ Πρὸς ταῦτα εἰπὼν ὁ Λύσανδρος, ὅτι οὐκ αὐτὸς, ἀλλ᾽ ἐκεῖνος ἄρχοι τῶν νεῶν, ἀπέπλευσεν εἰς Πελοπόννησον, ἐν πολλῇ τὸν Καλλικρατίδαν ἀπορίᾳ καταλιπών. Οὔτε γὰρ οἴκοθεν ἀφῖκτο χρήματα κομίζων, οὔτε τὰς πόλεις ἀργυρολογεῖν καὶ βιάζεσθαι μοχθηρὰ πραττούσας ὑπέμεινε. Λοιπὸν οὖν ἦν, ἐπὶ θύρας ἰόντα τῶν βασιλέως στρατηγῶν, ὥσπερ Λύσανδρος, αἰτεῖν· πρὸς ὃ πάντων ἀφυέστατος ἐτύγχανεν, ἀνὴρ ἐλευθέριος καὶ μεγαλόφρων, καὶ πᾶσαν ὑφ᾽ Ἑλλήνων ἧττον Ἕλλησιν ἡγούμενος εὐπρεπεστέραν εἶναι τοῦ κολακεύειν καὶ φοιτᾶν ἐπὶ θύρας ἀνθρώπων βαρβάρων, πολὺ χρυσίον, ἄλλο δ᾽ οὐδὲν καλὸν ἐχόντων. Ἐκβιαζόμενος δὲ ὑπὸ τῆς ἀπορίας, ἀνα-

Digitized by Google

βὰς εἰς Λυδίαν, εὐθὺς ἐπορεύετο εἰς τὴν οἰκίαν τοῦ Κύρου, καὶ φράζειν προσέταξεν, ὅτι Καλλικρατίδας ὁ ναύαρχος ἥκει διαλεχθῆναι βουλόμενος αὐτῷ. Τῶν δ' ἐπὶ θύραις τινὸς εἰπόντος, „Ἀλλ' οὐ σχολὴ νῦν, ὦ ξένε, Κύρῳ· πίνει γὰρ· „ἀφελέστατά πως ὁ Καλλικρατίδας," Ἀλλ' οὐδὲν (ἔφη) δεινόν· αὐτοῦ γὰρ ἑστὼς ἀναμενῶ, μέχρι πίῃ." Τότε μὲν οὖν, δόξας ἀγροῖκός τις εἶναι, καὶ καταγελασθεὶς ὑπὸ τῶν βαρβάρων, ἀπῆλθεν. Ἐπεὶ δὲ καὶ δεύτερον ἐλθὼν ἐπὶ θύρας, οὐ παρείθη, βαρέως ἐνεγκὼν, εἰς Ἔφεσον ᾤχετο, πολλὰ μὲν ἐπαρώμενος κακὰ τοῖς πρώτοις ἐντρυφηθεῖσιν ὑπὸ βαρβάρων, καὶ διδάξασιν αὐτοὺς ὑβρίζειν διὰ πλοῦτον· ὀμνύων δὲ πρὸς τοὺς παρόντας, ἢ μὴν, ὅταν πρῶτον εἰς Σπάρτην παραγένηται, πάντα ποιήσειν ὑπὲρ τοῦ διαλυθῆναι τοὺς Ἕλληνας, ὡς φοβεροὶ τοῖς βαρβάροις εἶεν αὐτοὶ, καὶ παύσαιντο τῆς ἐκείνων ἐπ' ἀλλήλους δεόμενοι δυνάμεως.

VII. Ἀλλὰ Καλλικρατίδας μὲν ἄξια τῆς Λακεδαίμονος διανοηθεὶς, καὶ γενόμενος τοῖς ἄκροις ἐναμιλλος τῶν Ἑλλήνων διὰ δικαιοσύνην καὶ μεγαλοψυχίαν καὶ ἀνδρείαν, μετ' οὐ πολὺν χρόνον ἐν Ἀργινούσσαις καταναυμαχηθεὶς ἠφανίσθη. Τῶν δὲ πραγμάτων ὑποφερομένων, οἱ σύμμαχοι πρεσβείαν πέμποντες εἰς Σπάρτην, ᾐτοῦντο Λύσανδρον ἐπὶ τὴν ναυαρχίαν, ὡς πολὺ προθυμότερον ἀντιληψόμενοι τῶν πραγμάτων, ἐκείνου στρατηγοῦντος. Τὰ δὲ αὐτὰ καὶ Κῦρος ἀξιῶν ἐπέστελλεν. Ἐπεὶ δὲ νόμος

Digitized by Google

ἦν οὐκ ἐῶν δὶς τὸν αὐτὸν ναυαρχεῖν, ἐβούλοντό τε χαρίζεσθαι τοῖς συμμάχοις οἱ Λακεδαιμόνιοι, τὸ μὲν ὄνομα τῆς ναυαρχίας Ἀράκῳ τινὶ περιέθεσαν, τὸν δὲ Λύσανδρον, ἐπιστολέα τῷ λόγῳ, τῷ δ' ἔργῳ κύριον ἁπάντων ἐξέπεμψαν. Τοῖς μὲν οὖν πλείστοις τῶν πολιτευομένων καὶ δυναμένων ἐν ταῖς πόλεσι πάλαι ποθούμενος ἦκεν. Ἤλπιζον γὰρ ἔτι μᾶλλον ἰσχύσειν δι' αὐτοῦ, παντάπασι τῶν δήμων καταλυθέντων. Τοῖς δὲ τὸν ἁπλοῦν καὶ γενναῖον ἀγαπῶσι τῶν ἡγεμόνων τρόπον, ὁ Λύσανδρος τῷ Καλλικρατίδᾳ παραβαλλόμενος ἐδόκει πανοῦργος εἶναι καὶ σοφιστής, ἀπάταις τὰ πολλὰ διαποικίλλων τοῦ πολέμου, καὶ τὸ δίκαιον ἐπὶ τῷ λυσιτελοῦντι μεγαλύνων· εἰ δὲ μή, τῷ συμφέροντι χρώμενος ὡς καλῷ, καὶ τὸ ἀληθὲς οὐ φύσει τοῦ ψεύδους κρεῖττον ἡγούμενος, ἀλλ' ἑκατέρου τῇ χρείᾳ τὴν τιμὴν ὁρίζων. Τῶν δ' ἀξιούντων μὴ πολεμεῖν μετὰ δόλου τοὺς ἀφ' Ἡρακλέους γεγονότας· καταγελάσας ἐκέλευεν· „Ὅπου γὰρ ἡ λεοντῆ μὴ ἐφικνεῖται, προσραπτέον ἐκεῖ τὴν ἀλωπεκῆν."

VIII. Τοιαῦτα δ' αὐτοῦ καὶ τὰ περὶ Μίλητον ἱστόρηται. Τῶν γὰρ φίλων καὶ ξένων, οἷς ὑπέσχετο συγκαταλύσειν τε τὸν δῆμον, καὶ συνεκβαλεῖν τοὺς διαφόρους, μεταβαλομένων καὶ διαλλαγέντων τοῖς ἐχθροῖς, φανερῶς μὲν ἥδεσθαι προσεποιεῖτο καὶ συνδιαλλάττειν, κρύφα δὲ λοιδορῶν αὐτοὺς καὶ κακίζων, παρώξυνεν ἐπιθέσθαι τοῖς πολλοῖς. Ὡς δ' ἤσθετο γινομένην τὴν ἐπανάστασιν, ὀξέως βοηθήσας καὶ παρεισελθὼν εἰς τὴν πόλιν, οἷς πρώτοις ἐπιτύχοι

Digitized by Google

τῶν νεωτεριζόντων, ἐχαλέπαινε τῇ φωνῇ, καὶ προσῆγε τραχυνόμενος, ὡς ἐπιθήσων δίκην αὐτοῖς· τοὺς δ' ἄλλους ἐκέλευε θαῤῥεῖν, καὶ μηδὲν ἔτι προσδοκᾶν δεινὸν, αὐτοῦ παρόντος. Ὑπεκρίνετο δὲ ταῦτα καὶ διεποίκιλλε, τοὺς δημοτικωτάτους καὶ κρατίστους βουλόμενος μὴ φεύγειν, ἀλλ' ἀποθανεῖν, ἐν τῇ πόλει μείναντας. Ὃ καὶ συνέβη· πάντες γὰρ ἀπεσφάγησαν οἱ καταπιστεύσαντες. Ἀπομνημονεύεται δὲ ὑπ' Ἀνδροκλείδου λόγος, πολλήν τινα κατηγορῶν τοῦ Λυσάνδρου περὶ τοὺς ὅρκους εὐχέρειαν. Ἐκέλευε γὰρ, ὥς φασι, τοὺς μὲν παῖδας ἀστραγάλοις, τοὺς δὲ ἄνδρας ὅρκοις ἐξαπατᾶν, ἀποτιμούμενος Πολυκράτη τὸν Σάμιον, οὐκ ὀρθῶς τύραννον στρατηγός· οὐδὲ Λακωνικὸν τὸ χρῆσθαι τοῖς θεοῖς, ὥσπερ τοῖς πολεμίοις, μᾶλλον δὲ ὑβριστικώτερον. Ὁ γὰρ ὅρκῳ παρακρουόμενος, τὸν μὲν ἐχθρὸν δμολογεῖ δεδιέναι, τοῦ δὲ θεοῦ καταφρονεῖν.

IX. Ὁ δ' οὖν Κῦρος, εἰς Σάρδεις μιταπεμψάμενος τὸν Λύσανδρον, τὰ μὲν ἔδωκε, τὰ δὲ ὑπέσχετο, νεανιευσάμενος, εἰς τὴν ἐκείνου χάριν, καὶ εἰ μηδὲν ὁ πατὴρ διδῷη, καταχορηγήσειν τὰ οἰκεῖα· κἂν ἐπιλίπῃ πάντα, κατακύψειν ἔφη τὸν θρόνον, ἐφ' ᾧ καθήμενος ἐχρημάτιζε, χρυσοῦν καὶ ἀργυροῦν ὄντα. Τέλος δὲ, εἰς Μηδίαν ἀναβαίνων πρὸς τὸν πατέρα, τούς τε φόρους ἀπέδειξε τῶν πόλεων λαμβάνειν ἐκεῖνον, καὶ τὴν αὑτοῦ διεπίστευσεν ἀρχήν· ἀσπασάμενος δὲ, καὶ δεηθεὶς, μὴ ναυμαχεῖν Ἀθηναίοις, πρὶν αὐτὸν ἀφικέσθαι πάλιν, ἀφῖξεσθαι δὲ

Digitized by Google

ναῦς ἔχοντα πολλὰς ἔκ τε Φοινίκης καὶ Κιλικίας, ἀνέβαινεν ὡς βασιλέα. Λύσανδρος δὲ, μήτε ναυμαχεῖν ἀγχωμάλῳ πλήθει δυνάμενος, μήτ' ἀργὸς καθέζεσθαι μετὰ νεῶν τοσούτων, ἀναχθεὶς ἐνίας προσηγάγετο τῶν νήσων, Αἴγινάν τε καὶ Σαλαμῖνα προσμίξας κατέδραμεν. Εἰς δὲ τὴν Ἀττικὴν ἀποβὰς, καὶ τὸν Ἄγιν ἀσπασάμενος, κατέβη γὰρ ἐκ Δεκελείας πρὸς αὐτὸν, ἐπεδείξατο πεζῷ παρόντι τὴν τοῦ ναυτικοῦ ῥώμην, ὡς πλέων, ἢ βούλοιτο, κρατῶν τῆς θαλάττης. Οὐ μὴν ἀλλὰ, τοὺς Ἀθηναίους αἰσθόμενος διώκοντας αὐτὸν, ἄλλῳ δρόμῳ διὰ νήσων ἔφευγεν εἰς τὴν Ἀσίαν. Καὶ τὸν Ἑλλήσποντον ἔρημον καταλαβὼν, ἐπεχείρει Λαμψακηνοῖς, αὐτὸς ἐκ θαλάττης ταῖς ναυσί· Θώραξ δὲ τῷ πεζῷ στρατῷ συνανύσας εἰς τὸ αὐτὸ, προσέβαλε τοῖς τείχεσιν. Ἑλὼν δὲ τὴν πόλιν κατὰ κράτος, διαρπάσαι τοῖς στρατιώταις ἔδωκεν. Ὁ δὲ τῶν Ἀθηναίων στόλος ὀγδοήκοντα καὶ ἑκατὸν τριηρῶν ἐτύγχανε μὲν ἄρτι καθορμισμένος εἰς Ἐλεοῦντα τῆς Χερρονήσου· πυνθανόμενοι δὲ ἀπολωλέναι τὴν Λάμψακον, εὐθὺς εἰς Σηστὸν καταίρουσι. Κἀκεῖθεν ἐπισιτισάμενοι, παρέπλευσαν εἰς Αἰγὸς ποταμοὺς, ἀντιπέρας τῶν πολεμίων, ἔτι ναυλοχούντων περὶ τὴν Λάμψακον. Ἐστρατήγουν δὲ τῶν Ἀθηναίων ἄλλοι τε πλείους, καὶ Φιλοκλῆς, ὁ πείσας ποτὲ ψηφίσασθαι τὸν δῆμον, ἀποκόπτειν τὸν δεξιὸν ἀντίχειρα τῶν ἁλισκομένων κατὰ πόλεμον, ὅπως δόρυ μὲν φέρειν μὴ δύνωνται, κώπην δ' ἐλαύνωσι.

Digitized by Google

X. Τότε μὲν οὖν ἀνεπαύοντο πάντες, ἐλπίζοντες εἰς τὴν ὑστεραίαν ναυμαχήσειν. Ὁ δὲ Λύσανδρος ἄλλα μὲν διενοεῖτο, προσέταττε δὲ ναύταις καὶ κυβερνήταις, ὡς ἀγῶνος ἅμα ἡμέρᾳ γενησομένου περὶ ὄρθρον, ἐμβαίνειν εἰς τὰς τριήρεις, καὶ καθέζεσθαι κόσμῳ καὶ σιωπῇ δεχομένους τὸ παραγγελλόμενον· ὡς δ' αὕτως, καὶ τὸ πεζὸν ἐν τάξει παρὰ τὴν θάλατταν ἡσυχάζειν. Ἀνίσχοντος δὲ τοῦ ἡλίου, καὶ τῶν Ἀθηναίων μετωπηδὸν ἁπάσαις ἐπιπλεόντων, καὶ προκαλουμένων, ἀντιπρώρους ἔχων τὰς ναῦς καὶ πεπληρωμένας ἔτι νυκτὸς, οὐκ ἀνήγετο. Πέμπων δὲ ὑπηρετικὸν παρὰ τὰς πρώτας τῶν νεῶν, ἀτρεμεῖν ἐκέλευε, καὶ μένειν ἐν τάξει, μὴ θορυβουμένους, μηδ' ἀντεκπλέοντας. Οὕτω δὲ περὶ δείλην ἀποπλεόντων ὀπίσω τῶν Ἀθηναίων, οὐ πρότερον ἐκ τῶν νεῶν τοὺς στρατιώτας ἀφῆκεν, εἰ μὴ δύο καὶ τρεῖς τριήρεις, ἃς ἔπεμψε κατασκόπους, ἐλθεῖν ἰδόντας ἀποβεβηκότας τοὺς πολεμίους. Τῇ δ' ὑστεραίᾳ πάλιν ἐγίνοντό ταὐτὰ, καὶ τῇ τρίτῃ, μέχρι τετάρτης· ὥστε πολὺ τοῖς Ἀθηναίοις ἐγγενέσθαι θάρσος, καὶ καταφρόνησιν, ὡς δεδιότων καὶ συνεσταλμένων τῶν πολεμίων. Ἐν τούτῳ δ' Ἀλκιβιάδης (ἐτύγχανε γὰρ περὶ Χερρόνησον ἐν τοῖς ἑαυτοῦ τείχεσι διαιτώμενος) ἵππῳ προσελάσας πρὸς τὸ στράτευμα τῶν Ἀθηναίων, ᾐτιᾶτο τοὺς στρατηγοὺς, πρῶτον μὲν οὐ καλῶς, οὐδ' ἀσφαλῶς στρατοπεδεύειν ἐν αἰγιαλοῖς δυσόρμοις καὶ ἀναπεπταμένοις· ἔπειτα πόρρωθεν ἐκ Σηστοῦ τὰ ἐπιτήδεια λαμβάνοντας ἁμαρτάνειν, δέον εἰς λιμένα καὶ

Digitized by Google

πόλιν Σηστὸν δ' ὀλίγου περιπλεύσαντας, ἀπωτέρω γενέσθαι τῶν πολεμίων, ἐφορμούντων στρατεύματι μοναρχουμένοι, καὶ πάντα πρὸς φύβον ὀξέως ἀπὸ συνθήματος ὑπηρετοῦντι. Ταῦτα δ' αὐτοῦ διδάσκοντος, οὐκ ἐπείθοντο. Τυδεὺς δὲ καὶ πρὸς ὕβριν ἀπεκρίνατο, φήσας, οὐκ ἐκεῖνον, ἀλλ' ἑτέρους στρατηγεῖν.

XI. Ὁ μὲν οὖν Ἀλκιβιάδης, ὑποπτεύσας τι καὶ προδοσίας ἐν αὐτοῖς, ἀπηλλάττετο. Πέμπτῃ δὲ ἡμέρᾳ τῶν Ἀθηναίων ποιησαμένων τὸν ἐπίπλουν, καὶ πάλιν ἀπερχομένων, ὥσπερ εἰώθεσαν, ὀλιγώρως πάνυ καὶ καταφρονητικῶς, ὁ Λύσανδρος ἐκπέμπων τὰς κατασκόπους ναῦς, ἐκέλευσε τοὺς τριηράρχους, ὅταν ἴδωσι τοὺς Ἀθηναίους ἐκβεβηκότας, ἐλαύνειν ἀποστρέψαντας ὀπίσω τάχει παντὶ, καὶ γενομένους κατὰ μέσον τὸν πόρον, ἀσπίδα χαλκῆν ἐπάρασθαι πρώραθεν, ἐπίπλου σύμβολον. Αὐτὸς δὲ τοὺς κυβερνήτας καὶ τριηράρχους ἐπιπλέων ἀνεκαλεῖτο, καὶ παρώρμα συνέχειν ἕκαστον ἐν τάξει τὸ πλήρωμα καὶ τοὺς ναύτας καὶ τοὺς ἐπιβάτας· ὅταν δὲ σημανθῇ, μετὰ προθυμίας καὶ ῥώμης ἐλαύνειν ἐπὶ τοὺς πολεμίους. Ὡς δὲ ἥ τε ἀσπὶς ἀπὸ τῶν νεῶν ἤρθη, καὶ τῇ σάλπιγγι τὴν ἀναγωγὴν ἐσήμαινεν ἀπὸ τῆς ναυαρχίδος, ἐπέπλεον μὲν αἱ νῆες, ἠμιλλῶντο δὲ οἱ πεζοὶ παρὰ τὸν αἰγιαλὸν ἐπὶ τὴν ἄκραν. Τὸ δὲ μεταξὺ τῶν ἠπείρων διάστημα ταύτῃ πεντεκαίδεκα σταδίων ἐστὶ, καὶ ταχέως ὑπὸ σπουδῆς καὶ προθυμίας τῶν ἐλαυνόντων συνῄρητο. Κόνων δὲ πρῶτος, ὁ τῶν Ἀθη-

Digitized by Google

ναίων στρατηγὸς, ἀπὸ τῆς γῆς ἰδὼν ἐπιπλέοντα τὸν στόλον, ἐξαίφνης ἀνεβόησεν ἐμβαίνειν, καὶ περιπαθῶν τῷ κακῷ, τοὺς μὲν ἐκάλει, τῶν δὲ ἐδεῖτο, τοὺς δὲ ἠνάγκαζε πληροῦν τὰς τριήρεις. Ἦν δὲ οὐδὲν ἔργον αὐτοῦ τῆς σπουδῆς, ἐσκεδασμένων τῶν ἀνθρώπων. Ὡς γὰρ ἐξέβησαν, εὐθὺς, ἅτε μηδὲν προσδυκῶντες, ἠγόραζον, ἐπλανῶντο περὶ τὴν χώραν, ἐκάθευδον ὑπὸ ταῖς σκηναῖς, ἠριστοποιοῦντο, πορρώτατω τοῦ μέλλοντος ἀπειρίᾳ τῶν ἡγουμένων ὄντες. Ἤδη δὲ κραυγῇ καὶ ῥοθίῳ προσφερομένων τῶν πολεμίων, ὁ μὲν Κόνων ὀκτὼ ναυσὶν ὑπεξέπλευσε, καὶ διαφυγὼν ἀπεπέρασεν εἰς τὴν Κύπρον πρὸς Εὐαγόραν· ταῖς δὲ ἄλλαις ἐπιπεσόντες οἱ Πελοποννήσιοι, τὰς μὲν κενὰς παντάπασιν ἦρουν, τὰς δ' ἔτι πληρουμένας ἔκοπτον. Οἱ δ' ἄνθρωποι πρός τε ταῖς ναυσὶν ἀπέθνησκον, ἄνοπλοι καὶ σποράδες ἐπιβοηθοῦντες, ἔν τε τῇ γῇ φεύγοντες ἀποβάντων τῶν πολεμίων ἐκτείνοντο. Λαμβάνει δὲ ὁ Λύσανδρος τρισχιλίους ἄνδρας αἰχμαλώτους μετὰ τῶν στρατηγῶν· ἅπαν δὲ τὸ ναύσταθμον, ἄνευ τῆς παράλου, καὶ τῶν μετὰ Κόνωνος ἐκφυγουσῶν. Ἀναθησάμενος δὲ τὰς ναῦς, καὶ διαπορθήσας τὸ στρατόπεδον, μετ' αὐλοῦ καὶ παιάνων ἀνέπλευσεν εἰς Λάμψακον, ἔργον ἐλαχίστῳ πόνῳ μέγιστον ἐξειργασμένος, καὶ συνηρηκὼς ὥρᾳ μιᾷ χρόνου μήκιστον καὶ ποικιλώτατον, πάθεσί τε καὶ τύχαις ἀπιστότατον τῶν πρὸ αὐτοῦ πόλεμον· ὃς μυρίας μορφὰς ἀγώνων καὶ πραγμάτων μεταβολὰς ἀμείψας, καὶ στρατηγοὺς, ὅσους οὐδὲ οἱ

Digitized by Google

σύμπαντες οἱ πρὸ αὐτοῦ τῆς Ἑλλάδος, ἀναλώσας, ἑνὸς ἀνδρὸς εὐβουλίᾳ καὶ δεινότητι συνῄρητο· διὸ καὶ θεῖον τινὲς ἡγήσαντο τοῦτο τὸ ἔργον.

XII. Ἦσαν δέ τινες οἱ τοὺς Διοσκόρους ἐπὶ τῆς Λυσάνδρου νεὼς ἑκατέρωθεν, ὅτε τοῦ λιμένος ἐξέπλει πρῶτον ἐπὶ τοὺς πολεμίους, ἄστρα τοῖς οἴαξιν ἐπιλάμψαι λέγοντες. Οἱ δὲ καὶ τὴν τοῦ λίθου πτῶσιν ἐπὶ τῷ πάθει τούτῳ σημεῖον φασὶ γενέσθαι. Κατηνέχθη γὰρ, ὡς ἡ δόξα τῶν πολλῶν, ἐξ οὐρανοῦ παμμεγέθης λίθος εἰς Αἰγὸς ποταμούς. Καὶ δείκνυται μὲν ἔτι νῦν, σεβομένων αὐτὸν τῶν Χερρονησιτῶν· λέγεται δ' Ἀναξαγόραν προειπεῖν, ὡς τῶν κατὰ τὸν οὐρανὸν ἐνδεδεμένων σωμάτων, γενομένου τινὸς ὀλισθήματος, ἢ σάλου, ῥίψις ἔσται καὶ πτῶσις ἑνὸς ἀποῤῥαγέντος· εἶναι δὲ καὶ τῶν ἄστρων ἕκαστον οὐκ ἐν ᾗ πέφυκε χώρᾳ· λιθώδη γὰρ ὄντα καὶ βαρέα, λάμπειν μὲν ἀντερείσει καὶ περικλάσει τοῦ αἰθέρος, ἕλκεσθαι δὲ ὑπὸ βίας σφιγγόμενον δίνῃ καὶ τόνῳ τῆς περιφορᾶς, ὥς που καὶ τὸ πρῶτον ἐκρατήθη μὴ πεσεῖν δεῦρο, τῶν ψυχρῶν καὶ βαρέων ἀποκρινομένων τοῦ παντός. Ἔστι δέ τις πιθανωτέρα δόξα ταύτης, εἰρηκότων ἐνίων, ὡς οἱ διάττοντες ἀστέρες οὐ ῥύσις εἰσὶν, οὐδ' ἐπινέμησις αἰθερίου πυρὸς ἐν ἀέρι κατασβεννυμένου περὶ τὴν ἕλξιν αὐτὴν, οὐδὲ ἀέρος εἰς τὴν ἄνω χώραν πλήθει χυθέντος ἔκπρησις καὶ ἀνάφλεξις, ῥίψις δὲ καὶ πτῶσις οὐρανίων σωμάτων, οἷον ἐνδόσει τινὶ τόνου καὶ περιτρόπου κινήσεως, ἐκπάλων φερομένων οὐκ ἀεὶ πρὸς τὸν οἰκούμενον τόπον

Digitized by Google

τῆς γῆς, ἀλλὰ τῶν πλείστων ἐκτὸς εἰς τὴν μεγάλην ἐκπιπτόντων θάλατταν· διὸ καὶ λανθάνουσι. Τῷ δ' Ἀναξαγόρᾳ μαρτυρεῖ καὶ Δαίμαχος ἐν τοῖς Περὶ εὐσεβείας, ἱστορῶν, ὅτι πρὸ τοῦ πεσεῖν τὸν λίθον, ἐφ' ἡμέρας ἑβδομήκοντα καὶ πέντε συνεχῶς κατὰ τὸν οὐρανὸν ἐωρᾶτο πύρινον σῶμα παμμέγεθες, ὥσπερ νέφος φλογοειδὲς, οὐ σχολάζον, ἀλλὰ πολυπλόκους καὶ κεκλασμένας φορὰς φερόμενον, ὥστε ὑπὸ σάλου καὶ πλάνης ἀποῤῥηγνύμενα πυροειδῆ σπάσματα φέρεσθαι πολλαχοῦ καὶ ἀστράπτειν, ὥσπερ οἱ διάττοντες ἀστέρες. Ἐπεὶ δ' ἐνταῦθα τῆς γῆς ἔβρισε, καὶ παυσάμενοι φόβου καὶ θάμβους οἱ ἐπιχώριοι συνῆλθον, ὤφθη πυρὸς μὲν οὐδὲν ἔργον οὐδ' ἴχνος τοσούτου, λίθος δὲ κείμενος, ἄλλως μὲν μέγας, οὐθὲν δὲ μέρος, ὡς εἰπεῖν, ἐκείνης τῆς πυροειδοῦς περιοχῆς ἔχων. Ὅτι μὲν οὖν εὐγνωμόνων ὁ Δαίμαχος ἀκροατῶν δεῖται, δῆλός ἐστιν· εἰ δ' ἀληθὴς ὁ λόγος, ἐξελέγχει κατὰ κράτος τοὺς φάσκοντας ἔκ τινος ἀκρωρείας ἀποκοπεῖσαν πνεύμασι καὶ ζάλαις πέτραν, ὑποληφθεῖσαν δ', ὥσπερ οἱ στρόβιλοι, καὶ φερομένην, ἧ πρῶτον ἐνέδωκε καὶ διελύθη τὸ περιδινῆσαν, ἐκριφῆναι καὶ πεσεῖν. Εἰ μὴ νὴ Δία πῦρ μὲν ἦν ὄντως τὸ φαινόμενον ἐπὶ πολλὰς ἡμέρας, σβέσις δὲ καὶ φθορὰ μεταβολὴν ἀέρι παρέσχεν εἰς πνεύματα βιαιότερα καὶ κινήσεις, ὑφ' ὧν συνέτυχε καὶ τὸν λίθον ἐκριφῆναι. Ταῦτα μὲν οὖν ἑτέρῳ γένει γραφῆς διακριβωτέον.

XIII. Ὁ δὲ Λύσανδρος, ἐπεὶ τῶν τρισχιλίων Ἀθη-

Digitized by Google

ναίων, οὓς ἔλαβεν αἰχμαλώτους, ὑπὸ τῶν συνέδρων θάνατος κατέγνωστο, καλέσας Φιλοκλέα τὸν στρατηγὸν, ἠρώτησεν αὐτὸν, τίνα τιμᾶται δίκην ἑαυτῷ, τοιαῦτα περὶ Ἑλλήνων συμβεβουλευκὼς τοῖς πολίταις. Ὁ δ' οὐδέν τι πρὸς τὴν συμφορὰν ἐνδοὺς, ἐκέλευσε μὴ κατηγορεῖν, ὧν οὐδεὶς ἐστι δικαστὴς, ἀλλὰ νικῶντα πράττειν, ἅπερ ἂν νικηθεὶς ἔπασχεν· εἶτα λουσάμενος καὶ λαβὼν χλαμύδα λαμπρὰν, πρῶτος ἐπὶ τὴν σφαγὴν ἦγεῖτο τοῖς πολίταις, ὡς ἱστορεῖ Θεόφραστος. Ἐκ δὲ τούτου πλέων ὁ Λύσανδρος ἐπὶ τὰς πόλεις, Ἀθηναίων μὲν οἷς ἐπιτύχοι, ἐκέλευε πάντας εἰς Ἀθήνας ἀπιέναι· φείσεσθαι γὰρ οὐδενὸς, ἀλλ' ἀποσφάξειν, ὃν ἂν ἔξω λάβῃ τῆς πόλεως. Ταῦτα δ' ἔπραττε καὶ συνήλαυνεν ἅπαντας εἰς τὸ ἄστυ, βουλόμενος ἐν τῇ πόλει ταχὺ λιμὸν ἰσχυρὸν γενέσθαι καὶ σπάνιν, ὅπως μὴ πράγματα παράσχοιεν αὐτῷ τὴν πολιορκίαν εὐπόρως ὑπομένοντες. Καταλύων δὲ τοὺς δήμους, καὶ τὰς ἄλλας πολιτείας, ἕνα μὲν ἁρμοστὴν ἑκάστῃ Λακεδαιμόνιον κατέλιπεν, δέκα δ' ἄρχοντας ἐκ τῶν ὑπ' αὐτοῦ συγκεκροτημένων κατὰ πόλιν ἑταιριῶν. Καὶ ταῦτα πράττων ὁμοίως ἔν τε ταῖς πολεμίαις καὶ ταῖς συμμάχοις γεγενημέναις πόλεσι, παρέπλει σχολαίως, τρόπον τινὰ κατασκευαζόμενος ἑαυτῷ τὴν τῆς Ἑλλάδος ἡγεμονίαν. Οὔτε γὰρ ἀριστίνδην, οὔτε πλουτίνδην ἀπεδείκνυε τοὺς ἄρχοντας, ἀλλ' ἑταιρίαις καὶ ξενίαις χαριζόμενος τὰ πράγματα, καὶ κυρίους ποιῶν τιμῆς τε καὶ κολάσεως, πολλαῖς δὲ παραγινόμενος αὐτὸς σφαγαῖς, καὶ συνεκβάλλων τοὺς

Digitized by Google

τῶν φίλων ἐχθροὺς, οὐκ ἐπιεικὲς ἐδίδου τοῖς Ἕλλησι δεῖγμα τῆς Λακεδαιμονίων ἀρχῆς. Ἀλλὰ καὶ ὁ κωμικὸς Θεόπομπος ἔοικε ληρεῖν, ἀπεικάζων τοὺς Λακεδαιμονίους ταῖς καπηλίσιν, ὅτι τοὺς Ἕλληνας ἥδιστον ποτὸν τῆς ἐλευθερίας γεύσαντες, ὄξος ἐνέχεαν. Εὐθὺς γὰρ ἦν τὸ γεῦμα δυσχερὲς καὶ πικρὸν, οὔτε τοὺς δήμους κυρίους τῶν πραγμάτων ἐῶντος εἶναι τοῦ Λυσάνδρου, καὶ τῶν ὀλίγων τοῖς θρασυτάτοις καὶ φιλονεικοτάτοις τὰς πόλεις ἐγχειρίζοντος.

XIV. Διατρίψας δὲ περὶ ταῦτα χρόνον οὐ πολύν, καὶ προπέμψας εἰς Λακεδαίμονα τοὺς ἀπαγγελοῦντας, ὅτι προσπλεῖ μετὰ νεῶν διακοσίων, συνέμιξε περὶ τὴν Ἀττικὴν Ἄγιδι καὶ Παυσανίᾳ, τοῖς βασιλεῦσιν, ὡς ταχὺ συναιρήσων τὴν πόλιν. Ἐπεὶ δ' ἀντεῖχον οἱ Ἀθηναῖοι, λαβὼν τὰς ναῦς, πάλιν εἰς Ἀσίαν διεπέρασε· καὶ τῶν μὲν ἄλλων πόλεων ὁμαλῶς ἁπασῶν κατέλυε τὰς πολιτείας, καὶ καθίστη δεκαδαρχίας, πολλῶν μὲν ἐν ἑκάστῃ σφαττομένων, πολλῶν δὲ φευγόντων· Σαμίους δὲ πάντας ἐκβαλὼν, παρέδωκε τοῖς φυγάσι τὰς πόλεις. Σηστὸν δ' Ἀθηναίων ἐχόντων ἀφελόμενος, οὐκ εἴασεν οἰκεῖν Σηστίους, ἀλλὰ τοῖς γενομένοις ὑπ' αὐτῷ κυβερνήταις καὶ κελευσταῖς ἔδωκε τὴν πόλιν καὶ τὴν χώραν νέμεσθαι. Πρὸς ὃ καὶ πρῶτον ἀντέκρουσαν οἱ Λακεδαιμόνιοι, καὶ τοὺς Σηστίους αὖθις ἐπὶ τὴν χώραν κατήγαγον. Ἀλλ' ἐκεῖνά γε τοῦ Λυσάνδρου πάντες ἡδέως ἑώρων οἱ Ἕλληνες, Αἰγινήτας τε διὰ πολλοῦ χρόνου τὴν αὑτῶν πόλιν ἀπολαμβάνοντας, καὶ Μηλίους καὶ Σκιωναίους ὑπ'

Digitized by Google

αὐτοῦ συνοικιζομένους, ἐξελαυνομένων Ἀθηναίων, καὶ τὰς πόλεις ἀποδιδόντων. Ἤδη δὲ καὶ τοὺς ἐν ἄστει κακῶς ἔχειν ὑπὸ λιμοῦ πυνθανόμενος, κατέπλευσεν εἰς τὸν Πειραιᾶ· καὶ παρεστήσατο τὴν πόλιν, ἀναγκασθῆσαν, ἐφ' οἷς ἐκεῖνος ἐκέλευε, ποιήσασθαι τὰς διαλύσεις. Καίτοι Λακεδαιμονίων ἐστὶν ἀκοῦσαι λεγόντων, ὡς Λύσανδρος μὲν ἔγραψε τοῖς ἐφόροις τόδε· „Ἁλώκαντι ταὶ Ἀθᾶναι." Λυσάνδρῳ δ' ἀντέγραψαν οἱ ἔφοροι· „Ἀρκεῖ τό γε ἁλώκειν." Ἀλλ' εὐπρεπείας χάριν οὗτος ὁ λόγος πέπλασται. Τὸ δ' ἀληθινὸν δόγμα τῶν ἐφόρων οὕτως εἶχε· „Τάδε τὰ τέλη τῶν Λακεδαιμονίων ἔγνω· Καββαλόντες τὸν Πειραιᾶ, καὶ τὰ μακρὰ σκέλη, καὶ ἐκβάντες ἐκ πασῶν τῶν πόλεων, τὰν αὑτῶν γᾶν ἔχοντες· ταῦτά κα δρῶντες τὰν εἰράναν ἔχοιτε, ἃ χρὴ δόντες, καὶ τοὺς φυγάδας ἀνέντες. Περὶ δὲ τᾶν ναῶν τῶ πλήθεος, ὁκοῖόν τί κα τήνοις δοκέῃ, ταῦτα ποιέετε." Ταύτην δὲ προσεδέξαντο τὴν σκυτάλην οἱ Ἀθηναῖοι, Θηραμένους τοῦ Ἄγνωνος συμβουλεύσαντος. Ὅτε καί φασιν ὑπὸ τῶν νέων τινὸς δημαγωγῶν Κλεομένους ἐρωτώμενον, εἰ τολμᾷ τἀναντία Θεμιστοκλεῖ πράττειν καὶ λέγειν, παραδιδοὺς τὰ τείχη τοῖς Λακεδαιμονίοις, ἃ Λακεδαιμονίων ἀκόντων ἐκεῖνος ἀνέστησεν, εἰπεῖν· „Ἀλλ' οὐδέν, ὦ μειράκιον, ὑπεναντίον ἐγὼ πράττω Θεμιστοκλεῖ· τὰ γὰρ αὐτὰ τείχη κἀκεῖνος ἐπὶ σωτηρίᾳ τῶν πολιτῶν ἀνέστησε, καὶ ἡμεῖς ἐπὶ σωτηρίᾳ καταβαλοῦμεν. Εἰ δὲ τὰ τείχη τὰς πόλεις εὐδαίμονας ἐποίει, πασῶν ἔδει πράττειν κάκιστα τὴν Σπάρτην, ἀτείχιστον οὖσαν."

Digitized by Google

XV. Ὁ δ' οὖν Λύσανδρος, ὡς παρέλαβε τὰς τε ναῦς ἀπέσας, πλὴν δώδεκα, καὶ τὰ τείχη τῶν Ἀθηναίων, ἕκτῃ ἐπὶ δεκάτῃ Μουνυχιῶνος μηνός, ἐν ᾗ καὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἐνίκων τὸν βάρβαρον, ἐβούλευσεν εὐθὺς καὶ τὴν πολιτείαν μεταστῆσαι. Δυσπειθῶς δὲ καὶ τραχέως φερόντων, ἀποστείλας πρὸς τὸν δῆμον, ἔφη, τὴν πόλιν εἰληφέναι παρασπονδοῦσαν· ἑστάναι γὰρ τὰ τείχη, τῶν ἡμερῶν, ἐφ' αἷς ἔδει καθῃρῆσθαι, παρῳχημένων. Ἑτέραν οὖν ἐξ ἀρχῆς προθήσειν γνώμην περὶ αὐτῶν, ὡς τὰς ὁμολογίας λελυκότων. Ἔνιοι δὲ καὶ προτεθῆναι φασὶν ὡς ἀληθῶς ὑπὲρ ἀνδραποδισμοῦ γνώμην ἐν τοῖς συμμάχοις· ὅτε καὶ τὸν Θηβαῖον Ἐριανθον εἰσηγήσασθαι, τὸ μὲν ἄστυ κατασκάψαι, τὴν δὲ χώραν ἀνεῖναι μηλόβοτον. Εἶτα μέντοι, συνουσίας γενομένης τῶν ἡγεμόνων, καὶ παρὰ πότον τινὸς Φωκέως ἆσαντος ἐκ τῆς Εὐριπίδου Ἠλέκτρας τὴν πάροδον, ἧς ἡ ἀρχή·

Ἀγαμέμνονος ὦ κόρα, ἦλυθον, Ἠλέκτρα,
Ποτὶ σὰν ἀγρότειραν αὐλάν·

πάντας ἐπικλασθῆναι, καὶ φανῆναι σχέτλιον ἔργον, τὴν οὕτως εὐκλεᾶ καὶ τοιούτους ἄνδρας φέρουσαν ἀνελεῖν καὶ διεργάσασθαι πόλιν. Ὁ δ' οὖν Λύσανδρος, ἐνδόντων τῶν Ἀθηναίων πρὸς ἅπαντα, πολλὰς μὲν ἐξ ἄστεος μεταπεμψάμενος αὐλητρίδας, πάσας δὲ τὰς ἐν τῷ στρατοπέδῳ συναγαγὼν, τὰ τείχη κατέσκαπτε, καὶ τὰς τριήρεις κατέφλεγε πρὸς τὸν αὐλὸν, ἐστεφανωμένων καὶ παιζόντων ἅμα τῶν συμμάχων, ὡς ἐκείνην τὴν ἡμέραν ἄρχουσαν τῆς ἐλευθερίας. Εὐ-

Digitized by Google

θὺς δὲ καὶ τὰ περὶ τὴν πολιτείαν ἐκίνησε, τριάκοντα μὲν ἐν ἄστει, δέκα δ' ἐν Πειραιεῖ καταστήσας ἄρχοντας, ἐμβαλὼν δὲ φρουρὰν εἰς τὴν ἀκρόπολιν, καὶ Καλλίβιον ἁρμοστὴν, ἄνδρα Σπαρτιάτην, ἐπιστήσας. Ἐπεὶ δὲ οὗτος Αὐτόλυκον, τὸν ἀθλητὴν, ἐφ' ᾧ τὸ συμπόσιον ὁ Ξενοφῶν πεποίηκε, τὴν βακτηρίαν διαράμενος παίσειν ἔμελλε, ὁ δὲ, τῶν σκελῶν συναράμενος, ἀνέτρεψεν αὐτὸν, οὐ συνηγανάκτησεν ὁ Λύσανδρος, ἀλλὰ καὶ συνεπετίμησε, φήσας, αὐτὸν οὐκ ἐπίστασθαι τὸν Καλλίβιον ἐλευθέρων ἄρχειν. Ἀλλὰ τὸν μὲν Αὐτόλυκον οἱ τριάκοντα, τῷ Καλλιβίῳ χαριζόμενοι, μικρὸν ὕστερον ἀνεῖλον.

XVI. Ὁ δὲ Λύσανδρος ἀπὸ τούτων γενόμενος, αὐτὸς μὲν ἐπὶ Θρᾴκης ἐξέπλευσε, τῶν δὲ χρημάτων τὰ περιόντα, καὶ ὅσας δωρεὰς αὐτὸς, ἢ στεφάνους ἐδέξατο, πολλῶν, ὡς εἰκὸς, διδόντων ἀνδρὶ δυνατωτάτῳ καὶ τρόπον τινὰ κυρίῳ τῆς Ἑλλάδος, ἀπέστειλεν εἰς Λακεδαίμονα διὰ Γυλίππου τοῦ στρατηγήσαντος περὶ Σικελίαν. Ὁ δὲ, ὡς λέγεται, τὰς ῥαφὰς τῶν ἀγγείων κάτωθεν ἀναλύσας, καὶ ἀφελὼν συχνὸν ἀργύριον ἐξ ἑκάστου, πάλιν συνέῤῥαψεν, ἀγνοήσας, ὅτι γραμματίδιον ἐνῆν ἑκάστῳ τὸν ἀριθμὸν σημαῖνον. Ἐλθὼν δ' εἰς Σπάρτην, ἃ μὲν ὑφήρητο, κατέκρυψεν ὑπὸ τὸν κέραμον τῆς οἰκίας, τὰ δ' ἀγγεῖα παρέδωκε τοῖς ἐφόροις, καὶ τὰς σφραγῖδας ἐπέδειξεν. Ἐπεὶ δ', ἀνοιξάντων καὶ ἀριθμούντων, διεφώνει πρὸς τὰ γράμματα τὸ πλῆθος τοῦ ἀργυρίου, καὶ παρεῖχε τοῖς ἐφόροις ἀπορίαν τὸ πρᾶγμα, φρά-

Digitized by Google

ζει θεράπων τοῦ Γυλίππου πρὸς αὐτοὺς αἰνιξάμενος, ὑπὸ τῷ κεραμικῷ κοιτάζεσθαι πολλὰς γλαῦκας. Ἦν γὰρ, ὡς ἔοικε, τὸ χάραγμα τοῦ πλείστου τότε νομίσματος, διὰ τοὺς Ἀθηναίους, γλαῦκες.

XVII. Ὁ μὲν οὖν Γύλιππος αἰσχρὸν οὕτω καὶ ἀγεννὲς ἔργον ἐπὶ λαμπροῖς τοῖς ἔμπροσθεν καὶ μεγάλοις ἐργασάμενος, μετέστησεν ἑαυτὸν ἐκ Λακεδαίμονος. Οἱ δὲ φρονιμώτατοι τῶν Σπαρτιατῶν, οὐχ ἥκιστα καὶ διὰ τοῦτο τὴν τοῦ νομίσματος ἰσχὺν φοβηθέντες, ὡς οὐχὶ τῶν τυχόντων ἅπτομένην πολιτῶν, τόν τε Λύσανδρον ἐλοιδόρουν, καὶ διεμαρτύραντο τοῖς ἐφόροις ἀποδιοπομπεῖσθαι πᾶν τὸ ἀργύριον καὶ τὸ χρυσίον, ὥσπερ κῆρας ἐπαγωγίμους. Οἱ δὲ προὔθεσαν γνώμην. Καὶ Θεόπομπος μὲν φησι Σκιραφίδαν, Ἔφορος δὲ Φλογίδαν εἶναι τὸν ἀποφηνάμενον, ὡς οὐ χρὴ προσδέχεσθαι νόμισμα χρυσοῦν καὶ ἀργυροῦν εἰς τὴν πόλιν, ἀλλὰ χρῆσθαι τῷ πατρίῳ. Τοῦτο δ' ἦν σιδηροῦν, πρῶτον μὲν ὄξει μεταβαπτόμενον ἐκ πυρὸς, ὅπως μὴ καταχαλκεύοιτο, ἀλλὰ διὰ τὴν βαφὴν ἄστομον καὶ ἄδρανὲς γίνοιτο· ἔπειτα βαρύσταθμον, καὶ δυσπαρακόμιστον, καὶ ἀπὸ πολλοῦ τινος πλήθους καὶ ὄγκου μικράν τινα ἀξίαν δυνάμενον. Κινδυνεύει δὲ καὶ τὸ πάμπαν ἀρχαῖον οὕτως ἔχειν, ὀβελίσκοις χρωμένων νομίσμασι σιδηροῖς, ἐνίων δὲ χαλκοῖς· ἀφ' ὧν παραμένει πλῆθος ἔτι καὶ νῦν τῶν κερμάτων ὀβολοὺς καλεῖσθαι, δραχμὴν δὲ τοὺς ἓξ ὀβολούς· τοσούτων γὰρ ἡ χεὶρ περιεδράττετο. Τῶν δὲ Λυσάνδρου φίλων ὑπενα-

Digitized by Google

τιουμένων, καὶ σπουδασάντων ἐν τῇ πόλει καταμεῖναι τὰ χρήματα, δημοσίᾳ μὲν ἔδοξεν εἰσάγεσθαι νόμισμα τοιοῦτον, ἂν δέ τις ἰδίᾳ κεκτημένος ἰδιᾳ, ζημίαν ὥρισαν θάνατον· ὥσπερ τοῦ Λυκούργου τὸ νόμισμα φοβηθέντος, οὐ τὴν ἐπὶ τῷ νομίσματι φιλαργυρίαν, ἣν οὐκ ἀφῄρει τὸ μὴ κεκτῆσθαι τὸν ἰδιώτην, ὡς τὸ κεκτῆσθαι τὴν πόλιν εἰσεποιεῖτο, τῆς χρείας ἀξίαν προσλαμβανούσης καὶ ζῆλον. Οὐ γὰρ ἦν, δημοσίᾳ τιμώμενον ὁρῶντας, ἰδίᾳ καταφρονεῖν ὡς ἀχρήστου· καὶ πρὸς τὰ οἰκεῖα νομίζειν ἑκάστῳ μηδενὸς ἄξιον πρᾶγμα, τὸ κοινῇ οὕτως εὐδοκιμοῦν καὶ ἀγαπώμενον. Ἀλλὰ καὶ πολλῷ τάχιον ἀπὸ τῶν κοινῶν ἐπιτηδευμάτων ἐπιῤῥέουσιν οἱ ἐθισμοὶ τοῖς ἰδιωτικοῖς βίοις, ἢ τὰ καθ' ἕκαστον ὀλισθήματα καὶ πάθη τὰς πόλεις ἀναπίμπλησι πραγμάτων πονηρῶν. Τῷ γὰρ ὅλῳ συνδιαστρέφεσθαι τὰ μέρη μᾶλλον, ὅταν ἐνδῷ πρὸς τὸ χεῖρον, εἰκός· αἱ δ' ἀπὸ μέρους εἰς ὅλον ἁμαρτίαι πολλὰς ἐνστάσεις καὶ βοηθείας ἀπὸ τῶν ὑγιαινόντων ἔχουσιν. Οἱ δὲ ταῖς μὲν οἰκίαις τῶν πολιτῶν, ὅπως οὐ πάρεισιν εἰς αὐτὰς νόμισμα, τὸν φόβον ἐπέστησαν φύλακα καὶ τὸν νόμον· αὐτὰς δὲ τὰς ψυχὰς ἀνεκπλήκτους καὶ ἀπαθεῖς πρὸς ἀργύριον οὐ διετήρησαν, ἐμβαλόντες εἰς ζῆλον, ὡς σεμνοῦ δή τινος καὶ μεγάλου, τοῦ πλουτεῖν ἅπαντας. Περὶ μὲν οὖν τούτων καὶ δι' ἑτέρας που γραφῆς ἡψάμεθα Λακεδαιμονίων.

XVIII. Ὁ δὲ Λύσανδρος ἔστησεν ἀπὸ τῶν λαφύρων ἐν Δελφοῖς αὑτοῦ χαλκῆν εἰκόνα, καὶ τῶν ναυάρχων ἑκάστου, καὶ χρυσοῦς ἀστέρας τῶν Διοσ-

Digitized by Google

κούρων, οἳ πρὸ τῶν Λευκτρικῶν ἠφανίσθησαν. Ἐν δὲ τῷ Βρασίδου καὶ Ἀκανθίων θησαυρῷ τριήρης ἔκειτο διὰ χρυσοῦ πεποιημένη καὶ ἐλέφαντος, δυοῖν πηχῶν, ἣν Κῦρος αὐτῷ νικητήριον ἔπεμψεν. Ἀλεξανδρίδης δὲ ὁ Δελφὸς ἱστορεῖ καὶ παρακαταθήκην ἐνταῦθα Λυσάνδρου κεῖσθαι, τάλαντον ἀργυρίου καὶ μνᾶς πεντήκοντα δύο, καὶ πρὸς τούτοις ἕνδεκα στατῆρας· οὐχ ὁμολογούμενα γράφων τοῖς περὶ τῆς πενίας τοῦ ἀνδρὸς ὁμολογουμένοις. Τότε δ' οὖν ὁ Λύσανδρος, ὅσον οὐδεὶς τῶν πρόσθεν Ἑλλήνων δυνηθεὶς, ἐδόκει φρονήματι καὶ ὄγκῳ μείζονι κεχρῆσθαι τῆς δυνάμεως. Πρώτῳ μὲν γὰρ, ὡς ἱστορεῖ Δοῦρις, Ἑλλήνων ἐκείνῳ βωμοὺς αἱ πόλεις ἀνέστησαν, ὡς θεῷ, καὶ θυσίας ἔθυσαν· εἰς δὲ πρῶτον παιᾶνες ᾄσθησαν, ὧν ἐνὸς ἀρχὴν ἀπομνημονεύουσι τοιάνδε·

Τὸν Ἑλλάδος ἀγαθέας στρατηγὸν εὐρυχώρου Σπάρτας
ὑμνήσομεν, ὦ ἰὴ παιάν.

Σάμιοι δὲ τὰ παρ' αὐτοῖς Ἡραῖα, Λυσάνδρια παλεῖν ἐψηφίσαντο. Τῶν δὲ ποιητῶν Χοίριλον μὲν ἀεὶ περὶ αὑτὸν εἶχεν, ὡς κοσμήσοντα τὰς πράξεις διὰ ποιητικῆς. Ἀντιλόχῳ δὲ ποιήσαντι μετρίους τινὰς εἰς αὐτὸν στίχους, ἡσθεὶς ἔδωκε πλήσας ἀργυρίου τὸν πίλον. Ἀντιμάχου δὲ τοῦ Κολοφωνίου, καὶ Νικηράτου τινὸς Ἡρακλεώτου, ποιήμασι Λυσάνδρια διαγωνισαμένων ἐπ' αὐτῷ, τὸν Νικήρατον ἐστεφάνωσεν. Ὁ δ' Ἀντίμαχος ἀχθεσθεὶς ἠφάνισε τὸ ποίημα. Πλάτων δὲ, νέος ὢν τότε, καὶ θαυμάζων τὸν Ἀντίμαχον ἐπὶ τῇ ποιητικῇ, βαρέως φέροντα

Digitized by Google

τὴν ἧτταν ἀνελάμβανε καὶ παρεμυθεῖτο, τοῖς ἀγνοοῦσι κακὸν εἶναι φάμενος τὴν ἄγνοιαν, ὥσπερ τὴν τυφλότητα τοῖς μὴ βλέπουσιν. Ἐπεὶ μέντοι ὁ κιθαρῳδὸς Ἀριστόνους, ἑξάκις Πύθια νενικηκὼς, ἐπηγγέλλετο τῷ Λυσάνδρῳ φιλοφρονούμενος, ἂν νικήσῃ πάλιν, Λυσάνδρου κηρύξειν ἑαυτὸν, „Ἢ δοῦλον;“ εἶπεν.

XIX. Ἀλλ' ἡ μὲν φιλοτιμία τοῦ Λυσάνδρου τοῖς πρώτοις καὶ ἰσοτίμοις ἦν ἐπαχθὴς μόνον. Ὑπεροψίας δὲ πολλῆς ἅμα τῇ φιλοτιμίᾳ διὰ τοὺς θεραπεύοντας ἐγγενομένης τῷ ἤθει καὶ βαρύτητος, οὔτε τιμῆς, οὔτε τιμωρίας μέτρον ἦν παρ' αὐτῷ δημοτικόν· ἀλλὰ φιλίας μὲν ἆθλα καὶ ξενίας, ἀνυπεύθυνοι δυναστεῖαι πόλεων καὶ τυραννίδες ἀνεξέταστοι, θυμοῦ δὲ μία πλήρωσις, ἀπολέσθαι τὸν ἀνεχθανόμενον· οὐδὲ γὰρ φυγεῖν ἔξῆν. Ἀλλὰ καὶ Μιλησίων ὕστερον τοὺς τοῦ δήμου προϊσταμένους δεδιὼς, μὴ φύγωσι, καὶ προαγαγεῖν τοὺς κεκρυμμένους βουλόμενος, ὤμοσε μὴ ἀδικήσειν· πιστεύσαντας δὲ καὶ προελθόντας, ἀποσφάξαι τοῖς ὀλιγαρχικοῖς παρέδωκεν, οὐκ ἐλάττονας ὀκτακοσίων συναμφοτέρους ὄντας. Ἦν δὲ καὶ τῶν ἄλλων ἐν ταῖς πόλεσι δημοτικῶν φόνος οὐκ ἀριθμητὸς, ἅτε δὴ μὴ κατ' ἰδίας μόνον αἰτίας αὐτοῦ κτείνοντος, ἀλλὰ πολλαῖς μὲν ἔχθραις, πολλαῖς δὲ πλεονεξίαις τῶν ἑκασταχόθι φίλων χαριζομένου τὰ τοιαῦτα καὶ συνεργοῦντος. Ὅθεν εὐδοκίμησεν Ἐτεοκλῆς ὁ Λακεδαιμόνιος, εἰπὼν, ὡς οὐκ ἂν ἡ Ἑλλὰς δύο Λυσάνδρους ἤνεγκε. Τὸ δ'

Digitized by Google

αὐτὸ τοῦτο καὶ περὶ Ἀλκιβιάδου φησὶ Θεόφραστος εἰπεῖν Ἀρχέστρατον. Ἀλλ' ἐκεῖ μὲν ὕβρις ἦν καὶ τρυφὴ σὺν αὐθαδείᾳ τὸ μάλιστα δυσχεραινόμενον· τὴν δὲ Λυσάνδρου δύναμιν ἡ τοῦ τρόπου χαλεπότης φοβερὰν ἐποίει καὶ βαρεῖαν. Οἱ δὲ Λακεδαιμόνιοι τοῖς μὲν ἄλλοις οὐ πάνυ προσεῖχον ἐγκαλοῦσιν· ἐπεὶ δὲ Φαρνάβαζος, ἀδικούμενος ὑπ' αὐτοῦ τὴν χώραν ἄγοντος καὶ φέροντος, ἀπέστειλεν εἰς τὴν Σπάρτην κατηγόρους, ἀγαναχτήσαντες οἱ ἔφοροι, τῶν μὲν φίλων αὐτοῦ καὶ συστρατήγων ἕνα, Θώρακα, λαβόντες ἀργύριον ἰδίᾳ κεκτημένον, ἀπέκτειναν, ἐκείνῳ δὲ σκυτάλην ἀπέπεμψαν, ἥκειν κελεύοντες. Ἔστι δ' ἡ σκυτάλη τοιοῦτον. Ἐπὰν ἐκπέμψωσι ναύαρχον, ἢ στρατηγόν, οἱ ἔφοροι, ξύλα δύο στρογγύλα μῆκος καὶ πάχος ἀκριβῶς ἀπισώσαντες, ὥστε ταῖς τομαῖς ἐφαρμόζειν πρὸς ἄλληλα, τὸ μὲν αὐτοὶ φυλάττουσι, θάτερον δὲ τῷ πεμπομένῳ διδόασι. Ταῦτα δὲ τὰ ξύλα σκυτάλας καλοῦσιν. Ὅταν οὖν ἀπόῤῥητόν τι καὶ μέγα φράσαι βουληθῶσι, βιβλίον, ὥσπερ ἱμάντα, μακρὸν καὶ στενὸν ποιοῦντες, περιελίττουσι τὴν παρ' αὐτοῖς σκυτάλην, οὐδὲν διάλειμμα ποιοῦντες, ἀλλὰ πανταχόθεν κύκλῳ τὴν ἐπιφάνειαν αὐτῆς τῷ βιβλίῳ καταλαμβάνοντες. Τοῦτο δὲ ποιήσαντες, ἃ βούλονται, καταγράφουσιν εἰς τὸ βιβλίον, ὥσπερ ἐστὶ τῇ σκυτάλῃ περικείμενον. Ὅταν δὲ γράψωσιν, ἀφελόντες τὸ βιβλίον, ἄνευ τοῦ ξύλου πρὸς τὸν στρατηγὸν ἀποστέλλουσι. Λεξάμενος δ' ἐκεῖνος, ἄλλως μὲν οὐδὲν ἀναλέξασθαι δύναται τῶν γραμμά-

Digitized by Google

των, συναφὴν οὐκ ἐχόντων, ἀλλὰ διεσπασμένων· τὴν δὲ παρ' αὐτῷ σκυτάλην λαβὼν, τὸ τμῆμα τοῦ βιβλίου περὶ αὐτὴν περιέτεινεν, ὥστε, τῆς ἕλικος εἰς τάξιν ὁμοίως ἀποκαθισταμένης, ἐπιβάλλοντα τοῖς πρώτοις τὰ δεύτερα, κύκλῳ τὴν ὄψιν ἐπάγειν τὸ συνεχὲς ἀνευρίσκουσαν. Καλεῖται δὲ ὁμωνύμως τῷ ξύλῳ σκυτάλη τὸ βιβλίον, ὡς τῷ μετροῦντι τὸ μετρούμενον.

XX. Ὁ δὲ Λύσανδρος, ἐλθούσης τῆς σκυτάλης πρὸς αὐτὸν εἰς τὸν Ἑλλήσποντον, διεταράχθη, καὶ μάλιστα τὰς τοῦ Φαρναβάζου δεδιὼς κατηγορίας, ἐσπούδασεν εἰς λόγους αὐτῷ συνελθεῖν ὡς λύσων τὴν διαφοράν. Καὶ συνελθὼν ἐδεῖτο γράψαι περὶ αὐτοῦ πρὸς τοὺς ἄρχοντας ἑτέραν ἐπιστολὴν, ὡς οὐδὲν ἠδικημένον, οὐδ' ἐγκαλοῦντα. Πρὸς Κρῆτα δ' ἄρα, τὸ τοῦ λόγου, κρητίζων ἠγνόει τὸν Φαρνάβαζον. Ὑποσχόμενος γὰρ ἅπαντα ποιήσειν, φανερῶς μὲν ἔγραψεν, οἵαν ὁ Λύσανδρος ἠξίωσεν ἐπιστολὴν, κρύφα δ' εἶχεν ἑτέραν αὐτόθι γεγραμμένην. Ἐν δὲ τῷ τὰς σφραγῖδας ἐπιβάλλειν, ἐναλλάξας τὰ βιβλία μηδὲν διαφέροντα τῇ ὄψει, δίδωσιν ἐκείνην αὐτῷ τὴν κρύφα γεγραμμένην. Ἀφικόμενος οὖν ὁ Λύσανδρος εἰς Λακεδαίμονα, καὶ παρευθεὶς, ὥσπερ ἔθος ἐστὶ, πρὸς τὸ ἀρχεῖον, ἀπέδωκε τοῖς ἐφόροις τὰ γράμματα τοῦ Φαρναβάζου, πεπεισμένος ἀνηρῆσθαι τὸ μέγιστον αὐτοῦ τῶν ἐγκλημάτων. Ἠγαπᾶτο γὰρ ὁ Φαρνάβαζος ὑπὸ τῶν Λακεδαιμονίων, προθυμότατος ἐν τῷ πολέμῳ τῶν βασιλέως στρατηγῶν γεγενημένος

Digitized by Google

Ἐπεὶ δ' ἀναγνόντες οἱ ἔφοροι τὴν ἐπιστολὴν, ἔδειξαν αὐτῷ, καὶ συνῆκεν, ὡς

Οὐκ ἄρ' Ὀδυσσεύς ἐστιν αἰμύλος μόνον,

τότε μὲν ἰσχυρῶς τεθορυβημένος ἀπῆλθεν· ἡμέραις δ' ὀλίγαις ὕστερον ἐντυχὼν τοῖς ἄρχουσιν, ἔφη δεῖν αὐτὸν εἰς Ἄμμωνος ἀναβῆναι, καὶ τῷ θεῷ θῦσαι θυσίας, ἃς ηὔξατο πρὸ τῶν ἀγώνων. Ἔνιοι μὲν οὖν ὡς ἀληθῶς φασὶν αὐτῷ πολιορκοῦντι τὴν τῶν Ἀφυταίων πόλιν ἐν Θράκῃ κατὰ τοὺς ὕπνους παραστῆναι τὸν Ἄμμωνα· διὸ καὶ τὴν πολιορκίαν ἀφεὶς, ὡς τοῦ θεοῦ προστάξαντος, ἐκέλευε τοὺς Ἀφυταίους Ἄμμωνι θύειν, καὶ τὸν θεὸν ἐσπούδασεν εἰς τὴν Λιβύην πορευθεὶς ἐξιλάσασθαι. Τοῖς δὲ πλείστοις ἐδόκει πρόσχημα ποιεῖσθαι τὸν θεὸν, ἄλλως δὲ τοὺς ἐφόρους δεδοικὼς, καὶ τὸν οἴκοι ζυγὸν οὐ φέρων, οὐδ' ὑπομένων ἄρχεσθαι, πλάνης ὀρέγεσθαι καὶ περιφοιτήσεως τινός· ὥσπερ ἵππος ἐκ νομῆς ἄφετον καὶ λειμῶνος αὖθις ἥκων ἐπὶ φάτνην, καὶ πρὸς τὸ σύνηθες ἔργον αὖθις ἀγόμενος. Ἦν μὲν γὰρ Ἔφορος τῆς ἀποδημίας ταύτης αἰτίαν ἀναγράφει, μετὰ μικρὸν ἀφηγήσομαι.

XXI. Μόλις δὲ καὶ χαλεπῶς ἀφεθῆναι διαπραξάμενος ὑπὸ τῶν ἐφόρων, ἐξέπλευσεν. Οἱ δὲ βασιλεῖς, ἀποδημήσαντος αὐτοῦ, συμφρονήσαντες, ὅτι ταῖς ἑταιρίαις τὰς πόλεις κατέχων, διὰ παντὸς ἄρχει καὶ κύριός ἐστι τῆς Ἑλλάδος, ἔπρασσον, ὅπως ἀποδώσουσι τοῖς δημόταις τὰ πράγματα, τοὺς ἐκείνου φίλους ἐκβαλόντες. Οὐ μὴν ἀλλὰ πάλιν πρὸς

Digitized by Google

ταῦτα κινήματος γενομένου, καὶ πρώτων τῶν ἀπὸ Φυλῆς Ἀθηναίων ἐπιθεμένων τοῖς τριάκοντα, καὶ κρατούντων, ἐπανελθὼν διὰ ταχέων ὁ Λύσανδρος, ἔπεισε τοὺς Λακεδαιμονίους ταῖς ὀλιγαρχίαις βοηθεῖν, καὶ τοὺς δήμους κολάζειν. Καὶ πρώτοις τοῖς τριάκοντα πέμπουσιν ἑκατὸν τάλαντα πρὸς τὸν πόλεμον, καὶ στρατηγὸν αὐτῶν, Λύσανδρον. Οἱ δὲ βασιλεῖς φθονοῦντες, καὶ δεδιότες, μὴ πάλιν ἕλῃ τὰς Ἀθήνας, ἔγνωσαν ἐξιέναι τὸν ἕτερον αὐτῶν. Ἐξῆλθε δὲ ὁ Παυσανίας, λόγῳ μὲν ὑπὲρ τῶν τυράννων ἐπὶ τὸν δῆμον, ἔργῳ δὲ καταλύσων τὸν πόλεμον, ὡς μὴ πάλιν ὁ Λύσανδρος διὰ τῶν φίλων κύριος γένοιτο τῶν Ἀθηνῶν. Τοῦτο μὲν οὖν διεπράξατο ῥᾳδίως, καὶ τοὺς Ἀθηναίους διαλλάξας, καὶ καταπαύσας τὴν στάσιν, ἀφείλετο τοῦ Λυσάνδρου τὴν φιλοτιμίαν. Ὀλίγῳ δὲ ὕστερον ἀποστάντων πάλιν τῶν Ἀθηναίων, αὐτὸς μὲν αἰτίαν ἔλαβεν, ὡς ἐγκεχαλινωμένον τῇ ὀλιγαρχίᾳ τὸν δῆμον ἀνεὶς αὖθις ἐξυβρίσαι καὶ θρασύνασθαι· τῷ δὲ Λυσάνδρῳ προσεθήκατο δόξαν ἀνδρὸς οὐ πρὸς ἑτέρων χάριν, οὐδὲ θεατρικῶς, ἀλλὰ πρὸς τὸ τῇ Σπάρτῃ συμφέρον αὐθεκάστως στρατηγοῦντος.

XXII. Ἦν δὲ καὶ τῷ λόγῳ θρασὺς, καὶ καταπληκτικὸς πρὸς τοὺς ἀντιτείνοντας. Ἀργείοις μὲν γὰρ ἀμφιλογουμένοις περὶ γῆς ὅρων, καὶ δικαιότερα τῶν Λακεδαιμονίων οἰομένοις λέγειν, δείξας τὴν μάχαιραν, „Ὁ ταύτης (ἔφη) κρατῶν βέλτιστα περὶ γῆς ὅρων διαλέγεται.“ Μεγαρέως δ' ἀνδρὸς ἔν τινι

Digitized by Google

συλλόγῳ παῤῥησίᾳ χρησαμένου πρὸς αὐτὸν, „Οἱ λόγοι σου (εἶπεν), ὦ ξένε, πόλεως δέονται.“ Τοὺς δὲ Βοιωτοὺς ἐπαμφοτερίζοντας ἠρώτα, πότερον ὀρθοῖς τοῖς δόρασιν, ἢ κεκλιμένοις, διαπορεύηται τὴν χώραν αὐτῶν. Ἐπεὶ δὲ, τῶν Κορινθίων ἀφεστώτων, παρερχομένους πρὸς τὰ τείχη τοὺς Λακεδαιμονίους ἑώρα προσβάλλειν ὀκνοῦντας, καὶ λαγώς τις ὤφθη διαπηδῶν τὴν τάφρον, „Οὐκ αἰσχύνεσθε (ἔφη) τοιούτους φοβούμενοι πολεμίους, ὧν οἱ λαγωσὶ δι' ἀργίαν τοῖς τείχεσιν ἐγκαθεύδουσιν;“ Ἐπεὶ δὲ Ἄγις ὁ βασιλεὺς ἐτελεύτησεν, ἀδελφὸν μὲν Ἀγησίλαον καταλιπὼν, υἱὸν δὲ νομιζόμενον Λεωτυχίδαν, ἐραστὴς τοῦ Ἀγησιλάου γεγονὼς ὁ Λύσανδρος, ἔπεισεν αὐτὸν ἀντιλαμβάνεσθαι τῆς βασιλείας, ὡς Ἡρακλείδην ὄντα γνήσιον. Ὁ γὰρ Λεωτυχίδας διαβολὴν εἶχεν ἐξ Ἀλκιβιάδου γεγονέναι, συνόντος αὐτοῦ κρύφα τῇ Ἄγιδος γυναικὶ Τιμαίᾳ, καθ' ὃν χρόνον φεύγων ἐν Σπάρτῃ διέτριβεν. Ὁ δ' Ἄγις, ὥς φασι, χρόνου μὲν λογισμῷ τὸ πρᾶγμα συνελὼν, ὡς οὐ κυήσειεν ἐξ αὐτοῦ, παρημέλει τοῦ Λεωτυχίδου, καὶ φανερὸς ἦν ἀναινόμενος αὐτὸν, παρά γε τὸν λοιπὸν χρόνον. Ἐπεὶ δὲ νοσῶν εἰς Ἡραίαν ἐκομίσθη, καὶ τελευτᾶν ἔμελλε, τὰ μὲν ὑπ' αὐτοῦ τοῦ νεανίσκου, τὰ δὲ ὑπὸ τῶν φίλων ἐκλιπαρηθεὶς, ἐναντίον πολλῶν ἀπέφηνεν υἱὸν αὑτοῦ τὸν Λεωτυχίδαν, καὶ δεηθεὶς τῶν παρόντων ἐπιμαρτυρῆσαι ταῦτα πρὸς τοὺς Λακεδαιμονίους, ἀπέθανεν. Οὗτοι μὲν οὖν ἐμαρτύρουν ταῦτα τῷ Λεωτυχίδᾳ· τὸν δ' Ἀγησίλαον, λαμπρὸν ὄντα τᾶλ-

Digitized by Google

θὺς δὲ καὶ τὰ περὶ τὴν πολιτείαν ἐκίνησε, τριάκοντα μὲν ἐν ἄστει, δέκα δ' ἐν Πειραιεῖ καταστήσας ἄρχοντας, ἐμβαλὼν δὲ φρουρὰν εἰς τὴν ἀκρόπολιν, καὶ Καλλίβιον ἁρμοστὴν, ἄνδρα Σπαρτιάτην, ἐπιστήσας. Ἐπεὶ δὲ οὗτος Αὐτόλυκον, τὸν ἀθλητὴν, ἐφ' ᾧ τὸ συμπόσιον ὁ Ξενοφῶν πεποίηκε, τὴν βυκτηρίαν διαράμενος παίσειν ἔμελλε, ὁ δὲ, τῶν σκελῶν συναράμενος, ἀνέτρεψεν αὐτὸν, οὐ συνηγανάκτησεν ὁ Λύσανδρος, ἀλλὰ καὶ συνεπετίμησε, φήσας, αὐτὸν οὐκ ἐπίστασθαι τὸν Καλλίβιον ἐλευθέρων ἄρχειν. Ἀλλὰ τὸν μὲν Αὐτόλυκον οἱ τριάκοντα, τῷ Καλλιβίῳ χαριζόμενοι, μικρὸν ὕστερον ἀνεῖλον.

XVI. Ὁ δὲ Λύσανδρος ἀπὸ τούτων γενόμενος, αὐτὸς μὲν ἐπὶ Θρᾴκης ἐξέπλευσε, τῶν δὲ χρημάτων τὰ περιόντα, καὶ ὅσας δωρεὰς αὐτὸς, ἢ στεφάνους ἐδέξατο, πολλῶν, ὡς εἰκὸς, διδόντων ἀνδρὶ δυνατωτάτῳ καὶ τρόπον τινὰ κυρίῳ τῆς Ἑλλάδος, ἀπέστειλεν εἰς Λακεδαίμονα διὰ Γυλίππου τοῦ στρατηγήσαντος περὶ Σικελίαν. Ὁ δὲ, ὡς λέγεται, τὰς ῥαφὰς τῶν ἀγγείων κάτωθεν ἀναλύσας, καὶ ἀφελὼν συχνὸν ἀργύριον ἑξ ἑκάστου, πάλιν συνέῤῥαψεν, ἀγνοήσας, ὅτι γραμματίδιον ἐνῆν ἑκάστῳ τὸν ἀριθμὸν σημαῖνον. Ἐλθὼν δ' εἰς Σπάρτην, ἃ μὲν ὑφήρητο, κατέκρυψεν ὑπὸ τὸν κέραμον τῆς οἰκίας, τὰ δ' ἀγγεῖα παρέδωκε τοῖς ἐφόροις, καὶ τὰς σφραγῖδας ἐπέθειξεν. Ἐπεὶ δ', ἀνοιχάντων καὶ ἀριθμούντων, διεφώνει πρὸς τὰ γράμματα τὸ πλῆθος τοῦ ἀργυρίου, καὶ παρεῖχε τοῖς ἐφόροις ἀπορίαν τὸ πρᾶγμα, φρὰ-

Digitized by Google

ζει θεράπων τοῦ Γυλίππου πρὸς αὐτοὺς αἰνιξάμενος, ὑπὸ τῷ κεραμικῷ κοιτάζεσθαι πολλὰς γλαῦκας. Ἦν γὰρ, ὡς ἔοικε, τὸ χάραγμα τοῦ πλείστου τότε νομίσματος, διὰ τοὺς Ἀθηναίους, γλαῦκες.

XVII. Ὁ μὲν οὖν Γύλιππος αἰσχρὸν οὕτω καὶ ἀγεννὲς ἔργον ἐπὶ λαμπροῖς τοῖς ἔμπροσθεν καὶ μεγάλοις ἐργασάμενος, μετέστησεν ἑαυτὸν ἐκ Λακεδαίμονος. Οἱ δὲ φρονιμώτατοι τῶν Σπαρτιατῶν, οὐχ ἥκιστα καὶ διὰ τοῦτο τὴν τοῦ νομίσματος ἰσχὺν φοβηθέντες, ὡς οὐχὶ τῶν τυχόντων ἅπτομένην πολιτῶν, τόν τε Λύσανδρον ἐλοιδόρουν, καὶ διεμαρτύραντο τοῖς ἐφόροις ἀποδιοπομπεῖσθαι πᾶν τὸ ἀργύριον καὶ τὸ χρυσίον, ὥσπερ κῆρας ἐπαγωγίμους. Οἱ δὲ προὔθεσαν γνώμην. Καὶ Θεόπομπος μέν φησι Σκιραφίδαν, Ἔφορος δὲ Φλογίδαν εἶναι τὸν ἀποφηνάμενον, ὡς οὐ χρὴ προσδέχεσθαι νόμισμα χρυσοῦν καὶ ἀργυροῦν εἰς τὴν πόλιν, ἀλλὰ χρῆσθαι τῷ πατρίῳ. Τοῦτο δ' ἦν σιδηροῦν, πρῶτον μὲν ὄξει μεταβαπτόμενον ἐκ πυρὸς, ὅπως μὴ καταχαλκεύοιτο, ἀλλὰ διὰ τὴν βαφὴν ἄστομον καὶ ἀδρανὲς γίνοιτο· ἔπειτα βαρύσταθμον, καὶ δυσπαρακόμιστον, καὶ ἀπὸ πολλοῦ τινος πλήθους καὶ ὄγκου μικράν τινα ἀξίαν δυνάμενον. Κινδυνεύει δὲ καὶ τὸ πάμπαν ἀρχαῖον οὕτως ἔχειν, ὀβελίσκοις χρωμένων νομίσμασι σιδηροῖς, ἐνίων δὲ χαλκοῖς· ἀφ' ὧν παραμένει πλῆθος ἔτι καὶ νῦν τῶν κερμάτων ὀβολοὺς καλεῖσθαι, δραχμὴν δὲ τοὺς ἓξ ὀβολούς· τοσούτων γὰρ ἡ χεὶρ περιεδράττετο. Τῶν δὲ Λυσάνδρου φίλων ὑπεναν-

Digitized by Google

τιουμένων, καὶ σπουδασάντων ἐν τῇ πόλει καταμεῖναι τὰ χρήματα, δημοσίᾳ μὲν ἔδοξεν εἰσάγεσθαι νόμισμα τοιοῦτον, ἂν δέ τις ἄλῳ κεκτημένος ἰδίᾳ, ζημίαν ὥρισαν θάνατον· ὥσπερ τοῦ Λυκούργου τὸ νόμισμα φοβηθέντος, οὐ τὴν ἐπὶ τῷ νομίσματι φιλαργυρίαν, ἣν οὐκ ἀφῄρει τὸ μὴ κεκτῆσθαι τὸν ἰδιώτην, ὡς τὸ κεκτῆσθαι τὴν πόλιν εἰσεποιεῖτο, τῆς χρείας ἀξίαν προσλαμβανούσης καὶ ζῆλον. Οὐ γὰρ ἦν, δημοσίᾳ τιμώμενον ὁρῶντας, ἰδίᾳ καταφρονεῖν ὡς ἀχρήστου· καὶ πρὸς τὰ οἰκεῖα νομίζειν ἑκάστῳ μηδενὸς ἄξιον πρᾶγμα, τὸ κοινῇ οὕτως εὐδοκιμοῦν καὶ ἀγαπώμενον. Ἀλλὰ καὶ πολλῷ τάχιον ἀπὸ τῶν κοινῶν ἐπιτηδευμάτων ἐπιῤῥέουσιν οἱ ἐθισμοὶ τοῖς ἰδιωτικοῖς βίοις, ἢ τὰ καθ' ἕκαστον ὀλισθήματα καὶ πάθη τὰς πόλεις ἀναπίμπλησι πραγμάτων πονηρῶν. Τῷ γὰρ ὅλῳ συνδιαστρέφεσθαι τὰ μέρη μᾶλλον, ὅταν ἐνδῷ πρὸς τὸ χεῖρον, εἰκός· αἱ δ' ἀπὸ μέρους εἰς ὅλον ἁμαρτίαι πολλὰς ἐνστάσεις καὶ βοηθείας ἀπὸ τῶν ὑγιαινόντων ἔχουσιν. Οἱ δὲ ταῖς μὲν οἰκίαις τῶν πολιτῶν, ὅπως οὐ πάρεισιν εἰς αὐτὰς νόμισμα, τὸν φόβον ἐπέστησαν φύλακα καὶ τὸν νόμον· αὐτὰς δὲ τὰς ψυχὰς ἀνεκπλήκτους καὶ ἀπαθεῖς πρὸς ἀργύριον οὐ διετήρησαν, ἐμβαλόντες εἰς ζῆλον, ὡς σεμνοῦ δή τινος καὶ μεγάλου, τοῦ πλουτεῖν ἅπαντας. Περὶ μὲν οὖν τούτων καὶ δι' ἑτέρας που γραφῆς ἡψάμεθα Λακεδαιμονίων.

XVIII. Ὁ δὲ Λύσανδρος ἔστησεν ἀπὸ τῶν λαφύρων ἐν Δελφοῖς αὐτοῦ χαλκῆν εἰκόνα, καὶ τῶν ναυάρχων ἑκάστου, καὶ χρυσοῦς ἀστέρας τῶν Διοσ-

Digitized by Google

κούρων, οἳ πρὸ τῶν Λευκτρικῶν ἠφανίσθησαν. Ἐν δὲ τῷ Βρασίδου καὶ Ἀκανθίων θησαυρῷ τριήρης ἔκειτο διὰ χρυσοῦ πεποιημένη καὶ ἐλέφαντος, δυοῖν πηχῶν, ἣν Κῦρος αὐτῷ νικητήριον ἔπεμψεν. Ἀλεξανδρίδης δὲ ὁ Δελφὸς ἱστορεῖ καὶ παρακαταθήκην ἐνταῦθα Λυσάνδρου κεῖσθαι, τάλαντον ἀργυρίου καὶ μνᾶς πεντήκοντα δύο, καὶ πρὸς τούτοις ἕνδεκα στατῆρας· οὐχ ὁμολογούμενα γράφων τοῖς περὶ τῆς πενίας τοῦ ἀνδρὸς ὁμολογουμένοις. Τότε δ' οὖν ὁ Λύσανδρος, ὅσον οὐδεὶς τῶν πρόσθεν Ἑλλήνων δυνηθεὶς, ἐδόκει φρονήματι καὶ ὄγκῳ μείζονι κεχρῆσθαι τῆς δυνάμεως. Πρώτῳ μὲν γάρ, ὡς ἱστορεῖ Δοῦρις, Ἑλλήνων ἐκείνῳ βωμοὺς αἱ πόλεις ἀνέστησαν, ὡς θεῷ, καὶ θυσίας ἔθυσαν· εἰς δὲ πρῶτον παιᾶνες ᾄσθησαν, ὧν ἑνὸς ἀρχὴν ἀπομνημονεύουσι τοιάνδε·

Τὸν Ἑλλάδος ἀγαθέας στραταγὸν εὐρυχώρου Σπάρτας
ὑμνήσομεν, ὦ ἰὴ παιάν.

Σάμιοι δὲ τὰ παρ' αὐτοῖς Ἡραῖα, Λυσάνδρια καλεῖν ἐψηφίσαντο. Τῶν δὲ ποιητῶν Χοίριλον μὲν ἀεὶ περὶ αὑτὸν εἶχεν, ὡς κοσμήσοντα τὰς πράξεις διὰ ποιητικῆς. Ἀντιλόχῳ δὲ ποιήσαντι μετρίους τινὰς εἰς αὐτὸν στίχους, ἡσθεὶς ἔδωκε πλήσας ἀργυρίου τὸν πίλον. Ἀντιμάχου δὲ τοῦ Κολοφωνίου, καὶ Νικηράτου τινὸς Ἡρακλεώτου, ποιήμασι Λυσάνδρια διαγωνισαμένων ἐπ' αὐτῷ, τὸν Νικήρατον ἐστεφάνωσεν. ὁ δ' Ἀντίμαχος ἀχθεσθεὶς ἠφάνισε τὸ ποίημα. Πλάτων δὲ, νέος ὢν τότε, καὶ θαυμάζων τὸν Ἀντίμαχον ἐπὶ τῇ ποιητικῇ, βαρέως φέροντα

Digitized by Google

τὴν ἥτταν ἀνελάμβανε καὶ παρεμυθεῖτο, τοῖς ἀγνοοῦσι κακὸν εἶναι φάμενος τὴν ἄγνοιαν, ὥσπερ τὴν τυφλότητα τοῖς μὴ βλέπουσιν. Ἐπεὶ μέντοι ὁ κιθαρῳδὸς Ἀριστόνους, ἑξάκις Πύθια νενικηκὼς, ἐπηγγέλλετο τῷ Λυσάνδρῳ φιλοφρονούμενος, ἂν νικήσῃ πάλιν, Λυσάνδρου κηρύξειν ἑαυτὸν, „Ἢ δοῦλον;“ εἶπεν.

XIX. Ἀλλ' ἡ μὲν φιλοτιμία τοῦ Λυσάνδρου τοῖς πρώτοις καὶ ἰσοτίμοις ἦν ἐπαχθὴς μόνον. Ὑπεροψίας δὲ πολλῆς ἅμα τῇ φιλοτιμίᾳ διὰ τοὺς θεραπεύοντας ἐγγενομένης τῷ ἤθει καὶ βαρύτητος, οὔτε τιμῆς, οὔτε τιμωρίας μέτρον ἦν παρ' αὐτῷ δημοτικόν· ἀλλὰ φιλίας μὲν ἆθλα καὶ ξενίας, ἀνυπεύθυνοι δυναστεῖαι πόλεων καὶ τυραννίδες ἀνεξέταστοι, θυμοῦ δὲ μία πλήρωσις, ἀπολέσθαι τὸν ἀνεχθανόμενον· οὐδὲ γὰρ φυγεῖν ἐξῆν. Ἀλλὰ καὶ Μιλησίων ὕστερον τοὺς τοῦ δήμου προϊσταμένους δεδιὼς, μὴ φύγωσι, καὶ προαγαγεῖν τοὺς κεκρυμμένους βουλόμενος, ὤμοσε μὴ ἀδικήσειν· πιστεύσαντας δὲ καὶ προελθόντας, ἀποσφάξαι τοῖς ὀλιγαρχικοῖς παρέδωκεν, οὐκ ἐλάττονας ὀκτακοσίων συναμφοτέρους ὄντας. Ἦν δὲ καὶ τῶν ἄλλων ἐν ταῖς πόλεσι δημοτικῶν φόνος οὐκ ἀριθμητὸς, ἅτε δὴ μὴ κατ' ἰδίας μόνον αἰτίας αὐτοῦ κτείνοντος, ἀλλὰ πολλαῖς μὲν ἔχθραις, πολλαῖς δὲ πλεονεξίαις τῶν ἑκασταχόθι φίλων χαριζομένου τὰ τοιαῦτα καὶ συνεργοῦντος. Ὅθεν εὐδοκίμησεν Ἐτεοκλῆς ὁ Λακεδαιμόνιος, εἰπὼν, ὡς οὐκ ἂν ἡ Ἑλλὰς δύο Λυσάνδρους ἤνεγκε. Τὸ δ'

Digitized by Google

αὐτὸ τοῦτο καὶ περὶ Ἀλκιβιάδου φησὶ Θεόφραστος εἰπεῖν Ἀρχέστρατον. Ἀλλ' ἐκεῖ μὲν ὕβρις ἦν καὶ τρυφὴ σὺν αὐθαδείᾳ τὸ μάλιστα δυσχεραινόμενον· τὴν δὲ Λυσάνδρου δύναμιν ἡ τοῦ τρόπου χαλεπότης φοβερὰν ἐποίει καὶ βαρεῖαν. Οἱ δὲ Λακεδαιμόνιοι τοῖς μὲν ἄλλοις οὐ πάνυ προσεῖχον ἐγκαλοῦσιν· ἐπεὶ δὲ Φαρνάβαζος, ἀδικούμενος ὑπ' αὐτοῦ τὴν χώραν ἄγοντος καὶ φέροντος, ἀπέστειλεν εἰς τὴν Σπάρτην κατηγόρους, ἀγανακτήσαντες οἱ ἔφοροι, τῶν μὲν φίλων αὐτοῦ καὶ συστρατήγων ἕνα, Θώρακα, λαβόντες ἀργύριον ἰδίᾳ κεκτημένον, ἀπέκτειναν, ἐκείνῳ δὲ σκυτάλην ἀπέπεμψαν, ἥκειν κελεύοντες. Ἔστι δ' ἡ σκυτάλη τοιοῦτον. Ὅταν ἐκπέμψωσι ναύαρχον, ἢ στρατηγόν, οἱ ἔφοροι, ξύλα δύο στρογγύλα μῆκος καὶ πάχος ἀκριβῶς ἀπισώσαντες, ὥστε ταῖς τομαῖς ἐφαρμόζειν πρὸς ἄλληλα, τὸ μὲν αὐτοὶ φυλάττουσι, θάτερον δὲ τῷ πεμπομένῳ διδόασι. Ταῦτα δὲ τὰ ξύλα σκυτάλας καλοῦσιν. Ὅταν οὖν ἀπόῤῥητόν τι καὶ μέγα φράσαι βουληθῶσι, βιβλίον, ὥσπερ ἱμάντα, μακρὸν καὶ στενὸν ποιοῦντες, περιελίττουσι τὴν παρ' αὐτοῖς σκυτάλην, οὐδὲν διάλειμμα ποιοῦντες, ἀλλὰ πανταχόθεν κύκλῳ τὴν ἐπιφάνειαν αὐτῆς τῷ βιβλίῳ καταλαμβάνοντες. Τοῦτο δὲ ποιήσαντες, ἃ βούλονται, καταγράφουσιν εἰς τὸ βιβλίον, ὥσπερ ἐστὶ τῇ σκυτάλῃ περικείμενον. Ὅταν δὲ γράψωσιν, ἀφελόντες τὸ βιβλίον, ἄνευ τοῦ ξύλου πρὸς τὸν στρατηγὸν ἀποστέλλουσι. Δεξάμενος δ' ἐκεῖνος, ἄλλως μὲν οὐδὲν ἀναλέξασθαι δύναται τῶν γραμμά-

Digitized by Google

των, συναφὴν οὐκ ἐχόντων, ἀλλὰ διεσπασμένων· τὴν δὲ παρ' αὐτῷ σκυτάλην λαβὼν, τὸ τμῆμα τοῦ βιβλίου περὶ αὐτὴν περιέτεινεν, ὥστε, τῆς ἕλικος εἰς τάξιν ὁμοίως ἀποκαθισταμένης, ἐπιβάλλοντα τοῖς πρώτοις τὰ δεύτερα, κύκλῳ τὴν ὄψιν ἐπάγειν τὸ συνεχὲς ἀνευρίσκουσαν. Καλεῖται δὲ ὁμωνύμως τῷ ξύλῳ σκυτάλη τὸ βιβλίον, ὡς τῷ μετροῦντι τὸ μετρούμενον.

XX. Ὁ δὲ Λύσανδρος, ἐλθούσης τῆς σκυτάλης πρὸς αὐτὸν εἰς τὸν Ἑλλήσποντον, διεταράχθη, καὶ μάλιστα τὰς τοῦ Φαρναβάζου δεδιὼς κατηγορίας, ἐσπούδασεν εἰς λόγους αὐτῷ συνελθεῖν ὡς λύσων τὴν διαφοράν. Καὶ συνελθὼν ἐδεῖτο γράψαι περὶ αὐτοῦ πρὸς τοὺς ἄρχοντας ἑτέραν ἐπιστολὴν, ὡς οὐδὲν ἠδικημένον, οὐδ' ἐγκαλοῦντα. Πρὸς Κρῆτα δ' ἄρα, τὸ τοῦ λόγου, κρητίζων ἠγνόει τὸν Φαρνάβαζον. Ὑποσχόμενος γὰρ ἅπαντα ποιήσειν, φανερῶς μὲν ἔγραψεν, οἵαν ὁ Λύσανδρος ἠξίωσεν ἐπιστολὴν, κρύφα δ' εἶχεν ἑτέραν αὐτόθι γεγραμμένην. Ἐν δὲ τῷ τὰς σφραγῖδας ἐπιβάλλειν, ἐναλλάξας τὰ βιβλία μηδὲν διαφέροντα τῇ ὄψει, δίδωσιν ἐκείνην αὐτῷ τὴν κρύφα γεγραμμένην. Ἀφικόμενος οὖν ὁ Λύσανδρος εἰς Λακεδαίμονα, καὶ πορευθεὶς, ὥσπερ ἔθος ἐστὶ, πρὸς τὸ ἀρχεῖον, ἀπέδωκε τοῖς ἐφόροις τὰ γράμματα τοῦ Φαρναβάζου, πεπεισμένος ἀνῃρῆσθαι τὸ μέγιστον αὐτοῦ τῶν ἐγκλημάτων. Ἠγαπᾶτο γὰρ ὁ Φαρνάβαζος ὑπὸ τῶν Λακεδαιμονίων, προθυμότατος ἐν τῷ πολέμῳ τῶν βασιλέως στρατηγῶν γεγενημένος

Digitized by Google

Ἐπεὶ δ' ἀναγνόντες οἱ ἔφοροι τὴν ἐπιστολὴν, ἔδειξαν αὐτῷ, καὶ συνῆκεν, ὡς

Οὐκ ἄρ' Ὀδυσσεύς ἐστιν αἰμύλος μόνον,

τότε μὲν ἰσχυρῶς τεθορυβημένος ἀπῆλθεν· ἡμέραις δ' ὀλίγαις ὕστερον ἐντυχὼν τοῖς ἄρχουσιν, ἔφη δεῖν αὐτὸν εἰς Ἄμμωνος ἀναβῆναι, καὶ τῷ θεῷ θῦσαι θυσίας, ἃς ηὔξατο πρὸ τῶν ἀγώνων. Ἔνιοι μὲν οὖν ὡς ἀληθῶς φασὶν αὐτῷ πολιορκοῦντι τὴν τῶν Ἀφυταίων πόλιν ἐν Θρᾴκῃ κατὰ τοὺς ὕπνους παραστῆναι τὸν Ἄμμωνα· διὸ καὶ τὴν πολιορκίαν ἀφεὶς, ὡς τοῦ θεοῦ πρυστάξαντος, ἐκέλευε τοὺς Ἀφυταίους Ἄμμωνι θύειν, καὶ τὸν θεὸν ἐσπούδασεν εἰς τὴν Λιβύην πορευθεὶς ἐξιλάσασθαι. Τοῖς δὲ πλείστοις ἐδόκει πρόσχημα ποιεῖσθαι τὸν θεὸν, ἄλλως δὲ τοὺς ἐφόρους δεδοικὼς, καὶ τὸν οἰκοι ζυγὸν οὐ φέρων, οὐδ' ὑπομένων ἄρχεσθαι, πλάνης ὀρέγεσθαι καὶ περιφοιτήσεως τινός· ὥσπερ ἵππος ἐκ νομῆς ἄφετου καὶ λειμῶνος αὖθις ἥκων ἐπὶ φάτνην, καὶ πρὸς τὸ σύνηθες ἔργον αὖθις ἀγόμενος. Ἦν μὲν γὰρ Ἔφορος τῆς ἀποδημίας ταύτης αἰτίαν ἀναγράφει, μετὰ μικρὸν ἀφηγήσομαι.

XXI. Μόλις δὲ καὶ χαλεπῶς ἀφεθῆναι διαπραξάμενος ὑπὸ τῶν ἐφόρων, ἐξέπλευσεν. Οἱ δὲ βασιλεῖς, ἀποδημήσαντος αὐτοῦ, συμφρονήσαντες, ὅτι ταῖς ἑταιρίαις τὰς πόλεις κατέχων, διὰ παντὸς ἄρχει καὶ κύριός ἐστι τῆς Ἑλλάδος, ἔπρασσον, ὅπως ἀποδώσουσι τοῖς δημόταις τὰ πράγματα, τοὺς ἐκείνου φίλους ἐκβαλόντες. Οὐ μὴν ἀλλὰ πάλιν πρὸς

Digitized by Google

ταῦτα κινήματος γενομένου, καὶ πρώτων τῶν ἀπὸ Φυλῆς Ἀθηναίων ἐπιθεμένων τοῖς τριάκοντα, καὶ κρατούντων, ἐπανελθὼν διὰ ταχέων ὁ Λύσανδρος, ἔπεισε τοὺς Λακεδαιμονίους ταῖς ὀλιγαρχίαις βοηθεῖν, καὶ τοὺς δήμους κολάζειν. Καὶ πρώτοις τοῖς τριάκοντα πέμπουσιν ἑκατὸν τάλαντα πρὸς τὸν πόλεμον, καὶ στρατηγὸν αὐτῶν, Λύσανδρον. Οἱ δὲ βασιλεῖς φθονοῦντες, καὶ δεδιότες, μὴ πάλιν ἕλῃ τὰς Ἀθήνας, ἔγνωσαν ἐξιέναι τὸν ἕτερον αὐτῶν. Ἐξῆλθε δὲ ὁ Παυσανίας, λόγῳ μὲν ὑπὲρ τῶν τυράννων ἐπὶ τὸν δῆμον, ἔργῳ δὲ καταλύσων τὸν πόλεμον, ὡς μὴ πάλιν ὁ Λύσανδρος διὰ τῶν φίλων κύριος γένοιτο τῶν Ἀθηνῶν. Τοῦτο μὲν οὖν διεπράξατο ῥᾳδίως, καὶ τοὺς Ἀθηναίους διαλλάξας, καὶ καταπαύσας τὴν στάσιν, ἀφείλετο τοῦ Λυσάνδρου τὴν φιλοτιμίαν. Ὀλίγῳ δὲ ὕστερον ἀποστάντων πάλιν τῶν Ἀθηναίων, αὐτὸς μὲν αἰτίαν ἔλαβεν, ὡς ἐγκεχαλινωμένον τῇ ὀλιγαρχίᾳ τὸν δῆμον ἀνεὶς αὖθις ἐξυβρίσαι καὶ θρασύνασθαι· τῷ δὲ Λυσάνδρῳ προσεθήκατο δόξαν ἀνδρὸς οὐ πρὸς ἑτέρων χάριν, οὐδὲ θεατρικῶς, ἀλλὰ πρὸς τὸ τῇ Σπάρτῃ συμφέρον αὐθεκάστως στρατηγοῦντος.

XXII. Ἦν δὲ καὶ τῷ λόγῳ θρασὺς, καὶ καταπληκτικὸς πρὸς τοὺς ἀντιτείνοντας. Ἀργείοις μὲν γὰρ ἀμφιλογουμένοις περὶ γῆς ὅρων, καὶ δικαιότερα τῶν Λακεδαιμονίων οἰομένοις λέγειν, δείξας τὴν μάχαιραν, „Ὁ ταύτης (ἔφη) κρατῶν βέλτιστα περὶ γῆς ὅρων διαλέγεται.“ Μεγαρέως δ' ἀνδρὸς ἔν τινι

Digitized by Google

συλλόγῳ παῤῥησίᾳ χρησαμένου πρὸς αὐτὸν, „Οἱ λόγοι σου (εἶπεν), ὦ ξένε, πόλεως δέονται.“ Τοὺς δὲ Βοιωτοὺς ἐπαμφοτερίζοντας ἠρώτα, πότερον ὀρθοῖς τοῖς δόρασιν, ἢ κεκλιμένοις, διαπορεύηται τὴν χώραν αὐτῶν. Ἐπεὶ δὲ, τῶν Κορινθίων ἀφεστώτων, παρερχομένους πρὸς τὰ τείχη τοὺς Λακεδαιμονίους ἑώρα προσβάλλειν ὀκνοῦντας, καὶ λαγώς τις ὤφθη διαπηδῶν τὴν τάφρον, „Οὐκ αἰσχύνεσθε (ἔφη) τοιούτους φοβούμενοι πολεμίους, ὧν οἱ λαγωσὶ δι' ἀργίαν τοῖς τείχεσιν ἐγκαθεύδουσιν;“ Ἐπεὶ δὲ Ἄγις ὁ βασιλεὺς ἐτελεύτησεν, ἀδελφὸν μὲν Ἀγησίλαον καταλιπὼν, υἱὸν δὲ νομιζόμενον Λεωτυχίδαν, ἐραστὴς τοῦ Ἀγησιλάου γεγονὼς ὁ Λύσανδρος, ἔπεισεν αὐτὸν ἀντιλαμβάνεσθαι τῆς βασιλείας, ὡς Ἡρακλείδην ὄντα γνήσιον. Ὁ γὰρ Λεωτυχίδας διαβολὴν εἶχεν ἐξ Ἀλκιβιάδου γεγονέναι, συνόντος αὐτοῦ κρύφα τῇ Ἄγιδος γυναικὶ Τιμαίᾳ, καθ' ὃν χρόνον φεύγων ἐν Σπάρτῃ διέτριβεν. Ὁ δ' Ἄγις, ὥς φασι, χρόνου μὲν λογισμῷ τὸ πρᾶγμα συνελὼν, ὡς οὐ κυήσειεν ἐξ αὐτοῦ, παρημέλει τοῦ Λεωτυχίδου, καὶ φανερὸς ἦν ἀναινόμενος αὐτὸν, παρά γε τὸν λοιπὸν χρόνον. Ἐπεὶ δὲ νοσῶν εἰς Ἡραίαν ἐκομίσθη, καὶ τελευτᾶν ἔμελλε, τὰ μὲν ὑπ' αὐτοῦ τοῦ νεανίσκου, τὰ δὲ ὑπὸ τῶν φίλων ἐκλιπαρηθεὶς, ἐναντίον πολλῶν ἀπέφηνεν υἱὸν αὑτοῦ τὸν Λεωτυχίδαν, καὶ δεηθεὶς τῶν παρόντων ἐπιμαρτυρῆσαι ταῦτα πρὸς τοὺς Λακεδαιμονίους, ἀπέθανεν. Οὗτοι μὲν οὖν ἐμαρτύρουν ταῦτα τῷ Λεωτυχίδᾳ· τὸν δ' Ἀγησίλαον, λαμπρὸν ὄντα τἄλ-

Digitized by Google

λα, καὶ συναγωνιστῇ τῷ Λυσάνδρῳ χρώμενον, ἔβλαπτε Διοπείθης, ἀνὴρ εὐδόκιμος ἐπὶ χρησμολογίᾳ, τοιόνδε μάντευμα προσφέρων εἰς τὴν χωλότητα τοῦ Ἀγησιλάου·

Φράζεο δή, Σπάρτη, καίπερ μεγάλαυχος ἐοῦσα,
Μὴ σέθεν ἀρτίποδος βλάψῃ χωλὴ βασιλεία.
Δηρὸν γὰρ μόχθοι σε κατασχήσουσιν ἄελπτοι,
Θερσίβροτόν τ' ἐπὶ κῦμα κυλινδόμενον πολέμοιο.

Πολλῶν οὖν ὑποκατακλινομένων πρὸς τὸ λύγιον, καὶ τρεπομένων πρὸς τὸν Λεωτυχίδαν, ὁ Λύσανδρος οὐκ ὀρθῶς ἔφη τὸν Διοπείθη τὴν μαντείαν ὑπολαμβάνειν· οὐ γὰρ, ἂν προσπταίσας τις ἄρχῃ Λακεδαιμονίων, δυσχεραίνειν τὸν θεὸν, ἀλλὰ χωλὴν εἶναι τὴν βασιλείαν, εἰ νόθοι καὶ κακῶς γενόντες βασιλεύσουσιν Ἡρακλείδαις. Τοιαῦτα λέγων καὶ δυνάμενος πλεῖστον, ἔπεισε· καὶ γίνεται βασιλεὺς Ἀγησίλαος.

XXIII. Εὐθὺς οὖν αὐτὸν ἐξώρμα καὶ προὔτρεπεν ὁ Λύσανδρος εἰς τὴν Ἀσίαν στρατεύειν, ὑποτιθεὶς ἐλπίδας, ὡς καταλύσοντι Πέρσας, καὶ μεγίστῳ γενησομένῳ. Πρός τε τοὺς ἐν Ἀσίᾳ φίλους ἔγραψεν, αἰτεῖσθαι κελεύων παρὰ Λακεδαιμονίων στρατηγὸν Ἀγησίλαον ἐπὶ τὸν πρὸς τοὺς βαρβάρους πόλεμον. Οἱ δ' ἐπείθοντο, καὶ πρέσβεις ἔπεμπον εἰς Λακεδαίμονα δεομένους· ὃ δοκεῖ τῆς βασιλείας οὐκ ἔλαττον Ἀγησιλάῳ καλὸν ὑπάρξαι διὰ Λύσανδρον. Ἀλλ' αἱ φιλότιμοι φύσεις ἄλλως μὲν οὐ κακαὶ πρὸς τὰς ἡγεμονίας εἰσὶ, τὸ δὲ φθονεῖν

Digitized by Google

τοῖς ὁμοίοις διὰ δόξαν οὐ μικρὸν ἐμπόδιον τῶν καλῶν πράξεων ἔχουσι. Ποιοῦνται γὰρ ἀνταγωνιστὰς τῆς ἀρετῆς, οἷς πάρεστι χρῆσθαι συνεργοῖς. Ἀγησίλαος μὲν οὖν ἐπηγάγετο Λύσανδρον ἐν τοῖς τριάκοντα συμβούλοις, ὡς μάλιστα καὶ πρώτῳ τῶν φίλων χρησόμενος. Ἐπεὶ δ' εἰς τὴν Ἀσίαν παραγενομένων, πρὸς ἐκεῖνον μὲν οὐκ ἔχοντες οἱ ἄνθρωποι συνήθως, βραχέα καὶ σπανίως διελέγοντο· τὸν δὲ Λύσανδρον ἐκ πολλῆς τῆς πρόσθεν ὁμιλίας, οἵ τε φίλοι θεραπεύοντες, οἵ τε ὕποπτοι δεδοικότες, ἐφοίτων ἐπὶ θύρας καὶ παρηκολούθουν· οἷον ἐν τραγῳδίαις ἐπεικῶς συμβαίνει περὶ τοὺς ὑποκριτάς, τὸν μὲν, ἀγγέλου τινός, ἢ θεράποντος ἐπικείμενον πρόσωπον, εὐδοκιμεῖν καὶ πρωταγωνιστεῖν, τὸν δὲ διάδημα καὶ σκῆπτρον φοροῦντα μηδ' ἀκούεσθαι φθεγγόμενον· οὕτω περὶ τὸν σύμβουλον ἦν τὸ πᾶν ἀξίωμα τῆς ἀρχῆς, τῷ δὲ βασιλεῖ τοὔνομα τῆς δυνάμεως ἔρημον ὑπελείπετο. Γενέσθαι μὲν οὖν ἔδει ἴσως τινὰ τῆς ἐκμελοῦς ταύτης φιλοτιμίας ἐπαφὴν, καὶ συσταλῆναι τὸν Λύσανδρον ἄχρι τῶν δευτερείων· τὸ δὲ παντελῶς ἀποῤῥίψαι καὶ προπηλακίσαι διὰ δόξαν εὐεργέτην ἄνδρα καὶ φίλον, οὐκ ἦν ἄξιον Ἀγησιλάῳ προσεῖναι. Πρῶτον μὲν οὖν οὐ παρεῖχεν αὐτῷ πράξεων ἀφορμὰς, οὐδ' ἔταττεν ἐφ' ἡγεμονίας· ἔπειτα ὑπὲρ ὧν αἴσθοιτό τι πράττοντα καὶ σπουδάζοντα τὸν Λύσανδρον, ἀεὶ τούτους πάντων ἀπράκτους, καὶ τῶν ἐπιτυχόντων ἔλαττον ἔχοντας ἀπέπεμπεν, παραλύων ἡσυχῇ καὶ διαψύχων τὴν ἐκείνου δύ-

Digitized by Google

ναμιν. Ἐπεὶ δὲ τῶν πάντων διαμαρτάνων ὁ Λύσανδρος, ἔγνω τοῖς φίλοις τὴν παρ' αὐτοῦ σπουδὴν ἐναντίωμα γινομένην, αὐτός τε τὸ βοηθεῖν ἐξέλιπε, κἀκείνων ἐδεῖτο μὴ προσιέναι, μηδὲ θεραπεύειν αὐτὸν, ἀλλὰ τῷ βασιλεῖ διαλέγεσθαι, καὶ τοῖς δυναμένοις ὠφελεῖν τοὺς τιμῶντας αὐτοὺς μᾶλλον ἐν τῷ παρόντι. Ταῦτ' ἀκούοντες οἱ πολλοὶ, τοῦ μὲν ἐνοχλεῖν αὐτὸν περὶ πραγμάτων ἀπείχοντο, τὰς δὲ θεραπείας οὐ κατέλιπον, ἀλλὰ προσφοιτῶντες ἐν τοῖς περιπάτοις καὶ γυμνασίοις, ἔτι μᾶλλον, ἢ πρότερον, ἠγίων τὸν Ἀγησίλαον ὑπὸ φθόνου τῆς τιμῆς· ὥστε τοῖς πολλοῖς στρατιώταις ἡγεμονίας πραγμάτων καὶ διοικήσεις πόλεων ἀποδιδοὺς, τὸν Λύσανδρον ἀπέδειξε κρεωδαίτην. Εἶτα οἷον ἐφυβρίζων πρὸς τοὺς Ἴωνας· „Ἀπιόντες (ἔφη) νῦν τὸν ἐμὸν κρεωδαίτην θεραπευέτωσαν.“ Ἔδοξεν οὖν Λυσάνδρῳ διὰ λόγων πρὸς αὐτὸν ἐλθεῖν· καὶ γίνεται βραχὺς καὶ Λακωνικὸς αὐτῶν διάλογος. „Ἦ καλῶς ἤδεις, ὦ Ἀγησίλαε, φίλους ἐλαττοῦν.“ Καὶ ὅς· „Ἄν γε ἐμοῦ βούλωνται μείζονες εἶναι. Τοὺς δ' αὔξοντας τὴν ἐμὴν δύναμιν, καὶ μετέχειν αὐτῆς δίκαιον.“ „Ἀλλ' ἴσως μὲν, ὦ Ἀγησίλαε, σοὶ λέλεκται μᾶλλον, ἢ ἐμοὶ πέπρακται. Δέομαι δέ σου καὶ διὰ τοὺς ἐκτὸς ἀνθρώπους, οἳ πρὸς ἡμᾶς ἀποβλέπουσιν, ἐνταῦθά με τῆς σεαυτοῦ στρατηγίας τάξον, ὅπου τεταγμένον, ἥκιστα μὲν ἐπαχθῆ, μᾶλλον δὲ χρήσιμον ἔσεσθαι σεαυτῷ νομίζεις.“

XXIV. Ἐκ τούτου πρεσβευτὴς εἰς Ἑλλήσπον-

Digitized by Google

τον ἐπέμπετο· καὶ τὸν μὲν Ἀγησίλαον δι' ὀργῆς εἶχε, οὐκ ἠμέλει δὲ τοῦ τὰ δέοντα πράττειν. Σπιθριδάτην δὲ τὸν Πέρσην προσκεκρουκότα Φαρναβάζῳ, γενναῖον ἄνδρα καὶ στρατιὰν ἔχοντα περὶ αὑτόν, ἀποστήσας, ἦγαγε πρὸς τὸν Ἀγησίλαον. Ἄλλο δ' οὐδὲν ἐχρήσατο αὐτῷ πρὸς τὸν πόλεμον· ἀλλὰ τοῦ χρόνου διελθόντος, ἀπέπλευσεν εἰς τὴν Σπάρτην ἀτίμως, ὀργιζόμενος μὲν τῷ Ἀγησιλάῳ, μισῶν δὲ καὶ τὴν ὅλην πολιτείαν μᾶλλον ἔτι, ἢ πρότερον, καὶ τὰ πάλαι δοκοῦντα συγκεῖσθαι καὶ μεμηχανῆσθαι πρὸς μεταβολὴν καὶ νεωτερισμόν, ἐγνωκὼς ἐγχειρεῖν τότε καὶ μὴ διαμέλλειν. Ἦν δὲ τοιάδε. Τῶν ἀναμιχθέντων Δωριεῦσιν Ἡρακλειδῶν καὶ κατελθόντων εἰς Πελοπόννησον, πολὺ μὲν ἐν Σπάρτῃ καὶ λαμπρὸν ἤνθησε γένος· οὐ παντὶ δ' αὐτῶν τῆς βασιλικῆς μετῆν διαδοχῆς. Ἀλλ' ἐβασίλευον ἐκ δυεῖν οἴκων μόνον, Εὐρυτιωντίδαι καὶ Ἀγιάδαι προσαγορευόμενοι· τοῖς δ' ἄλλοις οὐδὲν ἑτέρου πλέον ἔχειν ἐν τῇ πολιτείᾳ διὰ τὴν εὐγένειαν ὑπῆρχεν. Αἱ δ' ἀπ' ἀρετῆς τιμαὶ πᾶσι προὔκειντο τοῖς δυναμένοις. Τούτων οὖν γεγονὼς ὁ Λύσανδρος, ὡς εἰς δόξαν τῶν πράξεων ἦρθη μεγάλην, καὶ φίλους ἐκέκτητο πολλοὺς καὶ δύναμιν, ἤχθετο τὴν πόλιν ὁρῶν ὑπ' αὐτοῦ μὲν αὐξανομένην, ὑφ' ἑτέρων δὲ βασιλευομένην, οὐδενὶ βέλτιον αὐτοῦ γεγονότων. Καὶ διενοεῖτο τὴν ἀρχὴν ἐκ τῶν δυεῖν οἴκων μεταστήσας, εἰς κοινὸν ἀποδοῦναι πᾶσιν Ἡρακλείδαις. Ὡς δ' ἔνιοι φασὶν, οὐχ Ἡρακλείδαις, ἀλλὰ Σπαρτιάταις· ἵνα μὴ ᾖ τῶν

Digitized by Google

ἀφ' Ἡρακλέους, ἀλλὰ τῶν οἷος Ἡρακλῆς, τὸ γέρας, ἀρετῇ κρινομένων, ἢ κἀκεῖνον εἰς θεῶν τιμὰς ἀνήγαγεν. Ἤλπιζε δὲ, τῆς βασιλείας οὕτω δικαζομένης, οὐδένα πρὸ αὐτοῦ Σπαρτιάτην ἂν αἱρεθήσεσθαι.

XXV. Πρῶτον μὲν οὖν ἐπεχείρησε καὶ παρεσκευάσατο πείθειν δι' ἑαυτοῦ τοὺς πολίτας, καὶ λόγον ἐξεμελέτα πρὸς τὴν ὑπόθεσιν γεγραμμένον ὑπὸ Κλέωνος τοῦ Ἁλικαρνασσέως. Ἔπειτα τὴν ἀτοπίαν καὶ τὸ μέγεθος τοῦ καινοτομουμένου πράγματος ὁρῶν ἰταμωτέρας δεόμενον βοηθείας, ὥσπερ ἐν τραγῳδίᾳ μηχανὴν αἴρων ἐπὶ τοὺς πολίτας, λόγια πυθόχρηστα καὶ χρησμοὺς συνετίθει καὶ κατεσκεύαζεν· ὡς οὐδὲν ὠφελησόμενος ὑπὸ τῆς Κλέωνος δεινότητος, εἰ μὴ φόβῳ τινὶ θεοῦ καὶ δεισιδαιμονίᾳ προεκπλήξας καὶ χειρωσάμενος, ὑπαγάγοι πρὸς τὸν λόγον τοὺς πολίτας. Ἔφορος μὲν οὖν φησιν, αὐτὸν, ὡς τήν τε Πυθίαν ἐπιχειρήσας διαφθεῖραι, καὶ τὰς Δωδωνίδας αἴθις ἀναπείθων διὰ Φερεκλέους ἀπέτυχεν, εἰς Ἄμμωνος ἀναβῆναι, καὶ διαλέγεσθαι τοῖς προφήταις πολὺ χρυσίον διδόντα· τοὺς δὲ δυσχεραίνοντας, εἰς Σπάρτην τινὰς ἀποστεῖλαι τοῦ Λυσάνδρου κατηγορήσοντας. Ἐπεὶ δ' ἀπελύθη, τοὺς Λίβυας ἀπιόντας εἰπεῖν· „Ἀλλ' ἡμεῖς γε βέλτιον, ὦ Σπαρτιᾶται, κρινοῦμεν, ὅταν ἥκητε πρὸς ἡμᾶς εἰς Λιβύην οἰκήσοντες.“ ὡς δὴ χρησμοῦ τινος ὄντος παλαιοῦ, Λακεδαιμονίους ἐν Λιβύῃ κατοικῆσαι. Τὴν δὲ ὅλην ἐπιβουλὴν καὶ σκευωρίαν τοῦ πλάσματος, οὐ φαύλην

Digitized by Google

οὖσαν, οὐδ' ἀφ' ὧν ἔτυχεν ἀρξαμένην, ἀλλὰ πολλὰς καὶ μεγάλας ὑποθέσεις, ὥσπερ ἐν διαγράμματι μαθηματικῷ, προσλαβοῦσαν, καὶ διὰ λημμάτων χαλεπῶν καὶ δυσπορίστων ἐπὶ τὸ συμπέρασμα προϊοῦσαν, ἡμεῖς ἀναγράψομεν, ἀνδρὸς ἱστορικοῦ καὶ φιλοσόφου λόγῳ κατακολουθήσαντες.

XXVI. Ἦν γύναιον ἐν Πόντῳ κύειν ἐξ Ἀπόλλωνος φάμενον, ᾧ πολλοὶ μὲν, ὡς εἰκὸς ἦν, ἠπίστουν, πολλοὶ δὲ καὶ προσεῖχον· ὥστε καὶ τεκούσης παιδίον ἄῤῥεν, ὑπὸ πολλῶν καὶ γνωρίμων σπουδάζεσθαι τὴν ἐκτροφὴν αὐτοῦ καὶ τὴν ἐπιμέλειαν. Ὄνομα δὲ τῷ παιδὶ Σιληνὸς ἐκ δή τινος αἰτίας ἐτέθη. Ταύτην λαβὼν ὁ Λύσανδρος ἀρχὴν, τὰ λοιπὰ παρ' ἑαυτοῦ προσετεκταίνετο καὶ συνύφαινεν, οὐκ ὀλίγοις χρώμενος, οὐδὲ φαύλοις τοῦ μύθου προαγωνισταῖς· οἳ τήν τε φήμην τῆς γενέσεως τοῦ παιδὸς εἰς πίστιν ἀνυπόπτως προῆγον, ἄλλον τε λόγον ἐκ Δελφῶν ἀντικομίσαντες εἰς τὴν Σπάρτην κατέβαλον καὶ διέσπειραν, ὡς ἐν γράμμασιν ἀποῤῥήτοις ὑπὸ τῶν ἱερέων φυλάττοιντο παμπάλαιοι δή τινες χρησμοὶ, καὶ λαβεῖν οὐκ ἔξεστι τούτοις, οὐδ' ἐντυχεῖν θεμιτὸν, εἰ μή τις ἄρα γεγονὼς ἐξ Ἀπόλλωνος ἀφίκοιτο τῷ πολλῷ χρόνῳ, καὶ σύνθημα τοῖς φυλάττουσι τῆς γενέσεως γνώριμον παρασχὼν, κομίσαιτο τὰς δέλτους, ἐν αἷς ἦσαν οἱ χρησμοί. Τούτων δὲ προκατεσκευασμένων, ἔδει τὸν Σιληνὸν ἐλθόντα τοὺς χρησμοὺς ἀπαιτεῖν, ὡς Ἀπόλλωνος παῖδα· τοὺς δὲ συμπράττοντας τῶν ἱερέων ἐξακριβοῦν ἕκαστα, καὶ διά-

Digitized by Google

πυνθάνεσθαι περὶ τῆς γενέσεως, τέλος δὲ, πεπεισμένους δῆθεν, ὡς Ἀπόλλωνος υἱῷ δεῖξαι τὰ γράμματα· τὸν δ' ἀναγνῶναι πολλῶν παρόντων ἄλλας τε μαντείας, καὶ ἧς ἕνεκα πέπλασται, τὴν περὶ τῆς βασιλείας, ὡς ἄμεινον εἴη καὶ λαῶδες Σπαρτιάταις ἐκ τῶν ἀρίστων πολιτῶν αἱρουμένοις τοὺς βασιλέας. Ἤδη δὲ τοῦ Σιληνοῦ μειρακίου γενομένου καὶ πρὸς τὴν πρᾶξιν ἥκοντος, ἐξέπεσε τοῦ δράματος ὁ Λύσανδρος, ἀτολμίᾳ τῶν ὑποκριτῶν καὶ συνεργῶν ἑνός, ὡς ἐπ' αὐτὸ τὸ ἔργον ἦλθεν, ἀποδειλιάσαντος καὶ ἀναδύντος. Οὐ μὴν ἐφωράθη γε τοῦ Λυσάνδρου ζῶντος οὐθὲν, ἀλλὰ μετὰ τὴν τελευτήν.

XXVII. Ἐτελεύτησε δὲ, πρὶν ἐξ Ἀσίας ἐπανελθεῖν τὸν Ἀγησίλαον, ἐμπεσὼν εἰς τὸν Βοιωτικὸν πόλεμον, ἢ μᾶλλον ἐμβαλὼν τὴν Ἑλλάδα. Λέγεται γὰρ ἀμφοτέρως· καὶ τὴν αἰτίαν οἱ μέν τινες ἐκείνου ποιοῦσιν, οἱ δὲ Θηβαίων, οἱ δὲ κοινήν· Θηβαίοις μὲν ἐγκαλοῦντες τὴν ἐν Αὐλίδι τῶν ἱερῶν διαῤῥιψιν, καὶ ὅτι τῶν περὶ Ἀνδροκλείδην καὶ Ἀμφίθεον χρήμασι βασιλικοῖς διαφθαρέντων, ἐπὶ τῷ Λακεδαιμονίοις Ἑλληνικὸν περιστῆσαι πόλεμον, ἐπέθεντο Φωκεῦσι, καὶ τὴν χώραν αὐτῶν ἐπόρθησαν. Λύσανδρον δέ φασιν ὀργῇ φέρειν, ὅτι τῆς δεκάτης ἀντεποιήσαντο τοῦ πολέμου Θηβαῖοι μόνοι, τῶν ἄλλων συμμάχων ἡσυχαζόντων, καὶ περὶ χρημάτων ἠγακάκτησαν, ἃ Λύσανδρος εἰς Σπάρτην ἀπέστειλε· μάλιστα δ' ἐπὶ τῷ παρασχεῖν ἀρχὴν Ἀθηναίοις ἐλευθερώσεως ἀπὸ τῶν τριάκοντα τυράννων

Digitized by Google

οὓς Λύσανδρος μὲν κατέστησε, Λακεδαιμόνιοι δὲ δύναμιν καὶ φόβον αὐτοῖς προστιθέντες, ἐψηφίσαντο τοὺς φεύγοντας ἐξ Ἀθηνῶν ἀγωγίμους εἶναι πανταχόθεν, ἐκποδὼν δὲ τοὺς ἑνισταμένους τοῖς ἄγουσι. Πρὸς ταῦτα γὰρ ἀντεψηφίσαντο Θηβαῖοι ψηφίσματα πρέποντα καὶ ἀδελφὰ ταῖς Ἡρακλέους καὶ Διονύσου πράξεσιν, οἰκίαν μὲν ἀνεῳχθαι πᾶσαν καὶ πόλιν ἐν Βοιωτίᾳ τοῖς δεομένοις Ἀθηναίων, τὸν δὲ τῷ ἀγομένῳ φυγάδι μὴ βοηθήσαντα ζημίαν ὀφείλειν τάλαντον· ἂν δέ τις Ἀθήναζε διὰ τῆς Βοιωτίας ἐπὶ τοὺς τυράννους ὅπλα κομίζῃ, μήτε ὁρᾶν τινα Θηβαίων, μήτ' ἀκούειν. Καὶ οὐκ ἐψηφίσαντο μὲν οὕτως Ἑλληνικὰ καὶ φιλάνθρωπα, τὰς δὲ πράξεις τοῖς γράμμασιν ὁμοίας οὐ παρέσχον· ἀλλὰ Θρασύβουλος καὶ οἱ σὺν αὐτῷ Φυλὴν καταλαβόντες, ἐκ Θηβῶν ὡρμήθησαν, ὅπλα καὶ χρήματα καὶ τὸ λαθεῖν καὶ τὸ ἄρξασθαι Θηβαίων αὐτοῖς συμπαρασκευασάντων. Αἰτίας μὲν οὖν ταύτας ἔλαβε κατὰ τῶν Θηβαίων ὁ Λύσανδρος.

XXVIII. Ἤδη δὲ παντάπασι χαλεπὸς ὢν ὀργήν, διὰ τὴν μελαγχολίαν ἐπιτείνουσαν εἰς γῆρας, παρώξυνε τοὺς ἐφόρους καὶ συνέπεισε πεμφθῆναι φρουρὰν ἐπ' αὐτούς, καὶ λαβὼν τὴν ἡγεμονίαν ἐξεστράτευσεν. Ὕστερον δὲ καὶ Παυσανίαν τὸν βασιλέα μετὰ στρατιᾶς ἀπέστειλαν. Ἀλλὰ Παυσανίας μὲν κύκλῳ περιελθὼν διὰ τοῦ Κιθαιρῶνος, ἔμελλεν εἰς τὴν Βοιωτίαν εἰσβαλεῖν. Λύσανδρος δὲ διὰ Φωκέων ἅπηντα, στρατιώτας ἔχων πολλούς· καὶ τὴν μὲν Ὀρ-

Digitized by Google

χομενίων πῶλιν ἑκουσίως προσχωρήσασαν ἔλαβε, τὴν δὲ Λεβαδίαν ἐπελθὼν διεπόρθησεν. Ἔπεμψε δὲ τῷ Παυσανίᾳ γράμματα, κελεύων εἰς Ἁλίαρτον ἐκ Πλαταιῶν συνάπτειν, ὡς αὐτὸς ἅμ' ἡμέρᾳ πρὸς τοῖς τείχεσι τῶν Ἁλιαρτίων γενησόμενος. Ταῦτα τὰ γράμματα πρὸς τοὺς Θηβαίους ἀπηνέχθη, τοῦ κομίζοντος εἰς κατασκόπους τινὰς ἐμπεσόντος. Οἱ δὲ, προσβεβοηθηκότων αὐτοῖς Ἀθηναίων, τὴν μὲν πόλιν ἐκείνοις διεπίστευσαν, αὐτοὶ δὲ, περὶ πρῶτον ὕπνον ἐξορμήσαντες, ἔφθασαν ὀλίγῳ τὸν Λύσανδρον ἐν Ἁλιάρτῳ γενόμενοι, καὶ μέρει τινὶ παρῆλθον εἰς τὴν πόλιν. Ἐκεῖνος δὲ τὸ μὲν πρῶτον ἔγνω, τὴν στρατιὰν ἱδρύσας ἐπὶ λόφου, περιμένειν τὸν Παυσανίαν. Ἔπειτα προϊούσης τῆς ἡμέρας ἀτρεμεῖν οὐ δυνάμενος, λαβὼν τὰ ὅπλα καὶ τοὺς συμμάχους παρορμήσας, ὀρθίᾳ τῇ φάλαγγι παρὰ τὴν ὁδὸν ἦγε πρὸς τὸ τεῖχος. Τῶν δὲ Θηβαίων οἱ μὲν ἔξω μεμενηκότες, ἐν ἀριστερᾷ τὴν πόλιν λαβόντες, ἐβάδιζον ἐπὶ τοὺς ἐσχάτους τῶν πολεμίων ὑπὸ τὴν κρήνην τὴν Κισσοῦσαν προσαγορευομένην· ἔνθα μυθολογοῦσι τὰς τιθήνας νήπιον ἐκ τῆς λοχείας ἀπολοῦσαι τὸν Διόνυσον. Καὶ γὰρ οἰνωπὸν ἐπιστίλβει τὸ χρῶμα καὶ διαυγές, καὶ πιεῖν ἥδιστον. Οἱ δὲ Κρήσσιοι στύρακες οὐ πρόσω περιπεφύκασιν· ἃ τεκμήρια τῆς Ῥαδαμάνθυος αὐτόθι κατοικήσεως Ἁλιάρτιοι ποιοῦνται, καὶ τάφον αὐτοῦ δεικνύουσιν, Ἀλεᾶ καλοῦντες. Ἔστι δὲ καὶ τὸ τῆς Ἀλκμήνης μνημεῖον ἐγγύς· ἐνταῦθα γάρ, ὥς φασι, ἐκηδεύθη, συνοι-

Digitized by Google

κήσασα Ῥαδαμάνθυϊ μετὰ τὴν Ἀμφιτρύωνος τελευτήν. Οἱ δ' ἐν τῇ πόλει Θηβαῖοι, μετὰ τῶν Ἁλιαρτίων συντεταγμένοι, τέως μὲν ἡσύχαζον· ἐπεὶ δὲ τὸν Λύσανδρον ἅμα τοῖς πρώτοις προσπελάζοντα τῷ τείχει κατεῖδον, ἐξαπίνης ἀνοίξαντες τὰς πύλας καὶ προσπεσόντες, αὐτόν τε μετὰ τοῦ μάντεως κατέβαλον, καὶ τῶν ἄλλων ὀλίγους τινάς· οἱ γὰρ πλεῖστοι ταχέως ἀνέφυγον πρὸς τὴν φάλαγγα. Τῶν δὲ Θηβαίων οὐκ ἀνιέντων, ἀλλὰ προσκειμένων αὐτοῖς, ἐτράποντο πάντες ἀνὰ τοὺς λόφους φεύγειν, καὶ χίλιοι πίπτουσιν αὐτῶν. Ἀπέθανον δὲ καὶ Θηβαίων τριακόσιοι, πρὸς τὰ τραχέα καὶ καρτερὰ τοῖς πολεμίοις συνεκπεσόντες. Οὗτοι δὲ ἦσαν ἐν αἰτίᾳ τοῦ λακωνίζειν, ἣν σπουδάζοντες ἀποδύσασθαι τοῖς πολίταις, καὶ σφῶν αὐτῶν ἀφειδοῦντες ἐν τῇ διώξει, παρανηλώθησαν.

XXIX. Τῷ δὲ Παυσανίᾳ τὸ πάθος ἀγγέλλεται καθ' ὁδὸν ἐκ Πλαταιῶν εἰς Θεσπιὰς πορευομένῳ· καὶ συνταξάμενος ἦκε πρὸς τὸν Ἁλίαρτον. Ἦκε δὲ καὶ Θρασύβουλος ἐκ Θηβῶν, ἄγων τοὺς Ἀθηναίους. Βουλευομένου δὲ τοῦ Παυσανίου τοὺς νεκροὺς ὑποσπόνδους ἀπαιτεῖν, δυσφοροῦντες οἱ πρεσβύτεροι τῶν Σπαρτιατῶν, αὐτοί τε καθ' ἑαυτοὺς ἠγανάκτουν, καὶ τῷ βασιλεῖ προσιόντες, ἐμαρτύραντο μὴ διὰ σπονδῶν ἀναιρεῖσθαι Λύσανδρον, ἀλλὰ δι' ὅπλων περὶ τοῦ σώματος ἀγωνισαμένους, καὶ νικήσαντας, οὕτω τὸν ἄνδρα θάπτειν· ἡττημένοις δὲ, καλὸν ἐνταῦθα κεῖσθαι μετὰ τοῦ στρατηγοῦ. Ταῦτα τῶν πρεσβυτέρων λεγόντων, ὁρῶν ὁ Παυσανίας μέγα μὲν ἔργον

Digitized by Google

ὑπερβαλέσθαι μάχῃ τοὺς Θηβαίους ἅρτι κεκρατηκότας, ἐγγὺς δὲ τῶν τειχῶν τὸ σῶμα τοῦ Λυσάνδρου παραπεπτωκὸς, ὥστε χαλεπὴν ἄνευ σπονδῶν καὶ νικῶσιν εἶναι τὴν ἀναίρεσιν, ἐπέπεμψε κήρυκα, καὶ σπεισάμενος ἀπήγαγε τὴν δύναμιν ὀπίσω. Τὸν δὲ Λύσανδρον, ἢ πρῶτον νομίζοντες ὑπὲρ τοὺς ὅρους ἐγένοντο τῆς Βοιωτίας, ἐν φίλῃ καὶ συμμαχίδι χώρᾳ τῇ Πανοπαίων κατέθεσαν· οὗ νῦν τὸ μνημεῖόν ἐστι, παρὰ τὴν ὁδὸν εἰς Χαιρώνειαν ἐκ Δελφῶν πορευομένοις. Ἐνταῦθα δὴ τῆς στρατιᾶς καταυλισαμένης, λέγεταί τινα τῶν Φωκέων ἑτέρῳ μὴ παρατυχόντι τὸν ἀγῶνα διηγούμενον εἰπεῖν, ὡς οἱ πολέμιοι προσπέσοιεν αὐτοῖς, τοῦ Λυσάνδρου τὸν Ὁπλίτην ἤδη διαβεβηκότος. Θαυμάσαντος δὲ, Σπαρτιάτην ἄνδρα, τοῦ Λυσάνδρου φίλον, ἐρέσθαι, τίνα λέγει τὸν Ὁπλίτην· οὐ γὰρ εἰδέναι τοὔνομα. Καὶ μὴν ἐκεῖ γε, φάναι, τοὺς πρώτους ἡμῶν οἱ πολέμιοι κατέβαλον. Τὸ γὰρ παρὰ τὴν πύλιν ῥεῖθρον Ὁπλίτην καλοῦσιν. Ἀκούσαντα δὲ τὸν Σπαρτιάτην, ἐκδακρῦσαι, καὶ εἰπεῖν, ὡς ἄφευκτόν ἐστιν ἀνθρώπῳ τὸ πεπρωμένον. Ἦν γὰρ, ὡς ἔοικε, τῷ Λυσάνδρῳ δεδομένος χρησμὸς οὕτως ἔχων·

Ὁπλίτην κελάδοντα φυλάξασθαί σε κελεύω,
Γῆς τε δράκοντ' υἱὸν δόλιον κατόπισθεν ἰόντα.

Τινὲς δὲ τὸν Ὁπλίτην οὐ πρὸς Ἁλιάρτῳ ῥεῖν λέγουσιν, ἀλλὰ πρὸς Κορώνειαν χειμάῤῥουν εἶναι, τῷ Φλιάρῳ ποταμῷ συμφερόμενον παρὰ τὴν πόλιν· ὃν πάλαι μὲν Ὁπλέαν, νῦν δὲ Ἰσόμαντον προσαγορεύουσιν.

Digitized by Google

Ὁ δ' ἀποκτείνας τὸν Λύσανδρον Ἁλιάρτιος ἀνὴρ, ὄνομα Νεόχωρος, ἐπίσημον εἶχε τῆς ἀσπίδος δράκοντα· καὶ τοῦτο σημαίνειν ὁ χρησμὸς εἰκάζετο. Λέγεται δὲ καὶ Θηβαίοις ὑπὸ τὸν Πελοποννησιακὸν πόλεμον ἐν Ἰσμηνίῳ γενέσθαι χρησμὸν, ἅμα τήν τε πρὸς Δηλίῳ μάχην, καὶ τὴν πρὸς Ἁλιάρτῳ ταύτην, ἐκείνης ὕστερον ἔτει τριακοστῷ γενομένην, προμηνύοντα. Ἦν δὲ τοιοῦτος·

Ἐσχατιὰν πεφύλαξο, λίκους καμάκεσσι δοκεύων,
Καὶ λόφον Ὀρχαλίδην, ὃν ἁλώπηξ οὔποτε λείπει.

Τὸν μὲν οὖν περὶ Δήλιον τόπον ἐσχατιὰν προσεῖπε, καθ' ἣν ἡ Βοιωτία τῇ Ἀττικῇ σύνορός ἐστιν· Ὀρχαλίδην δὲ λόφον, ὃν νῦν Ἀλώπεκον καλοῦσιν, ἐν τοῖς πρὸς τὸν Ἑλικῶνα μέρεσι τοῦ Ἁλιάρτου κείμενον.

XXX. Τοιαύτης δὲ τῷ Λυσάνδρῳ τῆς τελευτῆς γενομένης, παραχρῆμα μὲν οὕτως ἤνεγκαν βαρέως οἱ Σπαρτιᾶται, ὥστε τῷ βασιλεῖ κρίσιν προγράψαι θανατικήν· ἦν οὐχ ὑποστὰς ἐκεῖνος, εἰς Τέγεαν ἔφυγε, κἀκεῖ κατεβίωσεν ἑκάτης ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς. Καὶ γὰρ ἡ πενία τοῦ Λυσάνδρου τελευτήσαντος ἐκκαλυφθεῖσα φανερωτέραν ἐποίησε τὴν ἀρετήν, ἀπὸ χρημάτων πολλῶν καὶ δυνάμεως, θεραπείας τε πόλεων καὶ βασιλείας τοιαύτης, μηδὲ μικρὸν ἐπιλαμπρύναντος τὸν οἶκον εἰς χρημάτων λόγον, ὡς ἱστορεῖ Θεόπομπος· ᾧ μᾶλλον ἐπαινοῦντι πιστεύσειεν ἄν τις ἢ ψέγοντι· ψέγει γὰρ ἥδιον, ἢ ἐπαινεῖ. Χρόνῳ δὲ ὕστερον, Ἔφορός φησιν, ἀντιλογίας τινὸς συμμαχικῆς ἐν Σπάρτῃ γενομένης, καὶ τὰ γράμματα δια-

Digitized by Google

σκέψασθαι δεῆσαν, ἃ παρ' ἑαυτῷ κατέσχεν ὁ Λύσανδρος, ἐλθεῖν ἐπὶ τὴν οἰκίαν τὸν Ἀγησίλαον. Εὑρόντα δὲ τὸ βιβλίον, ἐν ᾧ γεγραμμένος ἦν ὁ περὶ τῆς πολιτείας λόγος, ὡς χρὴ τῶν Εὐρυτιωντιδῶν καὶ Ἀγιαδῶν τὴν βασιλείαν ἀφελομένους εἰς μέσον θεῖναι, καὶ ποιεῖσθαι τὴν αἵρεσιν ἐκ τῶν ἀρίστων, ὁρμῆσαι μὲν εἰς τοὺς πολίτας τὸν λόγον ἐξενεγκεῖν, καὶ παραδεικνύναι τὸν Λύσανδρον, οἷος ὢν πολίτης διαλάθοι· Λακρατίδαν δ', ἄνδρα φρόνιμον, καὶ τότε προεστῶτα τῶν ἐφόρων, ἐπιλαβέσθαι τοῦ Ἀγησιλάου, καὶ εἰπεῖν, ὡς δεῖ μὴ ἀνορύττειν τὸν Λύσανδρον, ἀλλὰ καὶ τὸν λόγον αὐτῷ συγκατορύττειν, οὕτω συντεταγμένον πιθανῶς καὶ πανούργως. Οὐ μὴν ἀλλὰ τάς τ' ἄλλας τιμὰς ἀπέδοσαν αὐτῷ τελευτήσαντι, καὶ τοὺς μνηστευσαμένους τὰς θυγατέρας, εἶτα μετὰ τὴν τελευτὴν τοῦ Λυσάνδρου, πένητος εὑρεθέντος, ἀπειπαμένους, ἐζημίωσαν, ὅτι πλούσιον μὲν νομίζοντες ἐθεράπευον, δίκαιον δὲ καὶ χρηστὸν ἐκ τῆς πενίας ἐπιγνόντες, ἐγκατέλιπον. Ἦν γὰρ, ὡς ἔοικεν, ἐν Σπάρτῃ καὶ ἀγαμίου δίκη, καὶ ὀψιγαμίου, καὶ κακογαμίου. Ταύτῃ δὲ ὑπῆγον μάλιστα τοὺς ἀντὶ τῶν ἀγαθῶν καὶ οἰκείων τοῖς πλουσίοις κηδεύοντας. Τὰ μὲν οὖν περὶ Λύσανδρον οὕτως ἱστορήσαμεν ἔχοντα.

Digitized by Google

Σ Υ Λ Λ Α Σ.

Λεύκιος δὲ Κορνήλιος Σύλλας γένει μὲν ἦν ἐκ πατρικίων, οὓς εὐπατρίδας ἄν τις εἴποι. Τῶν δὲ προγόνων αὐτοῦ λέγουσι Ῥουφῖνον ὑπατεῦσαι, καὶ τούτῳ δὲ τῆς τιμῆς ἐπιφανεστέραν γενέσθαι τὴν ἀτιμίαν. Εὑρέθη γὰρ ἀργυρίου κοίλου κεκτημένος ὑπὲρ δέκα λίτρας, τοῦ νόμου μὴ διδόντος· ἐπὶ τούτῳ δὲ τῆς βουλῆς ἐξέπεσεν. Οἱ δὲ μετ' ἐκεῖνον ἤδη ταπεινὰ πράττοντες διετέλεσαν· αὐτός τε Σύλλας ἐν οὐκ ἀφθόνοις ἐτράφη τοῖς πατρῴοις. Γενόμενος δὲ μειράκιον, ᾤκει παρ' ἑτέροις, ἐνοίκιον οὐ πολὺ τελῶν, ὡς ὕστερον ὠνειδίζετο, παρ' ἀξίαν εὐτυχεῖν δοκῶν. Σεμνυνομένῳ μέν γὰρ αὐτῷ, καὶ μεγαληγοροῦντι μετὰ τὴν ἐν Λιβύῃ στρατείαν, λέγεταί τις εἰπεῖν τῶν καλῶν τε καὶ ἀγαθῶν ἀνδρῶν· „Καὶ πῶς ἂν εἴης σὺ χρηστός, ὃς, τοῦ πατρός σοι μηδὲν καταλιπόντος, τοσαῦτα κέκτησαι;“ Καίτοι γὰρ, οὐκ ἔτι τῶν βίων ἐν ἤθεσιν ὀρθίοις καὶ καθαροῖς μενόντων, ἀλλ' ἐγκεκλικότων καὶ παραδεδεγμένων τρυφῆς καὶ πολυτελείας ζῆ-

Digitized by Google

λον, εἰς ἴσον ὅμως ὄνειδος ἐτίθεντο τοὺς ὑπάρχουσαν εὐπορίαν ἀπολέσαντας, καὶ τοὺς πενίαν πατρῴαν μὴ διαφυλάξαντας. Ὕστερον δ' ἤδη κρατοῦντος αὐτοῦ, καὶ πολλοὺς ἀποκτιννύντος, ἀπελευθερικὸς ἄνθρωπος, δοκῶν κρύπτειν ἕνα τῶν προγεγραμμένων, καὶ κατακρημνίζεσθαι διὰ τοῦτο μέλλων, ὠνείδιζε τὸν Σύλλαν, ὅτι πολὺν χρόνον ἐν μιᾷ συνοικίᾳ συνδιητῶντο, φέροντες ἐνοίκιον, αὐτὸς μὲν τῶν ἄνω, δισχιλίους νούμμους, ἐκεῖνος δὲ τῶν ὑποκάτω, τρισχιλίους: ὥστε τῆς τύχης αὐτῶν τὸ μεταξὺ χιλίους νούμμους εἶναι, οἳ πεντήκοντα καὶ διακοσίας δραχμὰς Ἀττικὰς δύνανται. Ταῦτα μὲν οὖν ἱστοροῦσι περὶ τῆς παλαιᾶς τοῦ Σύλλα τύχης.

II. Τοῦ δὲ σώματος αὐτοῦ τὸ μὲν ἄλλο εἶδος ἐπὶ τῶν ἀνδριάντων φαίνεται, τὴν δὲ τῶν ὀμμάτων γλαυκότητα δεινῶς καὶ πικρὰν καὶ ἄκρατον οὖσαν ἡ χρόα τοῦ προσώπου φοβερωτέραν ἐποίει προσιδεῖν. Ἐξήνθει γὰρ τὸ ἐρύθημα τραχὺ, καὶ σποράδην καταμεμιγμένον τῇ λευκότητι· πρὸς ὃ καὶ τεῦνομα λέγουσι γενέσθαι, τῆς χρόας ἐπίθετον· καὶ τῶν Ἀθήνησι γεφυριστῶν ἐπέσκωψέ τις, εἰς τοῦτο ποιήσας·

Συκάμινον ἔσθ' ὁ Σύλλας ἀλφίτῳ πεπασμένον.

Τοῖς δὲ τοιούτοις τῶν τεκμηρίων οὐκ ἄτοπόν ἐστι χρῆσθαι περὶ ἀνδρὸς, ὃν οὕτω φιλοσκώμμονα φύσει γεγονέναι λέγουσιν, ὥστε νέον μὲν ἔτι καὶ ἄδοξον ὄντα μετὰ μίμων καὶ γελωτοποιῶν διαιτᾶσθαι καὶ συνακολασταίνειν· ἐπεὶ δὲ κύριος ἁπάντων κατέστη, συνάγοντα τῶν ἀπὸ σκηνῆς καὶ θεάτρου τοὺς ἱτατω-

Digitized by Google

τάτους ὅσημέραι πίνειν, καὶ διαπληκτίζεσθαι τοῖς σκώμμασι, τοῦ τε γήρως ἀωρότερα πράττειν δοκοῦντα, καὶ πρὸς τῷ καταισχύνειν τὸ ἀξίωμα τῆς ἀρχῆς, πολλὰ τῶν δεομένων ἐπιμελείας προϊέμενον. Οὐ γὰρ ἦν τῷ Σύλλᾳ περὶ δεῖπνον ὄντι χρήσασθαι πρὸς σπουδαῖον οὐδέν. Ἀλλ' ἐνεργὸς ὢν καὶ σκυθρωπότερος παρὰ τὸν ἄλλον χρόνον, ἀθρόαν ἐλάμβανε μεταβολήν, ὁπότε πρῶτον ἑαυτὸν εἰς συνουσίαν καταβάλοι καὶ πότον· ὥστε μιμῳδοῖς καὶ ὀρχησταῖς τιθασσὸς εἶναι, καὶ πρὸς πᾶσιν ἔντευξιν ὑποχείριος καὶ κατάντης. Ταύτης δὲ τῆς ἀνέσεως ἔοικε γεγονέναι νόσημα καὶ ἡ πρὸς τοὺς ἔρωτας εὐχέρεια, καὶ φύσις αὐτοῦ τῆς φιληδονίας, ἧς οὐδὲ γηράσας ἐπαύσατο. Μητροβίου δὲ τῶν ἀπὸ σκηνῆς τινος ἐρῶν διετέλεσεν ἔτι νέος ὤν· καὶ συνήντησεν αὐτῷ τὸ τοιοῦτον. Ἀρξάμενος γὰρ ἐρᾶν κοινῆς μέν, εὐπόρου δὲ γυναικός, ὄνομα Νικοπόλεως, καὶ διὰ συνήθειαν καὶ χάριν, ἣν ἀφ' ὥρας εἶχεν, εἰς ἐρωμένου σχῆμα περιελθὼν, ἀπελείφθη κληρονόμος ὑπὸ τῆς ἀνθρώπου τελευτώσης. Ἐκληρονόμησε δὲ καὶ τὴν μητρυιάν, ἀγαπηθεὶς ὥσπερ υἱὸς ὑπ' αὐτῆς· καὶ μετρίως μὲν ἀπὸ τούτων εὐπόρησεν.

III. Ἀποδειχθεὶς δὲ ταμίας, ὑπατεύοντι Μαρίῳ τὴν πρώτην ὑπατείαν συνεξέπλευσεν εἰς Λιβύην πολεμήσων Ἰουγούρθαν. Γενόμενος δ' ἐπὶ στρατοπέδου, τά τ' ἄλλα παρεῖχεν ἑαυτὸν εὐδόκιμον, καὶ καιρῷ παραπεσόντι χρησάμενος εὖ, φίλον ἐποιήσατο τὸν Νομάδων βασιλέα Βόκχον. Πρεσβευτὰς γὰρ

Digitized by Google

αὐτοῦ, λῃστήριον Νομαδικὸν ἐκφυγόντας, ὑποδεξάμενος καὶ φιλοφρονηθεὶς δώροις, καὶ πομπὴν ἀσφαλῆ παρασχών, ἀπέστειλεν. Ὁ δὲ Βόκχος ἐτύγχανε μὲν ἔτι γε πάλαι γαμβρὸν ὄντα μισῶν καὶ φοβούμενος τὸν Ἰουγούρθαν· τότε δὲ ἡττημένῳ καὶ πεφευγότι πρὸς αὐτὸν ἐπιβουλεύων, ἐκάλει τὸν Σύλλαν, δι' ἐκείνου μάλιστα βουλόμενος τὴν σύλληψιν καὶ παράδοσιν τοῦ Ἰουγούρθα γενέσθαι, ἢ δι' αὐτοῦ. Κοινωσάμενος δὲ τῷ Μαρίῳ καὶ λαβὼν στρατιώτας ὀλίγους ὁ Σύλλας, τὸν μέγιστον ὑπέδυ κίνδυνον, ὅτι βαρβάρῳ καὶ πρὸς τοὺς οἰκειοτάτους ἀπίστῳ πιστεύσας, ὑπὲρ τοῦ παραλαβεῖν ἕτερον, ἑαυτὸν ἐνεχείρισεν. Οὐ μὴν ἀλλὰ ὁ Βόκχος, ἀμφοτέρων κύριος γενόμενος, καὶ καταστήσας ἑαυτὸν εἰς ἀνάγκην τοῦ παρασπονδῆσαι τὸν ἕτερον, καὶ πολλὰ διενεχθεὶς τῇ γνώμῃ, τέλος ἐκύρωσε τὴν πρώτην προδοσίαν, καὶ παρέδωκε τῷ Σύλλᾳ τὸν Ἰουγούρθαν. Ὁ μὲν οὖν θριαμβεύων ἐπὶ τούτῳ Μάριος ἦν· ἡ δὲ δόξα τοῦ κατορθώματος, ἣν ὁ Μαρίου φθόνος Σύλλᾳ προσετίθει, παρελύπει τὸν Μάριον ἡσυχῇ. Καὶ γὰρ αὐτὸς ὁ Σύλλας, φύσει τε μεγάλαυχος ὤν, καὶ τότε πρῶτον ἐκ βίου ταπεινοῦ καὶ ἀγνῶτος ἔν τινι λόγῳ γεγονὼς παρὰ τοῖς πολίταις, καὶ τοῦ τιμᾶσθαι γευόμενος, εἰς τοῦτο φιλοτιμίας προῆλθεν, ὥστε γλυψάμενος ἐν δακτυλίῳ φορεῖν εἰκόνα τῆς πράξεως· καὶ ταύτῃ γε χρώμενος ἀεὶ διετέλεσεν. Ἦν δ' ἡ γραφὴ, Βόκχος μὲν παραδιδοὺς, Σύλλας δὲ παραλαμβάνων τὸν Ἰουγούρθαν.

Digitized by Google

IV. Ἡνία μὲν οὖν ταῦτα τὸν Μάριον· ἔτι δὲ ἡγούμενος ἐλάττονα τοῦ φθονεῖσθαι τὸν Σύλλαν, ἐχρῆτο πρὸς τὰς στρατείας, τὸ μὲν δεύτερον ὑπατεύων, πρεσβευτῇ, τὸ δὲ τρίτον, χιλιάρχῳ· καὶ πολλὰ δι' ἐκείνου τῶν χρησίμων κατωρθοῦτο. Πρεσβεύων τε γὰρ, ἡγεμόνα Τεκτοσάγων Κόπιλλον εἶλε, καὶ χιλιαρχῶν, μέγα καὶ πολυάνθρωπον ἔθνος Μαρσοὺς ἔπεισε φίλους γενέσθαι καὶ συμμάχους Ῥωμαίων. Ἐκ δὲ τούτων τὸν Μάριον αἰσθόμενος ἀχθόμενον αὐτῷ, καὶ μηκέτι προϊέμενον ἡδέως πράξεων ἀφορμὰς, ἀλλ' ἐνιστάμενον τῇ αὐξήσει, Κάτλῳ, τῷ συνάρχοντι τοῦ Μαρίου, προσένειμεν ἑαυτὸν, ἀνδρὶ χρηστῷ μὲν, ἀμβλυτέρῳ δὲ πρὸς ἀγῶνας. Ὑφ' οὗ τὰ πρῶτα καὶ μέγιστα πιστευόμενος, εἰς δύναμιν ἅμα δόξῃ προῆει. Καὶ πολέμῳ μὲν αἱρεῖ πολὺ μέρος τῶν ἐν ταῖς Ἄλπεσι βαρβάρων· ἐπιλιπούσης δὲ τῆς ἀγορᾶς, ἀναδεξάμενος τὴν ἐπιμέλειαν, τοσαύτην ἐποίησε περιουσίαν, ὥστε τῶν Κάτλου στρατιωτῶν ἐν ἀφθόνοις διαγόντων, καὶ τοῖς Μαρίου προσπαρασχεῖν. Ἐφ' ᾧ φησὶν αὐτὸς ἰσχυρῶς ἀνιάσαι τὸν Μάριον. Ἡ μὲν οὖν ἔχθρα βραχεῖαν οὕτω καὶ μειρακιώδη λαβοῦσα τὴν πρώτην ὑπόθεσιν καὶ ἀρχὴν, εἶτα χωροῦσα δι' αἵματος ἐμφυλίου, καὶ στάσεων ἀνηκέστων ἐπὶ τυραννίδα καὶ σύγχυσιν ἁπάντων πραγμάτων, ἀπέδειξε τὸν Εὐριπίδην σοφὸν ἄνδρα καὶ πολιτικῶν ἐπιστήμονα νοσημάτων, διακελευσάμενον φυλάττεσθαι τὴν φιλοτιμίαν, ὡς ὀλεθριωτάτην καὶ κακίστην δαίμονα τοῖς χρωμένοις.

Digitized by Google

V. Ὁ δὲ Σύλλας, οἰόμενος αὐτῷ τὴν ἀπὸ τῶν πολεμικῶν δόξαν ἐπὶ τὰς πολιτικὰς πράξεις διαρκεῖν, καὶ δοὺς ἑαυτὸν ἀπὸ τῆς στρατείας εὐθὺς ἐπὶ τὴν τοῦ δήμου πρᾶξιν, ἐπὶ στρατηγίαν πολιτικὴν ἀπεγράψατο, καὶ διεψεύσθη· τὴν δ' αἰτίαν τοῖς ὄχλοις ἀνατίθησι. Φησὶ γὰρ αὐτοὺς εἰδότας τὴν πρὸς Βάκχον φιλίαν, καὶ προσδεχομένους, εἰ πρὸ τῆς στρατηγίας ἀγορανομήσει, κυνηγέσια λαμπρὰ, καὶ Λιβυκῶν ἀγῶνας θηρίων, ἑτέρους ἀποδεῖξαι στρατηγοὺς, ὡς αὐτὸν ἀγορανομεῖν ἀναγκάσοντας. Ἔοικε δὲ τὴν ἀληθῆ τῆς ἀποτεύξεως αἰτίαν οὐχ ὁμολογῶν ὁ Σύλλας ἐλέγχεσθαι τοῖς πράγμασιν. Ἐνιαυτῷ γὰρ κατόπιν ἔτυχε τῆς στρατηγίας, τοῦ δήμου τὸ μέν τι θεραπείᾳ, τὸ δὲ καὶ χρήμασι προσαγαγόμενος. Διὸ δὴ καὶ στρατηγοῦντος αὐτοῦ, καὶ πρὸς Καίσαρα μετ' ὀργῆς εἰπόντος, ὡς χρήσεται τῇ ἰδίᾳ πρὸς αὐτὸν ἐξουσίᾳ, γελάσας ὁ Καῖσαρ· „Ὀρθῶς (ἔφη) τὴν ἀρχὴν ἰδίαν νομίζεις· ἔχεις γὰρ αὐτὴν πριάμενος.“ Μετὰ δὲ τὴν στρατηγίαν εἰς τὴν Καππαδοκίαν ἀποστέλλεται, τὸν μὲν ἐμφανῆ λόγον ἔχων πρὸς τὴν στρατείαν, Ἀριοβαρζάνην καταγαγεῖν· αἰτίαν δ' ἀληθῆ, Μιθριδάτην ἐπισχεῖν πολυπραγμονοῦντα, καὶ περιβαλλόμενον ἀρχὴν καὶ δύναμιν οὐκ ἐλάττονα τῆς ὑπαρχούσης. Ἰδίαν μὲν οὖν δύναμιν οὐ πολλὴν ἐπήγετο, χρήσαμενος δὲ τοῖς συμμάχοις προθύμοις, καὶ πολλοὺς μὲν αὐτῶν Καππαδοκῶν, πλείονας δ' αὖθις Ἀρμενίων προσβοηθοῦντας ἀποκτείνας, Γόρδιον μὲν ἐξήλασεν, Ἀριοβαρζάνην δ' ἀπέδειξε βασι-

Digitized by Google

λέα. Διατρίβοντι δ' αὐτῷ παρὰ τὸν Εὐφράτην, ἐντυγχάνει Πάρθος Ὀρύβαζος, Ἀρσάκου βασιλέως πρεσβευτὴς, οὔπω πρότερον ἀλλήλοις ἐπιμεμιγμένων τῶν γενῶν· ἀλλὰ καὶ τοῦτο τῆς μεγάλης δοκεῖ Σύλλα τύχης γενέσθαι, τὸ πρώτῳ Ῥωμαίων ἐκείνῳ Πάρθους συμμαχίας καὶ φιλίας δεομένους διὰ λόγων ἐλθεῖν. Ὅτε καὶ λέγεται τρεῖς δίφρους προθέμενος, τὸν μὲν Ἀριοβαρζάνῃ, τὸν δ' Ὀροβάζῳ, τὸν δ' αὑτῷ, μέσος ἀμφοῖν καθεζόμενος χρηματίζειν. Ἐφ' ᾧ τὸν μὲν Ὀρόβαζον ὕστερον ὁ τῶν Πάρθων βασιλεὺς ἀπέκτεινε· τὸν δὲ Σύλλαν οἱ μὲν ἐπῄνεσαν, ἐντρυφήσαντα τοῖς βαρβάροις, οἱ δὲ ὡς φορτικὸν ἠτιάσαντο, καὶ ἀκαίρως φιλότιμον. Ἱστορεῖται δέ τις ἀνὴρ τῶν μετ' Ὀροβάζου καταβεβηκότων, Χαλδαῖος, εἰς τὸ τοῦ Σύλλα πρόσωπον ἀπιδὼν, καὶ ταῖς κινήσεσι τῆς τε διανοίας καὶ τοῦ σώματος οὐ παρέργως ἐπιστήσας, ἀλλὰ πρὸς τὰς τῆς τέχνης ὑποθέσεις τὴν φύσιν ἐπισκεψάμενος, εἰπεῖν, ὡς ἀναγκαῖον εἴη τοῦτον τὸν ἄνδρα μέγιστον γενέσθαι· θαυμάζειν δὲ καὶ νῦν, πῶς ἀνέχεται μὴ πρῶτος ὢν ἁπάντων. Ἀναχωρήσαντι δ' αὐτῷ δίκην ἔλαχε δώρων Κηνσωρῖνος, ὡς πολλὰ χρήματα συνειλοχότι παρὰ τὸν νόμον ἐκ φίλης καὶ συμμάχου βασιλείας. Οὐ μὴν ἀπήντησεν ἐπὶ τὴν κρίσιν, ἀλλ' ἀπέστη τῆς κατηγορίας.

VI. Ἡ μέντοι πρὸς Μάριον αὐτῷ στάσις ἀνερρίπίζετο, καινὴν ὑπόθεσιν λαβοῦσα τὴν Βόκχου φιλοτιμίαν, ὃς τὸν δῆμον ἅμα θεραπεύων ἐν Ῥώμῃ, καὶ τῷ Σύλλᾳ χαριζόμενος, ἀνέθηκεν εἰκόνας ἐν Κα-

Digitized by Google

πιτωλίῳ τροπαιοφόρους, καὶ παρ' αὐτὰς χρυσοῦν Ἰουγούρθαν ὑφ' ἑαυτοῦ Σύλλᾳ παραδιδόμενον. Ἐφ' ᾧ τοῦ Μαρίου βαρυθυμουμένου καὶ καθαιρεῖν ἐπιχειροῦντος, ἑτέρων δ' ἀμύνειν τῷ Σύλλᾳ, καὶ τῆς πόλεως ὅσον οὔπω διακεκαυμένης ὑπ' ἀμφοῖν, ὁ συμμαχικὸς πόλεμος, πάλαι τυφόμενος, ἐπὶ τὴν πόλιν ἀναλάμψας τότε τὴν στάσιν ἐπέσχεν. Ἐν τούτῳ, μεγίστῳ καὶ ποικιλωτάτῳ γενομένῳ, καὶ πλεῖστα κακὰ καὶ βαρυτάτους παρασχόντι κινδύνους Ῥωμαίοις, Μάριος μὲν οὐδὲν ἀποδεῖξαι μέγα δυνηθεὶς, ἤλεγχε τὴν πολεμικὴν ἀρετὴν ἀκμῆς καὶ ῥώμης δεομένην· Σύλλας δὲ, πολλὰ δράσας ἄξια λόγου, δόξαν ἔσχεν ἡγεμόνος μεγάλου μὲν παρὰ τοῖς πολίταις, μεγίστου δὲ παρὰ τοῖς φίλοις, εὐτυχεστάτου δὲ καὶ παρὰ τοῖς ἐχθροῖς. Ἀλλ' οὐκ ἔπαθε ταὐτὸ Τιμοθέῳ τῷ τοῦ Κόνωνος, ὃς, εἰς τὴν τύχην αὐτοῦ τὰ κατορθώματα τῶν ἐχθρῶν τιθεμένων, καὶ γραφόντων ἐν πίναξι κοιμώμενον ἐκεῖνον, τὴν δὲ Τύχην δικτύῳ τὰς πόλεις περιβάλλουσαν, ἀγροικιζόμενος καὶ χαλεπαίνων πρὸς τοὺς ταῦτα ποιοῦντας, ὡς ἀποστερούμενος ὑπ' αὐτῶν τῆς ἐπὶ ταῖς πράξεσι δόξης, ἔφη ποτὲ πρὸς τὸν δῆμον ἐπανήκων ἐκ στρατείας εὖ κεχωρηκέναι δοκούσης· „Ἀλλὰ ταύτης γε τῆς στρατείας οὐδὲν, Ἀθηναῖοι ἄνδρες, τῇ τύχῃ μέτεστι.“ Πρὸς Τιμόθεον μὲν οὖν φασιν, οὕτω φανέντα φιλότιμον, ἀντιμειρακιεύεσθαι τὸ δαιμόνιον, ὥστε μηδὲν ἔτι πρᾶξαι λαμπρὸν, ἀλλ' ὅλως ἀποτυγχάνοντα ταῖς πράξεσι, καὶ προσκρούοντα τῷ δήμῳ, τέλος ἐκπεσεῖν τῆς πόλεως. Σύλλας δ', οὐ

Digitized by Google

μόνον ἡδέως προσιέμενος τὸν τοιοῦτον εὐδαιμονισμὸν καὶ ζῆλον, ἀλλὰ καὶ συναύξων καὶ συνεπιθειάζων τὰ πραττόμενα, τῆς τύχης ἐξῆπτεν, εἴτε κόμπῳ χρώμενος, εἴθ' οὕτως ἔχων τῇ δόξῃ πρὸς τὸ θεῖον. Καὶ γὰρ ἐν τοῖς ὑπομνήμασι γέγραφεν, ὅτι τῶν καλῶς αὐτῷ βεβουλεῦσθαι δοκούντων αἱ μὴ κατὰ γνώμην, ἀλλὰ πρὸς καιρὸν ἀποτολμώμεναι πράξεις ἔπιπτον εἰς ἄμεινον. Ἔτι δὲ καὶ δι' ὧν φησι, πρὸς τύχην εὖ πεφυκέναι μᾶλλον, ἢ πρὸς πόλεμον, τῇ τύχῃ τῆς ἀρετῆς πλέον ἔοικε νέμειν. Καὶ ὅλως ἔοικεν ἑαυτὸν τοῦ δαίμονος ποιεῖν, ὅς γε καὶ τῆς πρὸς Μέτελλον ὁμονοίας, ἰσότιμον ἄνδρα καὶ κηδεστὴν, εὐτυχίαν τινὰ θείαν αἰτιᾶται· πολλὰ γὰρ αὐτῷ πράγματα παρέξειν ἐπίδοξον ὄντα, πρᾴστατον ἐν τῇ κοινωνίᾳ γενέσθαι τῆς ἀρχῆς. Ἔτι δὲ Λευκούλλῳ μὲν ἐν τοῖς ὑπομνήμασιν, ὧν ἐκείνῳ τὴν γραφὴν ἀνατέθεικε, παραινεῖ μηδὲν οὕτως ἡγεῖσθαι βέβαιον, ὡς ὅ τι ἂν αὐτῷ προστάξῃ νύκτωρ τὸ δαιμόνιον. Ἐκπεμπομένου δ' αὐτοῦ μετὰ δυνάμεως εἰς τὸν συμμαχικὸν πόλεμον, ἱστορεῖ χάσμα τῆς γῆς μέγα γενέσθαι περὶ Λαβέρνιν· ἐκ δὲ τούτου πῦρ ἀναβλύσαι πολὺ, καὶ φλόγα λαμπρὰν στηρίξαι πρὸς τὸν οὐρανόν. Εἰπεῖν δὴ τοὺς μάντεις, ὡς ἀνὴρ ἀγαθὸς, ὄψει διάφορος καὶ περιττὸς, ἄρξας ἀπιλλάξει τῇ πόλει ταραχὰς τὰς παρούσας. Τοῦτον δὲ αὐτὸν εἶναί φησιν ὁ Σύλλας· τῆς μὲν γὰρ ὄψεως ἴδιον εἶναι τὸ περὶ τὴν κόμην χρυσωπὸν, ἀρετὴν δ' οὐκ αἰσχύνεσθαι μαρτυρῶν ἑαυτῷ, μετὰ πράξεις οὕτω καλὰς καὶ με-

Digitized by Google

γάλας. Ταῦτα μὲν οὖν περὶ τῆς θειότητος. Τὸν δ' ἄλλον τρόπον ἀνώμαλός τις ἔοικε γεγονέναι καὶ διάφορος πρὸς ἑαυτόν, ἀφελέσθαι πολλὰ, χαρίσασθαι πλείονα, τιμῆσαι παραλόγως, παραλόγως ἐφυβρίσαι, θεραπεύειν ὧν δέοιτο, θρύπτεσθαι πρὸς τοὺς δεομένους· ὥστ' ἀγνοεῖσθαι, πότερον ὑπερόπτης φύσει μᾶλλον, ἢ κόλαξ γέγονε. Τὴν μὲν γὰρ ἐν ταῖς τιμωρίαις ἀνωμαλίαν, ἐξ ὧν ἔτυχεν αἰτιῶν, ἀποτυμπανίζοντος αὐτοῦ, καὶ πάλιν τὰ μέγιστα τῶν ἀδικημάτων πράως φέροντος, καὶ διαλλαττομένου μὲν ἐπὶ τοῖς ἀνηκέστοις μετ' εὐκολίας, τὰ δὲ μικρὰ καὶ φαῦλα προσκρούματα σφαγαῖς καὶ δημεύσεσιν οὐσιῶν μετιόντος, οὕτως ἄν τις διαιτήσειεν, ὡς φύσει μὲν ὀργὴν χαλεπὸν ὄντα καὶ τιμωρητικὸν, ὑφιέμενον δὲ τῆς πικρίας λογισμῷ πρὸς τὸ συμφέρον. Ἐν αὐτῷ γε τούτῳ συμμαχικῷ πολέμῳ, τῶν στρατιωτῶν αὐτοῦ στρατηγικὸν ἄνδρα πρεσβευτὴν, Ἄλβῖνον ὄνομα, ξύλοις καὶ λίθοις διαχρησαμένων, παρῆλθε, καὶ οὐκ ἐπεξῆλθεν ἀδίκημα τοσοῦτον· ἀλλὰ καὶ σεμνυνόμενος διεδίδου λόγον, ὡς προθυμοτέροις διὰ τοῦτο χρήσαιτο πρὸς τὸν πόλεμον αὐτοῖς, ἰωμένοις τὸ ἁμάρτημα δι' ἀνδραγαθίας. Τῶν δ' ἐγκαλούντων οὐδὲν ἐφρόντιζεν, ἀλλ' ἤδη καταλῦσαι Μάριον διανοούμενος, καὶ τοῦ πρὸς τοὺς συμμάχους πολέμου τέλος ἔχειν δοκοῦντος, ἀποδειχθῆναι στρατηγὸς ἐπὶ Μιθριδάτην, ἐθεράπευε τὴν ὑφ' ἑαυτῷ στρατιὰν, καὶ παρελθὼν εἰς τὴν πόλιν, ὕπατος μὲν ἀποδείκνυται μετὰ Κοΐντου Πομπηΐου, πεντήκοντα ἔτη γεγονώς. Γαμεῖ δὲ γάμον

Digitized by Google

ἐνδοξότατον, Καικιλίαν τὴν Μετέλλου θυγατέρα τοῦ ἀρχιερέως. Ἐφ' ᾧ πολλὰ μὲν εἰς αὐτὸν ᾖδον οἱ δημοτικοὶ, πολλοὶ δὲ τῶν πρώτων ἐνεμέσων, οὐκ ἄξιον ἡγούμενοι τῆς γυναικὸς, ἣν ἄξιον ὑπατείας ἔκριναν, ὡς φησιν ὁ Τίτος. Οὐ μόνον δὲ ταύτην ἔγημεν· ἀλλὰ πρώτην μὲν, ἔτι μειράκιον ὢν, Ἰλίαν ἔσχε, τὴν καὶ θυγάτριον αὐτῷ τεκοῦσαν· εἶτα μετ' ἐκείνην, Αἰλίαν· τρίτην δὲ, Κοιλίαν, ἣν ἀπεπέμψατο μέν ὡς στεῖραν, ἐντίμως δὲ καὶ μετ' εὐφημίας, καὶ δῶρα προσθείς. Ὀλίγαις δὲ ὕστερον ἡμέραις ἀγαγόμενος τὴν Μετέλλαν, ἔδοξε διὰ τοῦτο τὴν Κοιλίαν οὐ καλῶς αἰτιάσασθαι. Τὴν μέντοι Μετέλλαν ἐν πᾶσι θεραπεύων διετέλεσε, ὥστε καὶ τὸν Ῥωμαίων δῆμον, ὅτε τοὺς περὶ Μάριον φυγάδας ἐπεθύμει καταγαγεῖν, ἀρνουμένου τοῦ Σύλλα, δεόμενον ἐπιβοήσασθαι τὴν Μετέλλαν. Ἐδόκει δὲ καὶ τοῖς Ἀθηναίοις, ἑλὼν τὸ ἄστυ, προσενεχθῆναι τραχύτερον, ὅτι τὴν Μετέλλαν ἀπὸ τοῦ τείχους γεφυρίζοντες ἐλοιδόρησαν. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

VII. Τότε δὲ τὴν ὑπατείαν πρὸς τὰ μέλλοντα μικρὸν ἡγούμενος, ἐπτόητο τὴν γνώμην πρὸς τὸν Μιθριδατικὸν πόλεμον. Ἀντανίστατο δ' αὐτῷ Μάριος, ὑπὸ δοξομανίας καὶ φιλοτιμίας, ἄγηράτων παθῶν ἀνὴρ τῷ τε σώματι βαρὺς, καὶ ταῖς ἔναγχος ἀπειρηκὼς στρατείαις διὰ γῆρας, ἐκδήμων καὶ διαπορτίων πολέμων ἐφιέμενος. Καὶ τοῦ Σύλλα πρὸς τὰς ἐπιλιπεῖς πράξεις ὁρμήσαντος εἰς τὸ στρατόπεδον, αὐτὸς οἰκουρῶν ἐτετκαίνετο τὴν ὀλεθριωτάτην ἐκείνην, καὶ ὅσα σύμπαντες οἱ πόλεμοι τὴν Ῥώμην οὐκ ἔβλαψαν,

Digitized by Google

ἀπεργασαμένην στάσιν, ὡς καὶ τὸ δαιμόνιον αὐτοῖς προεσήμηνε. Πῦρ μὲν γὰρ αὐτόματον ἐκ τῶν τὰ σημεῖα δοράτων ὑποφερόντων ἀνέλαμψε, καὶ κατεσβέσθη μόλις. Κόρακες δὲ τρεῖς τοὺς νεοσσοὺς προαγαγόντες εἰς τὴν ὁδὸν κατέφαγον, τὰ δὲ λείψανα πάλιν εἰς τὴν νεοσσιὰν ἀνήγεγκαν. Καὶ μυῶν δ' ἐν ἱερῷ χρυσὸν ἀνακείμενον διαφαγόντων, μίαν οἱ ζάκοροι πάγῃ θήλειαν λαμβάνουσιν. Ἡ δ' ἐν αὐτῇ τῇ πάγῃ τεκοῦσα πέντε, κατέφαγε τὰ τρία. Τὸ δὲ πάντων μέγιστον, ἐξ ἀνεφέλου καὶ διαίθρου τοῦ περιέχοντος ἤχησε φωνὴ σάλπιγγος, ὀξὺν ἀποτείνουσα καὶ θρηνώδη φθόγγον, ὥστε πάντας ἔκφρονας γενέσθαι, καὶ καταπτῆξαι τὸ μέγεθος. Τυρρηνῶν δ' οἱ λόγιοι μεταβολὴν ἑτέρου γένους ἀπεφαίνοντο, καὶ μετακόσμησιν ἀποσημαίνειν τὸ τέρας. Εἶναι μὲν γὰρ ὀκτὼ τὰ σύμπαντα γένη διαφέροντα τοῖς βίοις καὶ τοῖς ἤθεσι δι' ἀλλήλων, ἑκάστῳ δ' ἀφορίσθαι χρόνων ἀριθμόν, ὑπὸ τοῦ θεοῦ συμπεραινόμενον ἐνιαυτοῦ μεγάλου περιόδῳ. Καὶ ὅταν αὕτη σχῇ τέλος, ἑτέρας ἐνισταμένης, κινεῖσθαί τι σημεῖον ἐκ γῆς, ἢ οὐρανοῦ, θαυμάσιον· ὡς δῆλον εἶναι τοῖς πεφροντικόσι τὰ τοιαῦτα καὶ μεμαθηκόσιν εὐθὺς, ὅτι καὶ τρόποις ἄλλοις καὶ βίοις ἄνθρωποι χρώμενοι γεγόνασι, καὶ θεοῖς ἧττον ἢ μᾶλλον τῶν προτέρων μέλοντες. Τά τε γὰρ ἄλλα φασὶν ἐν τῇ τῶν γενῶν ἀμείψει λαμβάνειν μεγάλας καινοτομίας, καὶ τὴν μαντικὴν ποτὲ μὲν αὔξεσθαι τῇ τιμῇ, καὶ κατατυγχάνειν ταῖς προαγορεύσεσι, καθαρὰ καὶ φανερὰ σῃ-

Digitized by Google

μεῖα τοῦ δαιμονίου προπέμποντος, αὖθις δ' ἐν ἑτέρῳ γένει ταπεινὰ πράττειν, αὐτοσχέδιον οὖσαν τὰ πολλὰ, καὶ δι' ἀμυδρῶν καὶ σκοτεινῶν ὀργάνων τοῦ μέλλοντος ἅπτομένην. Ταῦτα μὲν οὖν οἱ λογιώτατοι Τυῤῥηνῶν, καὶ πλέον τι τῶν ἄλλων εἰδέναι δοκοῦντες, ἐμυθολόγουν. Τῆς δὲ συγκλήτου τοῖς μάντεσι περὶ τούτων σχολαζούσης καὶ καθημένης ἐν τῷ ναῷ τῆς Ἐνυοῦς, στρουθὸς εἰσέπτη πάντων ὁρώντων, τέττιγα φέρων τῷ στόματι, καὶ τὸ μὲν ἐκβαλὼν μέρος αὐτοῦ κατέλιπε, τὸ δ' ἔχων ἀπῆλθεν. Ἔφ-εωρῶντο δὴ στάσιν οἱ τερατοσκόποι, καὶ διαφορὰν τῶν κτηματικῶν πρὸς τὸν ἀστικὸν ὄχλον καὶ ἀγοραῖον· φανάεντα γὰρ τοῦτον εἶναι, καθάπερ τέττιγα· τοὺς δὲ χωρίτας, ἀρουραίους.

VIII. Μάριος δὴ παραλαμβάνει δημαρχοῦντα Σουλπίκιον, ἄνθρωπον οὐδενὸς δεύτερον ἐν ταῖς ἄκραις κακίαις· ὥστε μὴ ζητεῖν, τίνος ἐστὶν ἑτέρου μοχθηρότερος, ἀλλὰ πρὸς τί μοχθηρότατος ἑαυτοῦ. Καὶ γὰρ ὠμότης καὶ τόλμα καὶ πλεονεξία περὶ αὐτὸν ἦν ἀπερίσκεπτος αἰσχροῦ καὶ παντὸς κακοῦ· ὅς γε τὴν Ῥωμαίων πολιτείαν ἐξελευθερικοῖς καὶ μετοίκοις πωλῶν ἀναφανδὸν, ἠρίθμει τιμὴν διὰ τραπέζης ἐν ἀγορᾷ πεμένης. Ἔτρεφε δὲ καὶ τρισχιλίους μαχαιροφόρους, καὶ πλῆθος ἱππικῶν νεανίσκων πρὸς ἅπαν ἑτοίμων περὶ αὑτὸν εἶχεν, οὓς ἀντισύγκλητον ὠνόμαζε. Νόμον δὲ κυρώσας, μηδένα συγκλητικὸν ὑπὲρ δισχιλίας δραχμὰς ὀφείλειν, αὐτὸς ἀπέλιπε μετὰ τὴν τελευτὴν ὀφλήματος μυριάδας τριακοσίας. Οὗτος εἰς

Digitized by Google

τὸν δῆμον ἀφεθεὶς ὑπὸ τοῦ Μαρίου, καὶ συνταράξας πάντα τὰ πράγματα, βίᾳ καὶ σιδήρῳ νόμους ἔγραφεν, ἄλλους τε μοχθηροὺς, καὶ τὸν διδόντα Μαρίῳ τοῦ Μιθριδατικοῦ πολέμου τὴν ἡγεμονίαν. Ἀπραξίας δὲ διὰ ταῦτα τῶν ὑπάτων ψηφισαμένων, ἐπαγαγὼν αὐτοῖς ἐκκλησιάζουσι περὶ τὸν νεὼν τῶν Διοσκούρων ὄχλον, ἄλλους τε πολλοὺς καὶ τὸ Πομπηΐου τοῦ ὑπάτου μειράκιον ἐπὶ τῆς ἀγορᾶς ἀνεῖλεν· αὐτὸς δὲ Πομπήϊος λαθὼν ἐξέφυγε. Σύλλας δ' εἰς τὴν οἰκίαν τοῦ Μαρίου συνδιωχθεὶς, ἠναγκάσθη προελθὼν τὰς ἀπραξίας λῦσαι· καὶ διὰ τοῦτο τὸν Πομπήϊον ἐπάρχοντα παύσας ὁ Σουλπίκιος, οὐκ ἀφείλετο τοῦ Σύλλα τὴν ὑπατείαν, ἀλλὰ τὴν ἐπὶ Μιθριδάτην στρατείαν μόνον εἰς Μάριον μετήνεγκε· καὶ πέμπει χιλιάρχους εὐθὺς εἰς Νῶλαν, παραληψομένους τὸ στράτευμα, καὶ πρὸς τὸν Μάριον ἄξοντας.

IX. Φθάσαντος δὲ τοῦ Σύλλα διαφυγεῖν εἰς τὸ στρατόπεδον, καὶ τῶν στρατιωτῶν, ὡς ἐπύθοντο ταῦτα, καταλευσάντων τοὺς χιλιάρχους, οἱ περὶ τὸν Μάριον αὖθις ἐν τῇ πόλει τοὺς Σύλλα φίλους ἀνῄρουν, καὶ χρήματα διήρπαζον αὐτῶν. Ἦσαν δὲ μεταστάσεις καὶ φυγαὶ, τῶν μὲν εἰς πόλιν ἀπὸ στρατοπέδου, τῶν δ' ἐκεῖσε διαφοιτώντων ἐκ τῆς πόλεως. Ἡ δὲ σύγκλητος ἦν μὲν οὐχ αὑτῆς, ἀλλὰ τοῖς Μαρίου καὶ Σουλπικίου διῳκεῖτο προστάγμασι· πυθομένη δὲ τὸν Σύλλαν ἐπὶ τὴν πόλιν ἐλαύνειν, ἔπεμψε δύο τῶν στρατηγῶν, Βροῦτον καὶ Σερουΐ-

Digitized by Google

λιον, ἀπαγορεύσοντας αὐτῷ βαδίζειν. Τούτους θρασύτερον Σύλλᾳ διαλεχθέντας ὥρμησαν μὲν ἀνελεῖν οἱ στρατιῶται, τὰς δὲ ῥάβδους κατέκλασαν, καὶ τὰς περιπορφύρους ἀφείλοντο, καὶ πολλὰ περιυβρισμένους ἀπέπεμψαν, αὐτόθεν τε δεινὴν κατήφειαν, ὁρωμένους τῶν στρατηγικῶν παρασήμων ἐρήμους, καὶ τὴν στάσιν οὐκέτι καθεκτήν, ἀλλ' ἀνήκεστον ἀπαγγέλλοντας. Οἱ μὲν οὖν περὶ τὸν Μάριον ἐν παρασκευαῖς ἦσαν· ὁ δὲ Σύλλας ἄγων ἓξ τάγματα τέλεια μετὰ τοῦ συνάρχοντος ἀπὸ Νώλης ἐκίνει, τὸν μὲν στρατὸν ὁρῶν πρόθυμον ὄντα χωρεῖν εὐθὺς ἐπὶ τὴν πόλιν, ἐνδοιάζων δὲ τῇ γνώμῃ παρ' ἑαυτῷ, καὶ δεδοικὼς τὸν κίνδυνον. Ὁ δὲ μάντις Ποστούμιος, θύσαντος αὐτοῦ, καταμαθὼν τὰ σημεῖα, καὶ τὰς χεῖρας ἀμφοτέρας τῷ Σύλλᾳ προτείνας, ἠξίου θεθῆναι καὶ φυλάττεσθαι μέχρι τῆς μάχης, ὡς, εἰ μὴ πάντα ταχὺ καὶ καλῶς συντελεσθείη, τὴν ἐσχάτην δίκην ὑποσχεῖν βουλόμενος. Λέγεται δὲ καὶ κατὰ τοὺς ὕπνους αὐτῷ Σύλλᾳ φανῆναι θεὸν, ἣν τιμῶσι Ῥωμαῖοι, παρὰ Καππαδοκῶν μαθόντες, εἴτε δὴ Σελήνην οὖσαν, εἴτ' Ἀθηνᾶν, εἴτ' Ἐνυώ. Ἣν τὴν ὁ Σύλλας ἔδοξεν ἐπιστᾶσαν ἐγχειρίσαι κεραυνὸν αὐτῷ, καὶ τῶν ἐχθρῶν ἕκαστον ὀνομάζουσαν τῶν ἐκείνου, βάλλειν κελεῦσαι· τοὺς δὲ πίπτειν βαλλομένους, καὶ ἀφανίζεσθαι. Θαρσήσας δὲ τῇ ὄψει, καὶ φράσας τῷ συνάρχοντι μεθ' ἡμέραν ἐπὶ τὴν Ῥώμην ἡγεῖτο. Καὶ περὶ Πικτὰς αὐτῷ πρεσβείας ἐντυχούσης, καὶ δεομένης μὴ βαδίζειν εὐθὺς ἐξ ἐφό-

Digitized by Google

δου, πάντα γὰρ ἔσεσθαι τὰ δίκαια, τῆς βουλῆς ψηφισαμένης, ὡμολόγησε μὲν αὐτοῦ καταστρατοπεδεύσειν, καὶ διαμετρεῖν ἐκέλευε χώρας, ὥσπερ εἰώθει, τῷ στρατοπέδῳ τοὺς ἡγεμόνας· ὥστε τοὺς πρέσβεις ἀπελθεῖν πιστεύσαντας. Ἐκείνων δ' ἀπελθόντων, εὐθὺς ἐκπέμψας Λεύκιον Βάσιλλον καὶ Γάϊον Μόμμιον, καταλαμβάνει τὴν πύλην δι' αὐτῶν, καὶ τὰ τείχη τὰ περὶ τὸν λόφον τὸν Αἰσκυλῖνον· εἶτ' αὐτὸς ἅπάσῃ σπουδῇ συνῆπτε. Τῶν δὲ περὶ τῶν Βάσιλλον εἰς τὴν πόλιν ἐμπεσόντων καὶ κρατούντων, ὁ πολὺς καὶ ἄνοπλος δῆμος ἀπὸ τῶν τεγῶν κεράμῳ καὶ λίθῳ βάλλοντες ἐπέσχον αὐτοὺς τοῦ πρόσω χωρεῖν, καὶ συνέστειλαν εἰς τὸ τεῖχος. Ἐν τούτῳ δὲ ὁ Σύλλας παρῆν ἤδη, καὶ συνιδὼν τὸ γινόμενον, ἐβόα τὰς οἰκίας ὑφάπτειν, καὶ λαβὼν δᾷδα καιομένην, ἐχώρει πρῶτος αὐτὸς, καὶ τοὺς τοξότας ἐκέλευε χρῆσθαι τοῖς πυροβόλοις ἄνω τῶν στεγασμάτων ἐφιεμένους· κατ' οὐδένα λογισμὸν, ἀλλ' ἐμπαθὴς ὤν, καὶ τῷ θυμῷ παραδεδωκὼς τὴν τῶν πρασσομένων ἡγεμονίαν, ὅς γε τοὺς ἐχθροὺς μόνον ἑώρα, φίλους δὲ καὶ συγγενεῖς καὶ οἰκείους εἰς οὐδένα λόγον θέμενος, οὐδ' οἶκτον, κατῄει διὰ πυρὸς, ᾧ τῶν αἰτίων, καὶ μὴ, διάγνωσις οὐκ ἦν. Τούτων δὲ γενομένων, ὁ Μάριος ἐξωσθεὶς πρὸς τὸ τῆς Ἱῆς ἱερὸν, ἐκάλει διὰ κηρύγματος ἐπ' ἐλευθερίᾳ τὸ οἰκετικόν· ἐπελθόντων δὲ τῶν πολεμίων κρατηθεὶς, ἐξέπεσε τῆς πόλεως.

X. Σύλλας δὲ τὴν βουλὴν συναγαγὼν, καταψη-

Digitized by Google

φίζεται θάνατον αὐταῦ τε Μαρίου καὶ ὀλίγων ἄλλων, ἐν οἷς Σουλπίκιος ἦν ὁ δήμαρχος. Ἀλλὰ Σουλπίκιος μὲν ἀπεσφάγη, προδοθεὶς ὑπὸ θεράποντος, ὃν ὁ Σύλλας ἠλευθέρωσεν, εἶτα κατεκρήμνισε. Μαρίῳ δ' ἐπεκήρυξεν ἀργύριον, οὐκ εὐγνωμόνως, οὐδὲ πολιτικῶς, ᾧ γε μικρὸν ἔμπροσθεν ὑποχείριον εἰς τὴν οἰκίαν δοὺς ἑαυτὸν, ἀσφαλῶς ἀφείθη. Καίτοι Μαρίῳ τότε, μὴ δεόντι Σύλλαν, ἀλλ' ἀποθανεῖν ὑπὸ Σουλπικίου προεμένῳ, πάντων κρατεῖν ὑπῆρχεν, ἀλλ' ὅμως ἐφείσατο· καὶ μεθ' ἡμέρας ὀλίγας τὴν αὐτὴν λαβὴν παρασχὼν, οὐκ ἔτυχε τῶν ὁμοίων. Ἐφ' οἷς ὁ Σύλλας τὴν μὲν σύγκλητον ἀδήλως ἠνίασεν· ἡ δὲ παρὰ τοῦ δήμου δυσμένεια καὶ νέμεσις αὐτῷ φανερὰ δι' ἔργων ἁπήντα. Νώνιον μέν γε τὸν ἀδελφιδοῦν δι' αὐτοῦ καὶ Σερουήϊον ἀρχὰς μετιόντας ἀποψηφισάμενος καὶ καθυβρίσαντες, ἑτέρους κατέστησαν ἄρχοντας, οὓς μάλιστα τιμῶντες ᾠοντο λυπεῖν ἐκεῖνον. Ὁ δὲ τούτοις τε προσεποιεῖτο χαίρειν, ὡς τοῦ δήμου τῷ ποιεῖν, ἃ βούλοιτο, δι' αὐτὸν ἀπολαύοντος τῆς ἐλευθερίας· καὶ θεραπεύων τὸ τῶν πολλῶν μῖσος, ὕπατον κατέστησεν ἀπὸ τῆς ἐναντίας στάσεως Λεύκιον Κίνναν, ἀραῖς καὶ ὅρκοις καταλαβὼν εὐνοήσειν τοῖς ἑαυτοῦ πράγμασιν. Ὁ δ' ἀναβὰς εἰς τὸ Καπιτώλιον, ἔχων ἐν τῇ χειρὶ λίθον, ὤμνυεν, εἶτα ἐπαρασάμενος ἑαυτῷ, μὴ φυλάττοντι τὴν πρὸς ἐκεῖνον εὔνοιαν, ἐκπεσεῖν τῆς πόλεως, ὥσπερ ὁ λίθος διὰ τῆς χειρὸς, κατέβαλε χαμαίζε τὸν λίθον, οὐκ ὀλίγων παρόντων. Παραλαβὼν δὲ τὴν ἀρχὴν, εὐθὺς ἐπε-

Digitized by Google

χείρει τὰ καθεστῶτα κινεῖν· καὶ δίκην ἐπὶ τὸν Σύλλαν παρεσκεύασε, καὶ κατηγορεῖν ἐπέστησεν Οὐεργίνιον, ἕνα τῶν δημάρχων, ὃν ἐκεῖνος ἅμα τῷ δικαστηρίῳ χαίρειν ἐάσας, ἐπὶ Μιθριδάτην ἀπῆρε.

XI. Λέγεται δὲ, ὑπὸ τὰς ἡμέρας ἐκείνας, ἐν αἷς ὁ Σύλλας ἀπὸ τῆς Ἰταλίας ἐκίνει τὸν στόλον, ἄλλα τε πολλὰ Μιθριδάτῃ, διατρίβοντι περὶ τὸ Πέργαμον, ἐπισκῆψαι δαιμόνια, καὶ νίκην στεφανηφόρον καθιεμένην ὑπὸ τῶν Περγαμηνῶν ἐπ' αὐτὸν ἔκ τινων ὀργάνων ἄνωθεν, ὅσον οὔπω τῆς κεφαλῆς ψαύουσαν συντριβῆναι, καὶ τὸν στέφανον ἐκπεσόντα κατὰ τοῦ θεάτρου φέρεσθαι χαμᾶζε διαθρυπτόμενον· ὥστε φρίκην μὲν τῷ δήμῳ, ἀθυμίαν δὲ πολλὴν Μιθριδάτῃ παρασχεῖν, καίπερ αὐτῷ τότε τῶν πραγμάτων ἐλπίδος πέρα προχωρούντων. Αὐτὸς μὲν γὰρ Ἀσίαν τε Ῥωμαίων, καὶ Βιθυνίαν καὶ Καππαδοκίαν τῶν βασιλέων ἀφῃρημένος, ἐν Περγάμῳ καθῆστο, πλούτους καὶ δυναστείας καὶ τυραννίδας διανέμων τοῖς φίλοις. Τῶν δὲ παίδων ὁ μὲν ἐν Πόντῳ καὶ Βοσπόρῳ τὴν παλαιὰν ἄχρι τῶν ὑπὲρ τὴν Μαιῶτιν ἀοικήτων ἀρχὴν κατεῖχεν, οὐδενὸς παρενοχλοῦντος· Ἀριαράθης δὲ Θράκην καὶ Μακεδονίαν ἐπῄει στρατῷ μεγάλῳ προσαγόμενος. Ἄλλους δὲ οἱ στρατηγοὶ τόπους ἐχειροῦντο, δυνάμεις ἔχοντες· ὧν ὁ μέγιστος Ἀρχέλαος, ταῖς μὲν ναυσὶν ὁμοῦ τι συμπάσης ἐπικρατῶν τῆς θαλάττης, τάς τε Κυκλάδας νήσους ἐδουλοῦτο καὶ τῶν ἄλλων, ὅσαι Μαλέας ἐντὸς ἵδρυνται, καὶ τὴν Εὔβοιαν αὐτὴν εἶχεν· ἐκ δ' Ἀθηνῶν

Digitized by Google

ὁρμώμενος, τὰ μέχρι Θετταλίας ἔθνη τῆς Ἑλλάδος ἀφίστη, μικρὰ προσκρούσας περὶ Χαιρώνειαν. Ἐνταῦθα γὰρ αὐτῷ Βρέττιος Σούρρας ἀπήντησε, πρεσβευτὴς μὲν ὢν Σεντίου, τοῦ στρατηγοῦ τῆς Μακεδονίας, ἀνὴρ δὲ τόλμῃ καὶ φρονήσει διαφέρων. Οὗτος Ἀρχελάῳ, δίκην ῥεύματος φερομένῳ διὰ τῆς Βοιωτίας, ἐπὶ πλεῖστον ἀντιστὰς, καὶ τρισὶ μάχαις διαγωνισάμενος περὶ Χαιρώνειαν ἐξέωσε, καὶ συνέστειλε πάλιν ἐπὶ τὴν θάλατταν. Λευκίου δὲ Λευκούλλου κελεύσαντος αὐτὸν ὑποχωρεῖν ἐπιόντι Σύλλᾳ, καὶ τὸν ἐψηφισμένον ἐκείνῳ ἐᾶν πόλεμον, εὐθὺς ἐκλιπὼν τὴν Βοιωτίαν, ὀπίσω πρὸς Σέντιον ἀπήλαυνε, καίπερ αὐτῷ τῶν πραγμάτων ἐλπίδος πέρα προχωρούντων, καὶ τῆς Ἑλλάδος οἰκείως ἐχούσης πρὸς μεταβολὴν, διὰ τὴν ἐκείνου καλοκαγαθίαν. Ἀλλὰ γὰρ Βρεττίῳ μὲν ταῦτα λαμπρότατα τῶν πεπραγμένων.

XII. Σύλλας δὲ τὰς μὲν ἄλλας πόλεις εὐθὺς εἶχεν ἐπιπρεσβευομένας καὶ καλούσας, ταῖς δ᾽ Ἀθήναις, διὰ τὸν τύραννον Ἀριστίωνα βασιλεύεσθαι ἠναγκασμέναις, ἄθρους ἐπέστη· καὶ τὸν Πειραιᾶ περιλαβὼν ἐπολιόρκει, μηχανήν τε πᾶσαν ἐφιστὰς, καὶ μάχας παντοδαπὰς ποιούμενος. Καίτοι χρόνον οὐ πολὺν ἀνασχομένῳ παρῆν ἀκινδύνως ἑλεῖν τὴν ἄνω πόλιν, ὑπὸ λιμοῦ συνηγμένην ἤδη τῇ χρείᾳ τῶν ἀναγκαίων εἰς τὸν ἔσχατον καιρόν. Ἀλλ᾽, ἐπειγόμενος εἰς Ῥώμην, καὶ δεδιὼς τὸν ἐκεῖ νεωτερισμὸν, πολλοῖς μὲν κινδύνοις, πολλαῖς δὲ μάχαις, μεγάλαις δὲ δαπάναις κατέσπευδε τὸν πόλεμον. Ὤι γε, δίχα

Digitized by Google

τῆς ἄλλης παρασκευῆς, ἢ περὶ τὰ μηχανήματα πραγματεία ζεύγεσι μυρίοις ὁρικοῖς ἐχορηγεῖτο καθ' ἡμέραν ἐνεργοῖς οὖσι πρὸς τὴν ὑπηρεσίαν. Ἐπιλιπούσης δὲ τῆς ὕλης, διὰ τὸ κόπτεσθαι πολλὰ τῶν ἔργων περικλώμενα τοῖς αὐτῶν βρίθεσι, καὶ πυρπολεῖσθαι βαλλόμενα συνεχῶς ὑπὸ τῶν πολεμίων, ἐπεχείρησε τοῖς ἱεροῖς ἄλσεσι· καὶ τὴν τ' Ἀκαδημίαν ἔκειρε δενδροφορωτάτην προαστείων οὖσαν, καὶ τὸ Λύκειον. Ἐπεὶ δὲ καὶ χρημάτων ἔδει πολλῶν πρὸς τὸν πόλεμον, ἐκίνει τὰ τῆς Ἑλλάδος ἄσυλα, τοῦτο μὲν ἐξ Ἐπιδαύρου, τοῦτο δ' ἐξ Ὀλυμπίας, τὰ κάλλιστα καὶ πολυτελέστατα τῶν ἀναθημάτων μεταπεμπόμενος. Ἔγραψε δὲ καὶ τοῖς Ἀμφικτύοσιν εἰς Δελφοὺς, ὅτι τὰ χρήματα τοῦ θεοῦ βέλτιον εἴη κομισθῆναι πρὸς αὐτόν· ἢ γὰρ φυλάξειν ἀσφαλέστερον, ἢ καὶ ἀποχρησάμενος, ἀποδώσειν οὐκ ἐλάττω. Καὶ τῶν φίλων ἀπέστειλε Κάφιν τὸν Φωκέα, κελεύσας σταθμῷ παραλαβεῖν ἕκαστον. Ὁ δὲ Κάφις ἦκε μὲν εἰς Δελφοὺς, ὤκνει δὲ τῶν ἱερῶν θιγεῖν, καὶ πολλὰ τῶν Ἀμφικτυόνων λιπαρούντων, ἀπεδάκρυσε τὴν ἀνάγκην. Ἐνίων δὲ φασκόντων ἀκοῦσαι φθεγγομένης τῆς ἐν τοῖς ἀνακτόροις κιθάρας, εἴτε πιστεύσας, εἴτε τὸν Σύλλαν βουλόμενος ἐμβαλεῖν εἰς δεισιδαιμονίαν, ἀπέστειλε πρὸς αὐτόν. Ὁ δὲ σκόπτων ἀντέγραφε, θαυμάζειν τὸν Κάφιν, εἰ μὴ συνίησιν, ὅτι χαίροντος, οὐ χαλεπαίνοντος εἴη τὸ ἄδειν· ὥστε θαῤῥοῦντα λαμβάνειν ἐκέλευσεν, ὡς ἡδομένου τοῦ θεοῦ καὶ διδόντος. Τὰ μὲν οὖν ἄλλα διέλαθε τοὺς γε πολ-

Digitized by Google

λοὺς Ἕλληνας ἐκπεμπόμενα· τὸν δ' ἀργυροῦν πίθον, ὃς ἦν ὑπόλοιπος ἔτι τῶν βασιλικῶν, διὰ βάρος καὶ μέγεθος οὐ δυναμένων ἀναλαβεῖν τῶν ὑποζυγίων, ἀναγκαζόμενοι κατακόπτειν οἱ Ἀμφικτύονες, εἰς μνήμην ἐβάλοντο, τοῦτο μὲν Τίτον Φλαμινῖνον καὶ Μάνιον Ἀκύλιον, τοῦτο δ' Αἰμίλιον Παῦλον· ὧν ὁ μὲν, Ἀντίοχον ἐξελάσας τῆς Ἑλλάδος, οἱ δὲ τοὺς Μακεδόνων βασιλεῖς καταπολεμήσαντες, οὐ μόνον ἀπέσχοντο τῶν ἱερῶν τῶν Ἑλληνικῶν, ἀλλὰ καὶ δῶρα καὶ τιμὴν αὐτοῖς καὶ σεμνότητα πολλὴν προσέθεσαν. Ἀλλ' ἐκεῖνοι μὲν ἀνδρῶν τε σωφρόνων, καὶ μεμαθηκότων σιωπῇ τοῖς ἄρχουσι παρέχειν τὰς χεῖρας, ἡγούμενοι κατὰ νόμον, αὐτοί τε ταῖς ψυχαῖς βασιλικοὶ, καὶ ταῖς δαπάναις εὐτελεῖς ὄντες, μετρίοις ἐχρῶντο καὶ τεταγμένοις ἀναλώμασι, τὸ κολακεύειν τοὺς στρατιώτας αἴσχιον ἡγούμενοι τοῦ δεδιέναι τοὺς πολεμίους. Οἱ δὲ τότε στρατηγοὶ, βίᾳ τὸ πρωτεῖον, οὐκ ἀρετῇ, κτώμενοι, καὶ μᾶλλον ἐπ' ἀλλήλους δεόμενοι τῶν ὅπλων, ἢ τοὺς πολεμίους, ἠναγκάζοντο δημαγωγεῖν ἐν τῷ στρατηγεῖν, εἶθ' ὧν εἰς τὰς ἡδυπαθείας τοῖς στρατευομένοις ἀνήλισκον, ὠνούμενοι τοὺς πόνους αὐτῶν, ἔλαθον ὄνιον ὅλην τὴν πατρίδα ποιήσαντες, ἑαυτούς τε δούλους τῶν κακίστων, ἐπὶ τῷ τῶν βελτιόνων ἄρχειν. Ταῦτ' ἐξήλαυνε Μάριον, εἶτ' αὖθις ἐπὶ Σύλλαν κατῆγε. Ταῦτ' Ὀκταουΐου τοὺς περὶ Κίνναν, ταῦτα Φλάκκου τοὺς περὶ Φιμβρίαν αὐτόχειρας ἐποίησεν. Ὧν οὐχ ἥκιστα Σύλλας ἐνέδωκε τὰς ἀρχὰς, ἐπὶ τῷ διαφθείρειν

Digitized by Google

καὶ μεταπαλεῖν τοὺς ὑπ' ἄλλοις τεττομένους, καταχορηγῶν εἰς τοὺς ὑφ' αὑτῷ καὶ δαπανώμενος· ὥστε ἅμα τοὺς ἄλλους μὲν εἰς προδοσίαν, τοὺς δὲ ὑφ' αὑτῷ εἰς ἀσωτίαν διαφθείρων, χρημάτων δεῖσθαι πολλῶν, καὶ μάλιστα πρὸς τὴν πολιορκίαν ἐκείνην.

XIII. Δεινός γάρ τις ἄρα καὶ ἀπαραίτητος εἶχεν αὐτὸν ἔρως ἑλεῖν τὰς Ἀθήνας· εἴτε ζήλῳ τινὶ πρὸς τὴν πάλαι συναμαχοῦντα τῆς πόλεως δόξαν, εἴτε θυμῷ τὰ σπώμματα φέροντα καὶ τὰς βωμολοχίας, αἷς αὐτόν τε καὶ τὴν Μετέλλαν ἀπὸ τῶν τειχῶν ἑκάστοτε γεφυρίζων καὶ κατορχούμενος ἐξηρέθιζεν ὁ τύραννος Ἀριστίων, ἄνθρωπος ἐξ ἀσελγείας ὁμοῦ καὶ ὠμότητος ἔχων συγκεκραμένην τὴν ψυχήν, καὶ τὰ χείριστα τῶν Μαθριδατικῶν συνερρυηκότα νοσημάτων καὶ παθῶν εἰς ἑαυτὸν ἀνειληφὼς, καὶ τῇ πόλει, μυρίους μὲν πολέμους, πολλὰς δὲ τυραννίδας καὶ στάσεις διαπεφευγυίᾳ πρότερον, ὥσπερ νόσημα θανατηφόρον, εἰς τοὺς ἐσχάτους καιροὺς ἐπιτιθέμενος· ὃς, χιλίων δραχμῶν ὠνίου τοῦ μεδίμνου τῶν πυρῶν ὄντος ἐν ἄστει τότε, τῶν ἀνθρώπων σιτουμένων τὸ περὶ τὴν ἀκρόπολιν φυόμενον παρθένιον, ὑποθήματα δὲ καὶ ληκύθους ἐφθὰς ἐσθιόντων, αὐτὸς ἐνδελεχῶς πότοις μεθημερινοῖς καὶ κώμοις χρώμενος, καὶ πυρριχίζων καὶ γελωτοποιῶν πρὸς τοὺς πολεμίους, τὸν μὲν ἱερὸν τῆς θεοῦ λύχνον ἀπεσβηκότα διὰ σκάνιν ἐλαίου περιεῖδε, τῇ δὲ ἱεροφάντιδι πυρῶν ἡμίεκτον προσαιτούσῃ πεπέρεως ἔπεμψε· τοὺς δὲ βουλευτὰς καὶ ἱερεῖς, ἱκετεύοντας οἰκτεῖραι τὴν πό-

Digitized by Google

λιν, καὶ διαλύσασθαι πρὸς τὸν Σύλλαν, τοξεύμασι βάλλων διεσκέδασαν. Ὀψὲ δ' ἤδη που μόλις ἐξέπεμψεν ὑπὲρ εἰρήνης δύο ἢ τρεῖς τῶν συμποτῶν· πρὸς οὓς, οὐδὲν ἀξιοῦντας σωτήριον, ἀλλὰ τὸν Θησέα καὶ τὸν Εὔμολπον καὶ τὰ Μηδικὰ σεμνολογουμένους, ὁ Σύλλας· „Ἅπιτε (εἶπεν) ὦ μακάριοι, τοὺς λόγους τούτους ἀναλαβόντες· ἐγὼ γὰρ οὐ φιλομαθήσων εἰς Ἀθήνας ὑπὸ Ῥωμαίων ἐπέμφθην, ἀλλὰ τοὺς ἀφισταμένους καταστρεψόμενος."

XIV. Ἐν δὲ τούτῳ λέγεται τινὰς ἐν Κεραμεικῷ πρεσβυτῶν ἀκούσαντας διαλεγομένων πρὸς ἀλλήλους, καὶ κακιζόντων τὸν τύραννον, ὡς μὴ φυλάττοντα τοῦ τείχους τὴν περὶ τὸ Ἐπτάχαλκον ἔφοδον καὶ προσβολήν, ᾗ μόνῃ δυνατὸν εἶναι καὶ ῥᾴδιον ὑπερβῆναι τοὺς πολεμίους, ἀπαγγεῖλαι ταῦτα πρὸς τὸν Σύλλαν. Ὁ δ' οὐ κατεφρόνησεν, ἀλλ' ἐπελθὼν νυκτὸς, καὶ θεασάμενος τὸν τόπον ἁλώσιμον, εἴχετο τοῦ ἔργου. Λέγει δ' αὐτὸς ὁ Σύλλας ἐν τοῖς ὑπομνήμασι, τὸν πρῶτον ἐπιβάντα τοῦ τείχους, Μάρκον Τήϊον, ἀντιστάντος αὐτῷ πολεμίου, δόντα πληγὴν ἐκ καταφορᾶς τῷ κράνει περικλάσαι τὸ ξίφος, οὐ μὴν ὑφέσθαι τῆς χώρας, ἀλλὰ μεῖναι καὶ κατασχεῖν. Κατελήφθη μὲν οὖν ἡ πόλις ἐκεῖθεν, ὡς Ἀθηναίων οἱ πρεσβύτατοι διεμνημόνευον. Αὐτὸς δὲ Σύλλας τὸ μεταξὺ τῆς Πειραϊκῆς πύλης καὶ τῆς ἱερᾶς κατασκάψας καὶ συνομαλύνας, περὶ μέσας νύκτας ἐσήλαυνε φρικώδης, ὑπό τε σάλπιγξι καὶ κέρασι πολλοῖς, ἀλαλαγμῷ καὶ κραυγῇ τῆς δυνάμεως ἐφ' ἅρ-

Digitized by Google

παγὴν καὶ φόνον ἀφειμένης ὑπ᾽ αὐτοῦ, καὶ φερομένης διὰ στενωπῶν ἐσπασμένοις τοῖς ξίφεσιν· ὥστ᾽ ἀριθμὸν μηδένα γενέσθαι τῶν ἀποσφαγέντων, ἀλλὰ τῷ τόπῳ τοῦ ῥυέντος αἵματος ἔτι νῦν μετρεῖσθαι τὸ πλῆθος. Ἄνευ γὰρ τῶν κατὰ τὴν ἄλλην πόλιν ἀναιρεθέντων ὁ περὶ τὴν ἀγορὰν φόνος ἐπέσχε πάντα τὸν ἐντὸς τοῦ Διπύλου Κεραμεικόν· πολλοῖς δὲ λέγεται καὶ διὰ πυλῶν κατακλύσαι τὸ προάστειον. Ἀλλὰ τῶν οὕτως ἀποθανόντων, τοσούτων γενομένων, οὐκ ἐλάσσονες ἦσαν οἱ σφᾶς αὐτοὺς διαφθείραντες, οἴκτῳ καὶ πόθῳ τῆς πατρίδος, ὡς ἀναιρεθησομένης. Τοῦτο γὰρ ἀπογνῶναι καὶ φοβηθῆναι τὴν σωτηρίαν ἐποίησε τοὺς βελτίστους, οὐδὲν ἐν τῷ Σύλλᾳ φιλάνθρωπον, οὐδὲ μέτριον ἐλπίσαντας. Ἀλλὰ γάρ, τοῦτο μὲν Μειδίου, καὶ Καλλιφῶντος, τῶν φυγάδων, δεομένων καὶ προκυλινδουμένων αὐτοῦ, τοῦτο δὲ τῶν συγκλητικῶν, ὅσοι συνεστράτευον, ἐξαιτουμένων τὴν πόλιν, αὐτός τε μεστὸς ὢν ἤδη τῆς τιμωρίας, ἐγκώμιόν τι τῶν παλαιῶν Ἀθηναίων ἐπεισπὼν, ἔφη χαρίζεσθαι πολλοὺς μὲν ὀλίγοις, ζῶντας δὲ τεθνηκόσιν. Ἔλεγε δὲ τὰς Ἀθήνας αὐτός φησιν ἐν τοῖς ὑπομνήμασι Μαρτίαις καλάνδαις, ἥτις ἡμέρα συμπίπτει μάλιστα τῇ νουμηνίᾳ τοῦ Ἀνθεστηριῶνος μηνός· ἐν ᾧ κατὰ τύχην ὑπομνήματα πολλὰ τοῦ διὰ τὴν ἐπομβρίαν ὀλέθρου καὶ τῆς φθορᾶς ἐκείνης δρῶσιν, ὡς τότε καὶ περὶ τὸν χρόνον ἐκεῖνον μάλιστα τοῦ κατακλυσμοῦ συμπεσόντος. Ἑαλωκότος δὲ τοῦ ἄστεος, ὁ μὲν τύραννος εἰς τὴν ἀκρόπολιν καταφυ-

Digitized by Google

γὼν ἐπολιορκεῖτο, Κουρίωνος ἐπὶ τούτῳ τεταγμένου· καὶ χρόνον ἐγκαρτερήσας συχνὸν, αὐτὸς ἑαυτὸν ἐνεχείρισε, δίψει πιεσθείς. Καὶ τὸ δαιμόνιον εὐθὺς ἐπεσήμηνε· τῆς γὰρ αὐτῆς ἡμέρας τε καὶ ὥρας ἐκεῖνόν τε Κουρίων κατῆγε, καὶ νεφῶν ἐξ αἰθρίας συνδραμόντων, πλῆθος ὄμβρου καταῤῥαγὲν ἐπλήρωσιν ὕδατος τὴν ἀκρόπολιν. Εἶχε δὲ καὶ τὸν Πειραιᾶ μετ' οὐ πολὺν χρόνον ὁ Σύλλας, καὶ τὰ πλεῖστα κατέκαυσεν· ὧν ἦν καὶ ἡ Φίλωνος ὁπλοθήκη, θαυμαζόμενον ἔργον.

XV. Ἐν δὲ τούτῳ Ταξίλλης, ὁ Μιθριδάτου στρατηγὸς, ἐκ Θρᾴκης καὶ Μακεδονίας καταβεβηκὼς δέκα μυριάσι πεζῶν, καὶ μυρίοις ἵπποις, καὶ τεθρίπποις ἐνενήκοντα δρεπανηφόροις, ἐκάλει τὸν Ἀρχέλαον, ἔτι ναυλοχοῦντα περὶ τὴν Μουνυχίαν, καὶ μήτε τῆς θαλάττης βουλόμενον ἀποστῆναι, μήτε πρόθυμον ὄντα συμπλέκεσθαι τοῖς Ῥωμαίοις, ἀλλὰ τρίβειν χρόνῳ τὸν πόλεμον, καὶ τὰς εὐπορίας αὐτῶν ἀφαιρεῖν. Ἃ δὴ πολὺ μᾶλλον ἐκείνου συνορῶν ὁ Σύλλας, ἀνέζευξεν εἰς Βοιωτίαν ἐκ χωρίων γλίσχρων, καὶ μηδὲ ἐν εἰρήνῃ τρέφειν ἱκανῶν ὄντων. Καὶ τοῖς πολλοῖς ἐδόκει σφάλλεσθαι τὸν λογισμὸν, ὅτι τὴν Ἀττικὴν τραχεῖαν οὖσαν καὶ δύσιππον ἀπολιπὼν, ἐνέβαλεν ἑαυτὸν πεδιάσι καὶ ἀναπεπταμέναις ταῖς περὶ τὴν Βοιωτίαν χώραις, ὁρῶν ἐν ἅρμασι καὶ ἵπποις τὴν βαρβαρικὴν οὖσαν ἀλκήν. Ἀλλὰ φεύγων, ὥσπερ εἴρηται, λιμὸν καὶ σπάνιν, ἠναγκάζετο διώκειν τὸν ἐκ τῆς μάχης κίνδυνον. Ἔτι δὲ Ὀρτήσιος αὐτὸν ἐφέ-

Digitized by Google

βει, στρατηγικὸς ἀνὴρ καὶ φιλόνεικος, ὃν, ἐκ Θετταλίας ἄγοντα τῷ Σύλλᾳ δύναμιν, ἐν τοῖς στενωῖς οἱ βάρβαροι παρεφύλαττον. Διὰ ταῦτα μὲν εἰς τὴν Βοιωτίαν ἀνέζευξεν ὁ Σύλλας· Ὀρτήσιον δὲ Κάφις, ἡμέτερος ὢν, ἑτέραις ὁδοῖς, ψευσάμενος τοὺς βαρβάρους, διὰ τοῦ Παρνασσοῦ κατῆγεν ὑπ' αὐτὴν τὴν Τιθορέαν, οὔπω τοσαύτην πόλιν οὖσαν, ὅση νῦν ἐστιν, ἀλλὰ φρούριον ἀποῤῥῶγι κρημνῷ περικοπτόμενον, εἰς ὃ καὶ πάλαι ποτὲ Φωκέων οἱ Ξέρξην ἐπιόντα φεύγοντες ἀνεσκευάσαντο καὶ διεσώθησαν. Ἐνταῦθα καταστρατοπεδεύσας Ὀρτήσιος, ἡμέρας μὲν ἀπεκρούσατο τοὺς πολεμίους, νύκτωρ δ' ἐπὶ Πατρωνίδα ταῖς δυσχωρίαις καταβάς, ἀπαντήσαντι τῷ Σύλλᾳ μετὰ τῆς δυνάμεως συνέμιξε.

XVI. Γενόμενοι δὲ κοινῇ, καταλαμβάνονται βουνὸν ἐκ μέσων ἑστῶτα τῶν Ἑλατικῶν πεδίων εὔγεων καὶ ἀμφιλαφῆ, καὶ παρὰ τὴν ῥίζαν ὕδωρ ἔχοντα. Φιλοβοιωτὸς καλεῖται, καὶ τὴν φύσιν αὐτοῦ καὶ τὴν θέσιν ἐπαινεῖ θαυμασίως ὁ Σύλλας. Στρατοπεδευσαντες δὲ, παντάπασιν ὀλίγοι τοῖς πολεμίοις κατεφάνησαν. Ἱππεῖς μὲν γὰρ οὐ πλείους πεντακοσίων καὶ χιλίων ἐγένοντο, πεζοὶ δὲ, πεντακισχιλίων καὶ μυρίων ἐλάττους. Ὅθεν ἐκβιασάμενοι τὸν Ἀρχέλαον οἱ λοιποὶ στρατηγοὶ καὶ παρατάξαντες τὴν δύναμιν, ἀνέπλησαν ἵππων, ἁρμάτων, ἀσπίδων, θυρεῶν τὸ πεδίον. Τὴν δὲ κραυγὴν καὶ ἀλαλαγμὸν οὐκ ἔστεγεν ὁ ἀὴρ, ἐθνῶν τοσούτων ἅμα καθισταμένων εἰς τάξιν. Ἦν δὲ ἅμα καὶ τὸ κομπῶδες καὶ σοβαρὸν αὐ-

Digitized by Google

τῶν τῆς πολυτελείας οὐκ ἀργόν, οὐδ' ἄχρηστον εἰς ἔκπληξιν, ἀλλ' αἵ τε μαρμαρυγαὶ τῶν ὅπλων ἠσκημένων χρυσῷ τε καὶ ἀργύρῳ διαπρεπῶς, αἵ τε βαφαὶ τῶν Μηδικῶν καὶ Σκυθικῶν χιτώνων ἀναμεμιγμέναι χαλκῷ καὶ σιδήρῳ λάμποντι, πυροειδῆ καὶ φοβερὰν ἐν τῷ σαλεύεσθαι καὶ διαφέρεσθαι προσέβαλλον ὄψιν· ὥστε τοὺς Ῥωμαίους ὑπὸ τὸν χάρακα συστέλλειν ἑαυτοὺς, καὶ τὸν Σύλλαν, μηδενὶ λόγῳ τὸ θάμβος αὐτῶν ἀφελεῖν δυνάμενον, βιάζεσθαί τε ἀποδιδράσκοντας οὐ βουλόμενον, ἡσυχίαν ἄγειν, καὶ φέρειν βαρέως ἐφυβρίζοντας ὁρῶντα κομπασμῷ καὶ γέλωτι τοὺς βαρβάρους. Ἔλυησε μέντοι τοῦτο μάλιστα πάντων αὐτόν. Οἱ γὰρ ἐναντίοι καταφρονήσαντες ἐτρέποντο πρὸς ἀταξίαν πολλὴν, οὐδ' ἄλλως ὑπήκοοι τῶν στρατηγῶν διὰ πολυαρχίαν ὄντες, ὥστ' ὀλίγοι μὲν ἐν τῷ χάρακι διεκαρτέρουν, ὁ δὲ πλεῖστος ὄχλος ἁρπαγαῖς καὶ πορθήμασι δελεαζόμενος, ὁδὸν ἡμερῶν πολλῶν ἀπὸ τοῦ στρατοπέδου διεσπείρετο, καὶ τὴν τε τῶν Πανοπέων πόλιν ἐκκόψαι λέγονται, καὶ τὴν Λεβαδέων διαρπάσαι, καὶ συλῆσαι τὸ μαντεῖον, οὐδενὸς στρατηγοῦ πρόσταγμα δόντος. Ὁ δὲ Σύλλας, ἐν ὄμμασιν αὐτοῦ πόλεων ἀπολλυμένων, δυσανασχετῶν καὶ λυπούμενος, οὐκ εἴα τοὺς στρατιώτας σχολάζειν, ἀλλὰ προσάγων αὐτοὺς ἠνάγκαζε τόν τε Κηφισσὸν ἐκ τοῦ ῥείθρου παρατρέπειν, καὶ τάφρους ὀρύσσειν· ἀνάπαυλαν οὐδενὶ διδοὺς, καὶ τῶν ἐνδιδόντων ἀπαραίτητος ἐφεστὼς κολαστὴς, ὅπως ἀπαγορεύσαντες πρὸς τὰ ἔργα, διὰ τῶν πόνων ἀσπάσων-

Digitized by Google

ται τὸν κίνδυνον. Ὃ καὶ συνέβη. Τρίτην γὰρ ἡμέραν ἐργαζόμενοι, τοῦ Σύλλα παρεξιόντος, ἐδέοντο μετὰ κραυγῆς ἄγειν ἐπὶ τοὺς πολεμίους. Ὁ δ', οὐ μάχεσθαι βουλομένων, ἀλλὰ μὴ βουλομένων πονεῖν, ἔφησεν εἶναι τὸν λόγον· εἰ δ' ὄντως ἔχουσιν ἀγωνιστικῶς, ἐκέλευσεν ἤδη μετὰ τῶν ὅπλων ἐλθεῖν ἐκεῖσε, δείξας αὐτοῖς τὴν πρότερον μὲν γενομένην ἀκρόπολιν τῶν Παραποταμίων, τότε δ', ἀνῃρημένης τῆς πόλεως, λόφος ἐλείπετο πετρώδης καὶ περίκρημνος, τοῦ Ἡδυλίου διωρισμένος ὄρους, ὅσον ὁ Ἄσσος ἐπέχει ῥέων, εἶτα συμπίπτων ὑπὸ τὴν ῥίζαν αὐτὴν τῷ Κηφισσῷ, καὶ συνεκτραχυνόμενος, ὀχυρὰν ἐνστρατοπεδεῦσαι τὴν ἄκραν ποιεῖ. Διὸ καὶ τοὺς χαλκάσπιδας ὁρῶν τῶν πολεμίων ὠθουμένους ἐπ' αὐτὴν ὁ Σύλλας, ἐβούλετο φθῆναι καταλαβὼν τὸν τόπον, καὶ κατέλαβε, χρησάμενος τοῖς στρατιώταις προθύμοις. Ἐπεὶ δ' ἀποκρουσθεὶς ἐκεῖθεν ὁ Ἀρχέλαος ὥρμησεν ἐπὶ τὴν Χαιρώνειαν, οἱ δὲ συστρατευσάμενοι τῶν Χαιρωνέων ἐδέοντο τοῦ Σύλλα μὴ προέσθαι τὴν πόλιν, ἐκπέμπει τῶν χιλιάρχων ἕνα, Γαβίνιον, μετὰ τάγματος ἑνός, καὶ τοὺς Χαιρωνεῖς ἀφίησι, βουληθέντας μέν, οὐ μὴν δυνηθέντας φθῆναι τὸν Γαβίνιον. Οὕτως ἦν ἀγαθὸς καὶ προθυμότερος εἰς τὸ σῶσαι τῶν σωθῆναι δεομένων. Ὁ δ' Ἰόβας οὐ Γαβίνιον φησὶ πεμφθῆναι, ἀλλὰ Ἐρίκιον. Ἡ μὲν οὖν πόλις ἡμῶν παρὰ τοσοῦτον ἐξέφυγε τὸν κίνδυνον.

XVII. Ἐκ δὲ Λεβαδείας καὶ τοῦ Τροφωνίου φῆμαί τε χρησταὶ καὶ νικηφόρα μαντεύματα τοῖς Ῥω-

Digitized by Google

μαίοις ἐξεπέμποντο. Περὶ ὧν οἱ μὲν ἐπιχώριοι πλείονα λέγουσιν· ὡς δὲ Σύλλας αὐτὸς ἐν δεκάτῳ τῶν ὑπομνημάτων γέγραφε, Κόϊντος Τίτιος, οὐκ ἀφανὴς ἀνὴρ τῶν ἐν τῇ Ἑλλάδι πραγματευομένων, ἦκε πρὸς αὐτὸν, ἤδη τὴν ἐν Χαιρωνείᾳ νενικηκότα μάχην, παραγγέλλων, ὅτι καὶ δευτέραν ὁ Τροφώνιος αὐτόθι μάχην καὶ νίκην προσημαίνει ἐντὸς ὀλίγου χρόνου. Μετὰ δὲ τοῦτον ἀνὴρ τῶν ἐν τάξει στρατευομένων, ὄνομα Σαλουήνιος, ἀνήνεγκε παρὰ τοῦ θεοῦ, οἷον τέλος αἱ κατὰ τὴν Ἰταλίαν πράξεις ἔμελλον ἕξειν. Ἀμφότεροι δὲ ταὐτὰ περὶ τῆς ὁμφῆς ἔφραζον· τῷ γὰρ Ὀλυμπίῳ Διὶ καὶ τὸ κάλλος καὶ τὸ μέγεθος παραπλήσιον ἰδεῖν ἔφασαν. Ἐπεὶ δὲ διέβη τὸν Ἄσσον ὁ Σύλλας, παρελθὼν ὑπὸ τὸ Ἠδύλιον, τῷ Ἀρχελάῳ παρεστρατοπέδευσε, βεβλημένῳ χάρακα καρτερὸν ἐν μέσῳ τοῦ Ἀκοντίου καὶ τοῦ Ἠδυλίου, πρὸς τοῖς λεγομένοις Ἀσσίοις. Ὁ μέντοι τόπος, ἐν ᾧ κατεσκήνωσεν, ἄχρι νῦν Ἀρχέλαος ἀπ' ἐκείνου καλεῖται. Διαλιπὼν δὲ μίαν ἡμέραν ὁ Σύλλας, Μουρήναν μὲν ἔχοντα τάγμα καὶ σπείρας δύο πρὸς τὸ τοῖς πολεμίοις ἐνοχλῆσαι παρατattομένοις ἀπέλιπεν· αὐτὸς δὲ παρὰ τὸν Κηφισσὸν ἐσφαγιάζετο, καὶ τῶν ἱερῶν γενομένων, ἐχώρει πρὸς τὴν Χαιρώνειαν, ἀναληψόμενός τε τὴν αὐτόθι στρατιὰν, καὶ κατοψόμενος τὸ καλούμενον Θούριον ὑπὸ τῶν πολεμίων προκατειλημμένον. Ἔστι δὲ κορυφὴ τραχεῖα, καὶ στροβιλῶδες ὄρος, ὃ καλοῦμεν Ὀρθόπαγον. Ὑπὸ δ' αὐτὸ τὸ ῥεῦμα τοῦ Μωρίου, καὶ Θουρίου νεὼς Ἀπόλλωνος.

Digitized by Google

Ὀνόμασται δὲ ὁ θεὸς ἀπὸ Θουροῦς, τῆς Χαίρωνος μητρὸς, ὃν οἰκιστὴν γεγονέναι τῆς Χαιρωνείας ἱστοροῦσιν. Οἱ δὲ φασι τὴν Κάδμῳ δοθεῖσαν ὑπὸ τοῦ Πυθίου καθηγεμόνα βοῦν ἐκεῖ φανῆναι, καὶ τὸν τόπον ἐπ' αὐτῆς οὕτω προσαγορευθῆναι. Θὼρ γὰρ οἱ Φοίνικες τὴν βοῦν καλοῦσι. Προσιόντος δὲ τοῦ Σύλλα πρὸς τὴν Χαιρώνειαν, ὁ τεταγμένος ἐν τῇ πόλει χιλίαρχος ἐξωπλισμένους ἄγων τοὺς στρατιώτας, ἀπήντησε στέφανον δάφνης κομίζων. Ὡς δὲ δεξάμενος ἠσπάσατο τοὺς στρατιώτας καὶ παρώρμησε πρὸς τὸν κίνδυνον, ἐντυγχάνουσιν αὐτῷ δύο τῶν Χαιρωνέων ἄνδρες, Ὁμολόϊχος καὶ Ἀναξίδαμος, ὑφιστάμενοι τοὺς τὸ Θούριον κατασχόντας ἐκκόψειν, ὀλίγους στρατιώτας παρ' ἐκείνου λαβόντες. Ἀτραπὸν γὰρ εἶναι τοῖς βαρβάροις ἄδηλον, ἀπὸ τοῦ καλουμένου Πετρώχου παρὰ τὸ Μουσεῖον ἐπὶ τὸ Θούριον ὑπὲρ κεφαλῆς ἄγουσαν· ᾗ πορευθέντες οὐ χαλεπῶς ἐπιπεσεῖσθαι, καὶ καταλεύσειν ἄνωθεν αὐτοὺς, ἢ συνώσειν εἰς τὸ πεδίον. Τοῦ δὲ Γαβινίου τοῖς ἀνδράσι μαρτυρήσαντος ἀνδρείαν καὶ πίστιν, ἐκέλευεν ἐπιχειρεῖν ὁ Σύλλας· αὐτὸς δὲ συνέταττε τὴν φάλαγγα, καὶ διένειμε τοὺς ἱππότας ἐπὶ κέρως ἑκατέρου, τὸ μὲν δεξιὸν αὐτὸς ἔχων, τὸ δ' εὐώνυμον ἀποδοὺς Μουρήνᾳ. Γάλβας δὲ καὶ Ὀρτήσιος, οἱ πρεσβευταὶ, σπείρας ἐπιτάκτους ἔχοντες ἔσχατοι, παρενέβαλον ἐπὶ τῶν ἄκρων φύλακες πρὸς τὰς κυκλώσεις. Ἐωρῶντο γὰρ οἱ πολέμιοι κατασκευάζοντες ἱππεῦσι πολλοῖς καὶ ψιλοῖς ποδώκεσιν εἰς ἐπιστροφὴν τὸ κέρας εὐκαμπὲς καὶ

Digitized by Google

κοῦφον, ὡς μακρὰν ἀνάξοντες, καὶ κυκλωσόμενοι τοὺς Ῥωμαίους.

XVIII. Ἐν δὲ τούτῳ, τῶν Χαιρωνέων τὸν Ἐρίκιον ἄρχοντα παρὰ τοῦ Σύλλα λαβόντων, καὶ περιελθόντων ἀδήλως τὸ Θούριον, εἶτα ἐπιφανέντων, θόρυβος ἦν πολὺς καὶ φυγὴ τῶν βαρβάρων, καὶ φόνος, ὑπ' ἀλλήλων ὁ πλεῖστος. Οὐ γὰρ ὑπέμειναν, ἀλλὰ κατὰ πρανοῦς φερόμενοι, τοῖς τε δόρασι περιέπιπτον αὐτοὶ τοῖς ἑαυτῶν, καὶ κατεχρήμιζον ὠθοῦντες ἀλλήλους, ἄνωθεν ἐπικειμένων τῶν πολεμίων, καὶ τὰ γυμνὰ παιόντων· ὥστε τρισχιλίους πεσεῖν περὶ τὸ Θούριον. Τῶν δὲ φευγόντων τοὺς μὲν εἰς τάξιν ἤδη καθεστὼς ὁ Μουρήνας ἀπετέμνετο, καὶ διέφθειρεν ὑπαντιάζων· οἱ δ', ὠσάμενοι πρὸς τὸ φίλιον στρατόπεδον, καὶ τῇ φάλαγγι φύρδην ἐμπεσόντες, ἀνέπλησαν δέους καὶ ταραχῆς τὸ πλεῖστον μέρος, καὶ διατριβὴν τοῖς στρατηγοῖς ἐνεποίησαν, οὐχ ἥκιστα βλάψασαν αὐτούς. Ὀξέως γὰρ ὁ Σύλλας ταρασσομένοις ἐπαγαγὼν, καὶ τὸ μέσον διάστημα τῷ τάχει συνελὼν, ἀφείλετο τὴν τῶν δρεπανηφόρων ἐνέργειαν. Ἐρρῶται γὰρ μάλιστα μήκει δρόμου, σφοδρότητα καὶ ῥύμην τῇ διεξελάσει διδόντος, αἱ δ' ἐκ βραχέος ἀφέσεις ἄπρακτοι καὶ ἀμβλεῖαι, καθάπερ βελῶν, τάσιν οὐ λαβόντων. Ὃ δὴ καὶ τότε τοῖς βαρβάροις ἀπήντα· καὶ τὰ πρῶτα τῶν ἁρμάτων ἀρχῶς ἐξελαυνόμενα, καὶ προσπίπτοντα νωθρῶς, ἐκκρούσαντες οἱ Ῥωμαῖοι, μετὰ κρότου καὶ γέλωτος ἄλλα ἤτουν, ὥσπερ εἰώθασιν ἐν ταῖς θεατρικαῖς ἱπποδρομίαις. Τοὐντεῦ-

Digitized by Google

θεν αἱ πεζαὶ δυνάμεις συνερράγησαν, τῶν μὲν βαρβάρων προβαλλομένων τὰς σαρίσσας μακρὰς, καὶ πειρωμένων τῷ συνασπισμῷ τὴν φάλαγγα διατηρεῖν ἐν τάξει· τῶν δὲ Ῥωμαίων τοὺς μὲν ὑσσοὺς αὐτοῦ καταβαλόντων, σπασαμένων δὲ τὰς μαχαίρας, καὶ παρακρουομένων τὰς σαρίσσας, ὡς τάχιστα προσμίξειαν αὐτοῖς δι' ὀργήν. Προτεταγμένους γὰρ ἑώρων τῶν πολεμίων μυρίους καὶ πεντακισχιλίους θεράποντας, οὓς ἐκ τῶν πόλεων κηρύγμασιν ἐλευθεροῦντες οἱ βασιλέως στρατηγοὶ, κατελόχιζον εἰς τοὺς ὁπλίτας. Καί τις ἑκατοντάρχης λέγεται Ῥωμαῖος εἰπεῖν, ὡς ἐν Κρονίοις μόνον εἰδείη τῆς παῤῥησίας δούλους μετέχοντας. Τούτους μὲν οὖν, διὰ βάθος καὶ πυκνότητα βραδίως ἐξωθουμένους ὑπὸ τῶν ὁπλιτῶν, καὶ παρὰ φύσιν μένειν τολμῶντας, αἵ τε βελοσφενδόναι καὶ οἱ γρόσφοι, χρωμένων ἀφειδῶς τῶν κατόπιν Ῥωμαίων, ἀπέστρεφον καὶ συνετάραττον.

XIX. Ἀρχελάου δὲ τὸ δεξιὸν κέρας εἰς κύκλωσιν ἀνάγοντος, Ὀρτήσιος ἐφῆκε τὰς σπείρας δρόμῳ προσφερομένας, ὡς ἐμβαλῶν πλαγίοις. Ἐπιστρέψαντος δὲ ταχέως ἐκείνου τοὺς περὶ αὐτὸν ἱππεῖς δισχιλίους, ἐκθλιβόμενος ὑπὸ πλήθους, προσεστέλλετο τοῖς ὀρεινοῖς, κατὰ μικρὸν ἀπορῥηγνύμενος τῆς φάλαγγος, καὶ περιλαμβανόμενος ὑπὸ τῶν πολεμίων. Πυθόμενος δὲ ὁ Σύλλας, ἀπὸ τοῦ δεξιοῦ, μήπω συμπεπτωκότος εἰς μάχην, ἐβοήθει. Ἀρχέλαος δὲ τῷ κονιορτῷ τῆς ἐλάσεως, ὅπερ ἦν, τεκμηράμενος, Ὀρτήσιον μὲν εἴα χαίρειν, αὐτὸς δ' ἐπιστρέψας ὥρμη-

Digitized by Google

σεν, ὅθεν ὁ Σύλλας, πρὸς τὸ δεξιὸν, ὡς ἔρημον ἄρχοντος αἱρήσων. Ἅμα δὲ καὶ Μουρήνᾳ Ταξίλλης ἐπῆγε τοὺς χαλκάσπιδας· ὥστε, τῆς κραυγῆς διχόθεν φερομένης, καὶ τῶν ὀρῶν ἀνταποδιδόντων τὴν περιήχησιν, ἐπιστήσαντα τὸν Σύλλαν διαπορεῖν, ὁποτέρωσε χρὴ προσχωρεῖσθαι. Δόξαν δὲ τὴν ἑαυτοῦ τάξιν ἀναλαμβάνειν, Μουρήνᾳ μὲν ἀρωγὸν ἔπεμψεν Ὀρτήσιον, ἔχοντα τέσσαρας σπείρας, αὐτὸς δὲ, τὴν πέμπτην ἕπεσθαι κελεύσας, ἐπὶ τὸ δεξιὸν ἠπείγετο, καὶ καθ' ἑαυτὸ μὲν ἀξιομάχως ἤδη τῷ Ἀρχελάῳ συνεστηκός. Ἐκείνου δὲ ἐπιφανέντος, παντάπασιν ἐξεβιάσαντο, καὶ κρατήσαντες ἐδίωκον πρός τε τὸν ποταμὸν καὶ τὸ Ἀκόντιον ὄρος προτροπάδην φεύγοντας. Οὐ μὴν ὅ γε Σύλλας ἠμέλησε Μουρήνα κινδυνεύοντος, ἀλλ' ὥρμησε τοῖς ἐκεῖ βοηθεῖν· ἰδὼν δὲ νικῶντας, τότε τῆς διώξεως μετεῖχε. Πολλοὶ μὲν οὖν ἐν τῷ πεδίῳ τῶν βαρβάρων ἀνῃροῦντο, πλεῖστοι δὲ τῷ χάρακι προσφερόμενοι κατεκόπησαν· ὥστε μυρίους διαπεσεῖν εἰς Χαλκίδα μόνους ἀπὸ τοσούτων μυριάδων. Ὁ δὲ Σύλλας λέγει, τέσσαρας καὶ δέκα ἐπιζητῆσαι τῶν αὐτοῦ στρατιωτῶν, εἶτα καὶ τούτων δύο πρὸς τὴν ἑσπέραν παραγενέσθαι. Διὸ καὶ τοῖς τροπαίοις ἐπέγραψεν Ἄρῃ καὶ Νίκῃν καὶ Ἀφροδίτην, ὡς οὐχ ἧττον εὐτυχίᾳ κατορθώσας, ἢ δεινότητι καὶ δυνάμει, τὸν πόλεμον. Ἀλλὰ τοῦτο μὲν τὸ τρόπαιον ἔστηκε τῆς πεδιάδος μάχης, ἣ πρῶτον ἐνέκλιναν οἱ περὶ Ἀρχέλαον μέχρι παρὰ τὸ Μόλου ῥεῖθρον. Ἕτερον δ' ἐστὶ τοῦ Θουρίου κατὰ κο-

Digitized by Google

ρυφὴν βεβηκὸς, ἐπὶ τῇ κυκλώσει τῶν βαρβάρων, γράμμασιν Ἑλληνικοῖς ἐπισημαῖνον Θμολόϊχον καὶ Ἀναξίδαμον ἀριστεῖς. Ταύτης τὰ ἐπινίκια τῆς μάχης ἦγεν ἐν Θήβαις, περὶ τὴν Οἰδιπόδιον κρήνην κατασκευάσας θυμέλην. Οἱ δὲ κρίνοντες ἦσαν Ἕλληνες ἐκ τῶν ἄλλων ἀνακεκλημένοι πόλεων· ἐπεὶ πρός γε Θηβαίους ἀδιαλλάκτως εἶχε, καὶ τῆς χώρας αὐτῶν ἀποτεμόμενος τὴν ἡμίσειαν, τῷ Πυθίῳ καὶ τῷ Ὀλυμπίῳ καθιέρωσεν, ἐκ τῶν προσόδων κελεύσας ἀποδίδοσθαι τὰ χρήματα τοῖς θεοῖς, ἅπερ αὐτὸς εἰλήφει.

XX. Μετὰ ταῦτα πυνθανόμενος, Φλάκκον, ἀπὸ τῆς ἐναντίας στάσεως ὕπατον ἠρημένον, διαπερᾶν τὸν Ἰόνιον μετὰ δυνάμεως, λόγῳ μὲν ἐπὶ Μιθριδάτην, ἔργῳ δὲ ἐπ' ἐκεῖνον αὐτὸν, ὥρμησεν ἐπὶ Θετταλίας ὡς ἀπαντήσων. Γενομένῳ δ' αὐτῷ περὶ πόλιν Μελίτειαν, ἀφικνοῦνται πολλαχόθεν ἀγγελίαι, πορθεῖσθαι τὰ κατόπιν αὖθις οὐκ ἐλάττονι στρατιᾷ βασιλικῇ τῆς πρότερον. Δορύλαος γὰρ εἰς Χαλκίδα καταχθεὶς παρασκευῇ νεῶν πολλῇ, ἐν αἷς ἦγεν ὀκτὼ μυριάδας, ἠσκημένας καὶ συντεταγμένας ἄριστα δὴ τῆς Μιθριδατικῆς στρατιᾶς, εὐθὺς εἰς Βοιωτίαν ἐνέβαλε, καὶ κατεῖχε τὴν χώραν, προθυμούμενος εἰς μάχην ἐπισπάσασθαι τὸν Σύλλαν, οὐ προσέχων Ἀρχελάῳ διακωλύοντι, καὶ λόγον περὶ τῆς προτέρας μάχης διαδιδοὺς, ὡς οὐκ ἄνευ προδοσίας μυριάδες τοσαῦται διαφθαρεῖεν. Οὐ μὴν ἀλλ' ὁ Σύλλας ταχέως ὑποστρέψας, ἀπέδειξε τῷ Δορυλάῳ τὸν Ἀρχέλαον ἄνδρα φρόνιμον, καὶ τῆς Ῥωμαίων ἐμπειρότατον ἀρετῆς· ὥστε

Digitized by Google

μικρὰ αὐτὸν τῷ Σύλλᾳ περὶ τὸ Τιλφώσσιον ἐμπεσόντα, πρῶτον εἶναι τῶν οὐκ ἀξιούντων κρίνεσθαι διὰ μάχης, ἀλλὰ δαπάναις καὶ χρόνῳ τρίβειν τὸν πόλεμον. Ὅμως δὲ θάρσος τι τῷ Ἀρχελάῳ παρεῖχεν ὁ πρὸς Ὀρχομενῷ τόπος, ἐν ᾧ κατεστρατοπέδευσαν, εὐφυέστατος ὢν ἱπποκρατοῦσιν ἐναγωνίσασθαι. Τῶν γὰρ Βοιωτίων πεδίων, ὅ τι πέρ ἐστι κάλλιστον καὶ μέγιστον, τοῦτο, τῆς Ὀρχομενίων ἐξηρτημένον πόλεως, μόνον ἀναπέπταται καὶ ἄδενδρον, ἄχρι τῶν ἑλῶν, ἐν οἷς ὁ Μέλας καταναλίσκεται ποταμὸς, ἀνατέλλων μὲν ὑπὸ τὴν πόλιν τῶν Ὀρχομενίων πολὺς καὶ πλώϊμος ἐν πηγαῖς μόνος τῶν Ἑλληνικῶν ποταμῶν· αὐξόμενος δὲ ὑπὸ τροπὰς θερινὰς, ὥσπερ Νεῖλος, καὶ φέρων ὅμοια τοῖς ἐκεῖ τὰ φυόμενα, πλὴν ἄκαρπα καὶ ἀναυξῆ. Πόῤῥω δ' οὐ πρόεισιν· ἀλλὰ τὸ μὲν πλεῖστον εὐθὺς εἰς λίμνας τυφλὰς καὶ ὑλώδεις ἀφανίζεται, μέρος δ' οὐ πολὺ τῷ Κηφισσῷ συμμίγνυται, περὶ ὃν μάλιστα τόπον ἡ λίμνη δοκεῖ τὸν αὐλητικὸν ἐκφέρειν κάλαμον.

XXI. Ἐπεὶ δ' ἐγγὺς κατεστρατοπέδευσαν, ὁ μὲν Ἀρχέλαος ἡσύχαζεν, ὁ δὲ Σύλλας ὥρυττε τάφρους ἑκατέρωθεν, ὅπως, εἰ δύναιτο, τῶν στερεῶν καὶ ἱππασίμων ἀποτεμόμενος τοὺς πολεμίους, ὥσειεν εἰς τὰ ἕλη. Τῶν δὲ οὐκ ἀνασχομένων, ἀλλ', ὡς ἀφείθησαν ὑπὸ τῶν στρατηγῶν, ἐντόνως καὶ ῥύδην ἐλαυνόντων, οὐ μόνον οἱ περὶ τὰ ἔργα τοῦ Σύλλα διεσκεδάσθησαν, ἀλλὰ καὶ τοῦ παρατεταγμένου συνεχύθη τὸ πλεῖστον φυγόντος. Ἔνθα δὴ Σύλλας αὐτὸς ἀποπη-

Digitized by Google

θήσας τοῦ ἵππου, καὶ σημεῖον ἁναρπάσας, ὠθεῖτο διὰ τῶν φευγόντων εἰς τοὺς πολεμίους βοῶν· „Ἐμοὶ μὲν ἐνταῦθά που καλὸν, ὦ Ῥωμαῖοι, τελευτᾶν. Ὑμεῖς δὲ τοῖς πυνθανομένοις, Ποῦ προδεδώκατε τὸν αὐτοκτάτορα; μεμνημένοι φράζειν, ὡς ἐν Ὀρχομενῷ.“ Τούτους τε δὴ τὸ ῥηθὲν ἐπέστρεψε, καὶ τῶν ἐπὶ τοῦ δεξιοῦ κέρως σπειρῶν δύο προσεβοήθησαν, ἃς ἐπαγαγὼν τρέπεται τοὺς πολεμίους. Ἀναγαγὼν δὲ μικρὸν ὀπίσω, καὶ δοὺς ἄριστον αὐτοῖς, αὖθις ἀπετάφρευε τὸν χάρακα τῶν πολεμίων. Οἱ δ' αὖθις ἐν τάξει μᾶλλον, ἢ πρότερον, προσεφέροντο. Καὶ Διογένης μὲν, ὁ τῆς Ἀρχελάου γυναικὸς υἱὸς, ἀριστεύων ἐπὶ τοῦ δεξιοῦ περιόπτως ἔπεσεν. Οἱ δὲ τοξόται, τῶν Ῥωμαίων ἐκβιαζομένων, οὐκ ἔχοντες ἀναστροφὴν, ἀθρόοις τοῖς ὀϊστοῖς ἐκ χειρὸς, ὥσπερ ξίφεσι, παίοντες ἀνέκοπτον αὐτούς· τέλος δὲ, κατακλεισθέντες εἰς τὸν χάρακα, μοχθηρῶς ὑπὸ τραυμάτων καὶ φόνου διενυκτέρευσαν. Ἡμέρας δὲ πάλιν τῷ χάρακι τοὺς στρατιώτας προσαγαγὼν ὁ Σύλλας ἀπετάφρευεν. Ἐξελθόντας δὲ τοὺς πολλοὺς ὡς ἐπὶ μάχην, συμβαλὼν τρέπεται, καὶ, πρὸς τὸν ἐκείνων φόβον οὐδενὸς μένοντος, αἴρει κατὰ κράτος τὸ στρατόπεδον. Καὶ κατέπλησαν ἀποθνήσκοντες αἵματος τὰ ἕλη, καὶ νεκρῶν τὴν λίμνην· ὥστε μέχρι νῦν πολλὰ βαρβαρικὰ τόξα, καὶ κράνη, καὶ θωράκων σπάσματα σιδηρῶν, καὶ μαχαίρας ἐμβεβαπτισμένας τοῖς τέλμασιν εὑρίσκεσθαι, σχεδὸν ἐτῶν διακοσίων ἀπὸ τῆς μάχης διαγε-

Digitized by Google

γονότων. Τὰ μὲν οὖν περὶ Χαιρώνειαν καὶ πρὸς Ὀρχομενῷ τοιαῦτα λέγεται γενέσθαι.

XXII. Κίννα δὲ καὶ Κάρβωνος ἐν Ῥώμῃ τοῖς ἐπιφανεστάτοις ἀνδράσι χρωμένων παρανόμως καὶ βιαίως, πολλοὶ τὴν τυραννίδα φεύγοντες, ὥσπερ εἰς λιμένα τοῦ Σύλλα τὸ στρατόπεδον κατεφέροντο, καὶ περὶ αὐτὸν ὀλίγου χρόνου σχῆμα βουλῆς ἐγεγόνει. Καὶ Μετέλλα, μόλις διακλέψασα ἑαυτὴν καὶ τοὺς παῖδας, ἦκεν ἀγγέλλουσα, τὴν οἰκίαν αὐτοῦ καὶ τὰς ἐπαύλεις ὑπὸ τῶν ἐχθρῶν ἐμπεπρῆσθαι, καὶ δεομένη τοῖς οἴκοι βοηθεῖν. Ἀπορουμένῳ δ' αὐτῷ, καὶ μήτε τῆς πατρίδος ἀμελεῖν ὑπομένοντι κακουμένης, μήτε, ὅπως ἅπεισιν ἀτελὲς λιπὼν τοσοῦτον ἔργον, τὸν Μιθριδατικὸν πόλεμον, ἐπινοοῦντι, παραγίνεται Δήλιακὸς ἔμπορος, Ἀρχέλαος, ἐλπίδας τινὰς καὶ λόγους κρύφα παρὰ τοῦ βασιλικοῦ κομίζων Ἀρχελάου. Καὶ τὸ πρᾶγμα Σύλλας οὕτως ἠγάπησεν, ὥστ' αὐτὸς εἰς λόγους σπεῦσαι τῷ Ἀρχελάῳ συνελθεῖν, καὶ συνῆλθον ἐπὶ θαλάττῃ περὶ Δήλιον, οὗ τὸ ἱερὸν τοῦ Ἀπόλλωνός ἐστιν. Ἀρξαμένου δὲ τοῦ Ἀρχελάου διαλέγεσθαι, καὶ τὸν Σύλλαν ἀξιοῦντος, ἀφέντα τὴν Ἀσίαν καὶ τὸν Πόντον, ἐπὶ τὸν ἐν Ῥώμῃ πόλεμον πλεῖν, χρήματα λαβόντα καὶ τριήρεις καὶ δύναμιν, ὅσην βούλοιτο παρὰ τοῦ βασιλέως· ὑπολαβὼν ὁ Σύλλας, Μιθριδάτου μὲν ἀμελεῖν ἐκέλευεν, αὐτὸν δὲ βασιλεύειν ἀντ' ἐκείνου, σύμμαχον Ῥωμαίων γενόμενον, καὶ παραδόντα τὰς ναῦς. Ἀφεσιουμένου δὲ τοῦ Ἀρχελάου τὴν προδοσίαν· „Εἶτα (ἔφη) σὺ μέν, ὦ Ἀρχέλαε, Καππα-

Digitized by Google

δόκης ὤν, καὶ βαρβάρου βασιλέως δοῦλος, εἰ δὲ βούλει, φίλος, οὐχ ὑπομένεις ἐπὶ τηλικούτοις ἀγαθοῖς τὸ αἰσχρόν; ἐμοὶ δὲ, ἡγεμόνι Ῥωμαίων ὄντι καὶ Σύλλᾳ, τολμᾷς διαλέγεσθαι περὶ προδοσίας, ὥσπερ οὐκ ἐκεῖνος ὢν Ἀρχέλαος, ὃ φυγὼν μὲν ἐκ Χαιρωνείας ὀλιγοστὸς ἀπὸ μυριάδων δυοκαίδεκα, κρυβεὶς δὲ δύο ἡμέρας ἐν τοῖς Ὀρχομενίων ἕλεσιν, ἄβατον δὲ τὴν Βοιωτίαν ὑπὸ νεκρῶν πλήθους ἀπολελοιπώς;" Ἐκ τούτου μεταβαλὼν ὁ Ἀρχέλαος, καὶ προσκυνήσας, ἐδεῖτο παύσασθαι τοῦ πολέμου, καὶ διαλλαγῆναι πρὸς τὸν Μιθριδάτην. Δεξαμένου δὲ τοῦ Σύλλα τὴν πρόκλησιν, ἐγένοντο συνθῆκαι, Μιθριδάτην μὲν Ἀσίαν ἀφεῖναι καὶ Παφλαγονίαν, ἐκστῆναι δὲ Βιθυνίας Νικομήδῃ, Καππαδοκίας δ' Ἀριοβαρζάνῃ, καταβαλεῖν δὲ Ῥωμαίοις δισχίλια τάλαντα, καὶ δοῦναι ναῦς ἑβδομήκοντα χαλκήρεις μετὰ τῆς οἰκείας παρασκευῆς· Σύλλαν δ' ἐκείνῳ τήν τ' ἄλλην ἀρχὴν βεβαιοῦν, καὶ σύμμαχον Ῥωμαίων ψηφίζεσθαι.

XXIII. Τούτων δμολογηθέντων, ἀναστρέψας ἐβάδιζε διὰ Θετταλίας καὶ Μακεδονίας ἐπὶ τὸν Ἑλλήσποντον, ἔχων μεθ' αὑτοῦ τὸν Ἀρχέλαον ἐν τιμῇ Καὶ νοσήσαντος ἐπισφαλῶς περὶ Λάρισσαν, ἐπιστήσας τὴν πορείαν, ὡς ἑνός τῶν ὑπ' αὐτὸν ἡγεμόνων καὶ συστρατήγων ἐπεμελήθη. Ταῦτά τε δὴ διέβαλε τὸ περὶ Χαιρώνειαν ἔργον οὐχὶ καθαρῶς ἀγωνισθέν, καὶ ὅτι τοὺς ἄλλους Μιθριδάτῃ φίλους, οὓς εἶχεν αἰχμαλώτους, ἀποδιδοὺς ὁ Σύλλας, Ἀριστίωνα μόνον τὸν τύραννον ἀνεῖλε διὰ φαρμάκων, Ἀρχελάῳ διάφο-

Digitized by Google

ρον ὄντα· μάλιστα δ' ἡ δοθεῖσα γῇ τῷ Καππαδόκῃ μυρίων πλέθρων ἐν Εὐβοίᾳ, καὶ τὸ Ῥωμαίων φίλον αὐτὸν καὶ σύμμαχον ὑπὸ Σύλλα ἀναγραφῆναι. Περὶ μὲν οὖν τούτων αὐτὸς ὁ Σύλλας ἐν τοῖς ὑπομνήμασιν ἀπολογεῖται. Τότε δὲ πρεσβευτῶν παρὰ τοῦ Μιθριδάτου παραγενομένων, καὶ τὰ μὲν ἄλλα φασκόντων δέχεσθαι, Παφλαγονίαν δ' ἀξιούντων μὴ ἀφαιρεθῆναι, τὰς δὲ ναῦς οὐδ' ὅλως ὁμολογηθῆναι, χαλεπήνας ὁ Σύλλας· „Τί φατέ; (εἶπε) Μιθριδάτης Παφλαγονίας ἀντιποιεῖται, καὶ περὶ τῶν νεῶν ἔξαρνός ἐστιν, ὃν ἐγὼ προσκυνήσειν ἐνόμιζον, εἰ τὴν δεξιὰν αὐτῷ καταλείποιμι χεῖρα, δι' ἧς τοσούτους Ῥωμαίων ἀνεῖλεν; Ἑτέρας μέντοι τάχα φωνὰς ἀφήσει διαβάντος εἰς Ἀσίαν ἐμοῦ· νῦν δ' ἐν Περγάμῳ καθήμενος, ὃν οὐχ ἑώρακα διαστρατηγείτω πόλεμον.“ Οἱ μὲν οὖν πρέσβεις φοβηθέντες ἡσύχαζον· ὁ δ' Ἀρχέλαος ἐδεῖτο τοῦ Σύλλα, καὶ κατεπράϋνε τὴν ὀργήν, ἁπτόμενος τῆς δεξιᾶς αὐτοῦ, καὶ δακρύων. Τέλος δ' ἔπεισεν ἀποσταλῆναι αὐτὸν πρὸς τὸν Μιθριδάτην· διαπράξεσθαι γὰρ ἐφ' οἷς βούλεται τὴν εἰρήνην, εἰ δὲ μὴ πείθοι, κτενεῖν αὐτὸς ἑαυτόν. Ἐπὶ τούτοις ἐκπέμψας ἐκεῖνον, αὐτὸς εἰς τὴν Μαιδικὴν ἐνέβαλε, καὶ τὰ πολλὰ διαπορθήσας, πάλιν ἀνέστρεψεν εἰς Μακεδονίαν, καὶ τὸν Ἀρχέλαον ἐδέξατο περὶ Φιλίππους, ἀγγέλλοντα καλῶς ἔχειν πάντα· δεῖσθαι δὲ πάντως αὐτῷ τὸν Μιθριδάτην εἰς λόγους ἐλθεῖν. Αἴτιος δ' ἦν μάλιστα Φιμβρίας, ὃς τὸν ἀπὸ τῆς ἑτέρας στάσεως ἄρχοντα Φλάκκον ἀνελὼν, καὶ τῶν Μιθριδατικῶν στρατηγῶν κρα-

Digitized by Google

τήσας, ἐπ᾽ αὐτὸν ἐκεῖνον ἐβάδιζε. Ταῦτα γὰρ δείσας ὁ Μιθριδάτης, μᾶλλον εἵλετο τῷ Σύλλᾳ φίλος γενέσθαι.

XXIV. Συνῆλθον οὖν τῆς Τρωάδος ἐν Δαρδάνῳ, Μιθριδάτης μὲν ἔχων ναῦς αὐτόθι διακοσίας ἐνήρεις, καὶ τῆς πεζῆς δυνάμεως, ὁπλίτας μὲν δισμυρίους, ἱππεῖς δὲ ἑξακισχιλίους, καὶ συχνὰ τῶν δρεπανηφόρων· Σύλλας δὲ, τέσσαρας σπείρας καὶ διακοσίους ἱππεῖς. Ἀπαντήσαντος δὲ τοῦ Μιθριδάτου, καὶ τὴν δεξιὰν προτείναντος, ἠρώτησεν αὐτὸν, εἰ καταλύσεται τὸν πόλεμον ἐφ᾽ οἷς ὡμολόγησεν Ἀρχέλαος· σιωπῶντος δὲ τοῦ βασιλέως, ὁ Σύλλας· „Ἀλλὰ μὴν (ἔφη) τῶν δεομένων ἐστὶ τὸ προτέρους λέγειν, τοῖς δὲ νικῶσιν ἐξαρκεῖ τὸ σιωπᾷν.“ Ἐπεὶ δ᾽ ἀρξάμενος τῆς ἀπολογίας ὁ Μιθριδάτης, ἐπειρᾶτο τοῦ πολέμου τὰ μὲν εἰς δαίμονας τρέπειν, τὰ δ᾽ αὐτοὺς αἰτιᾶσθαι τοὺς Ῥωμαίους· ὑπολαβὼν ὁ Σύλλας ἔφη, πάλαι μὲν ἑτέρων ἀκούειν, νῦν δ᾽ αὐτὸς ἐγνωκέναι τὸν Μιθριδάτην δεινότατον ὄντα ῥητορεύειν, ὃς ἐπὶ πράξεσιν οὕτω πονηραῖς καὶ παρανόμοις λόγων ἐχόντων εὐπρέπειαν οὐκ ἠπόρηκεν. Ἐξελέγξας δὲ τὰ πεπραγμένα πικρῶς ὑπ᾽ αὐτοῦ καὶ κατηγορήσας, πάλιν ἠρώτησεν, εἰ ποιεῖ τὰ συγκείμενα δι᾽ Ἀρχελάου. Φήσαντος δὲ ποιεῖν, οὕτως ἠσπάσατο, καὶ περιλαβὼν ἐφίλησεν αὐτόν· Ἀριοβαρζάνην δ᾽ αὖθις καὶ Νικομήδη τοὺς βασιλεῖς προσαγαγὼν διήλλαξεν. Ὁ μὲν οὖν Μιθριδάτης, ἑβδομήκοντα ναῦς παραδοὺς, καὶ τοξότας πεντακοσίους, εἰς Πόντον ἀπέπλευσεν. Ὁ δὲ

Digitized by Google

Σύλλας, αἰσθόμενος ἀχθομένους τοὺς στρατιώτας τῇ διαλύσει (τὸν γὰρ ἔχθιστον τῶν βασιλέων, καὶ δεκαπέντε μυριάδας ἡμέρᾳ μιᾷ τῶν ἐν Ἀσίᾳ Ῥωμαίων κατασφαγῆναι παρασκευάσαντα, δεινὸν ἡγοῦντο μετὰ πλούτου καὶ λαφύρων ὁρᾶν ἐκπλέοντα τῆς Ἀσίας, ἣν ἔτη τέσσαρα λεηλατῶν καὶ φορολογῶν διετέλεσεν). ἀπελογεῖτο πρὸς αὐτοὺς, ὡς οὐκ ἂν ἅμα Φιμβρίᾳ καὶ Μιθριδάτῃ πολεμεῖν, εἰ συνέστησαν ἀμφότεροι κατ' αὐτοῦ, δυνηθείς.

XXV. Ὁρμήσας δ' ἐκεῖθεν ἐπὶ Φιμβρίαν πρὸς Θυατείροις στρατοπεδεύοντα, καὶ πλησίον καταζεύξας, τάφρον τῷ στρατοπέδῳ περιέβαλεν. Οἱ δὲ τοῦ Φιμβρίου στρατιῶται, μονοχίτωνες ἐκ τοῦ στρατοπέδου προϊόντες, ἠσπάζοντο τοὺς ἐκείνου, καὶ συνελάμβανον αὐτοῖς τῶν ἔργων προθύμως. Ὁρῶν δὲ ὁ Φιμβρίας τὴν μεταβολὴν, καὶ τὸν Σύλλαν ὡς ἀδιάλλακτον δεδοικὼς, αὐτὸς ἑαυτὸν ἐν τῷ στρατοπέδῳ διέφθειρε. Σύλλας δὲ κοινῇ μὲν ἐζημίωσε τὴν Ἀσίαν δισμυρίοις ταλάντοις, ἰδίᾳ δὲ τοὺς οἴκους ἐξέτριψεν, ὕβρει καὶ πολιορκίᾳ τῶν ἐπισταθμευόντων. Ἐτέτακτο γὰρ ἑκάστης ἡμέρας τῷ καταλύτῃ τὸν ξένον διδόναι τέσσαρα τετράδραχμα, καὶ παρέχειν δεῖπνον αὐτῷ καὶ φίλοις, ὅσους ἂν ἐθέλῃ καλεῖν· ταξίαρχον δὲ πεντήκοντα δραχμὰς λαμβάνειν τῆς ἡμέρας· ἐσθῆτα δ' ἄλλην μὲν οἰκουρῶν, ἄλλην δ' εἰς ἀγορὰν προερχόμενος.

XXVI. Ἀναχθεὶς δὲ πάσαις ταῖς ναυσὶν ἐξ Ἐφέσου, τριταῖος ἐν Πειραιεῖ καθωρμίσθη· καὶ μυηθεὶς

Digitized by Google

ἐξεῖλεν ἑαυτῷ τὴν Ἀπελλίκωνος τοῦ Τηΐου βιβλιοθήκην, ἐν ᾗ τὰ πλεῖστα τῶν Ἀριστοτέλους καὶ Θεοφράστου βιβλίων ἦν, οὔπω τότε σαφῶς γνωριζόμενα τοῖς πολλοῖς. Λέγεται δὲ, κομισθείσης αὐτῆς εἰς Ῥώμην, Τυραννίωνα τὸν γραμματικὸν ἐνσκευάσασθαι τὰ πολλὰ, καὶ παρ' αὐτοῦ τὸν Ῥόδιον Ἀνδρόνικον, εὐπορήσαντα τῶν ἀντιγράφων, εἰς μέσον θεῖναι, καὶ ἀναγράψαι τοὺς νῦν φερομένους πίνακας. Οἱ δὲ πρεσβύτεροι Περιπατητικοὶ φαίνονται μὲν καθ' ἑαυτοὺς γενόμενοι χαρίεντες καὶ φιλολόγοι, τῶν δ' Ἀριστοτέλους καὶ Θεοφράστου γραμμάτων οὔτε πολλοῖς, οὔτ' ἀκριβῶς ἐντετυχηκότες, διὰ τὸ τὸν Νηλέως τοῦ Σκηψίου κλῆρον, ᾧ τὰ βιβλία κατέλιπε Θεόφραστος, εἰς ἀφιλοτίμους καὶ ἰδιώτας ἀνθρώπους παραγενέσθαι. Σύλλα δὲ διατρίβοντι περὶ τὰς Ἀθήνας, ἄλγημα νάρκωδες μετὰ βάρους εἰς τοὺς πόδας ἐνέπεσεν, ὃ φησιν ὁ Στράβων ποδάγρας ψελλισμὸν εἶναι. Διαπλεύσας οὖν εἰς Αἴδηψον, ἐχρῆτο τοῖς θερμοῖς ὕδασι, ῥᾳθυμῶν ἅμα καὶ συνδιημερεύων τοῖς περὶ τὸν Διόνυσον τεχνίταις. Περιπατοῦντος δὲ πρὸς τῇ θαλάττῃ, ἁλιεῖς τινες ἰχθῦς αὐτῷ παγκάλους προσήνεγκαν. Ἡσθεὶς δὲ τοῖς δώροις, καὶ πυθόμενος, ὡς ἐξ Ἁλαιῶν εἶεν· „Ἔτι γὰρ ζῇ τις Ἁλαίων," ἔφη· ἐτύγχανε γὰρ, ὅτε τὴν πρὸς Ὀρχομενῷ μάχην νενικηκὼς ἐδίωκε τοὺς πολεμίους, ἅμα τρεῖς πόλεις τῆς Βοιωτίας, Ἀνθηδόνα, Λάρυμναν, Ἁλαίας ἀνῃρηκώς. Τῶν δ' ἀνθρώπων ὑπὸ δέους ἀφώνων γενομένων, διαμειδιάσας, ἐκέλευσεν ἀπιέναι χαίροντας, ὡς οὐ μετὰ φαύλων, οὐδ'

Digitized by Google

ἀξίων ὀλιγωρίας ἥκοντας παραιτητῶν. Ἁλαῖοι μὲν ἐκ τούτου λέγουσι θαῤῥήσαντες, αὖθις εἰς τὴν πόλιν συνελθεῖν.

XXVII. Σύλλας δὲ διὰ Θετταλίας καὶ Μακεδονίας καταβὰς ἐπὶ θάλατταν, παρεσκευάζετο χιλίαις ναυσὶ καὶ διακοσίαις ἀπὸ Δυῤῥαχίου διαβάλλειν εἰς Βρεντίσιον. Ἡ δὲ Ἀπολλωνία πλησίον ἐστὶ, καὶ πρὸς αὐτῇ τὸ Νύμφαιον, ἱερὸς τόπος, ἐκ χλοερᾶς νάπης καὶ λειμώνων ἀναδιδοὺς πυρὸς πηγὰς σποράδας ἐνδελεχῶς ῥέοντος. Ἐνταῦθα φασὶ κοιμώμενον ἁλῶναι σάτυρον, οἷον οἱ πλάσται καὶ γραφεῖς εἰκάζουσιν· ἀχθέντα δὲ ὡς Σύλλαν, ἐρωτᾶσθαι δι' ἑρμηνέων πολλῶν, ὅστις εἴη· φθεγξαμένου δὲ μόλις οὐδὲν συνετῶς, ἀλλὰ τραχεῖαν καὶ μάλιστα μεμιγμένην ἵππου τε χρεμετισμῷ καὶ τράγου μηκασμῷ φωνὴν ἀφέντος, ἐκπλαγέντα τὸν Σύλλαν ἀποδιοπομπήσασθαι. Μέλλοντος δὲ τοὺς στρατιώτας διαπεραιοῦν, καὶ δεδιότος, μὴ, τῆς Ἰταλίας ἐπιλαβόμενοι, κατὰ πόλεις ἕκαστοι διαῤῥυῶσι, πρῶτον μὲν ὤμοσαν ἀφ' αὑτῶν παραμενεῖν, καὶ μηδὲν ἑκουσίως κακουργήσειν τὴν Ἰταλίαν· ἔπειτα χρημάτων δεόμενον πολλῶν ὁρῶντες, ἀπήρχοντο καὶ συνεισέφερον ὃς ἕκαστος εἶχεν εὐπορίας. Οὐ μὴν ἐδέξατο τὴν ἀπαρχὴν ὁ Σύλλας, ἀλλ' ἐπαινέσας καὶ παρορμήσας, διέβαινεν, ὡς φησιν αὐτὸς, ἐπὶ πεντεκαίδεκα στρατηγοὺς πολεμίους, πεντήκοντα καὶ τετρακοσίας σπείρας ἔχοντας, ἐκδηλότατα τοῦ θεοῦ τὰς εὐτυχίας προσημαίνοντος αὐτῷ. Θύσαντος μὲν γὰρ εὐθέως ἡ διέβη περὶ Τάραντα,

Digitized by Google

δάφνης στεφάνου τύπον ἔχων ὁ λοβὸς ἄφθη, καὶ λημνίσκων δύο κατηρτημένων. Μικρὸν δὲ πρὸ τῆς διαβάσεως, ἐν Καμπανίᾳ περὶ τὸ Ἥφαιον ὄρος ἡμέρας ἄφθησαν δύο τράγοι μεγάλοι συμφερόμενοι, καὶ πάντα θρῶντες καὶ πάσχοντες, ἃ συμβαίνει μαχομένοις ἀνθρώποις. Ἦν δ' ἄρα φάσμα· καὶ κατὰ μικρὸν αἰρόμενον ἀπὸ γῆς, διεσπείρετο πολλαχοῦ τοῦ ἀέρος, εἰδώλοις ἀμαυροῖς ὅμοιον, εἶτα οὕτως ἠφανίσθη. Καὶ μετ' οὐ πολὺν χρόνον ἐν τῷ τόπῳ τούτῳ Μαρίου τοῦ νέου καὶ Νορβανοῦ τοῦ ὑπάτου μεγάλας δυνάμεις ἐπαγαγόντων, ὁ Σύλλας, οὔτε τάξιν ἀποδοὺς, οὔτε λοχίσας τὸ οἰκεῖον στράτευμα, ῥώμῃ δὲ προθυμίας κοινῆς καὶ φορᾷ τόλμης ἀποχρησάμενος, ἐτρέψατο τοὺς πολεμίους, καὶ κατέκλεισεν εἰς Καπύην πόλιν τὸν Νορβανὸν, ἑπτακισχιλίους ἀποκτείνας. Τοῦτο αἴτιον αὐτῷ γενέσθαι φησὶ τοῦ μὴ διαλυθῆναι τοὺς στρατιώτας κατὰ πόλεις, ἀλλὰ συμμεῖναι καὶ καταφρονῆσαι τῶν ἐναντίων, πολλαπλασίων ὄντων. Ἐν δὲ Σιλβίῳ φησὶν οἰκέτην Ποντίου θεοφόρητον ἐντυχεῖν αὐτῷ, λέγοντα παρὰ τῆς Ἐνυοῦς κράτος πολέμου καὶ νίκην ἀπαγγέλλειν· εἰ δὲ μὴ σπεύσειεν, ἐμπεπρήσεσθαι τὸ Καπιτώλιον· ὃ καὶ συμβῆναι τῆς ἡμέρας ἐκείνης, ἧς ὁ ἄνθρωπος προηγόρευσεν. Ἦν δὲ αὕτη πρὸ μιᾶς νόνων Κυϊντιλίων, ἃς νῦν Ἰουλίας καλοῦμεν. Ἔτι δὲ Μάρκος Λεύκολλος, εἷς τῶν ὑπὸ Σύλλᾳ στρατηγούντων, περὶ Φιδεντίαν ἑκκαίδεκα σπείρας πρὸς πεντήκοντα τὰς τῶν πολεμίων ἀντιταχθεὶς, τῇ μὲν προθυμίᾳ τῶν στρα-

Digitized by Google

τιωτῶν ἐπίστευεν, ἀνόπλους δὲ τοὺς πολλοὺς ἔχων, ὤκνει. Βουλευομένου δ' αὐτοῦ καὶ διαμέλλοντος, ἀπὸ τοῦ πλησίον πεδίου, λειμῶνα ἔχοντος, αὔρα φέρουσα μαλακὴ πολλὰ τῶν ἀνθέων ἐπέβαλε τῇ στρατιᾷ καὶ κατέσπειρεν, αὐτομάτως ἐπιμένοντα καὶ περιπίπτοντα τοῖς θυρεοῖς καὶ τοῖς κράνεσιν αὐτῶν, ὥστε φαίνεσθαι τοῖς πολεμίοις ἐστεφανωμένους. Γενόμενοι δὲ ὑπὸ τούτου προθυμότεροι συνέβαλον, καὶ νικήσαντες, ὀκτακισχιλίους ἐπὶ μυρίοις ἀπέκτειναν, καὶ τὸ στρατόπεδον εἷλον. Οὗτος ὁ Λεύκολλος ἀδελφὸς ἦν Λευκόλλου τοῦ Μιθριδάτην ὕστερον καὶ Τιγράνην καταπολεμήσαντος.

XXVIII. Ὁ δὲ Σύλλας ἔτι πολλοῖς στρατοπέδοις καὶ μεγάλαις δυνάμεσι περικεχυμένους αὐτῷ τοὺς πολεμίους ὁρῶν πανταχόθεν, ἥπτετο δυνάμει καὶ δι' ἀπάτης, προκαλούμενος εἰς διαλύσεις τὸν ἕτερον τῶν ὑπάτων Σκιπίωνα. Δεξαμένου δ' ἐκείνου, σύλλογοι μὲν ἐγίνοντο καὶ κοινολογίαι πλείονες, ἀεὶ δέ τινα παραγωγὴν καὶ πρόφασιν ἐμβάλλων ὁ Σύλλας, διέφθειρε τοὺς περὶ Σκιπίωνα τοῖς ἑαυτοῦ στρατιώταις, ἠσκημένοις πρὸς ἀπάτην καὶ γοητείαν ἅπασαν, ὥσπερ αὐτὸς ὁ ἡγεμών. Εἰσιόντες γὰρ εἰς τὸν χάρακα τῶν πολεμίων καὶ ἀναμιγνυμένοι, τοὺς μὲν εὐθὺς ἀργυρίῳ, τοὺς δὲ ὑποσχέσεσι, τοὺς δὲ κολακεύοντες καὶ ἀναπείθοντες προσήγοντο. Τέλος δέ, τοῦ Σύλλα μετὰ σπειρῶν εἴκοσι προσελθόντος ἐγγύς, οἱ μὲν ἠσπάσαντο τοὺς τοῦ Σκιπίωνος, οἱ δ' ἀνταπασάμενοι προσεχώρησαν· ὁ δὲ Σκιπίων, ἔρημος ἐν

Digitized by Google

τῇ σκηνῇ ληφθεὶς, ἠφείθη. Σύλλας δὲ τοῖς εἴκοσι σπείραις, ὥσπερ ἠθάσιν ὄρνισι, τεσσαράκοντα τὰς τῶν πολεμίων παλεύσας, ἀπήγαγεν εἰς τὸ στρατόπεδον ἅπαντας. Ὅτε καὶ Κάρβωνα φασὶν εἰπεῖν, ὡς ἀλώπεκι καὶ λέοντι πολεμῶν, ἐν τῇ Σύλλα ψυχῇ κατοικοῦσιν, ὑπὸ τῆς ἀλώπεκος ἀνιῶτο μᾶλλον. Ἐκ τούτου περὶ Σίγνιον Μάριος ὀγδοήκοντα καὶ πέντε σπείρας ἔχων προὐκαλεῖτο Σύλλαν. Ὁ δὲ καὶ πάνυ πρόθυμος ἦν διαγωνίσασθαι κατ' ἐκείνην τὴν ἡμέραν· ἐτύγχανε γὰρ ὄψιν ἑωρακὼς τοιάνδε κατὰ τοὺς ὕπνους. Ἐδόκει τὸν γέροντα Μάριον τεθνηκότα πάλαι τῷ παιδὶ Μαρίῳ παραινεῖν, φυλάξασθαι τὴν ἐπιοῦσαν ἡμέραν ὡς μεγάλην αὐτῷ δυστυχίαν φέρουσαν. Διὰ τοῦτο μὲν δὴ πρόθυμος ὁ Σύλλας ἦν μαχεσθαι, καὶ μετεπέμπετο τὸν Δολοβέλλαν ἄπωθεν στρατοπετεύοντα. Τῶν δὲ πολεμίων ἐφισταμένων ταῖς ὁδοῖς καὶ ἀποφραττόντων, οἱ τοῦ Σύλλα προσμαχόμενοι καὶ ὁδοποιοῦντες ἔκαμνον· καὶ πολὺς ὄμβρος ἅμα τοῖς ἔργοις ἐπιγενόμενος, μᾶλλον ἐκάκωσεν αὐτούς. Ὅθεν οἱ ταξίαρχοι, προσιόντες τῷ Σύλλᾳ, ἐδέοντο τὴν μάχην ἀναβαλέσθαι, δεικνύντες ἅμα τοὺς στρατιώτας ἐῤῥιμμένους ὑπὸ κόπου, καὶ προσαναπαυομένους χαμᾶζε τοῖς θυρεοῖς κεκλιμένους. Ἐπεὶ δὲ συνεχώρησεν ἄκων, καὶ πρόσταγμα καταζεύξεως ἔδωκεν, ἀρχομένων αὐτῶν τὸν χάρακα βάλλειν καὶ τάφρον ὀρύσσειν πρὸ τῆς στρατοπεδείας, ἐπήλαυνε σοβαρῶς ὁ Μάριος προϊππεύων, ὡς ἀτάκτους καὶ τεθορυβημένους διασκεδάσων. Ἐνταῦθα τῷ Σύλλᾳ

Digitized by Google

τὴν κατὰ τοὺς ὕπνους φωνὴν ὁ δαίμων συνετέλει. Ὀργὴ γὰρ αὐτοῦ τοῖς στρατιώταις παρέστη, καὶ παυσάμενοι τῶν ἔργων, τοὺς μὲν ὑσσοὺς κατέπηξαν ἐπὶ τῇ τάφρῳ, σπασάμενοι δὲ τὰ ξίφη καὶ συναλαλάξαντες, ἐν χερσὶν ἦσαν τῶν πολεμίων. Οἱ δ' οὐ πολὺν ὑπέστησαν χρόνον, ἀλλὰ γίνεται πολὺς φόνος αὐτῶν τραπέντων. Μάριος δὲ φεύγων εἰς Πραινεστὸν, ἤδη τὰς πύλας εὗρε κεκλεισμένας. Καλωδίου δὲ ἄνωθεν ἀφεθέντος, ἐνζώσας ἑαυτὸν, ἀνελήφθη πρὸς τὸ τεῖχος. Ἔνιοι δέ φασιν, ὧν καὶ Φενεστέλλας ἐστὶν, οὐδ' αἰσθέσθαι τῆς μάχης τὸν Μάριον, ἀλλ' ἐξ ἀγρυπνιῶν καὶ κόπων, ὑπό σκιᾷ τινι χαμαὶ κατακλινέντα, τοῦ συνθήματος δοθέντος, ἐνδοῦναι πρὸς ὕπνον, εἶτα μόλις ἐξεγείρεσθαι, τῆς φυγῆς γενομένης. Ἐν ταύτῃ τῇ μάχῃ Σύλλας φησὶν εἰκοσιτρεῖς μόνους ἀποβαλεῖν, ἀποκτεῖναι δὲ τῶν πολεμίων δισμυρίους, καὶ λαβεῖν ζῶντας ὀκτακισχιλίους. Καὶ τἆλλα δὲ ὁμοίως εὐτυχεῖτο διὰ τῶν στρατηγῶν, Πομπηΐου, Κράσσου, Μετέλλου, Σερουϊλίου. Οὐδὲν γὰρ ἢ μικρὰ προσκρούσαντες οὗτοι, μεγάλας συνέτριψαν δυνάμεις τῶν πολεμίων, ὥστε τὸν μάλιστα τὴν ἐναντίαν στάσιν συνέχοντα Κάρβωνα, νύκτωρ ἀποδράντα τὴν ἑαυτοῦ στρατιὰν, εἰς Λιβύην ἐκπλεῦσαι.

XXIX. Τὸν μέντοι τελευταῖον ἀγῶνα, καθάπερ ἔφεδρος ἀθλητῇ καταπόνῳ προσενεχθεὶς, ὁ Σαυνίτης Τελεσῖνος ἐγγὺς ἦλθε τοῦ σφῆλαι καὶ καταβαλεῖν ἐπὶ θύραις τῆς Ῥώμης. Ἔσπευδε μὲν γὰρ ἅμα Λαμ-

Digitized by Google

πονίῳ τῷ Λευκανῷ, χεῖρα πολλὴν ἀθροίσας, ἐπὶ Πραινεστόν, ὃς ἐξαρπασύμενος τῆς πολιορκίας τὸν Μάριον. Ἐπεὶ δ' ἤσθετο, Σύλλαν μὲν κατὰ στόμα, Πομπήϊον δὲ κατ' οὐρὰν, βοηδρομοῦντας ἐπ' αὐτὸν, εἰργόμενος τοῦ πρόσω καὶ ὀπίσω, πολεμιστὴς ἀνὴρ καὶ μεγάλων ἀγώνων ἔμπειρος, ἄρας νυκτὸς ἐπ' αὐτὴν ἐχώρει παντὶ τῷ στρατοπέδῳ τὴν Ῥώμην. Καὶ μικροῦ μὲν ἐδέησεν ἐμπεσεῖν εἰς ἀφύλακτον· ἀποσχὼν δὲ τῆς Κολλίνης πύλης δέκα σταδίους, ἐπηυλίσατο τῇ πόλει, μεγαλοφρονῶν καὶ ταῖς ἐλπίσιν ἐπηρμένος, ὡς τοσούτους ἡγεμόνας καὶ τηλικούτους κατεστρατηγηκώς. Ἅμα δ' ἡμέρᾳ, τῶν λαμπροτάτων νέων ἐξιππασαμένων ἐπ' αὐτὸν, ἄλλους τε πολλοὺς καὶ Κλαύδιον Ἄππιον, εὐγενῆ καὶ ἀγαθὸν ἄνδρα, κατέβαλε. Θορύβου δὲ, οἷον εἰκὸς, ὄντος ἐν τῇ πόλει, καὶ βοῆς γυναικείας, καὶ διαδρομῶν, ὡς ἁλισκομένων κατὰ κράτος, πρῶτος ὤφθη Βάλβος ἀπὸ Σύλλα προσελαύνων ἅμα κράτος ἱππεῦσιν ἑπτακοσίοις. Διαλιπὼν δὲ, ὅσον ἀναψύξαι τὸν ἱδρῶτα τῶν ἵππων, εἶτ' αὖθις ἐγχαλινώσας διὰ ταχέων, ἐξήπτετο τῶν πολεμίων. Ἐν τούτῳ δὲ καὶ Σύλλας ἐφαίνετο, καὶ τοὺς πρώτους εὐθὺς ἀριστᾶν κελεύων, εἰς τάξιν καθίστη. Πολλὰ δὲ Δολοβέλλα καὶ Τουρκουάτου δεομένων ἐπισχεῖν, καὶ μὴ κατακόπους ἔχοντα τοὺς ἄνδρας, ἀποκινδυνεῦσαι περὶ τῶν ἐσχάτων (οὐ γὰρ Κάρβωνα καὶ Μάριον, ἀλλὰ Σαυνίτας καὶ Λευκανοὺς, τὰ ἔχθιστα τῇ Ῥώμῃ καὶ τὰ πολεμιώτατα φῦλα συμφέρεσθαι), παρωσάμενος αὐτοὺς ἐκέ-

Digitized by Google

λευσε σημαίνειν τὰς σάλπιγγας ἀρχὴν ἐφόδου, σχεδὸν εἰς ὥραν δεκάτην ἤδη τῆς ἡμέρας καταστρεφούσης. Γενομένου δ' ἀγῶνος, οἷος οὐχ ἕτερος, τὸ μὲν δεξιὸν, ἐν ᾧ Κράσσος ἐτέτακτο, λαμπρῶς ἐνίκα· τῷ δὲ εὐωνύμῳ πονοῦντι καὶ κακῶς ἔχοντι Σύλλας παρεβοήθει λευκὸν ἵππον ἔχων θυμοειδῆ καὶ ποδωκέστατον· ἀφ' οὗ γνωρίσαντες αὐτὸν δύο τῶν πολεμίων, διετείνοντο τὰς λόγχας ὡς ἀφήσοντες. Αὐτὸς μὲν οὖν οὐ προενόησε, τοῦ δ' ἱπποκόμου μαστίξαντος τὸν ἵππον, ἔφθη παρενεχθεὶς τοσοῦτον, ὅσον περὶ τὴν οὐρὰν τοῦ ἵππου τὰς αἰχμὰς συμπεσούσας εἰς τὴν γῆν παγῆναι. Λέγεται δ' ἔχων τι χρυσοῦν Ἀπόλλωνος ἀγαλμάτιον ἐκ Δελφῶν, ἀεὶ μὲν αὐτὸ κατὰ τὰς μάχας περιφέρειν ἐν τῷ κόλπῳ, ἀλλὰ καὶ τότε τοῦτο καταφιλεῖν, οὕτω δὴ λέγων· „Ὦ Πύθιε Ἄπολλον, τὸν εὐτυχῆ Σύλλαν Κορνήλιον ἐν τοσούτοις ἀγῶσιν ἆρας λαμπρὸν καὶ μέγαν, ἐνταῦθα ῥίψεις ἐπὶ θύραις τῆς πατρίδος ἀγαγὼν, αἴσχιστα τοῖς ἑαυτοῦ συναπολούμενον πολίταις;“ Τοιαῦτα φασὶ τὸν Σύλλαν θεοκλυτοῦντα, τοὺς μὲν ἀντιβολεῖν, τοῖς δ' ἀπειλεῖν, τῶν δ' ἐπιλαμβάνεσθαι· τέλος δὲ, τοῦ εὐωνύμου συντριβέντος, ἀναμιχθέντα τοῖς φεύγουσιν, εἰς τὸ στρατόπεδον καταφυγεῖν, πολλοὺς ἀποβαλόντα τῶν ἑταίρων καὶ γνωρίμων. Οὐκ ὀλίγοι δὲ καὶ τῶν ἐκ τῆς πόλεως ἐπὶ θέαν προελθόντες, ἀπώλοντο καὶ κατεπατήθησαν· ὥστε τὴν μὲν πόλιν οἴεσθαι διαπεπρᾶχθαι, παρ' ὀλίγον δὲ καὶ τὴν Μαρίου πολιορκίαν λυθῆναι, πολλῶν ἐκ τῆς

Digitized by Google

τροπῆς ὠσαμένων ἐκεῖ, καὶ τὸν ἐπὶ τῇ πολιορκίᾳ τεταγμένον Ὀφέλλαν Λουκρήτιον ἀναζευγνύναι κατὰ τάχος κελευόντων, ὡς ἀπολωλότος τοῦ Σύλλα, καὶ τῆς Ῥώμης ἐχομένης ὑπὸ τῶν πολεμίων.

XXX. Ἤδη δὲ νυκτὸς οὔσης βαθείας, ἦκον εἰς τὸ τοῦ Σύλλα στρατόπεδον παρὰ τοῦ Κράσσου, δεῖπνον αὐτῷ καὶ τοῖς στρατιώταις μετιόντες. Ὡς γὰρ ἐνίκησε τοὺς πολεμίους, εἰς Ἄντεμναν καταδιώξαντες, ἐκεῖ κατεστρατοπέδευσαν. Ταῦτ' οὖν πυθόμενος ὁ Σύλλας, καὶ ὅτι τῶν πολεμίων οἱ πλεῖστοι διολώλασιν, ἦκεν εἰς Ἄντεμναν ἅμ' ἡμέρᾳ, καὶ τρισχιλίων ἐπικηρυκευσαμένων πρὸς αὐτὸν, ὑπέσχετο δώσειν τὴν ἀσφάλειαν, εἰ κακόν τι τοὺς ἄλλους ἐργασάμενοι πολεμίους ἔλθοιεν πρὸς αὐτόν. Οἱ δὲ πιστεύσαντες ἐπέθεντο τοῖς λοιποῖς, καὶ πολλοὶ κατεκόπησαν ὑπ' ἀλλήλων. Οὐ μὴν ἀλλὰ καὶ τούτους, καὶ τῶν ἄλλων τοὺς περιγενομένους εἰς ἑξακισχιλίους, ἀθροίσας παρὰ τὸν ἱππόδρομον, ἐκάλει τὴν σύγκλητον εἰς τὸ τῆς Ἐνυοῦς ἱερόν. Ἅμα δ' αὐτός τε λέγειν ἐνήρχετο, καὶ κατέκοπτον οἱ τεταγμένοι τοὺς ἑξακισχιλίους. Κραυγῆς δὲ, ὡς εἰκὸς, ἐν χωρίῳ μικρῷ τοσούτων σφαττομένων φερομένης, καὶ τῶν συγκλητικῶν ἐκπλαγέντων, ὥσπερ ἐτύγχανε λέγων, ἀτρέπτῳ καὶ καθεστηκότι τῷ προσώπῳ, προσέχειν ἐκέλευσεν αὐτοὺς τῷ λόγῳ, τὰ δ' ἔξω γινόμενα μὴ πολυπραγμονεῖν· νουθετεῖσθαι γὰρ, αὐτοῦ κελεύσαντος, ἐνίους τῶν πονηρῶν. Τοῦτο καὶ τῷ βραδυτάτῳ Ῥωμαίων νοῆσαι παρέστησεν, ὡς ἀλλαγὴ τὸ

Digitized by Google

χρῆμα τυραννίδος, οὐκ ἀπαλλαγὴ γεγονε. Μάριος μὲν οὖν, ἀπ' ἀρχῆς χαλεπὸς ὢν, ἐπέτεινεν, οὐ μετέβαλε τῇ ἐξουσίᾳ τὴν φύσιν. Σύλλας δὲ, μιτρίως τὰ πρῶτα καὶ πολιτικῶς ὁμιλήσας τῇ τύχῃ, καὶ δόξαν ἀριστοκρατικοῦ καὶ δημωφελοῦς ἡγεμόνος παρασχὼν, ἔτι δὲ καὶ φιλόγελως ἐκ νέου γενόμενος, καὶ πρὸς οἶκτον ὑγρὸς, ὥστε ῥᾳδίως ἐπιδακρύειν, εἰκότως προσετρίψατο ταῖς μεγάλαις ἐξουσίαις διαβολὴν, ὡς τὰ ἤθη μένειν οὐκ ἐώσαις ἐπὶ τῶν ἐξ ἀρχῆς τρόπων, ἀλλ' ἔμπληκτα καὶ χαῦνα καὶ ἀπάνθρωπα ποιούσαις. Τοῦτο μὲν οὖν, εἴτε κίνησίς ἐστι καὶ μεταβολὴ φύσεως ὑπὸ τύχης, εἴτε μᾶλλον ὑποκειμένης ἀποκάλυψις ἐν ἐξουσίᾳ κακίας, ἑτέρα τις ἂν διορίσειε πραγματεία.

XXXI. Τοῦ δὲ Σύλλα πρὸς τὸ σφάττειν τραπομένου, καὶ φόνων, οὔτ' ἀριθμὸν, οὔθ' ὅρον ἐχόντων, ἐμπιπλάντος τὴν πόλιν, ἀναιρουμένων πολλῶν καὶ κατ' ἰδίας ἔχθρας, οἷς οὐδὲν ἦν πρᾶγμα πρὸς Σύλλαν, ἐφιέντος αὐτοῦ καὶ χαριζομένου τοῖς περὶ αὐτὸν, ἐτόλμησε τῶν νέων εἷς, Γάϊος Μέτελλος, ἐν τῇ συγκλήτῳ τοῦ Σύλλα πυθέσθαι, Τί πέρας ἔσται τῶν κακῶν, καὶ ποῖ προελθόντος αὐτοῦ, δεῖ πεπαύσεσθαι τὰ γινόμενα προσδοκᾶν; „Παραιτούμεθα γὰρ (εἶπεν) οὐχ οὓς σὺ ἔγνωκας ἀναιρεῖν, τῆς τιμωρίας, ἀλλὰ τῆς ἀμφιβολίας, οὓς ἔγνωκας σώζειν.“ Ἀποκρινομένου δὲ τοῦ Σύλλα, μηδέπω γινώσκειν, οὓς ἀφήσιν· ὑπολαβὼν ὁ Μέτελλος· „Οὐκοῦν (ἔφη) δήλωσον, οὓς μέλλεις κολάζειν.“ Καὶ

Digitized by Google

ὃ Σύλλας ἔφη τοῦτο ποιήσειν. Ἔνιοι δ' οὐ τὸν Μέτελλον, ἀλλ' Ἀφίδιόν τινα τῶν πρὸς χάριν ὁμιλούντων τῷ Σύλλᾳ, τὸ τελευταῖον εἰπεῖν λέγουσιν. Ὁ δ' οὖν Σύλλας εὐθὺς ὀγδοήκοντα προέγραψεν, οὐδενὶ τῶν ἐν τέλει κοινωσάμενος. Ἀγανακτούντων δὲ πάντων, μίαν ἡμέραν διαλιπὼν, ἄλλους προέγραψεν εἴκοσι καὶ διακοσίους, εἶτα τρίτῃ πάλιν οὐκ ἐλάττους. Ἐπὶ δὲ τούτοις δημηγορῶν, εἶπεν, ὅσους μεμνημένος τυγχάνει προγράφειν· τοὺς δὲ νῦν διαλανθάνοντας αὖθις προγράψειν. Προέγραφε δὲ, τῷ μὲν ὑποδεξαμένῳ καὶ διασώσαντι τὸν προγεγραμμένον, ζημίαν τῆς φιλανθρωπίας ὁρίζων θάνατον, οὐκ ἀδελφὸν, οὐχ υἱόν, οὐ γονεῖς ὑπεξελόμενος· τῷ δ' ἀποκτείναντι γέρας δύο τάλαντα τῆς ἀνδροφονίας, κἂν δοῦλος δεσπότην, κἂν πατέρα υἱὸς ἀνέλῃ. Ὃ δὲ πάντων ἀδικώτατον ἔδοξε, τῶν γὰρ προγεγραμμένων ἠτίμωσε καὶ υἱοὺς καὶ υἱωνοὺς, καὶ τὰ χρήματα πάντων ἐδήμευσε. Προεγράφοντο δ' οὐκ ἐν Ῥώμῃ μόνον, ἀλλὰ καὶ ἐν πάσῃ πόλει τῆς Ἰταλίας· καὶ φονευομένων οὔτε ναὸς ἦν καθαρὸς θεοῦ, οὔτε ἑστία ξένιος, οὔτ' οἶκος πατρῷος, ἀλλὰ καὶ παρὰ γυναιξὶ γαμεταῖς ἄνδρες ἐσφάττοντο, καὶ παρὰ μητράσι παῖδες. Ἦσαν δ' οἱ δι' ὀργὴν ἀπολλύμενοι καὶ δι' ἔχθραν οὐδὲν μέρος τῶν διὰ χρήματα σφαττομένων. Ἀλλὰ καὶ λέγειν ἐπῄει τοῖς κολάζουσιν, ὡς τόνδε μὲν ἀνῄρηκεν οἰκία μεγάλη, τόνδε δὲ κῆπος, ἄλλον ὕδατα θερμά. Κόιντος δ' Αὐρήλιος, ἀνὴρ ἀπράγμων, καὶ τοσοῦτον αὐτῷ μετεῖναι τῶν

Digitized by Google

κακῶν νομίζων, ὅσον ἄλλοις συναλγεῖν ἀτυχοῦσιν, εἰς ἀγορὰν ἐλθὼν, ἀνεγίνωσκε τοὺς προγεγραμμένους· εὑρὼν δὲ ἑαυτὸν, „Οἴμοι τάλας, (εἶπε)· διώκει με τὸ ἐν Ἀλβανῷ χωρίον.“ Καὶ βραχὺ προελθὼν, ὑπό τινος ἀπεσφάγη καταδιώξαντος.

XXXII. Ἐν τούτῳ δὲ Μάριος μὲν ἁλισκόμενος ἑαυτὸν διέφθειρε· Σύλλας δ' εἰς Πραινεστὸν ἐλθὼν, πρῶτα μὲν ἰδίᾳ κατ' ἄνδρα κρίνων ἐκόλαζεν, εἶτα, ὡς οὐ σχολῆς οὔσης, πάντας ἀθρόως εἰς ταὐτὸ συναγαγὼν, μυρίους καὶ δισχιλίους ὄντας, ἐκέλευσεν ἀποσφάττειν, μόνῳ τῷ ξένῳ διδοὺς ἄδειαν. Ὁ δ', εὐγενῶς πάνυ φήσας πρὸς αὐτὸν, ὡς οὐδέποτε σωτηρίας χάριν εἴσεται τῇ φονεῖ τῆς πατρίδος, ἀναμιχθεὶς ἐκὼν συγκατεκόπη τοῖς πολίταις. Ἔδοξε δὲ καινότατον γενέσθαι τὸ περὶ Λεύκιον Κατιλίναν. Οὗτος γὰρ, οὔπω τῶν πραγμάτων κεκριμένων, ἀνηρηκὼς ἀδελφὸν, ἐδεήθη τοῦ Σύλλα τότε προγράψαι τὸν ἄνθρωπον, ὡς ζῶντα· καὶ προεγράφη. Τούτου δὲ τῷ Σύλλῳ χάριν ἐκτίνων, Μάρκον τινὰ Μάριον τῶν ἐκ τῆς ἐναντίας στάσεως ἀποκτείνας, τὴν μὲν κεφαλὴν ἐν ἀγορᾷ καθεζομένῳ τῷ Σύλλᾳ προσήνεγκε, τῷ δὲ περιῤῥαντηρίῳ τοῦ Ἀπόλλωνος ἐγγὺς ὄντι προσελθὼν, ἀπενίψατο τας χεῖρας.

XXXIII. Ἔξω δὲ τῶν φονικῶν καὶ τὰ λοιπὰ τοὺς ἀνθρώπους ἐλύπει. Δικτάτωρα μὲν γὰρ ἑαυτὸν ἀνηγόρευσε, δι' ἐτῶν ἑκατὸν εἴκοσι τοῦτο τὸ γένος τῆς ἀρχῆς ἀναλαβών. Ἐψηφίσθη δ' αὐτῷ πάντων ἄδεια τῶν γεγονότων· πρὸς δὲ τὸ μέλλον,

Digitized by Google

ἐξουσία θανάτου, δημεύσεως, κληρουχιῶν, κτίσεως, πορθήσεως, ἀφελέσθαι βασιλείαν, καὶ ᾧ βούλοιτο χαρίσασθαι. Τὰς δὲ διαπράσεις τῶν δεδημευμένων οἴκων οὕτως ὑπερηφάνως ἐποιεῖτο καὶ δεσποτικῶς, ἐπὶ βήματος καθεζόμενος, ὥστε τῶν ἀφαιρέσεων ἐπαχθεστέρας αὐτοῦ τὰς δωρεὰς εἶναι, καὶ γυναιξὶν εὐμόρφοις, καὶ λυρῳδοῖς, καὶ μίμοις, καὶ καθάρμασιν ἐξελευθερικοῖς ἐθνῶν χώρας καὶ πόλεων χαριζομένου προσόδους, ἐνίοις δὲ γάμους ἀκουσίως ζευγνυμένων γυναικῶν. Πομπήϊον γέ τοι βουλόμενος οἰκειώσασθαι τὸν Μάγνον, ἣν μὲν εἶχε γαμετὴν ἀφεῖναι προσέταξεν· Αἰμιλίαν δὲ, Σκαύρου θυγατέρα καὶ Μετέλλης τῆς ἑαυτοῦ γυναικὸς, ἀποσπάσας Μανίου Γλαβρίωνος, ἐγκύμονα συνῴκισεν αὐτῷ· ἀπέθανε δ' ἡ κόρη παρὰ τῷ Πομπηΐῳ τίκτουσα. Λουκρητίου δ' Ὀφέλλα, τοῦ Μάριον ἐκπολιορκήσαντος, αἰτουμένου καὶ μετιότος ὑπατείαν, πρῶτον μὲν ἐκώλυεν· ὡς δ' ἐκεῖνος ὑπὸ πολλῶν σπουδαζόμενος εἰς τὴν ἀγορὰν ἐνέβαλε, πέμψας τινὰ τῶν περὶ αὐτὸν ἑκατοντάρχων, ἀπέσφαξε τὸν ἄνδρα, καθεζόμενος αὐτὸς ἐπὶ βήματος ἐν τῷ Διοσκουρείῳ, καὶ τὸν φόνον ἐφορῶν ἄνωθεν. Τῶν δ' ἀνθρώπων τὸν ἑκατοντάρχην συλλαβόντων, καὶ προσαγαγόντων τῷ βήματι, σιωπῆσαι κελεύσας τοὺς θορυβοῦντας, αὐτὸς ἔφη κελεῦσαι τοῦτο, καὶ τὸν ἑκατοντάρχην ἀφεῖναι προσέταξεν.

XXXIV. Ὁ μέντοι θρίαμβος αὐτοῦ τῇ πολυτελείᾳ καὶ καινότητι τῶν βασιλικῶν λαφύρων σο-

Digitized by Google

βαρὸς γενόμενος, μείζονα κόσμον ἔσχε καὶ καλὸν θέαμα, τοὺς φυγάδας. Οἱ γὰρ ἐνδοξότατοι καὶ δυνατώτατοι τῶν πολιτῶν ἐστεφανωμένοι παρείποντο, σωτῆρα καὶ πατέρα τὸν Σύλλαν ἀποκαλοῦντες, ἅτε δὴ δι' ἐκεῖνον εἰς τὴν πατρίδα κατιόντες, καὶ κομιζόμενοι παῖδας καὶ γυναῖκας. Ἤδη δὲ συνῃρημένων ἁπάντων, ἀπολογισμὸν ἐν ἐκκλησίᾳ τῶν πράξεων ποιούμενος, οὐκ ἐλάσσονι σπουδῇ τὰς εὐτυχίας, ἢ τὰς ἀνδραγαθίας, κατηριθμεῖτο· καὶ πέρας ἐκέλευσεν ἑαυτὸν ἐπὶ τούτοις Εὐτυχῆ προσαγορεύεσθαι. Τοῦτο γὰρ ὁ Φήλιξ βούλεται μάλιστα δηλοῦν. Αὐτὸς δὲ τοῖς Ἕλλησι γράφων καὶ χρηματίζων, ἑαυτὸν Ἐπαφρόδιτον ἀνηγόρευε. Καὶ παρ' ἡμῖν ἐν τοῖς τροπαίοις οὕτως ἀναγέγραπται· ΛΕΥΚΙΟΣ ΚΟΡΝΗΛΙΟΣ ΣΥΛΛΑΣ ΕΠΑΦΡΟΔΙΤΟΣ. Ἔτι δὲ, τῆς Μετέλλης παιδία τεκούσης δίδυμα, τὸ μὲν ἄῤῥεν Φαῦστον, τὸ δὲ θῆλυ Φαύσταν ὠνόμασε. Τὸ γὰρ εὐτυχὲς καὶ ἱλαρὸν Ῥωμαῖοι φαῦστον καλοῦσιν. Οὕτω δ' ἄρα οὐ ταῖς πράξεσιν, ὡς τοῖς εὐτυχήμασιν, ἐπίστευεν, ὥστε, παμπόλλων μὲν ἀνῃρημένων ὑπ' αὐτοῦ, καινοτομίας δὲ γενομένης καὶ μεταβολῆς ἐν τῇ πόλει τοσαύτης, ἀποθέσθαι τὴν ἀρχὴν, καὶ τὸν δῆμον ἀρχαιρεσιῶν ὑπατικῶν ποιῆσαι κύριον· αὐτὸς δὲ μὴ προσελθεῖν, ἀλλ' ἐν ἀγορᾷ τὸ σῶμα παρέχων τοῖς βουλομένοις ὑπεύθυνον, ὥσπερ ἰδιώτης ἀναστρέφεσθαι. Καί τις παρὰ γνώμην αὐτοῦ, θρᾱσὺς ἀνὴρ καὶ πολέμιος, ἐπίδοξος ἦν ὕπατος αἱρεθήσεσθαι, Μάρκος

Digitized by Google

Λέπιδος, οὐ δι' ἑαυτὸν, ἀλλὰ Πομπηΐῳ σπουδάζοντι καὶ δεομένῳ τοῦ δήμου χαριζομένου. Διὸ καὶ χαίροντα τῇ νίκῃ τὸν Πομπήϊον ὁ Σύλλας ἰδὼν ἀπιόντα, καλέσας πρὸς ἑαυτὸν, „Ὡς καλὸν (ἔφη) σοῦ τὸ πολίτευμα, ὦ νεανία, τὸ Κάτλου πρότερον ἀναγορεῦσαι Λέπιδον, τοῦ πάντων ἀρίστου, τὸν ἐμπληκτικώτατον. Ὥρα μέντοι σοι μὴ καθεύδειν, ὡς ἰσχυρότερον πεποιηκότι κατὰ σεαυτοῦ τὸν ἀνταγωνιστήν." Τοῦτο μὲν οὖν ὁ Σύλλας ὥσπερ ἀπεθέσπισε· ταχὺ γὰρ ἐξυβρίσας ὁ Λέπιδος, εἰς πόλεμον κατέστη τοῖς περὶ τὸν Πομπήϊον.

XXXV. Ἀποθύων δὲ τῆς οὐσίας ἁπάσης ὁ Σύλλας τῷ Ἡρακλεῖ δεκάτην, ἑστιάσεις ἐποιεῖτο τῷ δήμῳ πολυτελεῖς. καὶ τοσοῦτον περιττὴ ἦν ἡ παρασκευὴ τῆς χρείας, ὥστε παμπληθῆ καθ' ἑκάστην ἡμέραν εἰς τὸν ποταμὸν ὄψα ῥιπτεῖσθαι, πίνεσθαι δ' οἶνον ἐτῶν τεσσαράκοντα, καὶ παλαιότερον. Διὰ μέσου δὲ τῆς θοίνης, πολυημέρου γενομένης, ἀπέθνησκεν ἡ Μετέλλα νόσῳ· καὶ τῶν ἱερέων τὸν Σύλλαν οὐκ ἐώντων αὐτῇ προσελθεῖν, οὐδὲ τὴν οἰκίαν τῷ κήδει μιανθῆναι, γραψάμενος διάλυσιν τοῦ γάμου πρὸς αὐτὴν ὁ Σύλλας, ἔτι ζῶσιν ἐκέλευσεν εἰς ἑτέραν οἰκίαν μετακομισθῆναι. Καὶ τοῦτο μὲν ἀκριβῶς τὸ νόμιμον ὑπὸ δεισιδαιμονίας ἐτήρησε· τὸν δὲ τῆς ταφῆς ὁρίζοντα τὴν δαπάνην νόμον αὐτὸς παρεισεννηνοχὼς παρέβη, μηδενὸς ἀναλώματος φεισάμενος. Παρέβαινε δὲ καὶ τὰ περὶ τῆς εὐτελείας τῶν δείπνων ὑπ' αὐτοῦ τεταγμένα, πότοις

Digitized by Google

καὶ συνδείπνοις τρυφὰς καὶ βωμολοχίας ἔχουσι παρηγορῶν τὸ πένθος. Ὀλίγων δὲ μηνῶν διαγενομένων, ἦν μὲν θέα μονομάχων· οὔπω δὲ τῶν τόπων διακεκριμένων, ἀλλ' ἔτι τοῦ θεάτρου συμμιγοῦς ἀνδράσι καὶ γυναιξὶν ὄντος, ἔτυχε πλησίον τοῦ Σύλλα καθεζομένη γυνὴ τὴν ὄψιν εὐπρεπὴς καὶ γένους λαμπροῦ. Μεσσάλα γὰρ ἦν θυγάτηρ, Ὀρτησίου δὲ τοῦ ῥήτορος ἀδελφή, Οὐαλερία δὲ τοὔνομα. Συνεβεβήκει δ' αὐτῇ νεωστὶ πρὸς ἄνδρα διάστασις. Αὕτη περὶ τὸν Σύλλαν ἐξόπισθεν παραπορευομένη, τήν τε χεῖρα πρὸς αὐτὸν ἀπηρείσατο, καὶ κροκίδα τοῦ ἱματίου σπάσασα, παρῆλθεν ἐπὶ τὴν ἑαυτῆς χώραν. Ἐμβλέψαντος δὲ τοῦ Σύλλα καὶ θαυμάσαντος· „Οὐδὲν (ἔφη) δεινόν, αὐτόκρατορ· ἀλλὰ βούλομαι τῆς σῆς κἀγὼ μικρὸν εὐτυχίας μεταλαβεῖν.“ Τοῦτ' ἤκουσεν οὐκ ἀηδῶς ὁ Σύλλας, ἀλλὰ καὶ δῆλος εὐθὺς ἦν ὑποκεκνισμένος. Ἥρώτα γὰρ ὑποπέμπων αὐτῆς ὄνομα, καὶ γένος, καὶ βίον ἐμάνθανεν. Ἐκ δὲ τούτων ῥίψεις ὀμμάτων ἐπ' ἀλλήλους ἐγένοντο, καὶ παρεπιστροφαὶ συνεχεῖς προσώπων, καὶ μειδιαμάτων διαδόσεις. Τέλος δὲ, ὁμολογίαι καὶ συνθέσεις περὶ γάμων, ἐκείνῃ μὲν ἴσως ἄμεμπτοι· Σύλλας δ', εἰ καὶ τὰ μάλιστα σώφρονα καὶ γενναίαν, ἀλλ' οὐκ ἐκ σώφρονος καὶ καλῆς ἔγημεν ἀρχῆς, ὄψει καὶ λαμυρίᾳ μειρακίου δίκην παραβληθεὶς, ὑφ' ὧν τὰ αἴσχιστα καὶ ἀναιδέστατα πάθη κινεῖσθαι πέφυκεν.

Digitized by Google

XXXVI. Οὐ μὴν ἀλλὰ καὶ ταύτην ἔχων ἐπὶ τῆς οἰκίας, συῆν μίμοις γυναιξὶ, καὶ κιθαρισταῖς, καὶ θυμελικοῖς ἀνθρώποις, ἐπὶ στιβάδων ἀφ' ἡμέρας συμπίνων. Οὗτοι γὰρ οἱ τότε παρ' αὐτῷ δυνάμενοι μέγιστον ἦσαν, Ῥώσκιος ὁ κωμῳδὸς, καὶ Σῶριξ ὁ ἀρχιμῖμος, καὶ Μητρόβιος ὁ λυσιῳδὸς, οὗ, καίπερ ἐξώρου γενομένου, διετέλει μέχρι παντὸς ἐρᾶν οὐκ ἀρνούμενος. Ὅθεν καὶ τὴν νόσον ἀπ' αἰτίας ἐλαφρᾶς ἀρξαμένην ἐξέθρεψε, καὶ πολὺν χρόνον ἠγνόει περὶ τὰ σπλάγχνα γεγονὼς ἔμπυος· ὑφ' ἧς καὶ τὴν σάρκα διαφθαρεῖσαν, εἰς φθεῖρας μετέβαλε πᾶσαν· ὥστε, πολλῶν δι' ἡμέρας ἅμα καὶ νυκτὸς ἀφαιρούντων, μηδὲν εἶναι μέρος τοῦ ἐπιγινομένου τὸ ἀποκρινόμενον, ἀλλὰ πᾶσαν ἐσθῆτα, καὶ λουτρὸν καὶ ἀπόνιμμα καὶ σιτίον ἀναπίμπλασθαι τοῦ ῥεύματος ἐκείνου καὶ τῆς φθορᾶς· τοσοῦτου ἐξήνθει. Διὸ πολλάκις τῆς ἡμέρας εἰς ὕδωρ ἐνέβαινεν, ἐκκλύζων τὸ σῶμα καὶ ἀποῤῥυπτόμενος. Ἦν δ' οὐδὲν ὄφελος· ἐκράτει γὰρ ἡ μεταβολὴ τῷ τάχει, καὶ περιεγίνετο παντὸς καθαρμοῦ τὸ πλῆθος. Λέγεται δὲ, τῶν μὲν πάνυ παλαιῶν, Ἄκαστον φθειριάσαντα τὸν Πελίου τελευτῆσαι, τῶν δὲ ὑστέρων, Ἀλκμᾶνα τὸν μελοποιὸν, καὶ Φερεκύδην τὸν θεολόγον, καὶ Καλλισθένη τὸν Ὀλύνθιον, ἐν εἱρκτῇ φρουρούμενον· ἔτι δὲ Μούκιον τὸν νομικόν. Εἰ δὲ δεῖ καὶ τῶν ἀπ' οὐδενὸς μὲν χρηστοῦ, γνωρίμων δ' ἄλλως, ἐπιμνησθῆναι, λέγεται τὸν ἄρξαντα τοῦ δουλικοῦ πολέμου περὶ Σικελίαν δραπέτην, Εὔκουν ὄνομα,

Digitized by Google

μετὰ τὴν ἅλωσιν εἰς Ῥώμην ἀγόμενον, ὑπὸ φθειριάσεως ἀποθανεῖν.

XXXVII. Ὁ δὲ Σύλλας οὐ μόνον προὲγνω τὴν ἑαυτοῦ τελευτὴν, ἀλλὰ τρόπον τινὰ καὶ γέγραφε περὶ αὐτῆς. Τὸ γὰρ εἰκοστὸν καὶ δεύτερον τῶν ὑπομνημάτων πρὸ δυεῖν ἡμερῶν, ἢ ἐτελεύτα, γράφων ἐπαύσατο· καί φησι, τούς τε Χαλδαίους αὐτῷ προειπεῖν, ὡς δόοι βεβιωκότα καλῶς αὐτὸν ἐν ἀκμῇ τῶν εὐτυχημάτων καταστρέψαι. Λέγει δὲ καὶ τὸν υἱὸν αὐτοῦ τεθνηκότα μικρὸν ἔμπροσθεν τῆς Μετέλλης φανῆναι κατὰ τοὺς ὕπνους, ἐν ἐσθῆτι φαύλῃ παρεστῶτα, καὶ δεόμενον τοῦ πατρὸς παύσασθαι τῶν φροντίδων, ἰόντα δὲ σὺν αὐτῷ παρὰ τὴν μητέρα Μετέλλαν, ἐν ἡσυχίᾳ καὶ ἀπραγμόνως ζῆν μετ' αὐτῆς. Οὐ μὴν ἐπαύσατό γε τοῦ πράττειν τὰ δημόσια. Δέκα μὲν γὰρ ἡμέρας ἔμπροσθεν τῆς τελευτῆς, τοὺς ἐν Δικαιαρχείᾳ στασιάζοντας διαλλάξας, νόμον ἔγραψεν αὐτοῖς, καθ' ὃν πολιτεύσονται. Πρὸ μιᾶς δὲ ἡμέρας, πυθόμενος τὸν ἄρχοντα Γράνιον, ὡς ὀφείλων δημόσιον χρέος οὐκ ἀποδίδωσιν, ἀλλ' ἀναμένει τὴν αὐτοῦ τελευτὴν, μετεπέμψατο τὸν ἄνθρωπον εἰς τὸ δωμάτιον· καὶ περιστήσας τοὺς ὑπηρέτας ἐκέλευσε πνίγειν, τῇ δὲ κραυγῇ καὶ τῷ σπαραγμῷ τὸ ἀπόστημα ῥήξας, πλῆθος αἵματος ἐξέβαλεν. Ἐκ δὲ τούτου τῆς δυνάμεως ἐπιλιπούσης, διαγαγὼν τὴν νύκτα μοχθηρῶς, ἀπέθανε, δύο παῖδας ἐκ τῆς Μετέλλης νηπίους καταλιπών. Ἡ γὰρ Οὐαλερία μετὰ τὴν τελευτὴν αὐτοῦ θυγάτριον ἀπο-

Digitized by Google

κύησεν, ὃ Ποστοῦμαν ἐκάλουν. Τοὺς γὰρ ὕστερον τῆς τῶν πατέρων τελευτῆς γενομένους οὕτω Ῥωμαῖοι προσαγορεύουσιν.

XXXVIII. Ὥρμησαν μὲν οὖν πολλοὶ καὶ συνέστησαν πρὸς Λέπιδον, ὡς εἴρξοντες τὸ σῶμα κηδείας τῆς νενομισμένης. Πομπήϊος δὲ, καίπερ ἐγκαλῶν τῷ Σύλλᾳ, (μόνον γὰρ αὐτὸν ἐν ταῖς διαθήκαις τῶν φίλων παρέλιπε) τοὺς μὲν χάριτι καὶ δεήσει, τοὺς δ' ἀπειλῇ διακρουσάμενος, εἰς Ῥώμην παρέπεμψε τὸ σῶμα, καὶ ταῖς ταφαῖς ἀσφάλειαν ἅμα καὶ τιμὴν παρέσχε. Λέγεται δὲ, τοσοῦτον πλῆθος ἀρωμάτων ἐπενεγκεῖν τὰς γυναῖκας αὐτῷ, ὥστε, ἄνευ τῶν ἐν φορήμασι δέκα καὶ διακοσίοις διακομιζομένων, πλασθῆναι μὲν εἴδωλον εὐμέγεθες αὐτοῦ Σύλλα, πλασθῆναι δὲ καὶ ῥαβδοῦχον ἔκ τε λιβανωτοῦ πολυτελοῦς καὶ κιναμώμου. Τῆς δὲ ἡμέρας συννεφοῦς ἔωθεν οὔσης, ὕδωρ ἐξ οὐρανοῦ προσδοκῶντες, ἐννάτης ἦραν μόλις ὥρας τὸν νεκρόν. Ἀνέμου δὲ λαμπροῦ καταιγίσαντος εἰς τὴν πυρὰν, καὶ φλόγα πολλὴν ἐγείραντος, ἔφθη τὸ σῶμα συγκομισθὲν, ὅσον ἤδη τῆς πυρᾶς μαραινομένης, καὶ τοῦ πυρὸς ἀπιόντος, ἐκχυθῆναι πολὺν ὄμβρον καὶ κατασχεῖν ἄχρι νυκτός· ὥστε τὴν τύχην αὐτοῦ δοκεῖν τὸ σῶμα συμθάπτειν παραμένουσαν. Τὸ μὲν οὖν μνημεῖον ἐν τῷ πεδίῳ τοῦ Ἄρεώς ἐστι. Τὸ δὲ ἐπίγραμμα φασὶν αὐτὸν ὑπογραψάμενον καταλιπεῖν, οὗ κεφάλαιόν ἐστιν, ὡς οὔτε τῶν φίλων τις αὐτὸν εὖ ποιῶν, οὔτε τῶν ἐχθρῶν κακῶς, ὑπερεβάλετο.

Digitized by Google

COMPARATIO LYSANDRI CVM SVLLA.

Ἐπεὶ δὲ καὶ τὸν τούτου διεληλύθαμεν βίον, ἴωμεν ἤδη πρὸς τὴν σύγκρισιν. Τὸ μὲν οὖν ἀφ' ἑαυτῶν αὐξήσεως ἀρχὴν λαβοῦσι μεγάλοις γενέσθαι, κοινὸν ἀμφοτέροις ὑπῆρξεν· ἴδιον δὲ Λυσάνδρου, τὸ βουλομένων τῶν πολιτῶν καὶ ὑγιαινόντων ὅσας ἔσχεν ἀρχὰς λαβεῖν, βιάσασθαι δὲ μηδὲν ἀκόντων, μηδ' ἰσχῦσαι παρὰ τοὺς νόμους.

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς· ὥσπερ ἐν Ῥώμῃ τότε, διεφθαρμένου τοῦ δήμου, καὶ νοσοῦντος αὐτοῖς τοῦ πολιτεύματος, ἄλλος ἀλλαχόθεν ἀνίστατο δυνάστης. Καὶ οὐδὲν ἦν θαυμαστὸν, εἰ Σύλλας ἦρχεν, ὅτε Γλαυκίαι καὶ Σατουρνῖνοι Μετέλλους ἤλαυνον ἐκ τῆς πόλεως, ὑπάτων δ' ἀπεσφάττοντο παῖδες ἐν ἐκκλησίαις, ἀργυρίῳ δὲ καὶ χρυσίῳ τὰ ὅπλα παρελάμβανον, ὠνούμενοι τοὺς στρατευομένους, πυρὶ δὲ καὶ σιδήρῳ τοὺς νόμους ἐτίθεσαν, βιαζόμενοι τοὺς ἀντιλέγοντας. Οὐκ αἰτιῶμαι δὲ τὸν ἐν τοιούτοις πράγμασι μέγιστον ἰσχῦσαι διαπραξάμενον,

Digitized by Google

ἐξουσία θανάτου, δημεύσεως, κληρουχιῶν, κτίσεως, πορθήσεως, ἀφελέσθαι βασιλείαν, καὶ ᾧ βούλοιτο χαρίσασθαι. Τὰς δὲ διαπράσεις τῶν δεδημευμένων οἴκων οὕτως ὑπερηφάνως ἐποιεῖτο καὶ δεσποτικῶς, ἐπὶ βήματος καθεζόμενος, ὥστε τῶν ἀφαιρέσεων ἐπαχθεστέρας αὐτοῦ τὰς δωρεὰς εἶναι, καὶ γυναιξὶν εὐμόρφοις, καὶ λυρῳδοῖς, καὶ μίμοις, καὶ καθάρμασιν ἐξελευθερικοῖς ἐθνῶν χώρας καὶ πόλεων χαριζομένου προσόδους, ἐνίοις δὲ γάμους ἀκουσίως ζευγνυμένων γυναικῶν. Πομπήϊον γέ τοι βουλόμενος οἰκειώσασθαι τὸν Μάγνον, ἣν μὲν εἶχε γαμετὴν ἀφεῖναι προσέταξεν· Αἰμιλίαν δὲ, Σκαύρου θυγατέρα καὶ Μετέλλης τῆς ἑαυτοῦ γυναικὸς, ἀποσπάσας Μανίου Γλαβρίωνος, ἐγκύμονα συνῴκισεν αὐτῷ· ἀπέθανε δ' ἡ κόρη παρὰ τῷ Πομπηΐῳ τίκτουσα. Λουκρητίου δ' Ὀφέλλα, τοῦ Μάριον ἐκπολιορκήσαντος, αἰτουμένου καὶ μετιότος ὑπατείαν, πρῶτον μὲν ἐκώλυεν· ὡς δ' ἐκεῖνος ὑπὸ πολλῶν σπουδαζόμενος εἰς τὴν ἀγορὰν ἐνέβαλε, πέμψας τινὰ τῶν περὶ αὐτὸν ἑκατοντάρχων, ἀπέσφαξε τὸν ἄνδρα, καθεζόμενος αὐτὸς ἐπὶ βήματος ἐν τῷ Διοσκουρείῳ, καὶ τὸν φόνον ἐφορῶν ἄνωθεν. Τῶν δ' ἀνθρώπων τὸν ἑκατοντάρχην συλλαβόντων, καὶ προσαγαγόντων τῷ βήματι, σιωπῆσαι κελεύσας τοὺς θορυβοῦντας, αὐτὸς ἔφη κελεῦσαι τοῦτο, καὶ τὸν ἑκατοντάρχην ἀφεῖναι προσέταξεν.

XXXIV. Ὁ μέντοι θρίαμβος αὐτοῦ τῇ πολυτελείᾳ καὶ καινότητι τῶν βασιλικῶν λαφύρων σο-

Digitized by Google

βαρὸς γενόμενος, μείζονα κόσμον ἔσχε καὶ καλὸν θέαμα, τοὺς φυγάδας. Οἱ γὰρ ἐνδοξότατοι καὶ δυνατώτατοι τῶν πολιτῶν ἐστεφανωμένοι παρείποντο, σωτῆρα καὶ πατέρα τὸν Σύλλαν ἀποκαλοῦντες, ἅτε δὴ δι' ἐκεῖνον εἰς τὴν πατρίδα κατιόντες, καὶ κομιζόμενοι παῖδας καὶ γυναῖκας. Ἤδη δὲ συνῃρημένων ἁπάντων, ἀπολογισμὸν ἐν ἐκκλησίᾳ τῶν πράξεων ποιούμενος, οὐκ ἐλάσσονι σπουδῇ τὰς εὐτυχίας, ἢ τὰς ἀνδραγαθίας, κατηριθμεῖτο· καὶ πέρας ἐκέλευσεν ἑαυτὸν ἐπὶ τούτοις Εὐτυχῆ προσαγορεύεσθαι. Τοῦτο γὰρ ὁ Φήλιξ βούλεται μάλιστα δηλοῦν. Αὐτὸς δὲ τοῖς Ἕλλησι γράφων καὶ χρηματίζων, ἑαυτὸν Ἐπαφρόδιτον ἀνηγόρευε. Καὶ παρ' ἡμῖν ἐν τοῖς τροπαίοις οὕτως ἀναγέγραπται· ΛΕΥΚΙΟΣ ΚΟΡΝΗΛΙΟΣ ΣΥΛΛΑΣ ΕΠΑΦΡΟΔΙΤΟΣ. Ἔτι δὲ, τῆς Μετέλλης παιδία τεκούσης δίδυμα, τὸ μὲν ἄῤῥεν Φαῦστον, τὸ δὲ θῆλυ Φαύσταν ὠνόμασε. Τὸ γὰρ εὐτυχὲς καὶ ἱλαρὸν Ῥωμαῖοι φαῦστον καλοῦσιν. Οὕτω δ' ἄρα οὐ ταῖς πράξεσιν, ὡς τοῖς εὐτυχήμασιν, ἐπίστευεν, ὥστε, παμπόλλων μὲν ἀνῃρημένων ὑπ' αὐτοῦ, καινοτομίας δὲ γενομένης καὶ μεταβολῆς ἐν τῇ πόλει τοσαύτης, ἀποθέσθαι τὴν ἀρχὴν, καὶ τὸν δῆμον ἀρχαιρεσιῶν ὑπατικῶν ποιῆσαι κύριον· αὐτὸς δὲ μὴ προσελθεῖν, ἀλλ' ἐν ἀγορᾷ τὸ σῶμα παρέχων τοῖς βουλομένοις ὑπεύθυνον, ὥσπερ ἰδιώτης ἀναστρέφεσθαι. Καί τις παρὰ γνώμην αὐτοῦ, θρᾱσὺς ἀνὴρ καὶ πολέμιος, ἐπίδοξος ἦν ὕπατος αἱρεθήσεσθαι, Μάρκος

Digitized by Google

Λέπιδος, οὐ δι' ἑαυτὸν, ἀλλὰ Πομπηΐῳ σπουδάζοντι καὶ δεομένῳ τοῦ δήμου χαριζομένου. Διὸ καὶ χαίροντα τῇ νίκῃ τὸν Πομπήϊον ὁ Σύλλας ἰδὼν ἀπιόντα, καλέσας πρὸς ἑαυτὸν, „Ὡς καλὸν (ἔφη) σοῦ τὸ πολίτευμα, ὦ νεανία, τὸ Κάτλου πρότερον ἀναγορεῦσαι Λέπιδον, τοῦ πάντων ἀρίστου, τὸν ἐμπληκτικώτατον. Ὥρα μέντοι σοι μὴ καθεύδειν, ὡς ἰσχυρότερον πεποιηκότι κατὰ σεαυτοῦ τὸν ἀνταγωνιστήν.“ Τοῦτο μὲν οὖν ὁ Σύλλας ὥσπερ ἀπεθέσπισε· ταχὺ γὰρ ἐξυβρίσας ὁ Λέπιδος, εἰς πόλεμον κατέστη τοῖς περὶ τὸν Πομπήϊον.

XXXV. Ἀποθύων δὲ τῆς οὐσίας ἁπάσης ὁ Σύλλας τῷ Ἡρακλεῖ δεκάτην, ἑστιάσεις ἐποιεῖτο τῷ δήμῳ πολυτελεῖς. καὶ τοσοῦτον περιττὴ ἦν ἡ παρασκευὴ τῆς χρείας, ὥστε πλησθῆ καθ' ἑκάστην ἡμέραν εἰς τὸν ποταμὸν ὄψα ῥιπτεῖσθαι, πίνεσθαι δ' οἶνον ἐτῶν τεσσαράκοντα, καὶ παλαιότερον. Διὰ μέσου δὲ τῆς θοίνης, πολυημέρου γενομένης, ἀπέθνησκεν ἡ Μετέλλα νόσῳ· καὶ τῶν ἱερέων τὸν Σύλλαν οὐκ ἐώντων αὐτῇ προσελθεῖν, οὐδὲ τὴν οἰκίαν τῷ κήδει μιανθῆναι, γραψάμενος διάλυσιν τοῦ γάμου πρὸς αὐτὴν ὁ Σύλλας, ἔτι ζῶσιν ἐκέλευσεν εἰς ἑτέραν οἰκίαν μετακομισθῆναι. Καὶ τοῦτο μὲν ἀκριβῶς τὸ νόμιμον ὑπὸ δεισιδαιμονίας ἐτήρησε· τὸν δὲ τῆς ταφῆς ὁρίζοντα τὴν δαπάνην νόμον αὐτὸς παρεισεννηνοχὼς παρέβη, μηδενὸς ἀναλώματος φεισάμενος. Παρέβαινε δὲ καὶ τὰ περὶ τῆς εὐτελείας τῶν δείπνων ὑπ' αὐτοῦ τεταγμένα, πότοις

Digitized by Google

καὶ συνδείπνοις τρυφὰς καὶ βωμολοχίας ἔχουσι παρηγορῶν τὸ πένθος. Ὀλίγων δὲ μηνῶν διαγενομένων, ἦν μὲν θέα μονομάχων· οὔπω δὲ τῶν τόπων διακεκριμένων, ἀλλ' ἔτι τοῦ θεάτρου συμμιγοῦς ἀνδράσι καὶ γυναιξὶν ὄντος, ἔτυχε πλησίον τοῦ Σύλλα καθεζομένη γυνὴ τὴν ὄψιν εὐπρεπὴς καὶ γένους λαμπροῦ. Μεσσάλα γὰρ ἦν θυγάτηρ, Ὀρτησίου δὲ τοῦ ῥήτορος ἀδελφὴ, Οὐαλερία δὲ τοὔνομα. Συνεβεβήκει δ' αὐτῇ νεωστὶ πρὸς ἄνδρα διάστασις. Αὕτη περὶ τὸν Σύλλαν ἐξόπισθεν παραπορευομένη, τήν τε χεῖρα πρὸς αὐτὸν ἀπηρείσατο, καὶ κροκίδα τοῦ ἱματίου σπάσασα, παρῆλθεν ἐπὶ τὴν ἑαυτῆς χώραν. Ἐμβλέψαντος δὲ τοῦ Σύλλα καὶ θαυμάσαντος· „Οὐδὲν (ἔφη) δεινόν, αὐτόκρατορ· ἀλλὰ βούλομαι τῆς σῆς κἀγὼ μικρὸν εὐτυχίας μεταλαβεῖν.“ Τοῦτ' ἤκουσεν οὐκ ἀηδῶς ὁ Σύλλας, ἀλλὰ καὶ δῆλος εὐθὺς ἦν ὑποκεκνισμένος. Ἠρώτα γὰρ ὑποπέμπων αὐτῆς ὄνομα, καὶ γένος, καὶ βίον ἐμάνθανεν. Ἐκ δὲ τούτων ῥίψεις ὀμμάτων ἐπ' ἀλλήλους ἐγένοντο, καὶ παρεπιστροφαὶ συνεχεῖς προσώπων, καὶ μειδιαμάτων διαδόσεις. Τέλος δὲ, ὁμολογίαι καὶ συνθέσεις περὶ γάμων, ἐκείνῃ μὲν ἴσως ἄμεμπτοι· Σύλλας δ', εἰ καὶ τὰ μάλιστα σώφρονα καὶ γενναίαν, ἀλλ' οὐκ ἐκ σώφρονος καὶ καλῆς ἔγημεν ἀρχῆς, ὄψει καὶ λαμυρίᾳ μειρακίου δίκην παραβληθεὶς, ὑφ' ὧν τὰ αἴσχιστα καὶ ἀναιδέστατα πάθη κινεῖσθαι πέφυκεν.

Digitized by Google

XXXVI. Οὐ μὴν ἀλλὰ καὶ ταύτην ἔχων ἐπὶ τῆς οἰκίας, συνῆν μίμοις γυναιξὶ, καὶ κιθαρισταῖς, καὶ θυμελικοῖς ἀνθρώποις, ἐπὶ στιβάδων ἀφ' ἡμέρας συμπίνων. Οὗτοι γὰρ οἱ τότε παρ' αὐτῷ δυνάμενοι μέγιστον ἦσαν, Ῥώσκιος ὁ κωμῳδὸς, καὶ Σῶριξ ὁ ἀρχιμῖμος, καὶ Μητρόβιος ὁ λυσιῳδὸς, οὗ, καίπερ ἐξώρου γενομένου, διετέλει μέχρι παντὸς ἐρᾶν οὐκ ἀρνούμενος. Ὅθεν καὶ τὴν νόσον ἀπ' αἰτίας ἐλαφρᾶς ἀρξαμένην ἐξέθρεψε, καὶ πολὺν χρόνον ἠγνόει περὶ τὰ σπλάγχνα γεγονὼς ἔμπυος· ὑφ' ἧς καὶ τὴν σάρκα διαφθαρεῖσαν, εἰς φθεῖρας μετέβαλε πᾶσαν· ὥστε, πολλῶν δι' ἡμέρας ἅμα καὶ νυκτὸς ἀφαιρούντων, μηδὲν εἶναι μέρος τοῦ ἐπιγινομένου τὸ ἀποκρινόμενον, ἀλλὰ πᾶσαν ἐσθῆτα, καὶ λουτρὸν καὶ ἀπόνιμμα καὶ σιτίον ἀναπίμπλασθαι τοῦ ῥεύματος ἐκείνου καὶ τῆς φθορᾶς· τοσοῦτου ἐξήνθει. Διὸ πολλάκις τῆς ἡμέρας εἰς ὕδωρ ἐνέβαινεν, ἐκκλύζων τὸ σῶμα καὶ ἀποῤῥυπτόμενος. Ἦν δ' οὐδὲν ὄφελος· ἐκράτει γὰρ ἡ μεταβολὴ τῷ τάχει, καὶ περιεγίνετο παντὸς καθαρμοῦ τὸ πλῆθος. Λέγεται δὲ, τῶν μὲν πάνυ παλαιῶν, Ἄκαστον φθειριάσαντα τὸν Πελίου τελευτῆσαι, τῶν δὲ ὑστέρων, Ἀλκμᾶνα τὸν μελοποιὸν, καὶ Φερεκύδην τὸν θεολόγον, καὶ Καλλισθένη τὸν Ὀλύνθιον, ἐν εἱρκτῇ φρουρούμενον· ἔτι δὲ Μούκιον τὸν νομικόν. Εἰ δὲ δεῖ καὶ τῶν ἀπ' οὐδενὸς μὲν χρηστοῦ, γνωρίμων δ' ἄλλως, ἐπιμνησθῆναι, λέγεται τὸν ἄρξαντα τοῦ δουλικοῦ πολέμου περὶ Σικελίαν δραπέτην, Εὔνουν ὄνομα,

Digitized by Google

μετὰ τὴν ἅλωσιν εἰς Ῥώμην ἀγόμενον, ὑπὸ φθειριάσεως ἀποθανεῖν.

XXXVII. Ὁ δὲ Σύλλας οὐ μόνον προὐγνω τὴν ἑαυτοῦ τελευτὴν, ἀλλὰ τρόπον τινὰ καὶ γέγραφε περὶ αὐτῆς. Τὸ γὰρ εἰκοστὸν καὶ δεύτερον τῶν ὑπομνημάτων πρὸ δυεῖν ἡμερῶν, ἢ ἐτελεύτα, γράφων ἐπαύσατο· καί φησι, τούς τε Χαλδαίους αὐτῷ προειπεῖν, ὡς δέοι βεβιωκότα καλῶς αὐτὸν ἐν ἀκμῇ τῶν εὐτυχημάτων καταστρέψαι. Λέγει δὲ καὶ τὸν υἱὸν αὐτοῦ τεθνηκότα μικρὸν ἔμπροσθεν τῆς Μετέλλης φανῆναι κατὰ τοὺς ὕπνους, ἐν ἐσθῆτι φαύλῃ παρεστῶτα, καὶ δεόμενον τοῦ πατρὸς παύσασθαι τῶν φροντίδων, ἰόντα δὲ σὺν αὐτῷ παρὰ τὴν μητέρα Μετέλλαν, ἐν ἡσυχίᾳ καὶ ἀπραγμόνως ζῆν μετ' αὐτῆς. Οὐ μὴν ἐπαύσατό γε τοῦ πράττειν τὰ δημόσια. Δέκα μὲν γὰρ ἡμέρας ἔμπροσθεν τῆς τελευτῆς, τοὺς ἐν Δικαιαρχείᾳ στασιάζοντας διαλλάξας, νόμον ἔγραψεν αὐτοῖς, καθ' ὃν πολιτεύσονται. Πρὸ μιᾶς δὲ ἡμέρας, πυθόμενος τὸν ἄρχοντα Γρένιον, ὡς ὀφείλων δημόσιον χρέος οὐκ ἀποδίδωσιν, ἀλλ' ἀναμένει τὴν αὐτοῦ τελευτὴν, μετεπέμψατο τὸν ἄνθρωπον εἰς τὸ δωμάτιον· καὶ περιστήσας τοὺς ὑπηρέτας ἐκέλευσε πνίγειν, τῇ δὲ κραυγῇ καὶ τῷ σπαραγμῷ τὸ ἀπόστημα ῥήξας, πλῆθος αἵματος ἐξέβαλεν. Ἐκ δὲ τούτου τῆς δυνάμεως ἐπιλιπούσης, διαγαγὼν τὴν νύκτα μοχθηρῶς, ἀπέθανε, δύο παῖδας ἐκ τῆς Μετέλλης νηπίους καταλιπών. Ἡ γὰρ Οὐαλερία μετὰ τὴν τελευτὴν αὐτοῦ θυγάτριον ἀπε-

Digitized by Google

κύησεν, ὃ Ποστοῦμαν ἐκάλουν. Τοὺς γὰρ ὕστερον τῆς τῶν πατέρων τελευτῆς γενομένους οὕτω Ῥωμαῖοι προσαγορεύουσιν.

XXXVIII. Ὥρμησαν μὲν οὖν πολλοὶ καὶ συνέστησαν πρὸς Λέπιδον, ὡς εἴρξοντες τὸ σῶμα κηδείας τῆς νενομισμένης. Πομπήϊος δὲ, καίπερ ἐγκαλῶν τῷ Σύλλᾳ, (μόνον γὰρ αὐτὸν ἐν ταῖς διαθήκαις τῶν φίλων παρέλιπε) τοὺς μὲν χάριτι καὶ δεήσει, τοὺς δ' ἀπειλῇ διακρουσάμενος, εἰς Ῥώμην παρέπεμψε τὸ σῶμα, καὶ ταῖς ταφαῖς ἀσφάλειαν ἅμα καὶ τιμὴν παρέσχε. Λέγεται δὲ, τοσοῦτον πλῆθος ἀρωμάτων ἐπενεγκεῖν τὰς γυναῖκας αὐτῷ, ὥστε, ἄνευ τῶν ἐν φορήμασι δέκα καὶ διακοσίοις διακομιζομένων, πλασθῆναι μὲν εἴδωλον εὐμέγεθες αὐτοῦ Σύλλα, πλασθῆναι δὲ καὶ ῥαβδοῦχον ἔκ τε λιβανωτοῦ πολυτελοῦς καὶ κιναμώμου. Τῆς δὲ ἡμέρας συννεφοῦς ἔωθεν οὔσης, ὕδωρ ἐξ οὐρανοῦ προσδοκῶντες, ἐννάτης ἦραν μόλις ὥρας τὸν νεκρόν. Ἀνέμου δὲ λαμπροῦ καταιγίσαντος εἰς τὴν πυρὰν, καὶ φλόγα πολλὴν ἐγείραντος, ἔφθη τὸ σῶμα συγκομισθὲν, ὅσον ἤδη τῆς πυρᾶς μαραινομένης, καὶ τοῦ πυρὸς ἀπιόντος, ἐκχυθῆναι πολὺν ὄμβρον καὶ κατασχεῖν ἄχρι νυκτός· ὥστε τὴν τύχην αὐτοῦ δοκεῖν τὸ σῶμα συμθάπτειν παραμένουσαν. Τὸ μὲν οὖν μνημεῖον ἐν τῷ πεδίῳ τοῦ Ἄρεώς ἐστι. Τὸ δὲ ἐπίγραμμα φασὶν αὐτὸν ὑπογραψάμενον καταλιπεῖν, οὗ κεφάλαιόν ἐστιν, ὡς οὔτε τῶν φίλων τις αὐτὸν εὖ ποιῶν, οὔτε τῶν ἐχθρῶν κακῶς, ὑπερεβάλετο.

Digitized by Google

COMPARATIO LYSANDRI CVM SVLLA.

Ἐπεὶ δὲ καὶ τὸν τούτου διεληλύθαμεν βίον, ἴωμεν ἤδη πρὸς τὴν σύγκρισιν. Τὸ μὲν οὖν ἀφ' ἑαυτῶν αὐξήσεως ἀρχὴν λαβοῦσι μεγάλοις γενέσθαι, κοινὸν ἀμφοτέροις ὑπῆρξεν· ἴδιον δὲ Λυσάνδρου, τὸ βουλομένων τῶν πολιτῶν καὶ ὑγιαινόντων ὅσας ἔσχεν ἀρχὰς λαβεῖν, βιάσασθαι δὲ μηδὲν ἀκόντων, μηδ' ἰσχῦσαι παρὰ τοὺς νόμους.

Ἐν δὲ δικοστασίῃ καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς· ὥσπερ ἐν Ῥώμῃ τότε, διεφθαρμένου τοῦ δήμου, καὶ νοσοῦντος αὐτοῖς τοῦ πολιτεύματος, ἄλλος ἀλλαχόθεν ἀνίσταιο δυνάστης. Καὶ οὐδὲν ἦν θαυμαστόν, εἰ Σύλλας ἦρχεν, ὅτε Γλαυκίαι καὶ Σατουρνῖνοι Μετέλλους ἤλαυνον ἐκ τῆς πόλεως, ὑπάτων δ' ἀπεσφάττοντο παῖδες ἐν ἐκκλησίαις, ἀργυρίῳ δὲ καὶ χρυσίῳ τὰ ὅπλα παρελάμβανον, ὠνούμενοι τοὺς στρατευομένους, πυρὶ δὲ καὶ σιδήρῳ τοὺς νόμους ἐτίθεσαν, βιαζόμενοι τοὺς ἀντιλέγοντας. Οὐκ αἰτιῶμαι δὲ τὸν ἐν τοιούτοις πράγμασι μέγιστον ἰσχῦσαι διαπραξάμενον,

Digitized by Google

ἀλλὰ σημεῖον οὐ τίθεμαι τοῦ βέλτιστον εἶναι τὸ γενέσθαι πρῶτον, οὕτω πονηρὰ πραττούσης τῆς πόλεως. Ὁ δ', ἀπὸ τῆς Σπάρτης εὐνομουμένης τότε μάλιστα καὶ σωφρονούσης, ἐπὶ τὰς μεγίστας ἐκπεμπόμενος ἡγεμονίας καὶ πράξεις, σχεδὸν ἀρίστων ἄριστος ἐκρίνετο, καὶ πρώτων πρῶτος. Ὅθεν ὁ μὲν, πολλάκις τὴν ἀρχὴν ἀποδοὺς τοῖς πολίταις, ἀνέλαβε πολλάκις· διέμενε γὰρ ἡ τιμὴ, τῆς ἀρετῆς ἔχουσα τὸ πρωτεῖον. Ὁ δ', ἅπαξ αἱρεθεὶς στρατεύματος ἡγεμὼν, ἔτη συνεχῶς δέκα, νῦν μὲν ὕπατον, νῦν δ' ἀνθύπατον, νῦν δὲ δικτάτωρα ποιῶν ἑαυτὸν, ἀεὶ δ' ὢν τύραννος, ἐν τοῖς ὅπλοις ἔμενεν.

II. Ἐπεχείρησε μὲν οὖν ὁ Λύσανδρος, ὡς εἴρηται, μεταστῆσαι τὰ περὶ τὴν πολιτείαν, πρότερον καὶ νομιμώτερον, ἢ Σύλλας. Πειθοῖ γὰρ, οὐ δι' ὅπλων, οὐδὲ πάντα συλλήβδην ἀναιρῶν, ὥσπερ ἐκεῖνος, ἀλλ' αὐτὴν ἐπανορθούμενος τὴν κατάστασιν τῶν βασιλέων· ὃ καὶ φύσει που δίκαιον ἐδόκει, τὸν ἐξ ἀρίστων ἄριστον ἄρχειν ἐν πόλει τῆς Ἑλλάδος ἡγουμένῃ δι' ἀρετὴν, οὐ δι' εὐγένειαν. Ὥσπερ γὰρ κυνηγὸς οὐ ζητεῖ τὸ ἐκ κυνὸς, ἀλλὰ κύνα, καὶ ἱππικὸς ἵππον, οὐ τὸ ἐξ ἵππου· τί γὰρ, ἂν ἐξ ἵππου ἡμίονος γένηται; οὕτω καὶ ὁ πολιτικὸς ἁμαρτήσεται τοῦ παντὸς, ἐὰν μὴ ζητῇ τὸν ἄρχοντα τίς ἐστὶν, ἀλλ' ἐκ τίνος. Αὐτοί γέ τοι Σπαρτιᾶται βασιλεύοντας ἐνίους ἀφείλοντο τὴν ἀρχὴν, ὡς οὐ βασιλικοὺς, ἀλλὰ φαύλους καὶ τὸ μηδὲν ὄντας. Εἰ δὲ κακία καὶ μετὰ γένους, ἄτιμον· οὐδ' ἀρετὴ, δι' εὐγένειαν, ἀλλ' ἀφ' ἑαυτῆς ἔντιμον. Δι

Digitized by Google

τοίνυν ἀδικίαι, τῷ μὲν ὑπὲρ φίλων, τῷ δ' ἄχρι φίλων ἐπράχθησαν. Λύσανδρος μὲν γὰρ ὁμολογεῖται τὰ πλεῖστα διὰ τοὺς ἑταίρους ἐξαμαρτεῖν, καὶ τὰς πλείστας σφαγὰς ὑπὲρ τῆς ἐκείνων ἀπεργάσασθαι δυναστείας καὶ τυραννίδος. Σύλλας δὲ καὶ Πομπήϊου περιέκοψε τὸ στρατιωτικὸν φθονήσας, καὶ Λολοβέλλα τὴν ναυαρχίαν ἐπεχείρησε δοὺς ἀφελέσθαι, καὶ Λουκρήτιον Ὀφέλλαν, ἀντὶ πολλῶν καὶ μεγάλων ὑπατείαν μνώμενον, ἐν ῥφθαλμοῖς ἀποσφάξαι προσέταξε, φρίκην καὶ δέος ἐμποιῶν πρὸς αὐτὸν ἀνθρώποις ἅπασι, διὰ τῆς τῶν φιλτάτων ἀναιρέσεως.

III. Ἔτι δὲ μᾶλλον ἡ περὶ τὰς ἡδονὰς καὶ τὰ χρήματα σπουδὴ δείκνυσι τοῦ μὲν ἡγεμονικὴν, τοῦ δὲ τυραννικὴν τὴν προαίρεσιν οὖσαν. Ὁ μὲν γὰρ οὐδὲν ἄκόλαστον, οὐδὲ μειρακιῶδες, ἐν ἐξουσίᾳ καὶ δυνάμει τηλικαύτῃ φαίνεται διαπεπραγμένος, ἀλλ', εἰ δή τις ἄλλος, ἐκπεφευγὼς τοῦτο τὸ περίακτον· Οἶκοι λέοντες, ἐν ὑπαίθρῳ δ' ἀλώπεκες. Οὕτω σώφρονα καὶ Λακωνικὴν καὶ κεκολασμένην ἐπεδείκνυτο παντοχοῦ τὴν δίαιταν. Ὁ δ', οὔτε νέος ὢν περὶ τὰς ἐπιθυμίας ἐμετρίαζε διὰ τὴν πενίαν, οὔτε γηράσας, διὰ τὴν ἡλικίαν. Ἀλλὰ τοὺς περὶ γάμων καὶ σωφροσύνης εἰσηγεῖτο νόμους τοῖς πολίταις, αὐτὸς ἐρῶν καὶ μοιχεύων, ὡς φησι Σαλούστιος. Ὅθεν οὕτω τὴν πόλιν πτωχὴν καὶ κενὴν ἐποίησε χρημάτων, ὥστε ταῖς συμμαχίσι καὶ φίλαις πόλεσιν ἀργυρίου πωλεῖν τὴν ἐλευθερίαν καὶ τὴν αὐτονομίαν· καίτοι τοὺς πολυαργυρωτάτους οἴκους καὶ μεγίστους δσημέ-

Digitized by Google

ραι δημεύοντος αὐτοῦ καὶ ἀποκηρύττοντος. Ἀλλὰ μέτρον οὐδὲν ἦν τῶν ῥιπτουμένων καὶ καταχορηγουμένων εἰς τοὺς κόλακας. Τίνα γὰρ εἰκὸς εἶναι λογισμὸν, ἢ φειδὰ, πρὸς τὰς παρ' οἶνον συνουσίας αὐτοῦ καὶ χάριτας; ὃς ἐν φανερῷ ποτε, τοῦ δήμου περιεστῶτος, οὐσίαν μεγάλην διαπιπράσκων τιμῆς τῆς τυχούσης, εἰς ἕνα τῶν φίλων ἐκέλευε κατακηρύσσειν· ἑτέρου δὲ τὴν τιμὴν ὑπερβαλλομένου, καὶ τοῦ κήρυκος τὸ προστεθὲν ἀγορεύσαντος, διηγανάκτησε· „Δεινά γ', ὦ φίλοι πολῖται, καὶ τυραννικὰ πάσχω (φάμενος), εἰ τὰ ἐμά μοι λάφυρα διαθέσθαι μὴ ἔξεστιν, ὡς βούλομαι.“ Λύσανδρος δὲ καὶ τὰς αὐτῷ δοθείσας δωρεὰς μετὰ τῶν ἄλλων ἐπέπεμψε τοῖς πολίταις. Καὶ οὐκ ἐπαινῶ τὸ ἔργον· ἴσως γὰρ ἔβλαψε τῇ κτήσει τῶν χρημάτων τὴν Σπάρτην οὗτος, ὅσον οὐκ ἔβλαψε τῇ ἀφαιρέσει τὴν Ῥώμην ἐκεῖνος· ἀλλὰ τεκμήριον τοῦτο ποιοῦμαι τῆς ἀφιλοπλουτίας τοῦ ἀνδρός. Ἴδιον δέ τι πρὸς τὴν ἑαυτοῦ πόλιν ἑκάτερος ἔπαθε. Σύλλας μὲν γὰρ, ἀκύλαστος ὢν καὶ πολυτελὴς, ἐσωφρόνιζε τοὺς πολίτας· Λύσανδρος δ', ὧν αὐτὸς ἀπείχετο παθῶν, ἐνέπλησε τὴν πόλιν. Ὥστε ἁμαρτάνειν, τὸν μὲν, αὐτὸν ὄντα χείρονα τῶν ἰδίων νόμων, τὸν δ', αὐτοῦ χείρονας ἀπεργαζόμενον τοὺς πολίτας· δεῖσθαι γὰρ ἐδίδαξε τὴν Σπάρτην, ὧν αὐτὸν ἔμαθε μὴ προσδεῖσθαι. Καὶ τὰ μὲν πολιτικὰ ταῦτα.

IV. Πολέμων δ' ἀγῶσι, καὶ στρατηγικαῖς πράξεσι, καὶ πλήθει τροπαίων, καὶ μεγέθει κινδύνων, ἀσύγκριτος ὁ Σύλλας. Ὁ μέντοι γε δύο νίκας ἐξηνέγκατο

Digitized by Google

ναυμαχίαις δυσί. Προσθήσω δ' αὐτῷ καὶ τὴν Ἀθηνῶν πολιορκίαν, ἔργῳ μὲν οὐ μεγάλην, τῇ δὲ δόξῃ λαμπροτάτην γενομένην. Τὰ δ' ἐν Βοιωτίᾳ καὶ Ἀλιάρτῳ δυστυχίᾳ μὲν ἴσως ἐπράχθη τινὶ, κακοβουλίᾳ δὲ προσέοικεν, οὐκ ἀναμείναντος ὅσον οὔπω παροῦσαν ἐκ Πλαταιῶν τὴν μεγάλην βασιλέως δύναμιν, ἀλλὰ θυμῷ καὶ φιλοτιμίᾳ παρὰ καιρὸν ὠσαμένου πρὸς τὸ τεῖχος· ὥστε τοὺς τυχόντας ἀνθρώπους ἐκπηδήσαντας, ἐν οὐδενὶ λόγῳ καταβαλεῖν αὐτόν. Οὐ γὰρ, ὡς Κλεόμβροτος ἐν Λεύκτροις, ἀντερείδων ἐπικειμένοις τοῖς πολεμίοις, οὐδ' ὡς Κῦρος, οὐδ' ὡς Ἐπαμινώνδας κατέχων ἐγκεκλικότας, καὶ τὸ νίκημα βεβαιούμενος, πληγῇ καιρίᾳ περιέπεσεν. Ἀλλ' οὗτος μὲν βασιλέων καὶ στρατηγῶν θάνατον ἀπέθνησκον· Λύσανδρος δὲ πελταστοῦ καὶ προδρόμου δίκην ἀκλεῶς παραναλώσας ἑαυτὸν, ἐμαρτύρησε τοῖς παλαιοῖς Σπαρτιάταις, ὅτι καλῶς ἐφυλάττοντο τὰς τειχομαχίας, ἐν αἷς οὐχ ὑπ' ἀνδρὸς μόνον τοῦ τυχόντος, ἀλλὰ καὶ ὑπὸ παιδὸς καὶ γυναικὸς ἀποθανεῖν ἂν συντύχοι πληγέντα τὸν κράτιστον· ὥσπερ τὸν Ἀχιλλέα φασὶν ὑπὸ τοῦ Πάριδος ἐν ταῖς πύλαις ἀναιρεθῆναι. Σύλλας μὲν οὖν ὅσας ἐκ παρατάξεως ἐνίκησε νίκας, καὶ κατέβαλε μυριάδας πολεμίων, οὐδ' ἀριθμῆσαι ῥᾴδιόν ἐστιν· αὐτὴν δὲ τὴν Ῥώμην δὶς εἷλε, καὶ τὸν Πειραιᾶ τῶν Ἀθηνῶν, οὐ λιμῷ, καθάπερ Λύσανδρος, ἀλλὰ πολλοῖς ἀγῶσι καὶ μεγάλοις ἐκβαλὼν Ἀρχέλαον ἐκ τῆς γῆς ἐπὶ τὴν θάλατταν, κατέσχεν. Ἔστι δὲ μέγα καὶ τὸ τῶν ἀντιστρατήγων. Τρυφὴν γὰρ οἱ-

Digitized by Google

μαι καὶ παιδιὰν, πρὸς Ἄντιοχον διαναυμαχεῖν τὸν Ἀλκιβιάδου κυβερνήτην, καὶ Φιλοκλέα τὸν Ἀθηναίων ἐξαπατᾶν δημαγωγόν,

Ἄδοξον, ἄκραν γλῶσσαν ἠκονημένον·

οὓς οὐκ ἂν ἱπποκόμῳ Μιθριδάτης, οὐδὲ ῥαβδούχῳ Μάριος ἠξίωσε παραβαλεῖν τῶν ἑαυτοῦ. Τῶν δὲ πρὸς τὸν Σύλλαν ἀνταραμένων δυναστῶν, ὑπάτων, στρατηγῶν, δημαγωγῶν, ἵνα τοὺς ἄλλους ἐάσω, τίς ἦν Ῥωμαίων Μαρίου φοβερώτερος, ἢ Μιθριδάτου βασιλέων δυνατώτερος, ἢ Λαμπωνίου καὶ Τελεσίνου, τῶν Ἰταλικῶν, μαχιμώτερος; ὧν ἐκεῖνος τὸν μὲν ἐξέβαλε, τὸν δ' ὑπέταξε, τοὺς δ' ἀπέκτεινε.

V. Τὸ δὲ πάντων μέγιστον, ὡς ἐγὼ νομίζω, τῶν εἰρημένων ἐκεῖνό ἐστιν, ὅτι Λύσανδρος μὲν κατώρθου πάντα, τῶν οἴκοι συναγωνιζομένων· Σύλλας δὲ, φυγὰς ὢν καὶ κατεστασιασμένος ὑπὸ τῶν ἐχθρῶν, καθ' ὃν χρόνον ἠλαύνετο μὲν αὐτοῦ γυνὴ, κατεσκάπτετο δ' οἰκία, φίλοι δ' ἀπέθνησκον, αὐτὸς ἐν Βοιωτίᾳ ταῖς ἀναριθμήτοις μυριάσι παρατασσόμενος καὶ κινδυνεύων ὑπὲρ τῆς πατρίδος, ἴστη τρόπαιον. Καὶ Μιθριδάτῃ, συμμαχίαν διδόντι καὶ δύναμιν ἐπὶ τοὺς ἐχθροὺς, οὐδὲν οὐδαμῇ μαλακὸν ἐνέδωκεν, οὐδὲ φιλάνθρωπον· ἀλλ' οὐδὲ προσεῖπεν, οὐδὲ τὴν δεξιὰν ἐνέβαλε πρότερον, ἢ πυθέσθαι παρόντος, ὅτι καὶ τὴν Ἀσίαν ἀφίησι, καὶ τὰς ναῦς παραδίδωσι, καὶ τοῖς βασιλεῦσιν ἐξίσταται καὶ Βιθυνίας καὶ Καππαδοκίας. Ὧν οὐδὲν ὅλως δοκεῖ Σύλλας κάλλιον ἔργον, οὐδ' ἀπὸ μείζονος εἰργάσθαι

Digitized by Google

φρονήματος· ὅτι τὸ κοινὸν τοῦ οἰκείου πρόσθεν θέμενος, καὶ, καθάπερ οἱ γενναῖοι κύνες, οὐκ ἀνεὶς τὸ δῆγμα καὶ τὴν λαβὴν πρότερον, ἢ τὸν ἀνταγωνιστὴν ἀπειπεῖν, τότε πρὸς τὴν τῶν ἰδίων ἄμυναν ὥρμησεν. Ἐπὶ πᾶσι δὲ καὶ τὸ περὶ τὰς Ἀθήνας ἔχει τινὰ ῥοπὴν εἰς ἤθους σύγκρισιν· εἴγε Σύλλας μὲν ὑπὲρ τῆς Μιθριδάτου δυνάμεως καὶ ἡγεμονίας πολεμήσασαν αὐτῷ τὴν πόλιν ἑλὼν, ἐλευθέραν ἀφῆκε καὶ αὐτόνομον· Λύσανδρος δὲ, τοσαύτης ἡγεμονίας καὶ ἀρχῆς ἐκπεσοῦσαν οὐκ ὤκτειρεν, ἀλλὰ καὶ τὴν δημοκρατίαν ἀφελόμενος, ὠμοτάτους αὐτῇ καὶ παρανομωτάτους ἀπέδειξε τοὺς τυράννους. Ὥρα δὴ σκοπεῖν, μὴ πολὺ τἀληθοῦς διαμαρτάνωμεν, ἀποφαινόμενοι πλεῖονα μὲν κατωρθωκέναι Σύλλαν, ἐλάττονα δ' ἐξημαρτηκέναι Λύσανδρον· καὶ τῷ μὲν ἐγκρατείας καὶ σωφροσύνης, τῷ δὲ στρατηγίας καὶ ἀνδρείας ἀποδιδόντες τὸ πρωτεῖον.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

PLVTARCHI VITAE PARALLELAE.

AD

OPTIMORVM LIBRORVM FIDEM

ACCVRATE EDITAE.

EDITIO STEREOTYPA.

TOMVS V.

Insunt: *Cimon, Lucullus, Nicias, Marcus Crassus, Sertorius, Eumenes.*

LIPSIAE

EX OFFICINA CAR. TAUCHNITII.

1821.

Digitized by Google

Ep 86.13-8



Digitized by Google

ΠΛΟΥΤΑΡΧΟΥ

ΒΙΟΙ ΠΑΡΑΛΛΗΛΟΙ.

ΣΥΝ ΠΛΕΙΣΤΗ ΑΚΡΙΒΕΙΑ

ΣΤΕΡΕΟΤΥΠΩΣ

ΕΚΔΟΘΕΝΤΕΣ.

ΤΟΜΟΣ δ'.

ΕΝ ΛΕΙΨΙΑ.

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΚΑΡ. ΤΟΥ ΤΑΥΧΝΙΖΙΟΥ.

1821.

Digitized by Google

Digitized by Google

ΚΙΜΩΝ.

Περιπόλτας ὁ μάντις, ἐκ Θετταλίας εἰς Βοιωτίαν Ὀφέλταν τὸν βασιλέα καὶ τοὺς ὑπ' αὐτῷ λαοὺς καταγαγών, γένος εὐδοκιμῆσαν ἐπὶ πολλοὺς χρόνους κατέλιπεν· οὗ τὸ πλεῖστον ἐν Χαιρωνείᾳ κατῴκησεν, ἣν πρώτην πόλιν ἔσχον, ἐξελάσαντες τοὺς βαρβάρους. Οἱ μὲν οὖν πλεῖστοι τοῦ γένους, φύσει μάχιμοι καὶ ἀνδρώδεις γενόμενοι, κατανηλώθησαν ἐν ταῖς Μηδικαῖς ἐπιδρομαῖς, καὶ τοῖς Γαλατικοῖς ἀγῶσιν, ἀφειδήσαντες ἑαυτῶν· λείπεται δὲ παῖς ὀρφανὸς γονέων, ὄνομα Δάμων, παρωνύμιον δὲ Περιπόλτας, πολὺ δή τι καὶ σώματος κάλλει καὶ ψυχῆς φρονήματι τοὺς καθ' αὑτὸν ὑπεραίρων νέους, ἄλλως δ' ἀπαίδευτος καὶ σκληρὸς τὸ ἦθος. Τούτου Ῥωμαῖος, ἡγεμὼν σπείρας τινὸς ἐν Χαιρωνείᾳ διαχειμαζούσης, ἐρασθείς, ἅρτι τὴν παιδικὴν ἡλικίαν παρηλλαχότος, ὡς οὐκ ἔπειθε πείρων καὶ διδοὺς, δῆλος ἦν οὐκ ἀφεξόμενος βίας, ἅτε δὴ καὶ τῆς πατρίδος ἡμῶν τότε λυπρὰ πραττούσης, καὶ διὰ μικρότητα καὶ πενίαν παρορωμένης. Τοῦτο δὴ δεδιὼς ὁ Δάμων, καὶ τὴν πεῖραν αὐτὴν δι'

Digitized by Google

ὀργῆς πεποιημένος, ἐπεβούλευε τῷ ἀνδρί· καὶ συνίστη τῶν ἡλικιωτῶν τινας ἐπ᾽ αὐτόν, οὐ πολλοὺς, ἕνεκα τοῦ λανθάνειν. Ἀλλ᾽ οἱ σύμπαντες, ἑκκαιδεκα γενόμενοι, χρίονται μὲν αἰθάλῳ τὰ πρόσωπα νυκτὸς, ἐκπιόντες δ᾽ ἄκρατον, ἅμ᾽ ἡμέρᾳ προσπίπτουσι τῷ Ῥωμαίῳ κατ᾽ ἀγορὰν θύοντι· καὶ καταβαλόντες αὐτόν τε καὶ τῶν περὶ αὐτὸν οὐκ ὀλίγους, ἐκ τῆς πόλεως μετέστησαν. Γενομένης δὲ ταραχῆς, ἡ τῶν Χαιρωνέων βουλὴ συνελθοῦσα, θάνατον αὐτῶν κατέγνω· καὶ τοῦτ᾽ ἦν ὑπὲρ τῆς πόλεως ἀπολόγημα πρὸς τοὺς Ῥωμαίους. Ἑσπέρας δὲ τῶν ἀρχόντων, ὥσπερ ἔθος ἐστὶ, κοινῇ δειπνούντων, οἱ περὶ τὸν Δάμωνα παρεισπεσόντες εἰς τὸ ἀρχεῖον, ἀπέσφαξαν αὐτοὺς, καὶ πάλιν ᾤχοντο φεύγοντες ἐκ τῆς πόλεως. Ἔτυχε δὲ περὶ τὰς ἡμέρας ἐκείνας Λεύκιος Λούκουλλος ἐπί τινα πρᾶξιν μετὰ δυνάμεως παρερχόμενος. Ἐπιστήσας δὲ τὴν πορείαν, καὶ τῶν γεγονότων, προσφάτων ὄντων, ἐξέτασιν ποιησάμενος, εὗρε τὴν πόλιν οὐδενὸς αἰτίαν, ἀλλὰ μᾶλλον συνηδικημένην· καὶ τοὺς στρατιώτας ἀναλαβὼν, ἀπήγαγε μεθ᾽ ἑαυτοῦ. Τὸν δὲ Δάμωνα, λῃστείαις καὶ καταδρομαῖς πορθοῦντα τὴν χώραν, καὶ τῇ πόλει προσκείμενον, ὑπηγάγοντο πρεσβείαις καὶ ψηφίσμασι φιλανθρώποις οἱ πολῖται· κατελθόντα δὲ γυμνασίαρχον κατέστησαν, εἶτ᾽ ἀλειφόμενον ἐν τῷ πυριατηρίῳ διέφθειραν. Ἐπὶ πολὺν δὲ χρόνον εἰδώλων τινῶν ἐν τῷ τύπῳ προφαινομένων, καὶ στεναγμῶν ἐξακουομένων, ὡς οἱ πατέρες ἡμῶν λέγουσι, τὰς θύρας ἐνῳκοδόμησαν τοῦ

Digitized by Google

πυριατηρίου· καὶ μέχρι νῦν οἱ τῷ τόπῳ γειτνιῶντες εἶονταί τινας ὄψεις καὶ φωνὰς ταραχώδεις φέρεσθαι. Τοὺς δ' ἀπὸ τοῦ γένους αὐτοῦ (διασώζονται γὰρ ἔνιοι, μάλιστα τῆς Φωκίδος περὶ Στεῖριν) αἰολίζοντες ἀσβολωμένους καλοῦσι, διὰ τὸ τὸν Λάμωνα πρὸς τὸν φόνον ἀσβόλῳ χρισάμενον ἐξελθεῖν.

II. Ἐπεὶ δ' ἀστυγείτονες ὄντες Ὀρχομένιοι καὶ διάφοροι τοῖς Χαιρωνεῦσιν, ἐμισθώσαντο Ῥωμαϊκὸν συκοφάντην, ὁ δ', ὥσπερ ἑνὸς ἀνθρώπου, τὸ τῆς πόλεως ὄνομα κατενεγκών, ἐδίωκε φόνου τῶν ὑπὸ Λάμωνος ἀνῃρημένων. Ἡ δὲ κρίσις ἦν ἐπὶ τοῦ στρατηγοῦ τῆς Μακεδονίας· οὔπω γὰρ εἰς τὴν Ἑλλάδα Ῥωμαῖοι στρατηγοὺς διεπέμποντο· οἱ δὲ λέγοντες ὑπὲρ τῆς πόλεως ἐπεκαλοῦντο τὴν Λουκούλλου μαρτυρίαν. Γράψαντος δὲ τοῦ στρατηγοῦ πρὸς Λούκουλλον, ἐκεῖνος ἐμαρτύρησε τἀληθῆ, καὶ τὴν δίκην οὕτως ἀπέφυγεν ἡ πόλις, κινδυνεύουσα περὶ τῶν μεγίστων. Ἐκεῖνοι μὲν οὖν οἱ τότε σωθέντες εἰκόνα τοῦ Λουκούλλου λιθίνην ἐν ἀγορᾷ παρὰ τὸν Διόνυσον ἀνέστησαν. Ἡμεῖς δ', εἰ καὶ πολλαῖς ἡλικίαις λειπόμεθα, τὴν μὲν χάριν οἰόμεθα διατείνειν καὶ πρὸς ἡμᾶς τοὺς νῦν ὄντας· εἰκόνα δὲ πολὺ καλλίονα νομίζοντες εἶναι τῆς τὸ σῶμα καὶ τὸ πρόσωπον ἀπομιμουμένης τὴν τὸ ἦθος καὶ τὸν τρόπον ἐμφανίζουσαν, ἀναληψόμεθα τῇ γραφῇ τῶν παραλλήλων βίων τὰς πράξεις τοῦ ἀνδρός, τἀληθῆ διεξιόντες. Ἀρκεῖ γὰρ ἡ τῆς μνήμης χάρις· ἀληθοῦς δὲ μαρτυρίας οὐδ' ἂν αὐτὸς ἐκεῖνος ἠξίωσε μισθὸν λα-

Digitized by Google

βεῖν ψευδῆ καὶ πεπλασμένην ὑπὲρ αὐτοῦ διήγησιν. Ὥσπερ γὰρ τοὺς τὰ καλὰ καὶ πολλὴν ἔχοντα χάριν εἴδη ζωγραφοῦντας, ἂν προσῇ τι μικρὸν αὐτοῖς δυσχερές, ἀξιοῦμεν μήτε παραλιπεῖν τοῦτο τελέως, μήτ' ἐξακριβοῦν· τὸ μὲν γὰρ αἰσχρὰν, τὸ δ' ἀνομοίαν παρέχεται τὴν ὄψιν· οὕτως, ἐπεὶ χαλεπόν ἐστι, μᾶλλον δ' ἴσως ἀμήχανον, ἅμεμφῆ καὶ καθαρὸν ἀνδρὸς ἐπιδεῖξαι βίον, ἐν τοῖς καλοῖς ἀναπληρωτέον, ὥσπερ ὁμοιότητα, τὴν ἀλήθειαν. Τὰς δ' ἐκ πάθους τινὸς, ἢ πολιτικῆς ἀνάγκης, ἐπιτρεχούσας ταῖς πράξεσιν ἁμαρτίας καὶ κῆρας, ἐλλείμματα μᾶλλον ἀρετῆς τινος, ἢ κακίας πονηρεύματα, νομίζοντας, οὐ δεῖ πάνυ προθύμως ἐναποσημαίνειν τῇ ἱστορίᾳ καὶ περιττῶς, ἀλλ' ὥσπερ αἰδουμένους ὑπὲρ τῆς ἀνθρωπίνης φύσεως, εἰ καλὸν οὐδὲν εἰλικρινὲς, οὐδ' ἀναμφισβήτητον, εἰς ἀρετὴν ἦθος γεγονὸς ἀποδίδωσιν.

III. Ὁ δ' οὖν Λούκουλλος ἐδόκει σκοποῦσιν ἡμῖν τῷ Κίμωνι παραβλητέος εἶναι. Πολεμικοὶ γὰρ ἀμφότεροι, καὶ πρὸς τοὺς βαρβάρους λαμπροί. πρᾶοι δὲ τὰ πολιτικὰ, καὶ μάλιστα τῶν ἐμφυλίων στάσεων ἀναπνοὴν ταῖς πατρίσι παρασχόντες· ἕκάτερος δέ τις αὐτῶν στήσαντες τρόπαια, καὶ νίκας ἀνελόμενοι περιβοήτους. Οὔτε γὰρ Ἑλλήνων Κίμωνος, οὔτε Ῥωμαίων Λουκούλλου πρότερος οὐδεὶς οὕτω μακρὰν πολεμῶν προῆλθεν· ἔξω λόγου τιθεμένων τῶν καθ' Ἡρακλέα καὶ Διόνυσον, εἴ τέ τι Περσέως πρὸς Αἰθίοπας, ἢ Μήδους καὶ Ἀρμενίους, ἢ Ἰάσονος ἔργον ἀξιόπιστον ἐκ τῶν τότε χρόνων μνήμῃ φερόμενον εἰς τοὺς νῦν

Digitized by Google

ἀφῖκται. Κοινόν δέ πως αὐτῶν καὶ τὸ ἀτελὲς γέγονε τῆς στρατηγίας, ἑκατέρου μὲν συντρίψαντος, οὐδετέρου δὲ καταλύσαντος τὸν ἀνταγωνιστήν. Μάλιστα δ' ἡ περὶ τὰς ὑποδοχὰς καὶ τὰς φιλανθρωπίας ταύτας ὑγρότης καὶ δαψίλεια, καὶ τὸ νεαρὸν καὶ ἀνειμένον ἐν τῇ διαίτῃ, παραπλήσιον ἐπ' ἀμφοτέρων ἐδεῖν ὑπάρχει. Παραλείπομεν δ' ἴσως καὶ ἄλλας τινὰς ὁμοιότητας, ἃς οὐ χαλεπὸν ἐκ τῆς διηγήσεως αὐτῆς συναγαγεῖν.

IV. Κίμων ὁ Μιλτιάδου, μητρὸς ἦν Ἡγησιπύλης, γένος Θρᾴττης, θυγατρὸς Ὀλόρου τοῦ βασιλέως, ὡς ἐν τοῖς Ἀρχελάου καὶ Μελανθίου ποιήμασιν εἰς αὐτὸν Κίμωνα γεγραμμένοις ἱστόρηται. Διὸ καὶ Θουκυδίδης ὁ ἱστορικὸς, τοῖς περὶ Κίμωνα κατὰ γένος προσήκων, Ὀλόρου τε πατρὸς ἦν εἰς τὸν πρόγονον ἀναφέροντος τὴν ὁμωνυμίαν, καὶ τὰ χρυσεῖα περὶ τὴν Θρᾴκην ἐκέκτητο. Καὶ τελευτήσαι μὲν ἐν τῇ Σκαπτῇ ὕλῃ (τοῦτο δ' ἔστι τῆς Θρᾴκης χωρίον) λέγεται, φονευθεὶς ἐκεῖ· μνῆμα δ' αὐτοῦ, τῶν λειψάνων εἰς τὴν Ἀττικὴν κομισθέντων, ἐν τοῖς Κιμωνείοις δείκνυται, παρὰ τὸν Ἐλπινίκης τῆς Κίμωνος ἀδελφῆς τάφον. Ἀλλὰ Θουκυδίδης μὲν Ἀλιμούσιος γέγονε τὸν δῆμον, οἱ δὲ περὶ τὸν Μιλτιάδην, Λακιάδαι. Μιλτιάδης μὲν οὖν πεντήκοντα ταλάντων ὄφλων δίκην, καὶ πρὸς τὴν ἔκτισιν εἰρχθεὶς, ἐτελεύτησεν ἐν τῷ δεσμωτηρίῳ. Κίμων δὲ, μειράκιον παντάπασιν ἀπολειφθεὶς μετὰ τῆς ἀδελφῆς ἔτι κόρης οὔσης καὶ ἀγάμου, τὸν πρῶτον ἠδόξει χρόνον ἐν τῇ

Digitized by Google

πόλει, καὶ κακῶς ἤκουεν, ὡς ἄτακτος καὶ πολυπότης, καὶ τῷ πάππῳ Κίμωνι προσεοικὼς τὴν φύσιν· ὃν δι' εὐήθειάν φασι Κοάλεμον προσαγορευθῆναι. Στησίμβροτος δ' ὁ Θάσιος, περὶ τὸν αὐτὸν ὁμοῦ τι χρόνον τῷ Κίμωνι γεγονὼς, φησὶν, αὐτὸν οὔτε μουσικὴν, οὔτε ἄλλο τι μάθημα τῶν ἐλευθερίων καὶ τοῖς Ἕλλησιν ἐπιχωριαζόντων ἐκδιδαχθῆναι· δεινότητός τε καὶ στωμυλίας Ἀττικῆς ὅλως ἀπηλλάχθαι, καὶ τῷ τρόπῳ πολὺ τὸ γενναῖον καὶ ἀληθὲς ἐνυπάρχειν, καὶ μᾶλλον εἶναι Πελοποννήσιον τὸ σχῆμα τῆς ψυχῆς τοῦ ἀνδρός,

Φαῦλον, ἄκομψον, τὶ μέγιστ' ἀγαθὸν,

κατὰ τὸν Εὐριπίδειον Ἡρακλέα· ταῦτα γάρ ἐστι τοῖς ὑπὸ τοῦ Στησιμβρότου γεγραμμένοις ἐπειπεῖν. Ἔτι δὲ νέος ὢν αἰτίαν ἔσχε πλησιάζειν τῇ ἀδελφῇ. Καὶ γὰρ οὐδ' ἄλλως τὴν Ἐλπινίκην εὔτακτόν τινα γεγονέναι λέγουσιν, ἀλλὰ καὶ πρὸς Πολύγνωτον ἐξαμαρτεῖν τὸν ζωγάφον· καὶ διὰ τοῦτο φασὶν ἐν τῇ Πηνσιανακτίῳ τότε καλουμένῃ, Ποικίλῃ δὲ νῦν στοᾷ, γράφοντα τὰς Τρωάδας, τὸ τῆς Λαοδίκης ποιῆσαι πρόσωπον ἐν εἰκόνι τῆς Ἐλπινίκης. Ὁ δὲ Πολύγνωτος οὐκ ἦν τῶν βαναύσων, οὐδ' ἀπ' ἐργολαβίας ἔγραφε τὴν στοὰν, ἀλλὰ προῖκα, φιλοτιμούμενος πρὸς τὴν πόλιν· ὡς οἵ τε συγγραφεῖς ἱστοροῦσι, καὶ Μελάνθιος ὁ ποιητὴς λέγει τὸν τρόπον τοῦτον·

Αὐτοῦ γὰρ δαπάναισι θεῶν ναοὺς ἀγοράν τε
Κεκροπίων κόσμησ' ἡμιθέων ἀρεταῖς.

Digitized by Google

Εἰσὶ δ' οἳ τὴν Ἐλπινίκην οὐ κρύφα τῷ Κίμωνι, φανερῶς δὲ γημαμένην συνοικῆσαι λέγουσιν, ἀξίου τῆς εὐγενείας νυμφίου διὰ τὴν πενίαν ἀποροῦσαν· ἐπεὶ δὲ Καλλίας, τῶν εὐπόρων τις Ἀθήνῃσιν, ἐρασθεὶς προσῆλθε, τὴν ὑπὲρ τοῦ πατρὸς καταδίκην ἐκτίσειν ἕτοιμος ὢν πρὸς τὸ δημόσιον, αὐτήν τε πεισθῆναι, καὶ τὸν Κίμωνα τῷ Καλλίᾳ συνοικίσαι τὴν Ἐλπινίκην. Οὐ μὴν ἀλλὰ καὶ ὅλως φαίνεται τοῖς περὶ τὰς γυναῖκας ἐρωτικοῖς ὁ Κίμων ἔνοχος γενέσθαι. Καὶ γὰρ Ἀστερίας, τῷ γένει Σαλαμινίας, καὶ πάλιν Μνήστρας τινὸς, ὁ ποιητὴς Μελάνθιος μνημονεύει, πρὸς τὸν Κίμωνα παίζων δι' ἐλεγείας, ὡς σπουδαζομένων ὑπ' αὐτοῦ. Δῆλος δ' ἐστὶ καὶ πρὸς Ἰσοδίκην, τὴν Εὐρυπτολέμου μὲν θυγατέρα τοῦ Μεγακλέους, κατὰ νόμους δ' αὐτῷ συμβιώσασαν, ὁ Κίμων ἐμπαθέστερον διατεθεὶς, καὶ δυσφορήσας ἀποθανούσης, εἴ τι δεῖ τεκμαίρεσθαι ταῖς γεγραμμέναις ἐπὶ παρηγορίᾳ τοῦ πένθους ἐλεγείαις πρὸς αὐτόν· ὧν Παναίτιος ὁ φιλόσοφος οἴεται ποιητὴν γεγονέναι τὸν φυσικὸν Ἀρχέλαον, οὐκ ἀπὸ τρόπου τοῖς χρόνοις εἰκάζων.

V. Τὰ δ' ἄλλα πάντα τοῦ ἤθους ἀγαστὰ καὶ γενναῖα τοῦ Κίμωνος. Οὔτε γὰρ τόλμῃ Μιλτιάδου λειπόμενος, οὔτε συνέσει Θεμιστοκλέους, δικαιότερος ἀμφοῖν ὁμολογεῖται γενέσθαι· καὶ ταῖς πολεμικαῖς οὐδὲ μικρὸν ἀποδέων ἀρεταῖς ἐκείνων, ἀμήχανον ὅσον ἐν ταῖς πολιτικαῖς ὑπερβαλέσθαι, νέος ὢν ἔτι καὶ πολέμων ἄπειρος. Ὅτε γὰρ τὸν δῆμον, ἐπι-

Digitized by Google

ὑντων Μήδων, Θεμιστοκλῆς ἔπειθε, προέμενον τὴν πόλιν, καὶ τὴν χώραν ἐκλιπόντα, πρὸ τῆς Σαλαμῖνος ἐν ταῖς ναυσὶ τὰ ὅπλα θέσθαι, καὶ διαγωνίσασθαι κατὰ θάλατταν· ἐκπεπληγμένων τῶν πολλῶν τὸ τόλμημα, πρῶτος Κίμων ὤφθη διὰ τοῦ Κεραμεικοῦ φαιδρὸς ἀνιὼν εἰς τὴν ἀκρόπολιν μετὰ τῶν ἑταίρων, ἵππου τινὰ χαλινὸν ἀναθεῖναι τῇ θεῷ διὰ χειρῶν κομίζων· ὡς οὐδὲν ἱππικῆς ἀλκῆς, ἀλλὰ ναυμάχων ἀνδρῶν ἐν τῷ παρόντι τῆς πόλεως δεομένης. Ἀναθεὶς δὲ τὸν χαλινὸν, καὶ λαβὼν ἐκ τῶν περὶ τὸν ναὸν κρεμαμένων ἀσπίδων, καὶ προσευξάμενος τῇ θεῷ, κατέβαινεν ἐπὶ θάλασσαν, οὐκ ὀλίγοις ἀρχὴ τοῦ θαῤῥεῖν γενόμενος. Ἦν δὲ καὶ τὴν ἰδέαν οὐ μεμπτὸς, ὡς Ἴων ὁ ποιητὴς φησιν, ἀλλὰ μέγας, οὐλὴ καὶ πολλῇ τριχὶ κομῶν τὴν κεφαλήν. Φανεὶς δὲ κατ' αὐτὸν τὸν ἀγῶνα λαμπρὸς καὶ ἀνδρώδης, ταχὺ δόξαν ἐν τῇ πόλει μετ' εὐνοίας ἔσχεν, ἀθροιζομένων πολλῶν πρὸς αὐτὸν, καὶ παρακαλούντων ἄξια τοῦ Μαραθῶνος ἤδη διανοεῖσθαι καὶ πράττειν. Ὁρμήσαντα δ' αὐτὸν ἐπὶ τὴν πολιτείαν ἅσμενος ὁ δῆμος ἐδέξατο, καὶ μεστὸς ὢν τοῦ Θεμιστοκλέους, ἀνῆγε πρὸς τὰς μεγίστας ἐν τῇ πόλει τιμὰς καὶ ἀρχὰς, εὐάρμοστον ὄντα καὶ προσφιλῆ τοῖς πολλοῖς, διὰ πραότητα καὶ ἀφέλειαν. Οὐχ ἥκιστα δ' αὐτὸν ηὔξησεν Ἀριστείδης ὁ Λυσιμάχου τὴν εὐφυΐαν ἐνορῶν τῷ ἤθει, καὶ ποιούμενος οἷον ἀντίπαλον πρὸς τὴν Θεμιστοκλέους δεινότητα καὶ τόλμαν.

VI. Ἐπεὶ δὲ, Μήδων φυγόντων ἐκ τῆς Ἑλλά-

Digitized by Google

δος, ἐπέμφθη στρατηγὸς, κατὰ θάλατταν οὔπω τὴν ἀρχὴν Ἀθηναίων ἐχόντων, ἔτι δὲ Παυσανίᾳ καὶ Λακεδαιμονίοις ἑπομένων, πρῶτον μὲν ἐν ταῖς στρατηγίαις ἀεὶ παρεῖχε τοὺς πολίτας κόσμῳ τε θαυμαστοὺς καὶ προθυμίᾳ πολὺ πάντων διαφέροντας· ἔπειτα Παυσανίου τοῖς μὲν βαρβάροις διαλεγομένου περὶ προδοσίας, καὶ βασιλεῖ γράφοντος ἐπιστολὰς, τοῖς δὲ συμμάχοις τραχέως καὶ αὐθαδῶς προσφερομένου, καὶ πολλὰ δι' ἐξουσίαν καὶ ὄγκον ἀνόητον ὑβρίζοντος, ὑπολαμβάνων πράως τοὺς ἀδικουμένους, καὶ φιλανθρώπως ἑξομιλῶν, ἔλαθεν οὐ δι' ὅπλων τὴν Ἑλλάδος ἡγεμονίαν, ἀλλὰ λόγῳ καὶ ἤθει παρελόμενος. Προστίθεντο γὰρ οἱ πλεῖστοι τῶν συμμάχων ἐκείνῳ τε καὶ Ἀριστείδῃ, τὴν χαλεπότητα τοῦ Παυσανίου καὶ ὑπεροψίαν μὴ φέροντες. Οἱ δὲ καὶ τούτους ἅμα προσήγοντο, καὶ τοῖς ἐφόροις πέμποντες ἔφραζον, ὡς ἀδοξούσης τῆς Σπάρτης, καὶ ταραττομένης τῆς Ἑλλάδος, ἀνακαλεῖν τὸν Παυσανίαν. Λέγεται δὲ, παρθένον τινὰ Βυζαντίαν ἐπιφανῶν γονέων, ὄνομα Κλεονίκην, ἐπ' αἰσχύνῃ τοῦ Παυσανίου μεταπεμπομένου, τοὺς μὲν γονεῖς ὑπ' ἀνάγκης καὶ φόβου προέσθαι τὴν παῖδα· τὴν δὲ τῶν πρὸ τοῦ δωματίου δεηθεῖσαν ἀνελέσθαι τὸ φῶς, διὰ σκότους καὶ αἰωπῆς τῇ κλίνῃ προσιοῦσαν, ἤδη τοῦ Παυσανίου καθεύδοντος, ἐμπεσεῖν καὶ ἀνατρέψαι τὸ λυχνίον ἄκουσαν. Τὴν δὲ, ὑπὸ τοῦ ψόφου ταραχθέντα καὶ σπασάμενον τὸ παρακείμενον ἐγχειρίδιον, ὡς τινος ἐπ' αὐτὸν ἐχθροῦ βαδίζοντος, πατάξαι καὶ

Digitized by Google

καταβαλεῖν τὴν παρθένον. Ἐκ δὲ τῆς πληγῆς ἀποθανοῦσαν αὐτὴν οὐκ ἐᾷν τὸν Παυσανίαν ἡσυχάζειν, ἀλλὰ νύκτωρ εἴδωλον αὐτῷ φοιτῶσαν εἰς τὸν ὕπνον, ὀργῇ λέγειν τόδε τὸ ἡρῷον·

Στεῖχε δίκης ἄσσον· μάλα τοι κακὸν ἀνδράσιν ὕβρις.

Ἐφ' ᾧ καὶ μάλιστα χαλεπῶς ἐνεγκόντες οἱ σύμμαχοι, μετὰ τοῦ Κίμωνος ἐξεπολιόρκησαν αὐτόν. Ὁ δ', ἐκπεσὼν τοῦ Βυζαντίου, καὶ τῷ φάσματι ταραττόμενος, ὡς λέγεται, κατέφυγε πρὸς τὸ νεκυομαντεῖον εἰς Ἡράκλειαν, καὶ τὴν ψυχὴν ἀνακαλούμενος τῆς Κλεονίκης, παρῃτεῖτο τὴν ὀργήν. Ἡ δ', εἰς ὄψιν ἐλθοῦσα, ταχέως ἔφη παύσεσθαι τῶν κακῶν αὐτόν, ἐν Σπάρτῃ γενόμενον· αἰνιττομένη, ὡς ἔοικε, τὴν μέλλουσαν αὐτῷ τελευτήν. Ταῦτα μὲν οὖν ὑπὸ πολλῶν ἱστόρηται.

VII. Κίμων δὲ, τῶν συμμάχων ἤδη προσκεχωρηκότων αὐτῷ, στρατηγὸς εἰς Θρᾴκην ἔπλευσεν, πυνθανόμενος, Περσῶν ἄνδρας ἐνδόξους καὶ συγγενεῖς βασιλέως, Ἠιόνα πόλιν ἐπὶ τῷ Στρυμόνι κειμένην ποταμῷ κατέχοντας, ἐνοχλεῖν τοῖς περὶ τὸν τόπον ἐκεῖνον Ἕλλησιν. Πρῶτον μὲν οὖν μάχῃ τοὺς Πέρσας αὐτοὺς ἐνίκησε, καὶ κατέκλεισεν εἰς τὴν πόλιν. ἔπειτα τοὺς ὑπὲρ Στρυμόνα Θρᾴκας, ὅθεν αὐτοῖς ἐφοίτα σῖτος, ἀναστάτους ποιῶν, καὶ τὴν χώραν παρα φυλάττων ἅπασαν, εἰς τοσαύτην ἀπορίαν τοὺς πολιορκουμένους κατέστησεν, ὥστε Βούτην, τὸν βασιλέως στρατηγὸν, ἀπογνόντα τὰ πράγματα, τῇ πόλει πῦρ ἐνεῖναι, καὶ συνδιαφθεῖραι μετὰ τῶν φίλων

Digitized by Google

καὶ τῶν χρημάτων ἑαυτόν. Οὕτω δὲ λαβὼν τὴν πόλιν, ἄλλο μὲν οὐδὲν ἄξιον λόγου ὠφελήθη, τῶν πλείστων τοῖς βαρβάροις συγκατακαέντων· τὴν δὲ χώραν, εὐφυεστάτην οὖσαν καὶ καλλίστην, οἰκῆσαι παρέδωκε τοῖς Ἀθηναίοις. Καὶ τοὺς Ἑρμᾶς αὐτῷ τοὺς λιθίνους ὁ δῆμος ἀναθεῖναι συνεχώρησεν, ὧν ἐπιγέγραπται τῷ μὲν πρώτῳ·

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
Παισὶν ἐπ' Ἠιόνι Σιρυμόνος ἀμφὶ ῥοὰς
Διμόν τ' αἴθωνα χρυσερόν τ' ἐπάγοντες Ἄρηα
Πρῶτοι θυσμενέων εὗρον ἀμηχανίην.

τῷ δὲ δευτέρῳ·

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν
Ἀντ' εὐεργεσίης καὶ μεγάλων ἀγαθῶν.
Μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
Ἀμφὶ περὶ ξυνοῖς πράγμασι δῆριν ἔχειν.

τῷ δὲ τρίτῳ·

Ἦν ποτε τῆσδε πόληος ἅμ' Ἀτρεΐδῃσι Μενεσθεὺς
Ἡγεῖτο ζάθεον Τρωϊκὸν ἐς πεδίον·
Ὃν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα θωρηκτάων
Κοσμητῆρα μάχης ἔξοχον ὄντα μολεῖν.
Οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
Κοσμηταῖς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

VIII. Ταῦτα, καίπερ οὐδαμοῦ τὸ Κίμωνος ὄνομα δηλοῦντα, τιμῆς ὑπερβολὴν ἔχειν ἐδόκει τοῖς τότε ἀνθρώποις. Οὔτε γὰρ Θεμιστοκλῆς τοιούτου τινὸς, οὔτε Μιλτιάδης, ἔτυχεν· ἀλλὰ τούτῳ γε, θαλ-

Digitized by Google

λαῖ στέφανον αἰτοῦντι, Σωκάρης ὁ Δεκελεὺς, ἐκ μέσου τῆς ἐκκλησίας ἀναστὰς, ἀντεῖπεν, οὐκ εὐγνώμονα μὲν, ἀρέσασαν δὲ τῷ δήμῳ τότε φωνὴν ἀφεὶς· „Ὅταν γὰρ (ἔφη), μόνος ἀγωνισάμενος, ὦ Μιλτιάδη, νικήσῃς τοὺς βαρβάρους, τότε καὶ τιμᾶσθαι μόνος ἀξίου.“ Ἀρ᾽ οὖν τοίνυν τὸ Κίμωνος ὑπερηγάπησαν ἔργον; ἢ ὅτι τῶν μὲν ἄλλων στρατηγούντων ὑπὲρ τοῦ μὴ παθεῖν ἠμύνοντο τοὺς πολεμίους, τούτου δὲ, καὶ ποιῆσαι κακῶς ἠδυνήθησαν, ἐπὶ τὴν ἐκείνων αὐτοῖ στρατεύσαντες, καὶ προσεκτήσαντο χώρας, αὐτήν τε τὴν Ἠιόνα καὶ τὴν Ἀμφίπολιν οἰκίσαντες; Ὤικισαν δὲ καὶ Σκῦρον, ἐλόντος Κίμωνος ἐξ αἰτίας τοιαύτης. Δόλοπες ᾤκουν τὴν νῆσον, ἐργάται κακοὶ γῆς· ληϊζόμενοι δὲ τὴν θάλασσαν ἐκ παλαιοῦ, τελευτῶντες οὐδὲ τῶν εἰσπλεόντων παρ᾽ αὐτοὺς καὶ χρωμένων ἀπείχοντο ξένων, ἀλλὰ Θετταλούς τινας ἐμπόρους περὶ τὸ Κτήσιον ὁρμισαμένους συλήσαντες εἶρξαν. Ἐπεὶ δὲ διαδράντες ἐκ τῶν δεσμῶν οἱ ἄνθρωποι δίκην κατεδικάσαντο τῆς πόλεως Ἀμφικτυονικὴν, οὐ βουλομένων τὰ χρήματα τῶν πολλῶν συνεκτίνειν, ἀλλὰ τοὺς ἔχοντας καὶ διαρπάκοτας ἀποδοῦναι κελευόντων, δείσαντες ἐκεῖνοι, πέμπουσι γράμματα πρὸς Κίμωνα, κελεύοντες ἥκειν μετὰ τῶν νεῶν ληψόμενον τὴν πόλιν ὑπ᾽ αὐτῶν ἐνδιδομένην. Παραπλεύσας δ᾽ οὖν τὴν νῆσον ὁ Κίμων, τοὺς μὲν Δόλοπας ἐξήλασε, καὶ τὴν Αἰγαῖον ἠλευθέρωσε. Πυνθανόμενος δὲ τὸν παλαιὸν Θησέα, τὸν Αἰγέως, φυγόντα μὲν ἐξ Ἀθηνῶν εἰς Σκῦρον, αὐτοῦ δ᾽ ἀποθανόντα δόλῳ διὰ

Digitized by Google

φόβον ὑπὸ Λυκομήδους τοῦ βασιλέως, ἐσπούδασε τὸν τάφον ἀνευρεῖν. Καὶ γὰρ ἦν χρησμὸς Ἀθηναίοις, τὰ Θησέως λείψανα κελεύων ἀνακομίζειν εἰς ἄστυ, καὶ τιμᾶν ὡς ἥρωα πρεπόντως. Ἀλλ' ἠγνόουν, ὅπου κεῖται, Σκυρίων οὐχ ὁμολογούντων, οὐδ' ἐώντων ἀναζητεῖν. Τότε δὴ πολλῇ φιλοτιμίᾳ τοῦ σηκοῦ μόγις ἐξευρεθέντος, ἐνθέμενος ὁ Κίμων εἰς τὴν αὑτοῦ τριήρη τὰ ὀστᾶ, καὶ τἄλλα κοσμήσας μεγαλοπρεπῶς κατήγαγεν εἰς τὴν αὐτοῦ δι' ἐτῶν σχεδὸν ὀκτακοσίων. Ἐφ' ᾧ καὶ μάλιστα πρὸς αὐτὸν ἡδέως ὁ δῆμος ἔσχεν. Ἔθεντο δ' εἰς μνήμην αὐτοῦ καὶ τὴν τῶν τραγῳδῶν κρίσιν ὀνομαστὴν γενομένην. Πρώτην γὰρ διδασκαλίαν τοῦ Σοφοκλέους ἔτι νέου καθέντος, Ἀφεψίων ὁ ἄρχων, φιλονεικίας οὔσης καὶ παρατάξεως τῶν θεατῶν, κριτὰς μὲν οὐκ ἐκλήρωσε τοῦ ἀγῶνος· ὡς δὲ Κίμων μετὰ τῶν συστρατήγων προελθὼν εἰς τὸ θέατρον ἐποιήσατο τῷ θεῷ τὰς νενομισμένας σπονδάς, οὐκ ἀφῆκεν αὐτοὺς ἀπελθεῖν, ἀλλ' ὁρκώσας, ἠνάγκασε καθίσαι καὶ κρῖναι δέκα ὄντας, ἀπὸ φυλῆς μιᾶς ἕκαστον. Ὁ μὲν οὖν ἀγὼν καὶ διὰ τὸ τῶν κριτῶν ἀξίωμα τὴν φιλοτιμίαν ὑπερέβαλε. Νικήσαντος δὲ τοῦ Σοφοκλέους, λέγεται, τὸν Αἰσχύλον, περιπαθῆ γενόμενον καὶ βαρέως ἐνεγκόντα, χρόνον οὐ πολὺν Ἀθήνῃσι διαγαγεῖν, εἶτ' οἴχεσθαι δι' ὀργὴν εἰς Σικελίαν, ὅπου καὶ τελευτήσας περὶ Γέλαν τέθαπται.

IX. Συνδειπνῆσαι δὲ τῷ Κίμωνι φησὶν ὁ Ἴων, παντάπασι μειράκιον, ἥκων εἰς Ἀθήνας ἐκ Χίου,

Digitized by Google

παρὰ Λαομέδοντι· καὶ τῶν σπονδῶν γενομένων, παρακληθέντος ἆσαι, καὶ ἄσαντος οὐκ ἀηδῶς ἐπαινεῖν τοὺς παρόντας, ὡς δεξιώτερον Θεμιστοκλέους. Ἐκεῖνον γὰρ ᾄδειν μὲν οὐ φάναι μαθεῖν, οὐδὲ κιθαρίζειν· πόλιν δὲ ποιῆσαι μεγάλην καὶ πλουσίαν ἐπίστασθαι. Τοὐντεῦθεν, οἷον εἰκὸς ἐν πότῳ, τοῦ λόγου ῥυέντος ἐπὶ τὰς πράξεις τοῦ Κίμωνος, καὶ μνημονευομένων τῶν μεγίστων, αὐτὸν ἐκεῖνον ἓν διελθεῖν στρατήγημα τῶν ἰδίων ὡς σοφώτατον. Ἐπεὶ γὰρ ἐκ Σηστοῦ καὶ Βυζαντίου πολλοὺς τῶν βαρβάρων αἰχμαλώτους λαβόντες οἱ σύμμαχοι, τῷ Κίμωνι διανεῖμαι προσέταξαν, ὁ δὲ χωρὶς μὲν αὐτοὺς, χωρὶς δὲ τὸν περὶ τοῖς σώμασι κόσμον αὐτῶν ἔθηκεν, ᾐτιῶντο τὴν διανομὴν ὡς ἄνισον. Ὁ δὲ τῶν μερίδων ἐκέλευσεν αὐτοὺς ἑλέσθαι τὴν ἑτέραν, ἣν δ' ἂν ἐκεῖνοι καταλίπωσιν, ἀγαπήσειν Ἀθηναίους. Ἡροφύτου δὲ τοῦ Σαμίου συμβουλεύσαντος, αἱρεῖσθαι τὰ Περσῶν μᾶλλον, ἢ Πέρσας, τὸν μὲν κόσμον αὐτοὶ ἔλαβον, Ἀθηναίοις δὲ τοὺς αἰχμαλώτους ἀπέλιπον. Καὶ τότε μὲν ὁ Κίμων ἀπῄει, γελοῖος εἶναι δοκῶν διανομεὺς, τῶν μὲν συμμάχων ψέλλια χρυσᾶ, καὶ μανιάκας, καὶ στρεπτοὺς, καὶ κάνδυας, καὶ πορφύραν φερομένων, τῶν δ' Ἀθηναίων γυμνὰ σώματα κακῶς ἠσκημένα πρὸς ἐργασίαν παραλαβόντων. Μικρὸν δὲ ὕστερον οἱ τῶν ἁλωκότων φίλοι καὶ οἰκεῖοι, καταβαίνοντες ἐκ Φρυγίας καὶ Λυδίας, ἐλυτροῦντο μεγάλων χρημάτων ἕκαστον. ὥστε τῷ Κίμωνι τεσσάρων μηνῶν τροφὰς εἰς τὰς ναῦς ὑπάρξαι,

Digitized by Google

καὶ προσέτι τῇ πόλει χρυσίον οὐκ ὀλίγον ἐκ τῶν λύτρων περιγενέσθαι.

X. Ἤδη δ' εὐπορῶν ὁ Κίμων, ἐφόδια τῆς στρατηγίας, ἃ καλῶς ἀπὸ τῶν πολεμίων ἔδοξεν ὠφελῆσθαι, κάλλιον ἀνήλισκεν εἰς τοὺς πολίτας. Τῶν τε γὰρ ἀγρῶν τοὺς φραγμοὺς ἀφεῖλεν, ἵνα καὶ τοῖς ξένοις καὶ τῶν πολιτῶν τοῖς δεομένοις ἀδεῶς ὑπάρχῃ λαμβάνειν τῆς ὀπώρας· καὶ δεῖπνον οἶκοι παρ' αὐτῷ, λιτὸν μὲν, ἀρκοῦν δὲ πολλοῖς, ἐποιεῖτο καθ' ἡμέραν· ἐφ' ᾧ τῶν πενήτων ὁ βουλόμενος εἰσῄει, καὶ διατροφὴν εἶχεν ἀπράγμονα, μόνοις τοῖς δημοσίοις σχολάζων. Ὡς δ' Ἀριστοτέλης φησὶν, οὐχ ἁπάντων Ἀθηναίων, ἀλλὰ τῶν δημοτῶν αὐτοῦ Λακιαδῶν παρεσκευάζετο τῷ βουλομένῳ τὸ δεῖπνον. Αὐτῷ δὲ νεανίσκοι παρεῖποντο συνήθως, ἀμπεχόμενοι καλῶς, ὧν ἕκαστος, εἴ τις συντύχοι τῷ Κίμωνι τῶν ἄστων πρεσβύτερος, ἠμφιεσμένος ἐνδεῶς, διημείβετο πρὸς αὐτὸν τὰ ἱμάτια· καὶ τὸ γινόμενον ἐφαίνετο σεμνόν. Οἱ δ' αὐτοὶ καὶ νόμισμα κομίζοντες ἄφθονον, παριστάμενοι τοῖς κομψοῖς τῶν πενήτων ἐν ἀγορᾷ σιωπῇ τῶν κερματίων ἐνέβαλλον εἰς τὰς χεῖρας· ὧν δὴ καὶ Κρατῖνος ὁ κωμικὸς ἐν Ἀρχιλόχοις ἔοικε μεμνῆσθαι διὰ τούτων.

Κἀγὼ γὰρ ἦλθον Μητρόβιος ὁ γραμματεὺς
Σὺν ἀνδρὶ θείῳ καὶ φιλοξενωτάτῳ,
Καὶ πάντ' ἀρίστῳ τῶν Πανελλήνων πρόμῳ
Κίμωνι, λιπαρὸν γῆρας εὐοχούμενος
Λίῶνα πάντα συνδιατρίψειν. Ὁ δὲ
Λιπὼν, βέβηκε πρότερος.

Digitized by Google

Ετι τοίνυν, Γοργίας μὲν ὁ Λεοντῖνος φησὶ, τὸν Κίμωνα τὰ χρήματα κτᾶσθαι μὲν, ὡς χρῶτο, χρῆσθαι δὲ, ὡς τιμῶτο· Κριτίας δὲ, τῶν τριάκοντα γενόμενος, ἐν ταῖς ἐλεγείαις εὔχεται,

Πλοῦτον μὲν Σκοπάδων, μεγαλοφροσύνην δὲ Κίμωνος,
Νίκας δ' Ἀγεσίλα τοῦ Λακεδαιμονίου.

Καίτοι Λίχαν γε τὸν Σπαρτιάτην ἀπ' οὐδενὸς ἄλλου γινώσκομεν ἐν τοῖς Ἕλλησιν ὀνομαστὸν γενόμενον, ἢ ὅτι τοὺς ξένους ἐν ταῖς γυμνοπαιδίαις ἐδείπνιζεν· ἡ δὲ Κίμωνος ἀφθονία καὶ τὴν παλαιὰν τῶν Ἀθηναίων φιλοξενίαν καὶ φιλανθρωπίαν ὑπερέβαλεν. Οἱ μὲν γὰρ, ἐφ' οἷς ἡ πόλις μέγα φρονεῖ δικαίως, τό τε σπέρμα τῆς τροφῆς εἰς τοὺς Ἕλληνας ἐξέδωκαν, ὑδάτων τε πηγαίων χρῆσιν καὶ πυρὸς ἔναυσιν ἀνθρώπους ἐδίδαξαν· ὁ δὲ, τὴν μὲν οἰκίαν τοῖς πολίταις πρυτανεῖον ἀποδείξας κοινὸν, ἐν δὲ τῇ χώρᾳ καρπῶν ἑτοίμων ἀπαρχὰς, καὶ ὅσα ὧραι καλὰ φέρουσι, χρῆσθαι καὶ λαμβάνειν ἅπαντα τοῖς ξένοις παρέχων, τρόπον τινὰ τὴν ἐπὶ Κρόνου μυθολογουμένην κοινωνίαν εἰς τὸν βίον αὖθις κατῆγεν. Οἱ δὲ ταῦτα κολακείαν ὄχλου καὶ δημαγωγίαν εἶναι διαβάλλοντες, ὑπὸ τῆς ἄλλης ἐξηλέγχοντο τοῦ ἀνδρὸς προαιρέσεως, ἀριστοκρατικῆς καὶ Λακωνικῆς οὔσης· ὅς γε καὶ Θεμιστοκλεῖ, πέρα τοῦ δέοντος ἐπαίροντι τὴν δημοκρατίαν, ἀντέβαινε μετ' Ἀριστείδου, καὶ πρὸς Ἐφιάλτην ὕστερον, χάριτι τοῦ δήμου καταλύοντα τὴν ἐξ Ἀρείου πάγου βουλὴν, διηνέχθη, λημμάτων δὲ δημοσίων τοὺς ἄλλους, πλὴν

Digitized by Google

Ἀριστείδου καὶ Ἐφιάλτου, πάντας ἀναπιμπλαμένους δρῶν, αὐτὸν ἀδέκαστον καὶ ἄθικτον ἐν τῇ πολιτείᾳ δωροδοκίας, καὶ πάντα προῖκα καὶ καθαρῶς πράττοντα καὶ λέγοντα διὰ τέλους παρέσχε. Λέγεται γέ τοι, Ῥοισάκην τινὰ βάρβαρον, ἀποστάτην βασιλέως, ἐλθεῖν μετὰ χρημάτων πολλῶν εἰς Ἀθήνας, καὶ σπαραττόμενον ὑπὸ τῶν συκοφαντῶν, καταφυγεῖν πρὸς Κίμωνα, καὶ θεῖναι παρὰ τὴν αὐλειον αὐτοῦ φιάλας δύο, τὴν μὲν ἀργυρείων ἐμπλησάμενον Δαρεικῶν, τὴν δὲ χρυσῶν· ἰδόντα δὲ τὸν Κίμωνα, καὶ μειδιάσαντα, πυθέσθαι τοῦ ἀνθρώπου, πότερον αἱρεῖται Κίμωνα μισθωτὸν, ἢ φίλον ἔχειν· τοῦ δὲ φήσαντος φίλον· „Οὐκοῦν (φάναι) ταῦτ᾽ ἄπιθι μετὰ σεαυτοῦ κομίζων· χρήσομαι γὰρ αὐτοῖς, ὅταν δέωμαι, φίλος γενόμενος.“

XI. Ἐπεὶ δὲ οἱ σύμμαχοι τοὺς φόρους μὲν ἐτέλουν, ἄνδρας δὲ καὶ ναῦς, ὡς ἐτάχθησαν, οὐ παρεῖχον, ἀλλ᾽ ἀπαγορεύοντες ἤδη πρὸς τὰς στρατείας, καὶ πολέμου μὲν οὐδὲν δεόμενοι, γεωργεῖν δὲ καὶ ζῆν καθ᾽ ἡσυχίαν ἐπιθυμοῦντες, ἀπηλλαγμένων τῶν βαρβάρων καὶ μὴ διοχλούντων, οὔτε τὰς ναῦς ἐπλήρουν, οὔτ᾽ ἄνδρας ἀπέστελλον, οἱ μὲν ἄλλοι στρατηγοὶ τῶν Ἀθηναίων προσηνάγκαζον αὐτοὺς ταῦτα ποιεῖν, καὶ τοὺς ἐλλείποντας ὑπάγοντες δίκαις καὶ κολάζοντες, ἐπαχθῆ τὴν ἀρχὴν καὶ λυπηρὰν ἐποίουν. Κίμων δὲ, τὴν ἐναντίαν ὁδὸν ἐν τῇ στρατηγίᾳ πορευόμενος, βίαν μὲν οὐδενὶ τῶν Ἑλλήνων προσῆγε, χρήματα δὲ λαμβάνων παρὰ τῶν οὐ βουλομένων στρατεύεσθαι καὶ ναῦς κενὰς, ἐκείνους εἴα δελεαζομένους τῇ σχολῇ περὶ τὰ οἰ-

Digitized by Google

κεῖα διατρίβειν γεωργοὺς καὶ χρηματιστὰς ἀπολέμους ἐκ πολεμικῶν ὑπὸ τρυφῆς καὶ ἀνοίας γινομένους. Τῶν δ' Ἀθηναίων ἀνὰ μέρος πολλοὺς ἐμβιβάζων, καὶ διαπονῶν ταῖς στρατείαις, ἐν ὀλίγῳ χρόνῳ τοῖς παρὰ τῶν συμμάχων μισθοῖς καὶ χρήμασι δεσπότας αὐτῶν τῶν διδόντων ἐποίησε. Πλέοντας γὰρ αὐτοὺς συνεχῶς, καὶ διὰ χειρὸς ἔχοντας ἀεὶ τὰ ὅπλα, καὶ τρεφομένους καὶ ἀσκοῦντας ἐκ τῆς αὑτῶν στρατείας, ἐθισθέντες φοβεῖσθαι καὶ κολακεύειν, ἔλαθον ἀντὶ συμμάχων ὑποτελεῖς καὶ δοῦλοι γεγονότες.

XII. Καὶ μὴν αὐτοῦ γε τοῦ μεγάλου βασιλεως οὐδεὶς ἐταπείνωσε καὶ συνέστειλε τὸ φρόνημα μᾶλλον, ἢ Κίμων. Οὐ γὰρ ἀνῆκεν ἐκ τῆς Ἑλλάδος ἀπηλλαγμένον, ἀλλ' ὥσπερ ἐκ ποδὸς διώκων, πρὶν διαπνεῦσαι καὶ στῆναι τοὺς βαρβάρους, τὰ μὲν ἐπόρθει καὶ κατεστρέφετο, τὰ δ' ἀφίστη καὶ προσήγετο τοῖς Ἕλλησιν· ὥστε τὴν ἀπ' Ἰωνίας Ἀσίαν ἄχρι Παμφυλίας παντάπασι Περσικῶν ὅπλων ἐρημῶσαι. Πυθόμενος δὲ, τοὺς βασιλέως στρατηγοὺς μεγάλῳ στρατῷ καὶ ναυσὶ πολλαῖς ἐφεδρεύειν περὶ Παμφυλίαν, καὶ βουλόμενος αὐτοῖς ἄπλουν καὶ ἀνέμβατον ὅλως ὑπὸ φόβου τὴν ἐντὸς Χελιδονίων ποιήσασθαι θάλατταν, ὥρμησεν ἄρας ἀπὸ Κνίδου καὶ Τριοπίου διακοσίαις τριήρεσι, πρὸς μὲν τάχος ἀπ' ἀρχῆς καὶ περιαγωγὴν ὑπὸ Θεμιστοκλέους ἄριστα κατεσκευασμέναις· ἐκεῖνος δὲ τότε καὶ πλατυτέρας ἐποίησεν αὐτὰς, καὶ διάβασιν τοῖς καταστρώμασιν ἔδωκεν, ὡς ἂν ὑπὸ πολλῶν ὁπλιτῶν μαχιμώτεραι προσφέροιντο τοῖς πο-

Digitized by Google

λεμίοις. Ἐπιπλεύσας δὲ τῇ πόλει τῶν Φασηλιτῶν, Ἑλλήνων μὲν ὄντων, οὐ δεχομένων δὲ τὸν στόλον, οὐδὲ βουλομένων ἀφίστασθαι βασιλέως, τήν τε χώραν κακῶς ἐποίει, καὶ προσέβαλε τοῖς τείχεσιν. Οἱ δὲ Χῖοι, συμπλέοντες αὐτῷ, πρὸς δὲ τοὺς Φασηλίτας ἐκ παλαιοῦ φιλικῶς ἔχοντες, ἅμα μὲν τὸν Κίμωνα κατεπράϋνον, ἅμα δὲ τοξεύοντες ὑπὲρ τὰ τείχη βιβλίδια προσκείμενα τοῖς ὀϊστοῖς, ἐξήγγελλον τοῖς Φασηλίταις. Τέλος δὲ διήλλαξαν αὐτοὺς, ὅπως δέκα τάλαντα δόντες ἀκολουθῶσι καὶ συστρατεύωσιν ἐπὶ τοὺς βαρβάρους. Ἔφορος μὲν οὖν Τιθραύστην φησὶ τῶν βασιλικῶν νεῶν ἄρχειν, καὶ τοῦ πεζοῦ Φερενδάτην· Καλλισθένης δ' Ἀριομάνδην τὸν Γωβρύου, κυριώτατον ὄντα τῆς δυνάμεως, παρὰ τὸν Εὐρυμέδοντα ταῖς ναυσὶ παρορμεῖν, οὐκ ὄντα μάχεσθαι τοῖς Ἕλλησι πρόθυμον, ἀλλὰ προσδεχόμενον ὀγδοήκοντα ναῦς Φοινίσσας ἀπὸ Κύπρου προσπλεούσας. Ταύτας φθῆναι βουλόμενος ὁ Κίμων ἀνήχθη, βιάζεσθαι παρεσκευασμένος, ἂν ἐκόντες μὴ ναυμαχῶσιν. Οἱ δὲ πρῶτον μὲν, ὡς μὴ βιασθεῖεν, εἰς τὸν ποταμὸν εἰσωρμίσαντο, προσφερομένων δὲ τῶν Ἀθηναίων ἀντεξέπλευσαν, ὡς ἱστορεῖ Φανόδημος, ἑξακοσίαις ναυσίν· ὡς δ' Ἔφορος, πεντήκοντα καὶ τριακοσίαις. Ἔργον δὲ κατὰ γοῦν τὴν θάλατταν οὐδὲν ὑπ' αὐτῶν ἐπράχθη τῆς δυνάμεως ἄξιον, ἀλλ' εὐθὺς εἰς τὴν γῆν ἀποστρέφοντες, ἐξέπιπτον οἱ πρῶτοι, καὶ κατέφευγον εἰς τὸ πεζὸν ἐγγὺς παρατεταγμένον· οἱ δὲ καταλαμβανόμενοι, διεφθείροντο μετὰ τῶν νεῶν.

Digitized by Google

Ὥι καὶ δῆλόν ἐστιν, ὅτι πάμπολλαί τινες αἱ πεπληρωμέναι τοῖς βαρβάροις νῆες ἦσαν, ὅτε, πολλῶν μὲν, ὡς εἰκὸς, ἐκφυγουσῶν, πολλῶν δὲ συντριβεισῶν, ὅμως διακοσίας αἰχμαλώτους ἔλαβον οἱ Ἀθηναῖοι.

XIII. Τῶν δὲ πεζῶν ἐπικαταβάντων πρὸς τὴν θάλασσαν, μέγα μὲν ἔργον ἐφαίνετο τῷ Κίμωνι τὸ βιάζεσθαι τὴν ἀπόβασιν, καὶ κεκμηκότας ἀκμῇσι καὶ πολλαπλασίοις ἐπάγειν τοὺς Ἕλληνας· ὅμως δὲ, ῥώμῃ καὶ φρονήματι τοῦ κρατεῖν ὁρῶν ἐπῃρμένους καὶ προθύμους ὁμόσε χωρεῖν τοῖς βαρβάροις, ἀπεβίβαζε τοὺς ὁπλίτας ἔτι θερμοὺς τῷ κατὰ τὴν ναυμαχίαν ἀγῶνι, μετὰ κραυγῆς καὶ δρόμου προσφερομένους. Ὑποστάντων δὲ τῶν Περσῶν καὶ δεξαμένων οὐκ ἀγεννῶς, κρατερὰ μάχη συνέστη· καὶ τῶν Ἀθηναίων ἄνδρες ἀγαθοὶ καὶ τοῖς ἀξιώμασι πρῶτοι καὶ διαπρεπεῖς ἔπεσον. Πολλῷ δ' ἀγῶνι τρεψάμενοι τοὺς βαρβάρους ἔκτεινον, εἶτα ἤρουν αὐτούς τε καὶ σκηνὰς παντοδαπῶν χρημάτων γεμούσας. Κίμων δ', ὥσπερ ἀθλητὴς δεινὸς, ἡμέρᾳ μιᾷ δύο καθηρηκὼς ἀγωνίσματα, καὶ τὸ μὲν ἐν Σαλαμῖνι πεζομαχίᾳ, τὸ δ' ἐν Πλαταιαῖς ναυμαχίᾳ παρελήλυθὼς τρόπαιον, ἐπηγωνίσατο ταῖς νίκαις· καὶ τὰς ὀγδοήκοντα Φοινίσσας τριήρεις, αἳ τῆς μάχης ἀπελείφθησαν, Ὕδρῳ προσβεβληκέναι πυθόμενος, διὰ τάχους ἔπλευσεν· οὐδὲν εἰδότων βέβαιον οὔπω περὶ τῆς μείζονος δυνάμεως τῶν στρατηγῶν, ἀλλὰ δυσπίστως ἔτι καὶ μετεώρως ἐχόντων· ἢ καὶ μᾶλλον ἐκπλαγέντες, ἀπώλεσαν τὰς ναῦς ἁπάσας, καὶ τῶν ἀνδρῶν οἱ πλεῖστοι.

Digitized by Google

συνδιεφθάρησαν. Τοῦτο τὸ ἔργον οὕτως ἐταπείνωσε τὴν γνώμην τοῦ βασιλέως, ὥστε συνθέσθαι τὴν περιβόητον εἰρήνην ἐκείνην, ἵππου μὲν δρόμον ἀεὶ τῆς Ἑλληνικῆς ἀπέχειν θαλάσσης, ἔνδον δὲ Κυανέων καὶ Χελιδονίων μακρᾷ νηΐ καὶ χαλκεμβόλῳ μὴ πλέειν. Καίτοι Καλλισθένης οὔ φησι ταῦτα συνθέσθαι τὸν βάρβαρον, ἔργῳ δὲ ποιεῖν διὰ φόβον τῆς ἥττης ἐκείνης, καὶ μακρὰν οὕτως ἀποστῆναι τῆς Ἑλλάδος, ὥστε πεντήκοντα ναυσὶ Περικλέα, καὶ τριάκοντα μόναις Ἐφιάλτην, ἐπέκεινα πλεῦσαι Χελιδονίων, καὶ μηδὲν αὐτοῖς ναυτικὸν ἀπαντῆσαι παρὰ τῶν βαρβάρων. Ἐν δὲ τοῖς ψηφίσμασιν, ἃ συνήγαγε Κρατερὸς, ἀντίγραφα συνθηκῶν, ὡς γενομένων, κατατέτακται. Φασὶ δὲ, καὶ βωμὸν Εἰρήνης διὰ ταῦτα τοὺς Ἀθηναίους ἱδρύσασθαι, καὶ Καλλίαν τὸν πρεσβεύσαντα τιμῆσαι διαφερόντως. Πραθέντων δὲ τῶν αἰχμαλώτων λαφύρων, εἴς τε τἆλλα χρήμασιν ὁ δῆμος ἐρρώσθη, καὶ τῇ ἀκροπόλει τὸ νότιον τεῖχος κατεσκεύασεν, ἀπ' ἐκείνης εὐπορήσας τῆς στρατείας. Λέγεται δὲ καὶ τῶν μακρῶν τειχῶν, ἃ σκέλη καλοῦσι, συντελεσθῆναι μὲν ὕστερον τὴν οἰκοδομίαν, τὴν δὲ πρώτην θεμελίωσιν, εἰς τόπους ἑλώδεις καὶ διαβρόχους τῶν ἔργων ἐμπεσόντων, ἐρεισθῆναι διὰ Κίμωνος ἀσφαλῶς, χάλικι πολλῇ καὶ λίθοις βαρέσι τῶν ἑλῶν πιεσθέντων, ἐκείνου χρήματα πορίζοντος καὶ διδόντος. Πρῶτος δὲ ταῖς λεγομέναις ἐλευθερίοις καὶ γλαφυραῖς, διατριβαῖς, αἳ μικρὸν ὕστερον ὑπερφυῶς ἠγαπήθησαν, ἐκαλλώπισε τὸ ἄστυ, τὴν μὲν ἀγο-

Digitized by Google

ρὰν πλατάνοις καταφυτεύσας, τὴν δ' Ἀκαδημίαν ἐξ ἀνύδρου καὶ αὐχμηρᾶς κατάῤῥυτον ἀποδείξας ἄλσος, ἠσκημένον ὑπ' αὐτοῦ δρόμοις καθαροῖς καὶ συσκίοις περιπάτοις.

XIV. Ἐπεὶ δὲ τῶν Περσῶν τινες οὐκ ἐβούλοντο τὴν Χερρόνησον καταλιπεῖν, ἀλλὰ καὶ τοὺς Θρᾷκας ἄνωθεν ἐπεκαλοῦντο, καταφρονοῦντες τοῦ Κίμωνος, μετ' ὀλίγων παντάπασι τριηρῶν Ἀθήνηθεν ἐκπεπλευκότος, ὁρμήσας ἐπ' αὐτοὺς, τέσσαρσι μὲν ναυσὶ τρισκαίδεκα τὰς ἐκείνων ἔλαβεν· ἐξελάσας δὲ τοὺς Πέρσας, καὶ κρατήσας τῶν Θρᾳκῶν, πᾶσαν ᾠκειώσατο τῇ πόλει τὴν Χερρόνησον. Ἐκ δὲ τούτου Θασίους μὲν ἀποστάντας Ἀθηναίων καταναυμαχήσας, τρεῖς καὶ τριάκοντα ναῦς ἔλαβε, καὶ τὴν πόλιν ἐξεπολιόρκησε, καὶ τὰ χρυσεῖα τὰ πέραν Ἀθηναίοις προσεκτήσατο, καὶ χώραν, ἧς ἐπῆρχον Θάσιοι, παρέλαβεν. Ἐκεῖθεν δὲ ῥᾳδίως ἐπιβῆναι Μακεδονίας, καὶ πολλὴν ἀποτεμέσθαι παρασχόν, ὡς ἐδόκει, μὴ θελήσας, αἰτίαν ἔσχε δώροις ὑπὸ τοῦ βασιλέως Ἀλεξάνδρου συμπεπεῖσθαι· καὶ δίκην ἔφυγε, τῶν ἐχθρῶν συστάντων ἐπ' αὐτόν. Ἀπολογούμενος δὲ πρὸς τοὺς δικαστὰς, οὐκ Ἰώνων ἔφη προξενεῖν, οὐδὲ Θεσσαλῶν, πλουσίων ὄντων, ὥσπερ ἑτέρους, ἵνα θεραπεύωνται καὶ λαμβάνωσιν, ἀλλὰ Λακεδαιμονίων, μιμούμενος καὶ ἀγαπῶν πὴν παρ' αὐτοῖς εὐτέλειαν καὶ σωφροσύνην· ἧς οὐδένα προτιμᾶν πλοῦτον, ἀλλὰ πλουτίζων ἀπὸ τῶν πολεμίων τὴν πόλιν ἀγάλλεσθαι. Μνησθεὶς δὲ τῆς κρίσεως ἐκείνης ὁ Στησίμβροτος,

Digitized by Google

φησὶ τὴν Ἐλπινίκην, ὑπὲρ τοῦ Κίμωνος δεομένην, ἐλθεῖν ἐπὶ τὰς θύρας τοῦ Περικλέους (οὗτος γὰρ ἦν τῶν κατηγόρων ὁ σφοδρότατος). Τὸν δὲ, μειδιάσαντα· „Γραῦς εἶ (φάναι), γραῦς, ὦ Ἐλπινίκη, ὡς τηλικαῦτα διαπράττεσθαι πράγματα.“ Πλὴν ἔν γε τῇ δίκῃ πρᾳότατον γενέσθαι τῷ Κίμωνι, καὶ πρὸς τὴν κατηγορίαν ἅπαξ ἀναστῆναι μόνον, ὥσπερ ἀφοσιούμενον.

XV. Ἐκείνην μὲν οὖν ὑπέφυγε τὴν δίκην· ἐν δὲ τῇ λοιπῇ πολιτείᾳ παρὼν μὲν ἐκράτει καὶ συνέστελλε τὸν δῆμον ἐπιβαίνοντα τοῖς ἀρίστοις, καὶ περισπῶντα τὴν πᾶσαν εἰς ἑαυτὸν ἀρχὴν καὶ δύναμιν. Ὡς δὲ πάλιν ἐπὶ στρατείαν ἐξέπλευσε, τελέως ἀνεθέντες οἱ πολλοὶ καὶ συγχέαντες τὸν καθεστῶτα τῆς πολιτείας κόσμον, [τὰ πάτρια νόμιμα, οἷς ἐχρῶντο πρότερον,] Ἐφιάλτου προιστῶτος, ἀφείλοντο τῆς ἐξ Ἀρείου πάγου βουλῆς τὰς κρίσεις, πλὴν ὀλίγων, ἁπάσας· καὶ τῶν δικαστηρίων κυρίους ἑαυτοὺς ποιήσαντες, εἰς ἄκρατον δημοκρατίαν ἐνέβαλον τὴν πόλιν, ἤδη καὶ Περικλέους δυναμένου, καὶ τὰ τῶν πολλῶν φρονοῦντος. Διὸ καὶ τοῦ Κίμωνος, ὡς ἐπανῆλθεν, ἀγαναχτοῦντος ἐπὶ τῷ προπηλακίζεσθαι τὸ ἀξίωμα τοῦ συνεδρίου, καὶ πειρωμένου πάλιν ἄνω τὰς δίκας ἀνακαλεῖσθαι, καὶ τὴν ἐπὶ Κλεισθένους ἐγείρειν ἀριστοκρατίαν, κατεβόων συνιστάμενοι, καὶ τὸν δῆμον ἐξηρέθιζον, ἐκεῖνά τε τὰ πρὸς τὴν ἀδελφὴν ἀνανεούμενοι, καὶ Λακωνισμὸν ἐπικαλοῦντες. Εἰς ἃ καὶ τὰ Εὐπόλιδος διατεθρύλληται περὶ Κίμωνος, ὅτι

Digitized by Google

Κακὸς μὲν οὐκ ἦν, φιλοπότης δὲ κἀμελής.
Κἂν ἵστ' ἀπεκοιμᾶτ' ἂν ἐν Λακεδαίμονι,
Κἂν Ἐλπινίκην τήνδε καταλιπὼν μόνην.

Εἰ δ' ἀμελῶν καὶ μεθυσκόμενος τοσαύτας πόλεις εἷλε, καὶ τοσαύτας νίκας ἐνίκησε, δῆλον, ὅτι, νήφοντος αὐτοῦ καὶ προσέχοντος, οὐδεὶς ἂν οὔτε τῶν πρότερον, οὔτε τῶν ὕστερον Ἑλλήνων παρῆλθε τὰς πράξεις.

XVI. *Ἦν μὲν οὖν ἀπ' ἀρχῆς φιλολάκων· καὶ τῶν γε παίδων τῶν διδύμων τὸν ἕτερον Λακεδαιμόνιον ὠνόμασε, τὸν δ' ἕτερον Ἠλεῖον, ἐκ γυναικὸς αὐτῷ Κλειτορίας γενομένους, ὡς Στησίμβροτος ἱστορεῖ· δι' ὃ πολλάκις τὸν Περικλέα τὸ μητρῷον αὐτοῖς γένος ὀνειδίζειν. Διόδωρος δ' ὁ Περιηγητὴς καὶ τούτους φησὶ καὶ τὸν τρίτον τῶν Κίμωνος υἱῶν, Θεσσαλόν, ἐξ Ἰσοδίκης γεγονέναι τῆς Εὐρυπτολέμου τοῦ Μεγακλέους. Ηὐξήθη δ' ὑπὸ τῶν Λακεδαιμονίων ἤδη τῷ Θεμιστοκλεῖ προσπολεμούντων, καὶ τοῦτον ὄντα νέον ἐν Ἀθήναις μᾶλλον ἰσχύειν καὶ κρατεῖν βουλομένων. Οἱ δ' Ἀθηναῖοι τὸ πρῶτον ἡδέως ἑώρων, οὐ μικρὰ τῆς πρὸς ἐκεῖνον εὐνοίας τῶν Σπαρτιατῶν ἀπολαύοντες. Αὐξανομένοις γὰρ αὐτοῖς κατ' ἀρχὰς, καὶ τὰ συμμαχικὰ πολυπραγμονοῦσιν, οὐκ ἤχθοντο τιμῇ καὶ χάριτι τοῦ Κίμωνος. Τὰ γὰρ πλεῖστα δι' ἐκείνου τῶν Ἑλληνικῶν διεπράττετο, πράως μὲν τοῖς συμμάχοις, κεχαρισμένως δὲ τοῖς Λακεδαιμονίοις ὁμιλοῦντος. Ἔπειτα δυνατώτεροι γενόμενοι, καὶ τὸν Κίμωνα τοῖς Σπαρτιάταις οὐκ ἠρέμα προσκείμενον*

Digitized by Google

ὁρῶντες, ἤχθοντο. Καὶ γὰρ αὐτὸς ἐπὶ παντὶ μεγαλύνων τὴν Λακεδαίμονα πρὸς Ἀθηναίους, καὶ μάλιστα ὅτε τύχοι μεμφόμενος αὐτοῖς, ἢ παροξύνων, ὡς φησι Στησίμβροτος, εἰώθει λέγειν. „Ἀλλ᾽ οὐ Λακεδαιμόνιοί γε τοιοῦτοι.“ Ὅθεν φθόνον ἑαυτῷ συνῆγε καὶ δυσμένειάν τινα παρὰ τῶν πολιτῶν. Ἡ δ᾽ οὖν ἰσχύσασα μάλιστα κατ᾽ αὐτοῦ τῶν διαβολῶν, αἰτίαν ἔσχε τοιαύτην. Ἀρχιδάμου τοῦ Ζευξιδάμου τέταρτον ἔτος ἐν Σπάρτῃ βασιλεύοντος, ὑπὸ σεισμοῦ, μεγίστου δὴ τῶν μνημονευομένων πρότερον, ἡ τε χώρα τῶν Λακεδαιμονίων χάσμασιν ἐνώλισθε πολλοῖς, καὶ τῶν Ταϋγέτων τιναχθέντων κορυφαί τινες ἀπερράγησαν· αὐτὴ δ᾽ ἡ πόλις ὅλη συνεχύθη, πλὴν οἰκιῶν πέντε, τὰς δ᾽ ἄλλας ἤρειψεν ὁ σεισμός. Ἐν δὲ μέσῃ τῇ στοᾷ γυμναζομένων ὁμοῦ πῶν ἐφήβων καὶ τῶν νεανίσκων, λέγεται, μικρὸν πρὸ τοῦ σεισμοῦ λαγὼν παραφανῆναι, καὶ τοὺς μὲν νεανίσκους, ὥσπερ ἦσαν ἀληλιμμένοι, μετὰ παιδιᾶς ἐκδραμεῖν καὶ διώκειν, τοῖς δ᾽ ἐφήβοις ὑπολειφθεῖσιν ἐπιπεσεῖν τὸ γυμάσιον, καὶ πάντας ὁμοῦ τελευτῆσαι. Τὸν δὲ τάφον αὐτῶν ἔτι νῦν Σεισματίαν προσαγορεύουσι. Ταχὺ δὴ συνιδὼν ἀπὸ τοῦ παρόντος τὸν μέλλοντα κίνδυνον ὁ Ἀρχίδαμος, καὶ τοὺς πολίτας ὁρῶν ἐκ τῶν οἰκιῶν τὰ τιμιώτατα πειρωμένους σώζειν, ἐκέλευε τῇ σάλπιγγι σημαίνειν, ὡς πολεμίων ἐπιόντων, ὅπως ὅτι τάχιστα μετὰ τῶν ὅπλων ἀθροίζωνται πρὸς αὐτόν. Ὃ δὴ καὶ μόνον ἐν τῷ τότε καιρῷ τὴν Σπάρτην διέσωσεν. Οἱ γὰρ Εἵλωτες ἐκ τῶν ἀγρῶν συνέ-

Digitized by Google

δραμον πανταχόθεν, ὡς συναρπασόμενοι τοὺς σεσωσμένους τῶν Σπαρτιατῶν. Ὡπλισμένους δὲ καὶ συντεταγμένους εὑρόντες, ἀνεχώρησαν ἐπὶ τὰς πόλεις, καὶ φανερῶς ἐπολέμουν, τῶν τε περιοίκων ἀναπείσαντες οὐκ ὀλίγους, καὶ Μεσσηνίων ἅμα τοῖς Σπαρτιάταις συνεπιθεμένων. Πέμπουσιν οὖν οἱ Λακεδαιμόνιοι Περικλείδαν εἰς Ἀθήνας, δεόμενοι βοηθεῖν, ὃν φησι κωμῳδῶν Ἀριστοφάνης καθεζόμενον ἐπὶ τοῖς βωμοῖς ὠχρὸν ἐν Φοινικίδι στρατιὰν ἀπαιτεῖν. Ἐφιάλτου δὲ κωλύοντος καὶ διαμαρτυρομένου μὴ βοηθεῖν, μηδ' ἀνιστάναι πόλιν ἀντίπαλον ἐπὶ τὰς Ἀθήνας, ἀλλ' ἐᾶν κεῖσθαι καὶ πατηθῆναι τὸ φρόνημα τῆς Σπάρτης, Κίμωνά φησι Κριτίας τὴν τῆς πατρίδος αὔξησιν ἐν ὑστέρῳ θέμενον τοῦ Λακεδαιμονίων συμφέροντος, ἀναπείσαντα τὸν δῆμον, ἐξελθεῖν βοηθοῦντα μετὰ πολλῶν ὁπλιτῶν. Ὁ δ' Ἴων ἀπομνημονεύει καὶ τὸν λόγον, ᾧ μάλιστα τοὺς Ἀθηναίους ἐκίνησε, παρακαλῶν, μήτε τὴν Ἑλλάδα χωλὴν, μήτε τὴν πόλιν ἑτερόζυγα περιϊδεῖν γεγενημένην.

XVII. Ἐπεὶ δὲ, βοηθήσας τοῖς Λακεδαιμονίοις, ἀπῄει διὰ Κορίνθου τὴν στρατιὰν ἄγων, ἐνεκάλει Λάχαρτος αὐτῷ, πρὶν ἐντυχεῖν τοῖς πολίταις, εἰσαγαγόντι τὸ στράτευμα· καὶ γὰρ θύραν κόψαντας ἀλλοτρίαν, οὐκ εἰσιέναι πρότερον, ἢ τὸν κύριον κελεῦσαι. Καὶ ὁ Κίμων· „Ἀλλ' οὐχ ὑμεῖς (εἶπεν), ὦ Λάχαρτε, τὰς Κλεωναίων καὶ Μεγαρέων θύρας κόψαντες, ἀλλὰ κατασχίσαντες, εἰσεβιάσασθε μετὰ τῶν ὅπλων, ἀξιοῦντες ἀνεῳγέναι πάντα τοῖς μεῖζον

Digitized by Google

δυναμένοις. " Οὕτω μὲν ἐθρασύνατο πρὸς τὸν Κορίνθιον ἐν δέοντι, καὶ μετὰ μετὰ τῆς στρατιᾶς διεξῆλθεν. Οἱ δὲ Λακεδαιμόνιοι τοὺς Ἀθηναίους αὖθις ἐκάλουν ἐπὶ τοὺς ἐν Ἰθώμῃ Μεσσηνίους καὶ Εἵλωτας· ἐλθόντων δὲ, τὴν τόλμαν καὶ τὴν λαμπρότητα δείσαντες, ἀπεπέμψαντο μόνους τῶν συμμάχων ὡς νεωτεριστάς. Οἱ δὲ, πρὸς ὀργὴν ἀπελθόντες, ἤδη τοῖς λακωνίζουσι φανερῶς ἐχαλέπαινον, καὶ τὸν Κίμωνα, μικρᾶς ἐπιλαβόμενοι προφάσεως, ἐξωστράκισαν εἰς ἔτη δέκα· τοσούτου γὰρ ἦν χρόνου τεταγμένον ἀπεῖναι τοῖς ἐξοστρακιζομένοις. Ἐν δὲ τούτῳ τῶν Λακεδαιμονίων, ὡς ἐπανήρχοντο Δελφοὺς ἀπὸ Φωκέων ἐλευθερώσαντες, ἐν Τανάγρᾳ καταστρατοπεδευσάντων, Ἀθηναῖοι μὲν ἀπήντων διαμαχούμενοι, Κίμων δὲ μετὰ τῶν ὅπλων ἦκεν εἰς τὴν αὐτοῦ φυλὴν τὴν Οἰνηΐδα, πρόθυμος ὢν ἀμύνεσθαι τοὺς Λακεδαιμονίους μετὰ πῶν πολιτῶν. Ἡ δὲ βουλὴ τῶν πεντακοσίων πυθομένη καὶ φοβηθεῖσα, τῶν ἐχθρῶν αὐτοῦ καταβοώντων ὡς συνταράξαι τὴν φάλαγγα βουλομένου, καὶ τῇ πόλει Λακεδαιμονίους ἐπαγαγεῖν, ἀπηγόρευσε τοῖς στρατηγοῖς μὴ δέχεσθαι τὸν ἄνδρα. Κἀκεῖνος μὲν ᾤχετο, δεηθεὶς Εὐθίππου τοῦ Ἀναφλυστίου, καὶ τῶν ἄλλων ἑταίρων, ὅσοι μάλιστα τὴν τοῦ λακωνίζειν αἰτίαν ἔσχον, ἐρρωμένως ἀγωνίσασθαι πρὸς τοὺς πολεμίους, καὶ δι' ἔργων ἀπολύσασθαι τὴν αἰτίαν πρὸς τοὺς πολίτας. Οἱ δὲ, λαβόντες αὐτοῦ τὴν παν-οπλίαν, εἰς τὸν λόχον ἔθεντο· καὶ μετ' ἀλλήλων συστάντες ἐκθύμως, ἑκατὸν ὄντες, ἔπεσον, πολὺν

Digitized by Google

αὐτῶν πόθον, καὶ μεταμέλειαν, ἐφ' οἷς ἠτιάθησαν ἀδίκως, ἀπολιπόντες τοῖς Ἀθηναίοις. Ὅθεν οὐδὲ τῷ πρὸς Κίμωνα θυμῷ πολὺν χρόνον ἐνέμειναν, τὰ μὲν, ὡς εἰκός, ὧν ἔπαθον εὖ μεμνημένοι, τὰ δὲ τοῦ καιροῦ συλλαμβανομένου. Νενικημένοι γὰρ ἐν Ταναγρᾳ μάχῃ μεγάλῃ, καὶ προσδοκῶντες εἰς ὥραν ἔτους στρατιὰν Πελοποννησίων ἐπ' αὐτοὺς, ἐκάλουν ἐκ τῆς φυγῆς τὸν Κίμωνα, καὶ κατῆλθε, τὸ ψήφισμα γράψαντος Περικλέους. Οὕτω τότε πολιτικαὶ μὲν ἦσαν αἱ διαφοραὶ, μέτριοι δ' οἱ θυμοὶ, καὶ πρὸς τὸ κοινὸν εὐανάκλητοι συμφέρον· ἡ δὲ φιλοτιμία πάντων ἐπικρατοῦσα τῶν παθῶν, τοῖς τῆς πατρίδος ὑπεχώρει καιροῖς.

XVIII. Εὐθὺς μὲν οὖν ὁ Κίμων κατελθὼν, ἔλυσε τὸν πόλεμον, καὶ διήλλαξε τὰς πόλεις. Γενομένης δ' εἰρήνης, ὁρῶν τοὺς Ἀθηναίους ἡσυχίαν ἄγειν μὴ δυναμένους, ἀλλὰ κινεῖσθαι καὶ αὐξάνεσθαι ταῖς στρατείαις βουλομένους, ἵνα μὴ τοῖς Ἕλλησι διοχλῶσι, μηδὲ περὶ τὰς νήσους, ἢ Πελοπόννησον, ἀναστρεφόμενοι ναυσὶ πολλαῖς, αἰτίας ἐμφυλίων πολέμων, καὶ συμμαχικῶν ἐγκλημάτων ἀρχὰς ἐπισπάσωνται κατὰ τῆς πόλεως, ἐπλήρου διακοσίας τριήρεις, ὡς ἐπ' Αἴγυπτον καὶ Κύπρον αὖθις ἐκστρατευσόμενος· ἅμα μὲν ἐμμελετᾶν τοῖς πρὸς τοὺς βαρβάρους ἀγῶσι βουλόμενος τοὺς Ἀθηναίους, ἅμα δ' ὠφελεῖσθαι δικαίως, τὰς ἀπὸ τῶν φύσει πολεμίων εὐπορίας εἰς τὴν Ἑλλάδα κομίζοντας. Ἤδη δὲ παρεσκευασμένων ἁπάντων, καὶ τοῦ στρατοῦ παρὰ ταῖς

Digitized by Google

ναυσὶν ὄντος, ὅταν εἶδεν ὁ Κίμων. Εἰδέναι κύνα θυμουμένην ὑλακτεῖν πρὸς αὐτὸν, ἐκ δὲ ὑλακῆς μεμιγμένον ἀφεῖσαν ἀνθρώπου φθόγγον εἰπεῖν·

Στεῖχε· φίλος γὰρ ἔσῃ καὶ ἐμοὶ καὶ ἡμοῖς σκηλάκεσσιν.

Οὕτω δὲ δυσκρίτου τῆς ὄψεως οὔσης, Ἀστύφιλος ὁ Ποσειδωνιάτης, μαντικὸς ἀνὴρ, καὶ συνήθης τῷ Κίμωνι, φράζει θάνατον αὐτῷ προσημαίνειν τὴν ὄψιν, οὕτω διαιρῶν· Κύων ἀνθρώπῳ, πρὸς ὃν ὑλακτεῖ, πολέμιος· πολεμίῳ δ' οὐκ ἄν τις μᾶλλον, ἢ τελευτήσας, φίλος γένοιτο. Τὸ δὲ μίγμα τῆς φωνῆς Μῆδον ἀποδηλοῖ τὸν ἐχθρόν· ὁ γὰρ Μήδων στρατὸς Ἕλλησιν ὁμοῦ καὶ βαρβάροις μέμικται. Μετὰ δὲ ταύτην τὴν ὄψιν, αὐτοῦ τῷ Διονύσῳ θύσαντος, ὁ μὲν μάντις ἀπέτεμε τὸ ἱερεῖον, τοῦ δ' αἵματος τὸ πηγνύμενον ἤδη μύρμηκες πολλοὶ λαμβάνοντες κατὰ μικρὸν ἔφερον πρὸς τὸν Κίμωνα, καὶ τοῦ ποδὸς περὶ τὸν μέγαν δάκτυλον περιέπλαττον, ἐπὶ πολὺν χρόνον λανθάνοντες. Ἅμα δέ πως ὅ τε Κίμων τῷ γινομένῳ προσέσχε, καὶ παρῆν ὁ θύτης ἐπιδεικνύμενος αὐτῷ τὸν λοβὸν οὐκ ἔχοντα κεφαλήν. Ἀλλ, οὐ γὰρ ἦν ἀνάθυσις τῆς στρατείας, ἐξέπλευσε, καὶ τῶν νεῶν ἑξήκοντα μὲν ἀπέστειλεν εἰς Αἴγυπτον, ταῖς δ' ἄλλαις πάλιν ἔπλει. Καὶ καταναυμαχήσας Φοινισσῶν νεῶν καὶ Κιλισσῶν βασιλικὸν στόλον, ἀνεκτᾶτό τε τὰς ἐν κύκλῳ πόλεις, καὶ τοῖς περὶ Αἴγυπτον ἐφήδρευεν, οὐδὲν μικρὸν, ἀλλ' ὅλης ἐπινοῶν τῆς βασιλέως ἡγεμονίας κατάλυσιν· καὶ μάλιστα ὅτι τοῦ Θεμιστοκλέους ἐπυνθάνετο δόξαν εἶναι καὶ δύναμιν ἐν τοῖ-

Digitized by Google

βαρβάροις μεγάλην, ὑποδεδεγμένου βασιλεῖ κινοῦντι τὸν Ἑλληνικὸν πόλεμον στρατηγήσειν. Θεμιστοκλῆς μὲν οὖν οὐχ ἥκιστα λέγεται τὰς Ἑλληνικὰς πράξεις ἀπογνοὺς, ὡς οὐκ ἂν ὑπερβαλόμενος τὴν Κίμωνος εὐτυχίαν καὶ ἀρετὴν, ἑκὼν τελευτῆσαι. Κίμων δὲ μεγάλων ἐπαιρόμενος ἀρχὰς ἀγώνων καὶ περὶ Κύπρον συνέχων τὸ ναυτικὸν, ἔπεμψεν εἰς Ἄμμωνος ἄνδρας, ἀπόῤῥητόν τινα μαντείαν ποιησομένους παρὰ τῷ θεῷ. Γινώσκει γὰρ οὐδεὶς, ὑπὲρ ὧν ἐπέμφθησαν· οὐδὲ χρησμὸν αὐτοῖς ὁ θεὸς ἐξήνεγκεν. Ἀλλ' ἅμα τῷ προσελθεῖν ἐκέλευσεν ἀπιέναι τοὺς θεοπρόπους· αὐτὸν γὰρ ἤδη τὸν Κίμωνα παρ' ἑαυτῷ τυγχάνειν ὄντα. Ταῦτ' ἀκούσαντες οἱ θεοπρόποι, κατέβαινον ἐπὶ θάλασσαν· γενόμενοι δ' ἐν τῷ στρατοπέδῳ τῶν Ἑλλήνων, ὃ τότε περὶ Αἴγυπτον ἦν, ἐπύθοντο τεθνᾶναι τὸν Κίμωνα· καὶ τὰς ἡμέρας πρὸς τὸ μαντεῖον ἀνάγοντες, ἔγνωσαν ἠνιγμένην τὴν τελευτὴν τοῦ ἀνδρὸς, ὡς ἤδη παρὰ θεοῖς ὄντος.

XIX. Ἀπέθανε δὲ πολιορκῶν Κίτιον, ὡς οἱ πλεῖστοι λέγουσι, νοσήσας· ἔνιοι δέ φασιν ἐκ τραύματος, ὃ πρὸς τοὺς βαρβάρους ἀγωνιζόμενος ἔσχε. Τελευτῶν δὲ τοὺς περὶ αὐτὸν ἐκέλευσεν εὐθὺς ἀποπλεῖν, ἀποκρυψαμένους τὸν θάνατον αὐτοῦ· καὶ συνέβη, μήτε τῶν πολεμίων, μήτε τῶν συμμάχων αἰσθομένων, ἀσφαλῶς αὐτοὺς ἀνακομισθῆναι, στρατηγουμένους ὑπὸ Κίμωνος, ὡς φησι Φανόδημος, τεθνηκότος ἐφ' ἡμέρας τριάκοντα. Μετὰ δὲ τὴν ἐκείνου τελευτὴν πρὸς μὲν τοὺς βαρβάρους οὐδὲν ἔτι λαμπρὸν ὑπ' οὐδενὸς

Digitized by Google

ἐπράχθη, στρατηγούντων Ἑλλήνων, ἀλλὰ τραπέντες ὑπὸ δημαγωγῶν καὶ πολεμοποιῶν ἐπ' ἀλλήλους, οὐδενὸς τὰς χεῖρας ἐν μέσῳ διασχόντος, συνεῤῥάγησαν εἰς τὸν πόλεμον· ἀναπνοὴ μὲν τοῖς βασιλέως πράγμασι γενόμενοι, φθόρον δ' ἀμύθητον τῆς Ἑλληνικῆς δυνάμεως ἀπεργασάμενοι. Ὀψὲ δ' οἱ περὶ τὸν Ἀγησίλαον, εἰς τὴν Ἀσίαν ἐξενεγκάμενοι τὰ ὅπλα, βραχέος ἥψαντο πολέμου πρὸς τοὺς ἐπὶ θαλάσσῃ βασιλέως στρατηγούς· καὶ λαμπρὸν οὐδὲν, οὐδὲ μέγα δράσαντες, αὖθις δὲ ταῖς Ἑλληνικαῖς στάσεσι καὶ ταραχαῖς ἀφ' ἑτέρας ἀρχῆς ὑπενεχθέντες, ᾔχοντο τοὺς Περσῶν φορολόγους ἐν μέσαις ταῖς συμμάχοις καὶ φίλαις πόλεσιν ἀπολιπόντες· ὧν οὐδὲ γραμματοφόρος κατέβαινεν, οὐδ' ἵππος πρὸς θαλάσσῃ τετρακοσίων σταδίων ἐντὸς ὤφθη, στρατηγοῦντος Κίμωνος. Ὅτι μὲν οὖν εἰς τὴν Ἀττικὴν ἀπεκομίσθη τὰ λείψανα αὐτοῦ, μαρτυρεῖ τῶν μνημάτων τὰ μέχρι νῦν Κιμώνεια προσαγορευόμενα· τιμῶσι δὲ καὶ Κιτιεῖς τάφον τινὰ Κίμωνος, ὡς Ναυσικράτης ὁ ῥήτωρ φησὶν, ἐν λιμῷ καὶ γῆς ἀφορίᾳ τοῦ θεοῦ προστάξαντος αὐτοῖς μὴ ἀμελεῖν Κίμωνος, ἀλλ' ὡς κρείττονα σέβεσθαι καὶ γεραίρειν. Τοιοῦτος μὲν ὁ Ἑλληνικὸς ἡγεμών.

Digitized by Google

ΛΟΥΚΟΥΛΛΟΣ.

Τῷ δὲ Λουκούλλῳ πάππος μὲν ἦν ὑπατικὸς, θεῖος δὲ πρὸς μητρὸς Μέτελλος, ὁ Νομαδικὸς ἐπικληθείς. Τῶν δὲ γονέων ὁ μὲν πατὴρ ἐάλω κλοπῆς, Καικιλία δὲ ἡ μήτηρ ἠδόξησεν, ὡς οὐ βεβιωκυῖα σωφρόνως. Αὐτὸς δ' ὁ Λούκουλλος, ἔτι μειράκιον ὤν, πρὶν ἀρχήν τινα μετελθεῖν καὶ πολιτείας ἅψασθαι, πρῶτον ἔργον ἐποιήσατο, τὸν τοῦ πατρὸς κατήγορον κρῖναι Σερουίλιον Αὖγουρα, λαβὼν ἀδικοῦντα δημοσίᾳ. Καὶ τὸ πρᾶγμα λαμπρὸν ἐφάνη Ῥωμαίοις, καὶ τὴν δίκην ἐκείνην, ὥσπερ ἀριστείαν, διὰ στόματος ἔσχον. Ἐδόκει δὲ καὶ ἄλλως αὐτοῖς ἄνευ προφάσεως οὐκ ἀγεννὲς εἶναι τὸ τῆς κατηγορίας ἔργον· ἀλλὰ καὶ πάνυ τοὺς νέους ἐβούλοντο τοῖς ἀδικοῦσιν ἐπιφυομένους ὁρᾶν, ὥσπερ θηρίοις εὐγενεῖς σκύλακας. Οὐ μὴν ἀλλὰ μεγάλης περὶ τὴν δίκην ἐκείνην φιλονεικίας γενομένης, ὥστε καὶ τρωθῆναί τινας καὶ πεσεῖν, ἀπέφυγεν ὁ Σερουίλιος. Ὁ δὲ Λούκουλλος ἤσκητο καὶ λέγειν κανῶς ἑκατέραν γλῶτ-

Digitized by Google

ταν· ὥστε καὶ Σύλλας, τὰς αὑτοῦ πράξεις ἀναγράφων, ἐκείνῳ προσεφώνησεν, ὡς συνταξομένῳ καὶ διαθήσοντι τὴν ἱστορίαν ἄμεινον. Ἦν γὰρ οὐκ ἐπὶ τὴν χρείαν μόνην ἐμμελὴς αὐτοῦ καὶ πρόχειρος ὁ λόγος, καθάπερ ὁ τῶν ἄλλων τὴν μὲν ἀγορὰν

Θύννος βολαῖος πέλαγος ὡς διεστρόβει·
γενόμενος δὲ τῆς ἀγορᾶς ἐκτὸς,
Λύος ἀμουσία τεθνηκώς.

ἀλλὰ καὶ τὴν ἐμμελῆ ταύτην καὶ λεγομένην ἐλευθέριον ἐπὶ τῷ καλῷ προσεποιεῖτο παιδείαν, ἔτι καὶ μειράκιον ὤν. Γενόμενος δὲ πρεσβύτερος, ἤδη παντάπασιν, ὥσπερ ἐκ τῶν πολλῶν ἀγώνων, ἀφῆκε τὴν διάνοιαν ἐν φιλοσοφίᾳ σχολάζειν καὶ ἀναπαύεσθαι, τὸ θεωρητικὸν αὐτῆς ἐγείρας· καταλύσας δ' ἐν καιρῷ καὶ κολούσας τὸ φιλότιμον ἐκ τῆς πρὸς Πομπήϊον διαφορᾶς. Περὶ μὲν οὖν τῆς φιλολογίας αὐτοῦ, πρὸς τοῖς εἰρημένοις, καὶ ταῦτα λέγεται· νέον ὄντα πρὸς Ὁρτήσιον τὸν δικολόγον, καὶ Σισεννᾶν τὸν ἱστορικὸν, ἐκ παιδιᾶς τινος εἰς σπουδὴν προελθούσης ὁμολογῆσαι, προθεμένων ποίημα καὶ λόγον Ἑλληνικόν τε καὶ Ῥωμαϊκὸν, εἰς ὅ τι ἂν λάχῃ τούτων, τὸν Μαρσικὸν ἐντενεῖν πόλεμον. Καί πως ἔοικεν εἰς λόγον Ἑλληνικὸν ὁ κλῆρος ἀφικέσθαι· διασώζεται γὰρ Ἑλληνική τις ἱστορία τοῦ Μαρσικοῦ πολέμου. Τῆς δὲ πρὸς τὸν ἀδελφὸν αὐτοῦ, Μάρκον, εὐνοίας πολλῶν τεκμηρίων ὄντων, μάλιστα Ῥωμαῖοι τοῦ πρώτου μνημονεύουσι. Πρεσβύτερος γὰρ ὢν αὐτοῦ, λαβεῖν ἀρχὴν μύνος οὐκ ἠθέλησεν, ἀλλὰ τὸν ἐκείνου

Digitized by Google

καιρὸν ἀναμείνας, οὕτως ἐπηγάγετο τὸν δῆμον, ὥστε σὺν ἐκείνῳ μὴ παρὼν ἀγορανόμος αἱρεθῆναι.

II. Νέος δ' ὢν ἐν τῷ Μαρσικῷ πολέμῳ, πολλὰ μὲν τόλμης δείγματα παρέσχε καὶ συνέσεως. Μᾶλλόν γε μὴν αὐτὸν δι' εὐστάθειαν καὶ πραότητα Σύλλας προσηγάγετο, καὶ χρώμενος ἀπ' ἀρχῆς ἐπὶ τὰ πλείστης ἄξια σπουδῆς διετέλεσεν· ὧν ἦν καὶ ἡ περὶ τὸ νόμισμα πραγματεία. Δι' ἐκείνου γὰρ ἐκόπη τὸ πλεῖστον ἐν Πελοποννήσῳ, περὶ τὸν Μιθριδατικὸν πόλεμον, καὶ Λουκούλλειον ἀπ' ἐκείνου προσηγορεύθη, καὶ διετέλεσεν ἐπὶ πλεῖστον ὑπὸ τῶν στρατιωτικῶν χρειῶν ἐν τῷ πολέμῳ λαμβάνον ἀμοιβὴν ταχεῖαν. Ἐκ τούτου τῆς μὲν γῆς ἐπικρατῶν ὁ Σύλλας ἐν ταῖς Ἀθήναις, περικοπτόμενος δὲ τὴν ἀγορὰν ἐκ τῆς θαλάττης ὑπὸ τῶν πολεμίων ναυκρατούντων, ἐξέπεμψεν ἐπ' Αἰγύπτου καὶ Λιβύης τὸν Λούκουλλον, ἄξοντα ναῦς ἐκεῖθεν. Ἦν μὲν οὖν ἀκμὴ χειμῶνος· ἐξέπλευσε δὲ τρισὶν Ἑλληνικοῖς μυοπάρωσι, καὶ δικρότοις ἴσαις Ῥοδιακαῖς, πρὸς μέγα πέλαγος, καὶ ναῦς πολεμίας, πανταχόσε τῷ κρατεῖν πολλὰς διαφερομένας, παραβαλλόμενος. Οὐ μὴν ἀλλὰ καὶ Κρήτην κατάρας ᾠκειώσατο, καὶ Κυρηναίους καταλαβὼν ἐκ τυραννίδων συνεχῶν καὶ πολέμων ταραττομένους, ἀνέλαβε καὶ κατεστήσατο τὴν πολιτείαν, Πλατωνικῆς τινος φωνῆς ἀναμνήσας τὴν πόλιν, ἣν ἐκεῖνος ἀπεθέσπισε πρὸς αὐτούς. Δεομένων γάρ, ὡς ἔοικεν, ὅπως αὐτοῖς νόμους γράψῃ, καὶ τὸν δῆμον αὐτῶν εἰς τύπον τινὰ καταστήσῃ πολιτείας σώφρονος,

Digitized by Google

ἔφη, χαλεπὸν εἶναι Κυρηναίοις, οὕτως εὐτυχοῦσι, νομοθετεῖν. Οὐδὲν γὰρ ἀνθρώπου δυσαρκτότερον, εὖ πράσσειν δοκοῦντος· οὐδ' αὖ πάλιν δεκτικώτερον ἐπιστασίας, συσταλέντος ὑπὸ τῆς τύχης. Ὃ καὶ τότε Κυρηναίους νομοθετοῦντι Λουκούλλῳ πράους παρέσχεν. Ἐκεῖθεν δ' ἀναχθεὶς ἐπ' Αἰγύπτου, τὰ πλεῖστα τῶν σκαφῶν ἀπέβαλε, πειρατῶν ἐπιφανέντων· αὐτὸς δὲ διασωθεὶς, κατήγετο λαμπρῶς εἰς Ἀλεξάνδρειαν. Ἀπήντησε γὰρ αὐτῷ σύμπας ὁ στόλος, ὥσπερ εἰώθει βασιλεῖ καταπλέοντι, κεκοσμημένος ἐκπρεπῶς· καὶ τὸ μειράκιον ὁ Πτολεμαῖος ἄλλην τε θαυμαστὴν ἐπεδείκνυτο φιλοφροσύνην πρὸς αὐτὸν, οἴκησίν τε καὶ δίαιταν ἐν τοῖς βασιλείοις ἔδωκεν, οὐδενός πω ξένου πρότερον ἡγεμόνος αὐτόθι καταχθέντος. Λαπάνην δὲ καὶ σύνταξιν, οὐχ ὅσην ἐδίδου τοῖς ἄλλοις, ἀλλὰ τετραπλῆν ἐκείνῳ παρεῖχεν, οὐ προσιεμένῳ τῶν ἀναγκαίων πλέον οὐδέν, οὐδὲ δῶρον λαβόντι, καίπερ ὀγδοήκοντα ταλάντων ἄξια πέμψαντος αὐτῷ. Λέγεται δὲ μήτ' εἰς Μέμφιν ἀναβῆναι, μήτ' ἄλλο τῶν θαυμαζομένων ἐν Αἰγύπτῳ καὶ περιβοήτων ἱστορῆσαι· σχολάζοντος γὰρ εἶναι τμῦτα θεατοῦ καὶ τρυφῶντος, οὐχ, ὡς αὐτὸς, ἐν ὑπαίθρῳ τὸν αὐτοκράτορα σκηνοῦντα παρὰ ταῖς ἐπάλξεσι τῶν πολεμίων ἀπολελοιπότος.

III. Ἐπεὶ δ' ἀπεῖπε τὴν συμμαχίαν ὁ Πτολεμαῖος, πρὸς τὸν πόλεμον ἀποδειλιάσας, ἐκείνῳ δὲ ναῦς ἄχρι Κύπρου πομποὺς παρέσχε, καὶ περὶ τὸν ἔκπλουν αὐτὸν ἀσπαζόμενος καὶ θεραπεύων, ἐδω-

Digitized by Google

ρεῖτο χρυσένδετον σμάραγδον τῶν πολυτελῶν, τὸ μὲν πρῶτον ὁ Λούκουλλος παρῃτεῖτο· δείξαντος δὲ τὴν γλυφὴν τοῦ βασιλέως εἰκόνα οὖσαν ἰδίαν, ἐφοβήθη διώσασθαι, μὴ παντάπασιν ἐχθρὸς ἀποπλεῖν νομισθεὶς, ἐπιβουλευθείη κατὰ θάλατταν. Ἐπεὶ δὲ πλῆθος ἐν παράπλῳ νεῶν ἐκ τῶν παραλίων πόλεων ἀθροίσας, πλὴν ὅσαι πειρατικῶν μετεῖχον ἀδικημάτων, εἰς τὴν Κύπρον διεπέρασεν, ἐνταῦθα πυνθανόμενος τοὺς πολεμίους ναυλοχοῦντας ἐπὶ ταῖς ἄκραις παραφυλάττειν αὐτὸν, ἐνεώλκησε τὰ σκάφη πάντα, καὶ ταῖς πόλεσιν ἔγραψε περὶ χειμαδίων καὶ ἀγορᾶς, ὡς αὐτόθι τὴν ὥραν ἀναμενῶν. Εἶτα πλοῦ φανέντος, ἐξαπίνης κατασπάσας τὰς ναῦς ἀνήχθη, καὶ μεθ' ἡμέραν μὲν ὑφειμένοις πλέων τοῖς ἱστίοις καὶ ταπεινοῖς, νύκτωρ δ' ἐπαιρομένοις, εἰς Ῥόδον ἐσώθη. Ῥοδίων δὲ ναῦς αὐτῷ προσπαρασχόντων, Κώους ἔπεισε καὶ Κνιδίους τῶν βασιλικῶν ἀπαλλαγέντας ἐπὶ Σαμίους στρατεύειν. Ἐκ δὲ Χίου τοὺς βασιλικοὺς αὐτὸς ἐξήλασε, Κολοφωνίους δ' ἠλευθέρωσε, συλλαβὼν Ἐπίγονον, τὸν τύραννον αὐτῶν. Ἐτύγχανε δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἤδη Μιθριδάτης τὸ Πέργαμον ἐκλελοιπὼς, καὶ συνεσταλμένος εἰς Πιτάνην. Ἐκεῖ δὲ Φιμβρίου κατέχοντος αὐτὸν ἐκ γῆς καὶ πολιορκοῦντος, εἰς τὴν θάλατταν ἀφορῶν, συνῆγε καὶ μετεπέμπετο τοὺς πανταχόθεν στόλους πρὸς αὑτὸν, ἀνδρὶ τολμητῇ καὶ νενικηκότι τῷ Φιμβρίᾳ συμπλέκεσθαι καὶ πολεμεῖν ἀπεγνωκώς. Ὁ δὲ, ταῦτα συνορῶν, ναυτικῷ δὲ λει-

Digitized by Google

πόμενος, πρὸς Λούκουλλον ἔπεμπεν, ἥκειν τῷ στόλῳ δεόμενος, καὶ συνεξελεῖν ἔχθιστον καὶ πολεμιώτατον βασιλέων· ὡς μὴ τὸ μέγα καὶ διὰ πολλῶν ἀγώνων καὶ πόνων διωκόμενον ἆθλον ἐκφύγοι Ῥωμαίους Μιθριδάτης, εἰς λαβὰς ἥκων καὶ γεγονὼς ἐντὸς ἀρκύων· οὗ ληφθέντος, οὐδένα τῆς δόξης οἴσεσθαι πλέον, ἢ τὸν ἐμποδὼν τῇ φυγῇ στάντα, καὶ διαδιδράσκοντος ἐπιλαβόμενον· ὃν ὑφ' ἑαυτοῦ μὲν ἐξεωσμένον τῆς γῆς, ὑπ' ἐκείνου δὲ τῆς θαλάττης εἰργόμενον, ἀμφοτέροις ἀποδώσειν τὸ κατόρθωμα, τὰς δὲ Σύλλα πρὸς Ὀρχομενῷ καὶ Χαιρωνείᾳ ὑμνουμένας ἀριστείας ἐν οὐδενὶ λόγῳ θήσεσθαι Ῥωμαίους. Καὶ οὐδὲν ἦν ἄπο τρόπου τῶν λεγομένων, ἀλλὰ παντὶ δῆλον, ὡς, εἰ Φιμβρίᾳ τότε πεισθεὶς ὁ Λούκουλλος, οὐ μακρὰν ὢν, περιήγαγεν ἐκεῖσε τὰς ναῦς, καὶ συνέφραξε τὸν λιμένα τῷ στόλῳ, πέρας ἂν εἶχεν ὁ πόλεμος, καὶ μυρίων ἀπηλλαγμένοι κακῶν ἅπαντες ἦσαν. Ἀλλ', εἴτε τὰ πρὸς Σύλλαν δίκαια πρεσβεύων πρὸ παντὸς ἰδίου καὶ κοινοῦ συμφέροντος, εἴτε τὸν Φιμβρίαν, μιαρὸν ὄντα, καὶ φονέα γεγενημένον ἔναγχος ἀνδρὸς φίλου καὶ στρατηγοῦ διὰ φιλαρχίαν, προβαλλόμενος, εἴτε κατὰ θείαν δή τινα τύχην περιφεισάμενος αὐτὸς τοῦ Μιθριδάτου, καὶ φυλάξας ἀνταγωνιστὴν, οὐχ ὑπήκουσεν. Ἀλλὰ Μιθριδάτῃ μὲν ἐκπλεῦσαι παρέσχε, καὶ καταγελάσαι τῆς Φιμβρίου δυνάμεως. Αὐτὸς δὲ πρῶτον μὲν ἐπὶ Λεκτοῦ τῆς Τρωάδος βασιλικὰς ναῦς ἐπιφανείσας κατεναυμάχησεν· αὖθις δὲ πρὸς Τενέδῳ ναυλοχοῦντα

μείζονι παρασκευῇ κατιδὼν Νεοπτόλεμον, ἐπέπλει πρὸ τῶν ἄλλων, Ῥοδιακῆς πεντήρους ἐπιβεβηκώς, ἧς ἐναυάρχει Δημαγόρας, ἀνὴρ εὔνους τε Ῥωμαίοις καὶ θαλασσίων ἀγώνων ἔμπειρότατος. Ἐπελαύνοντος δὲ ῥοθίῳ τοῦ Νεοπτολέμου, καὶ κελεύσαντος εἰς ἐμβολὴν ἄγαγεῖν τὸν κυβερνήτην, δείσας ὁ Δημαγόρας τὸ βάρος τῆς βασιλικῆς, καὶ τὴν τραχύτητα τοῦ χαλκώματος, οὐκ ἐτόλμησε συμπεσεῖν ἀντίπρωρος, ἀλλ' ὀξέως ἐκ περιαγωγῆς ἀποστρέψας, ἐκέλευσεν ἐπὶ πρύμναν ὧσασθαι· καὶ πιεσθείσης ἐνταῦθα τῆς νεὼς, ἐδέξατο τὴν πληγὴν ἀβλαβῆ γενομένην, ἅτε δὴ τοῖς θαλαττεύουσι τῆς νεὼς μέρεσι προσπεσοῦσαν. Ἐν τούτῳ δὲ τῶν φίλων προσφερομένων, ἐγκελευσάμενος ὁ Λούκουλλος ἐπιστρέφειν, καὶ πολλὰ δράσας ἄξια λόγου, τρέπεται τοὺς πολεμίους, καὶ καταδιώκει τὸν Νεοπτόλεμον.

IV. Ἐκεῖθεν δὲ Σύλλᾳ περὶ Χερρόνησον ἤδη μέλλοντι διαβαίνειν συμβαλὼν, τόν τε πόρον ἀσφαλῆ παρεῖχε, καὶ τὴν στρατιὰν συνδιεβίβαζεν. Ἐπεὶ δὲ, συνθηκῶν γενομένων, Μιθριδάτης μὲν ἀπέπλευσεν εἰς τὸν Εὔξεινον πόντον, Σύλλας δὲ τὴν Ἀσίαν δισμυρίοις ταλάντοις ἐζημίωσε, προσταχθὲν αὐτῷ τά τε χρήματα ταῦτα πρᾶξαι, καὶ νόμισμα κόψαι, παραμύθιόν τι δοκεῖ τῆς Σύλλα χαλεπότητος γενέσθαι ταῖς πόλεσιν, οὐ μόνον καθαρὸν καὶ δίκαιον, ἀλλὰ καὶ πρᾷον εἰς οὕτω βαρὺ καὶ σκυθρωπὸν ὑπηρέτημα παρασχὼν ἑαυτόν. Μιτυληναίους δ' ἄντικρυς ἀφεστῶτας ἐβούλετο μὲν εὐγνωμονῆσαι καὶ δίκης τυχεῖν

Digitized by Google

μετρίας, ἐφ' οἷς περὶ Μάριον ἐξήμαρτον· ὡς δ' ἑώρα κακοδαιμονῶντας, ἐπιπλεύσας ἐκράτησε μάχῃ καὶ κατέκλεισεν εἰς τὰ τείχη, καὶ πολιορκίαν συστησάμενος, ἐξέπλευσε μὲν καὶ φανερῶς ἡμέρας εἰς Ἐλέαν, ὑπέστρεψε δὲ λεληθότως, καὶ περὶ τὴν πόλιν ὑφεὶς ἐνέδραν ἡσύχαζεν. Ἐπεὶ δ' ἀτάκτως καὶ μετὰ θράσους, ὡς ἔρημον ἁρπασόμενοι τὸ στρατόπεδον, οἱ Μιτυληναῖοι προσῆλθον, ἐπεισπεσὼν αὐτοῖς, ἔλαβέ τε παμπόλλους ζῶντας, καὶ τῶν ἀμυνομένων πεντακοσίους ἀπέκτεινεν· ἀνδραπόδων δὲ χιλιάδας ἓξ καὶ τὴν ἄλλην ἀναρίθμητον ἠλάσατο λείαν. Τῶν δὲ περὶ τὴν Ἰταλίαν κακῶν, ἃ τότε Σύλλας καὶ Μάριος ἄφθονα καὶ παντοδαπὰ τοῖς ἀνθρώποις παρεῖχον, οὐ πάνυ μετέσχε, θείᾳ τινὶ τύχῃ περὶ τὰς ἐν Ἀσίᾳ πράξεις βραδύνας. Οὐ μὴν ἔλαττόν τι παρὰ Σύλλα τῶν ἄλλων φίλων ἔσχεν, ἀλλὰ τήν τε γραφὴν, ὡς εἴρηται, τῶν ὑπομνημάτων ἐκείνῳ δι' εὔνοιαν ἀνέθηκε, καὶ τελευτῶν ἐπίτροπον τοῦ παιδὸς ἔγραψεν, ὑπερβὰς Πομπήϊον. Καὶ δοκεῖ τοῦτο πρῶτον αὐτοῖς ὑπάρξαι διαφορᾶς αἴτιον καὶ ζηλοτυπίας, νέοις οὖσι καὶ διαπύροις πρὸς δόξαν.

V. Ὀλίγῳ δ' ὕστερον ἢ Σύλλαν ἀποθανεῖν, ὑπάτευσε μετὰ Μάρκου Κύττα, περὶ τὴν ἕκτην καὶ ἑβδομηκοστὴν πρὸς ταῖς ἑκατὸν ὀλυμπιάδα. Πολλῶν οὖν αὖθις ἀνακινούντων τὸν Μιθριδατικὸν πόλεμον, ἔφη Μάρκος αὐτὸν οὐ πεπαῦσθαι, ἀλλ' ἀναπεπαῦσθαι. Διὸ καὶ λαχὼν τῶν ἐπαρχιῶν ὁ Λούκουλλος τὴν ἐντὸς Ἄλπεων Γαλατίαν, ἦχθετο, πράξεων ὑποθέσεις με-

Digitized by Google

γάλων οὐκ ἔχουσαν. Μάλιστα δ' αὐτὸν εὐδοκιμῶν Πομπήϊος ἐν Ἰβηρίᾳ παρώξυνεν, ὡς ἄλλος οὐδεὶς, ἐπίδοξος ὢν, εἰ συμβαίη παύσασθαι τὸν Ἰβηρικὸν πόλεμον, εὐθὺς αἱρεθήσεσθαι στρατηγὸς ἐπὶ Μιθριδάτην. Δι' ὃ καὶ χρήματα αἰτοῦντος αὐτοῦ, καὶ γράφοντος, ὡς, εἰ μὴ πέμποιεν, ἀφεὶς Ἰβηρίαν καὶ Σερτώριον, εἰς Ἰταλίαν ἀπάξει τὰς δυνάμεις, συνέπραξεν ὁ Λούκουλλος προθυμότατα πεμφθῆναι τὰ χρήματα, καὶ μηδ' ἀφ' ἡστινασοῦν προφάσεως ἐκεῖνον ἐπανελθεῖν, ὑπατεύοντος αὐτοῦ· πάντα γὰρ ἂν ὑπ' ἐκείνῳ γενήσεσθαι τὰ τῆς πόλεως, παρόντι μετὰ τοσαύτης στρατιᾶς. Καὶ γὰρ ὁ κρατῶν τότε τῆς πολιτείας, τῷ πρὸς χάριν ἅπαντα καὶ λέγειν καὶ πράττειν, Κέθηγος, ἔχθραν τινὰ πρὸς Λούκουλλον εἶχε, βδελυττόμενον αὐτοῦ τὸν βίον, αἰσχρῶν ἐρώτων καὶ ὕβρεως καὶ πλημμελείας μεστὸν ὄντα. Τοῦτον μὲν οὖν ἄντικρυς ἐπολέμει· Λεύκιον δὲ Κοΐντιον, ἄλλον δημαγωγὸν, ἐπαναστάντα τοῖς Σύλλα πολιτεύμασι, καὶ ταράττειν τὰ πράγματα πειρώμενον ἐκ τοῦ καθεστῶτος, ἰδίᾳ τε πολλὰ παραμυθούμενος, καὶ δημοσίᾳ νουθετῶν, ἀπέστησε τῆς πείρας, καὶ κατεστόρεσε τὴν φιλοτιμίαν, ὡς ἐνῆν μάλιστα πολιτικῶς καὶ σωτηρίως ἀρχὴν νοσήματος μεγάλου μεταχειρισάμενος.

VI. Ἐν τούτῳ δ' ὁ τὴν Κιλικίαν ἔχων Ὀκταούϊος ἠγγέλθη τεθνηκώς. Σπαργώντων δὲ πολλῶν ἐπὶ τὴν ἐπαρχίαν, καὶ Κέθηγον, ὡς δυνατώτατον ὄντα διαπράξασθαι, θεραπευόντων, αὐτῆς μὲν ὁ Λούκουλ

λος Κιλικίας οὐ πολὺν εἶχε λόγον· οἰόμενος δ', εἰ λάβοι ταύτην, ἐγγὺς οὖσης Καππαδοκίας, ἄλλον οὐδένα πεμφθήσεσθαι πολεμήσοντα Μιθριδάτῃ, πᾶσαν ἔστρεφε μηχανὴν ὑπὲρ τοῦ μὴ προέσθαι τὴν ἐπαρχίαν ἑτέρῳ. Καὶ τελευτῶν, ἔργον οὐ σεμνόν, οὐδ' ἐπαινετόν, ἄλλως δ' ἀνύσιμον πρὸς τὸ τέλος, ἐκ τῆς ἀνάγκης ὑπέμεινε παρὰ τὴν ἑαυτοῦ φύσιν. Πραικία τις ἦν ὄνομα, τῶν ἐφ' ὥρᾳ καὶ λαμυρίᾳ διαβοήτων ἐν τῇ πόλει, τὰ μὲν ἄλλα κρείττων οὐδὲν ἀνὴρ ἑταιρούσης γυναικός· ἐκ δὲ τοῦ χρῆσθαι τοῖς ἐντυγχάνουσιν αὐτῇ καὶ διαλεγομένοις πρὸς τὰς ὑπὲρ τῶν φίλων σπουδὰς καὶ πολιτείας, προσλαβοῦσα τῇ λοιπῇ χάριτι τὸ δοκεῖν φιλέταιρός τις εἶναι καὶ δραστήριος, ἴσχυσε μέγιστον. Ὡς δὲ Κέθηγον ἀνθοῦντα τῇ δόξῃ τότε καὶ φέροντα τὴν πόλιν ὑπηγάγετο, καὶ συνῆν ἐρῶντι, παντάπασιν εἰς ἐκείνην περιῆλθεν ἡ τῆς πόλεως δύναμις. Οὐδὲ γὰρ ἐπράττετό τι δημοσίᾳ, Κεθήγου μὴ σπουδάζοντος, οὐδὲ Πραικίας μὴ κελευούσης, παρὰ Κεθήγῳ. Ταύτην οὖν ὑπελθὼν δώροις ὁ Λούκουλλος καὶ κολακείαις, (ἦν δέ που καὶ τῷ Λουκούλλῳ συμφιλοτιμουμένην ὁρᾶσθαι, μέγας γυναικὶ σοβαρᾷ καὶ πανηγυρικῇ μισθὸς) εὐθὺς εἶχε τὸν Κέθηγον ἐπαινέτην, καὶ προμνώμενον αὐτῷ Κιλικίαν. Ἐπεὶ δ' ἅπαξ ἔτυχε ταύτης, οὐδὲν ἔτι Πραικίαν, οὐδὲ Κέθηγον ἔδει παρακαλεῖν, ἀλλὰ πάντες ὁμαλῶς ἐκείνῃ φέροντες ἐνεχείρισαν τὸν Μιθριδατικὸν πόλεμον, ὡς ὑφ' ἑτέρου μηδενὸς ἄμεινον διαπολεμηθῆναι δυνάμενον· Πομπηΐου μὲν ἔτι

Digitized by Google

Σερτωρίῳ προσπολεμοῦντος, Μετέλλου δ' ἀπειρηκότος ἤδη διὰ γῆρας, οὓς μόνους ἄν τις ἐναμίλλους ἐποιήσατο Λουκούλλῳ περὶ τῆς στρατηγίας ἀμφισβητοῦντας. Οὐ μὴν ἀλλὰ Κόττας, ὁ συνάρχων αὐτοῦ, πολλὰ λιπαρήσας τὴν σύγκλητον, ἀπεστάλη μετὰ νεῶν τὴν Προποντίδα φυλάξων, καὶ προπολεμήσων Βιθυνίας.

VII. Λούκουλλος δὲ, τάγμα μὲν αὐτόθεν ἔχων συντεταγμένον ὑπ' αὐτοῦ, διέβαινεν εἰς τὴν Ἀσίαν· ἐκεῖ δὲ τὴν ἄλλην παρέλαβε δύναμιν, πάντων μὲν πάλαι τρυφαῖς διεφθορότων καὶ πλεονεξίαις, τῶν δὲ Φιμβριανῶν λεγομένων καὶ διὰ συνήθειαν ἀναρχίας δυσμεταχειρίστων γεγονότων. Οὗτοι γὰρ ἦσαν οἱ Φλάκκον τε μετὰ Φιμβρίου τὸν ὕπατον καὶ στρατηγὸν ἀνῃρηκότες, αὐτόν τε Φιμβρίαν Σύλλᾳ προδεδωκότες, αὐθάδεις μὲν ἄνθρωποι καὶ παράνομοι, μάχιμοι δὲ καὶ τλήμονες μετ' ἐμπειρίας πολέμου. Οὐ μὴν ἀλλὰ βραχεῖ χρόνῳ καὶ τούτων τὸ θράσος ὁ Λούκουλλος ἐξέκοψε, καὶ τοὺς ἄλλους ἐπέστρεψε, τότε πρῶτον, ὡς ἔοικε, πειρωμένους ἄρχοντος ἀληθινοῦ καὶ ἡγεμόνος· ἄλλως δ' ἐδημαγωγοῦντο πρὸς ἡδονὴν ἐθιζόμενοι στρατεύεσθαι. Τὰ δὲ τῶν πολεμίων οὕτως εἶχε. Μιθριδάτης, ὥσπερ οἱ πολλοὶ τῶν σοφιστῶν, κωμπώδης ἐν ἀρχῇ καὶ σοβαρὸς ἐπὶ Ῥωμαίους ἀναστὰς διακένῳ δυνάμει, λαμπρᾷ δὲ καὶ πανηγυρικῇ τὴν ὄψιν· εἶτ' ἐκπεσὼν καταγελάστως, καὶ νουθετηθεὶς, ὅτε τὸ δεύτερον πολεμεῖν ἔμελλεν, εἰς ἀληθινὴν καὶ πραγματικὴν συνέστελλε τὰς δυνά-

Digitized by Google

μεις παρασκευήν. Ἀφελὼν γὰρ τὰ παντοδαπὰ πλήθη καὶ τὰς πολυγλώσσους ἀπειλὰς τῶν βαρβάρων, ὅπλων δὲ διαχρύσων καὶ διαλίθων κατασκευὰς, ὡς λάφυρα τῶν κρατούντων, οὐκ ἀλκήν τινα τῶν κεκτημένων ὄντα, ξίφη μὲν ἤλαυνε τὰ Ῥωμαϊκὰ, καὶ θυρεοὺς ἐμβριθεῖς ἐπήγνυτο, καὶ γεγυμνασμένους μᾶλλον, ἢ κεκοσμημένους, ἤθροιζεν ἵππους, πεζῶν δὲ μυριάδας δώδεκα κατεσκευασμένων εἰς φάλαγγα Ῥωμαϊκὴν, ἱππεῖς δὲ πρὸς μυρίοις ἑξακισχιλίους, ἄνευ τῶν δρεπανηφόρων τεθρίππων, ταῦτα δ' ἦν ἑκατόν· ἔτι δὲ ναῦς οὐ χρυσορόφοις σκηνίσιν, οὐδὲ λουτροῖς παλλακίδων καὶ γυναικωνίτισι τρυφώσαις ἠσκημένας, ἀλλ' ὅπλων καὶ βελῶν καὶ χρημάτων γεμούσας παραρτυσάμενος, ἐνέβαλεν εἰς Βιθυνίαν, τῶν πόλεων αὖθις ἀσμένως ὑποδεχομένων, οὐ μόνον τούτων· ἀλλὰ καὶ τὴν Ἀσίαν ὅλην ὑποτροπὴ τῶν ἔμπροσθεν νοσημάτων εἶχεν, ἀφόρητα πάσχουσαν ὑπὸ Ῥωμαϊκῶν δανειστῶν καὶ τελωνῶν· οὓς ὕστερον μὲν, ὥσπερ Ἁρπυίας, τὴν τροφὴν ἁρπάζοντας αὐτῶν, ὁ Λούκουλλος ἐξήλασε, τότε δὲ μετριωτέρους ἐπειρᾶτο νουθετῶν ποιεῖν, καὶ τὰς ἀποστάσεις κατέπαυε τῶν δήμων, οὐδενὸς, ὡς ἔπος εἰπεῖν, ἡσυχάζοντος.

VIII. Ὃν δὲ περὶ ταῦτα Λούκουλλος ἠσχολεῖτο χρόνον, αὐτοῦ καιρὸν εἶναι νομίζων ὁ Κόττας, παρεσκευάζετο μάχεσθαι πρὸς Μιθριδάτην. Καὶ πολλῶν ἀπαγγελλόντων, ἤδη Λούκουλλον ἐν Φρυγίᾳ στρατοπεδεύειν ἐπιόντα, μόνον οὐκ ἐν ταῖς χερσὶν ἔχειν τὸν θρίαμβον οἰόμενος, ὡς μὴ μεταλάβοι Λού-

Digitized by Google

κουλλος αὐτοῦ, συμβαλεῖν ἔσπευσε. Πληγεὶς δ' ἅμα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἑξήκοντα μὲν ἀπώλεσεν αὐτανδρα σκάφη, πεζοὺς δὲ τετρακισχιλίους· αὐτὸς δὲ καταχλεισθεὶς εἰς Χαλκηδόνα καὶ πολιορκούμενος, εἰς τὰς Λουκούλλου χεῖρας ἀπέβλεπεν. Ἦσαν μὲν οὖν οἱ τὸν Λούκουλλον, ἀμελήσαντα Κόττα, πρόσω χωρεῖν παρορμῶντες, ὡς ἔρημον αἱρήσοντα τὴν Μιθριδάτου βασιλείαν· καὶ μάλιστα τῶν στρατιωτῶν οὗτος ἦν ὁ λόγος, ἀγανακτούντων, εἰ μὴ μόνον αὐτὸν ἀπολεῖ καὶ τοὺς σὺν αὐτῷ βουλευσάμενος κακῶς ὁ Κόττας, ἀλλὰ καὶ σφίσιν ἐμποδὼν ἔσται νικᾶν ἅμαχεὶ δυναμένοις. Λούκουλλος δὲ πρὸς μὲν τούτους δημηγορῶν εἶπεν, ὡς ἕνα βούλοιτ' ἂν ἐκ πολεμίων σῶσαι Ῥωμαῖον, ἢ πάντα λαβεῖν τὰ τῶν πολεμίων. Ἀρχελάου δὲ τοῦ περὶ Βοιωτίαν Μιθριδάτῃ στρατηγήσαντος, εἶτ' ἀποστάντος καὶ Ῥωμαίοις συστρατεύοντος, διαβεβαιουμένου ὀφθέντα Λούκουλλον ἐν Πόντῳ πάντων ὁμοῦ κρατήσειν, οὐκ ἔφη δειλότερος εἶναι τῶν κυνηγῶν, ὥστε τὰ θηρία παρελθὼν ἐπὶ κενοὺς αὐτῶν τοὺς φωλεοὺς βαδίζειν. Καὶ ταῦτ' εἰπών, ἐπὶ Μιθριδάτην προῆγε, πεζοὺς μὲν ἔχων τριὼμυρίους, ἱππεῖς δὲ δισχιλίους πεντακοσίους. Καταστὰς δ' εἰς ἔποψιν τῶν πολεμίων, καὶ θαυμάσας τὸ πλῆθος, ἐβούλετο μὲν ἀπέχεσθαι μάχης, καὶ τρίβειν τὸν χρόνον· Μαρίου δ', ὃν Σερτώριος ἐξ Ἰβηρίας ἀπεστάλκει Μιθριδάτῃ μετὰ δυνάμεως στρατηγὸν, ἀπαντήσαντος αὐτῷ καὶ προσκαλουμένου, κατέστη μὲν εἰς τάξιν, ὡς διαμαχού-

Digitized by Google

μενος. Ἤδη δὲ ὅσον οὔπω συμφερομένων, ἀπ' οὐδεμιᾶς ἐπιφανοῦς μεταβολῆς, ἀλλ' ἐξαίφνης τοῦ ἀέρος ἀποῤῥαγέντος, ὤφθη μέγα σῶμα φλογοειδὲς εἰς μέσον τῶν στρατοπέδων καταφερόμενον, τὸ μὲν σῶμα πίθῳ μάλιστα, τὴν δὲ χρόαν ἀργύρῳ διαπύρῳ προσεοικός· ὥστε δείσαντας ἀμφοτέρους τὸ φάσμα διακριθῆναι. Τοῦτο μὲν οὖν φασιν ἐν Φρυγίᾳ περὶ τὰς λεγομένας Ὀτρύας συμβῆναι τὸ πάθος. Ὁ δὲ Λούκουλλος, οὐδεμιᾶς εἶναι νομίζων ἀνθρωπίνης παρασκευῆς, οὐδὲ πλούτου, θρέψαι μυριάδας ἐπὶ πολὺν χρόνον, ἀντικαθημένων πολεμίων, τοσαύτας, ὅσας εἶχε Μιθριδάτης, ἐκέλευσεν ἀχθῆναι τῶν αἰχμαλώτων ἕνα· καὶ πρῶτον ἀνέκρινε, μετὰ πόσων διαιτῷτο συσκήνων, ἔπειτα πόσον ἐν τῇ σκηνῇ κατέλιπε σῖτον. Ἀποκριναμένου δὲ τἀνθρώπου, τὸν μὲν ἐκέλευσε μεταστῆναι, δεύτερον δὲ καὶ τρίτον ὁμοίως ἀνέκρινεν. Εἶτα συνθεὶς τὸ τῆς παρεσκευασμένης τροφῆς πλῆθος πρὸς τὸ τῶν τρεφομένων, ἔγνω τριῶν ἢ τεσσάρων ἡμερῶν ἐπιλείψοντα τὸν σῖτον τοὺς πολεμίους. Καὶ πολὺ μᾶλλον εἶχετο τοῦ χρόνου, καὶ συνῆγεν εἰς τὸν χάρακα παμπληθῆ σῖτον, ὡς ἐν ἀφθόνοις διάγων αὐτὸς ἐφεδρεύῃ ταῖς ἐκείνων ἀπορίαις.

IX. Ἐν τούτῳ δὲ Μιθριδάτης ἐπεβούλευε Κυζικηνοῖς πεπληγόσιν ἐν τῇ περὶ Χαλκηδόνα μάχῃ· τρισχιλίων γὰρ ἀνδρῶν καὶ δέκα νεῶν ἐστέρηντο. Βουλόμενος οὖν λαθεῖν τὸν Λούκουλλον, εὐθὺς ἀπὸ δείπνου, νύκτα δυσφανῆ καὶ νοτερὰν ἔχων, ἐκίνει· καὶ φθάνει τῆς πόλεως ἄντικρυς ἅμ' ἡμέρᾳ περὶ τὸ

Digitized by Google

τῆς Ἀδραστείας ὄρος ἱδρύσας τὴν δύναμιν. Ὁ δὲ Λούκουλλος, αἰσθόμενος καὶ διώξας, ἠγιέπησε μὲν οὐκ ἐμπεσὼν ἀσυντάκτως εἰς τοὺς πολεμίους, καθίζει δὲ τὸν στρατὸν περὶ τὴν Θρακείαν λεγομένην κώμην, ἐν τόπῳ κατὰ τῶν ὁδῶν ἄριστα πεφυκότι, καὶ τῶν χωρίων, ἀφ' ὧν καὶ δι' ὧν ἀναγκαῖον ἦν τοῖς Μιθριδατικοῖς τὰ ἐπιτήδεια φοιτᾶν. Διὸ καὶ περιλαβὼν τῇ διανοίᾳ τὸ μέλλον, οὐκ ἀπεκρύψατο τοὺς στρατιώτας, ἀλλ', ἅμα τῷ θέσθαι τὸ στρατόπεδον, καὶ ἀπὸ τῶν ἔργων γενέσθαι, συναγαγὼν αὐτούς, ἐμεγαληγόρησεν, ὡς ὀλίγων ἡμερῶν ἀναιμωτὶ τὸ νίκημα παραδώσων αὐτοῖς. Κυζικηνοὺς δὲ Μιθριδάτης δέκα μὲν ἐκ γῆς στρατοπέδοις περιλαβών, ταῖς δὲ ναυσὶν ἐκ θαλάσσης τὸν ἀπὸ τῆς ἠπείρου διείργοντα τὴν πόλιν εὔριπον ἐμφράξας, ἑκατέρωθεν ἐπολιόρκει, τὰ μὲν ἄλλα διακειμένους πρὸς τὸν κίνδυνον εὐθαρσῶς, καὶ πᾶν ἕνεκα Ῥωμαίων ἐγνωκότας ἐκδέχεσθαι δυσχερές· ἀγνοοῦντας δὲ, ὅπη Λούκουλλος εἴη, καὶ τῷ μηδὲν περὶ αὐτοῦ πεπύσθαι ταραττομένους. Καίτοι καταφανὴς ἦν ἡ στρατοπεδεία καὶ ἄποπτος, ἀλλ' ὑπὸ τῶν Μιθριδατικῶν ἐξηπατῶντο. Δεικνύντες γὰρ αὐτοῖς τοὺς Ῥωμαίους ἄνω παρεμβεβληκότας· „Ὁρᾶτε τούτους; (ἔφασαν)· Ἀρμενίων στρατός ἐστι καὶ Μήδων, Τιγράνου Μιθριδάτῃ καταπέμψαντος ἐπικουρίαν.“ Οἱ δ' ἐξεπλήσσοντο, τοσούτου πολέμου περικεχυμένου, μηδ', εἰ παραγένοιτο Λούκουλλος, χώραν ἔτι λελεῖφθαι βοηθείας ἐλπίζοντες. Οὐ μὴν ἀλλὰ πρῶτος αὐτοῖς εἰσπεμφθεὶς

Digitized by Google

ὑπ' Ἀρχελάου Δημώναξ ἔφρασε τὴν τοῦ Λουκούλλου παρουσίαν. Τούτων δ' ἀπιστούντων, καὶ νομιζόντων αὐτὸν τῶν παρόντων ἐπὶ παρηγορίᾳ πεπλασμένα λέγειν, ἧκε παιδάριον αἰχμάλωτον ἐκ τῶν πολεμίων ἀποδεδρακός. Πυνθανομένων δ' αὐτῶν, ποῦ λέγει τὸν Λούκουλλον εἶναι, κατεγέλα, παίζειν αὐτοὺς οἰόμενον. Ὡς δ' ἑώρα σπουδάζοντας, ἐσήμηνε τῇ χειρὶ τὸν χάρακα τῶν Ῥωμαίων· οἱ δ' ἀνεθάρσησαν. Τῆς δὲ Δασκυλίτιδος λίμνης πλεομένης ἀκατίοις ἐπιεικῶς εὐμεγέθεσι, τὸ μέγιστον αὐτῶν ὁ Λούκουλλος ἀνελκύσας, καὶ διαγαγὼν ἁμάξῃ πρὸς τὴν θάλατταν, ὅσους ἐχώρει στρατιώτας ἐνεβίβασεν. Ἔλαθον δὲ νυκτὸς διαπεράσαντες, καὶ παρεισῆλθον εἰς τὴν πόλιν.

X. Ἔοικε δὲ καὶ τὸ θεῖον ἐπιθαῤῥῦναι τοὺς Κυζικηνοὺς, ἀγασθὲν αὐτῶν τὴν ἀνδραγαθίαν, ἄλλοις τε σημείοις ἐναργέσι, καὶ τῆς τῶν Φεῤῥεφαττίων ἑορτῆς ἐνεστώσης, οἱ μὲν ἠπόρουν βοὸς μελαίνης πρὸς τὴν θυσίαν, καὶ σταιτίνην πλάσαντες τῷ βωμῷ παρέστησαν. Ἡ δ' ἱερὰ καὶ τρεφομένη τῇ θεῷ νομὴν μὲν εἶχεν, ὥσπερ τἄλλα βοτὰ τῶν Κυζικηνῶν, ἐν τῇ περαίᾳ· κατ' ἐκείνην δὲ τὴν ἡμέραν ἀποκριθεῖσα τῆς ἀγέλης, μόνη διενήξατο πρὸς τὴν πόλιν, καὶ κατέστησεν ἐπὶ τὴν θυσίαν αὑτήν. Ὄναρ δ' ἡ θεὸς Ἀρισταγόρᾳ, τῷ τοῦ δήμου γραμματεῖ, παραστᾶσα· „Καὶ μὴν ἔγωγε (εἶπεν) ἥκω τὸν Λιβυκὸν αὐλητὴν ἐπὶ τὸν Ποντικὸν σαλπιγκτὴν ἐπάγουσα. Φράσον οὖν θαῤῥεῖν τοῖς πολίταις.“ Θαυμαζόντων

Digitized by Google

δὲ τὴν φωνὴν τῶν Κυζικηνῶν, ἅμ' ἡμέρᾳ σάλον εἶχεν ἡ θάλασσα, κατιόντος ἀκρίτου πνεύματος· αἵ τε μηχαναὶ τοῦ βασιλέως, παρεστῶσαι τοῖς τείχεσιν, ἔργα θαυμαστὰ Νικωνίδου τοῦ Θεσσαλοῦ, ῥοίζῳ καὶ πατάγῳ πρῶτον ἀπεδήλουν τὸ μέλλον· εἶτα νότος ἐκραγεὶς ἄπιστος τὸ μέγεθος τά τ' ἄλλα συνέτριψε μηχανήματα ὥρας βραχεῖ μορίῳ, καὶ τὸν ξύλινον πύργον, ἑκατὸν πηχῶν ὕψος ὄντα, διασείσας κατέβαλεν. Ἱστορεῖται δὲ, τῶν ἐν Ἰλίῳ πολλοῖς καθ' ὕπνον ὀφθῆναι τὴν Ἀθηνᾶν ἱδρῶτι πολλῷ ῥεομένην, καὶ ὑποφαίνουσάν τι τοῦ πέπλου παρερρωγὸς, λέγουσαν, ὡς ἀρτίως ἥκοι βοηθήσασα Κυζικηνοῖς. Καὶ στήλην τινὰ δόγματα καὶ γράμματα περὶ τούτων ἔχουσαν ἐδείκνυον Ἰλιεῖς.

XI. Μιθριδάτην δ', ἄχρι μὲν ὑπὸ τῶν ἑαυτοῦ στρατηγῶν φενακιζόμενος ἠγνόει τὸν ἐν τῷ στρατοπέδῳ λιμὸν, ἡνίων Κυζικηνοὶ διαφεύγοντες τὴν πολιορκίαν. Ταχὺ δ' ἐξερρύη τὸ φιλότιμον αὐτοῦ καὶ φιλόνεικον, ἐν αἰσθήσει γενομένου τῶν ἀπορίων, αἷς οἱ στρατιῶται συνείχοντο, καὶ τῶν ἀνθρωποφαγιῶν· ἅτε δὴ μὴ θεατρικῶς, μηδ' ἐπιδεικτικῶς Λουκούλλου πολεμοῦντος, ἀλλὰ, τοῦτο δὴ τὸ λεγόμενον, εἰς τὴν γαστέρα ἐναλλομένου, καὶ ὅπως ὑφαιρήσῃ τὴν τροφὴν ἅπαντα πραγματευομένου. Διὸ καὶ φρούριόν τι πολιορκοῦντος αὐτοῦ, τῷ καιρῷ χρήσασθαι σπεύδων ὁ Μιθριδάτης, ἐξέπεμψεν εἰς Βιθυνίαν τοὺς μὲν ἱππεῖς σχεδὸν ἅπαντας μετὰ τῶν ὑποζυγίων, τῶν δὲ πεζῶν τοὺς ἀχρήστους. Πυθόμενος δ' ὁ Λού-

Digitized by Google

κουλλος, ἔτι νυκτὸς ἦκεν εἰς τὸ στρατόπεδον. Πρωΐ δὲ, χειμῶνος ὄντος, ἀναλαβὼν σπείρας δέκα, καὶ τὴν ἵππον, ἐδίωκε νιφόμενος καὶ κακοπαθῶν, ὥστε πολλοὺς ὑπὸ κρύους ἐνδιδόντας ἀπολείπεσθαι τῶν στρατιωτῶν· τοῖς δ' ἄλλοις περὶ τὸν Ῥυνδακὸν ποταμὸν καταλαβὼν τοὺς πολεμίους, τοσαύτην τροπὴν ἐποίησεν, ὥστε τὰς γυναῖκας ἐκ τῆς Ἀπολλωνίας προερχομένας ἁφαρπάζειν τὰ φορτία, καὶ σωλεύειν τοὺς φονευομένους. Πολλῶν δ', ὡς εἰκὸς, ἀποθανόντων, ἑάλωσαν ἵπποι μὲν ἑξακισχίλιοι, καὶ πλῆθος ἀναρίθμητον ὑποζυγίων, ἄνδρες δὲ μύριοι πεντακισχίλιοι· καὶ τούτους ἄγων πάντας παρεξῄει παρὰ τὸ στρατόπεδον τῶν πολεμίων. Σαλουστίου δὲ θαυμάζω, τότε πρῶτον ὦφθαι Ῥωμαίοις καμήλους λέγοντος, εἰ μήτε πρότερον τοὺς μετὰ Σκιπίωνος νικήσαντας Ἀντίοχον ᾤετο, μήτε τοὺς ἔνναγχος πρὸς Ὀρχομενῷ καὶ περὶ Χαιρώνειαν Ἀρχελάῳ μεμαχημένους, ἐγνωκέναι κάμηλον. Ἀλλὰ τῷ γε Μιθριδάτῃ φεύγειν μὲν ἔγνωστο τὴν ταχίστην, ἀνθολκὰς δὲ Λουκούλλῳ καὶ διατριβὰς ὀπίσω μηχανώμενος, ἔστελλε τὸν ναύαρχον Ἀριστόνικον ἐπὶ τὴν Ἑλληνικὴν θάλασσαν, καὶ ὅσον οὔπω μέλλοντος ἐκπλεῖν, ἐκ προδοσίας ὁ Λούκουλλος ἐκυρίευσε μετὰ χρυσῶν μυρίων, οὓς ἐκόμιζε διαφθερῶν τι τοῦ Ῥωμαϊκοῦ στρατεύματος. Ἐκ τούτου Μιθριδάτης μὲν ἔφυγεν ἐπὶ θάλασσαν, οἱ δὲ στρατηγοὶ πεζοὶ τὸν στρατὸν ἀπήγαγον. Ἐπιπεσὼν δὲ Λούκουλλος αὐτοῖς περὶ τὸν Γρανικὸν ποταμὸν, εἷλε τε παμπύλλους, καὶ δισμυρίους ἀπέ-

Digitized by Google

κτεινε. Λέγονται δ' ἐκ τοῦ παντὸς ἀκολούθων τε καὶ μαχίμων ὄχλου μυριάδες οὐ πολὺ δὴ τῶν τριάκοντα λείπουσαι διαφθαρῆναι.

XII. Λούκουλλος δὲ πρῶτον εἰς Κύζικον παρελθὼν, ἀπέλαυσεν ἡδονῆς καὶ φιλοφροσύνης πρεπούσης· ἔπειτα ναυτικὸν ἐξηρτύετο, τὸν Ἑλλήσποντον ἐπιπορευόμενος. Εἰς δὲ Τρωάδα καταχθεὶς, ἐσκήνωσε μὲν ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης· κατακοιμηθεὶς δὲ, νύκτωρ ἐδόκει τὴν θεὰν ὁρᾶν ἐφεστῶσαν αὐτῷ, καὶ λέγουσαν·

Τί κνώσσεις, μεγάθυμε λέον; νεβροὶ δέ τοι ἐγγύς.

Ἐξαναστὰς δὲ καὶ τοὺς φίλους καλέσας, διηγεῖτο τὴν ὄψιν, ἔτι νυκτὸς οὔσης. Καὶ παρῆσαν ἐξ Ἰλίου τινὲς, ἀπαγγέλλοντες ὤφθαι περὶ τὸν Ἀχαιῶν λιμένα τρισκαίδεκα πεντήρεις τῶν βασιλικῶν ἐπὶ Λῆμνον πλεούσας. Εὐθὺς οὖν ἀναχθεὶς, τούτους μὲν εἷλε, καὶ τὸν στρατηγὸν αὐτῶν Ἰσίδωρον ἀπέκτεινεν· ἐπὶ δὲ τοὺς ἄλλους ἔπλει πρωρέας. Οἱ δὲ ἔτυχον ὁρμοῦντες, καὶ τὰ πλοῖα πάντα πρὸς τὴν γῆν συνέλκοντες ἀπὸ τῶν καταστρωμάτων διεμάχοντο, καὶ πληγὰς ἐδίδοσαν τοῖς περὶ τὸν Λούκουλλον, οὔτε περιπλεῦσαι τοῦ χωρίου διδύντος, οὔτε βιάσασθαι ναυσὶ μετεώροις τὰς τῶν πολεμίων, προσερηρεισμένας τῇ γῇ, καὶ βεβηκυίας ἀσφαλῶς. Οὐ μὴν ἀλλὰ μόλις, ἢ προσβολήν τινα ἡ νῆσος εἶχεν, ἀποβιβάζει τῶν στρατιωτῶν τοὺς ἀρίστους, οἳ κατόπιν ἐπιπεσόντες τοῖς πολεμίοις, τοὺς μὲν διέφθειρον αὐτῶν, τοὺς δ' ἠνάγκαζον ἀποκόπτοντας τὰ πρυμνήσια τῶν

Digitized by Google

νεῶν, καὶ φεύγοντας ἐκ τῆς γῆς, ἀλλήλοις τε συγκρούειν τὰ πλοῖα, καὶ ταῖς ἐμβολαῖς ταῖς περὶ τὸν Λούκουλλον ὑποπίπτειν. Πολλοὶ μὲν οὖν διεφθάρησαν· ἐν δὲ τοῖς ἁλοῦσιν ἀνήχθη καὶ Μάριος, ὁ παρὰ Σερτωρίου στρατηγός. Ἦν γὰρ ἑτερόφθαλμος καὶ παρήγγελτο τοῖς στρατιώταις εὐθὺς ἐπιπλέουσιν ὑπὸ Λουκούλλου, μηδένα κτείνειν ἑτερόφθαλμον, ὅπως ἐξονειδισθεὶς καὶ καθυβρισθεὶς ἀποθάνοι.

XIII. Γενόμενος δ' ἀπὸ τούτων, ἠπείγετο πρὸς τὴν αὐτοῦ Μιθριδάτου δίωξιν. Ἤλπιζε γὰρ ἔτι περὶ Βιθυνίαν εὑρήσειν αὐτὸν ὑπὸ Βοκωνίου φρουρούμενον, ὃν αὐτὸς ἑστηκόμενον τῇ φυγῇ μετὰ νεῶν ἀπεστάλκει πρὸς Νικομήδειαν. Ἀλλὰ Βοκώνιος μὲν ἐν Σαμοθράκῃ μυούμενος καὶ πανηγυρίζων καθυστέρησε. Μιθριδάτην δ' ἀναχθέντα μετὰ τοῦ στόλου, σπεύδοντα, πρὶν ἐπιστρέφειν Λούκουλλον, εἰς τὸν Πόντον εἰσπλεῦσαι, καταλαμβάνει χειμὼν πολὺς, ὑφ' οὗ τὰ μὲν ἀφηρπάγη, τὰ δ' ἐβυθίσθη τῶν σκαφῶν. Πᾶσα δ' ἡ παραλία τῶν ναυαγίων ἐκφερομένων ὑπὸ τοῦ κλύδωνος ἐπὶ πολλὰς ἡμέρας ἦν περίπλεως. Αὐτὸς δὲ, τῆς ὁλκάδος, ἐφ' ἧς ἔπλει, μήτε πρὸς τὴν γῆν εὐπαρακομίστου διὰ μέγεθος ἐν σάλῳ μεγάλῳ καὶ κύματι τυφλῷ παριστάμενης τοῖς κυβερνήταις, πρός τε τὴν θάλασσαν ἤδη βαρείας καὶ ὑπεράντλου γενομένης, μετεμβὰς εἰς ληστρικὸν μυοπάρωνα, καὶ τὸ σῶμα πειρατεῖς ἐγχειρίσας, ἀνελπίστως καὶ παραβόλως εἰς τὴν Ποντικὴν Ἡράκλειαν

Digitized by Google

ἐξασώθη. Λουκούλλῳ δ' ἀνεμέσητος ἡ πρὸς τὴν σύγκλητον ἀπέβη φιλοτιμία. Ψηφιζομένης γὰρ αὐτῆς πρὸς τὸν πόλεμον ἀπὸ τριακιλίων ταλάντων ἐξαρτύεσθαι ναυτικὸν, ἐκώλυσε πέμψας γράμματα, καὶ μεγαληγορήσας, ὡς ἄνευ δαπάνης καὶ τοσαύτης παρασκευῆς ταῖς τῶν συμμάχων ναυσὶ Μιθριδάτην ἐκβαλεῖ τῆς θαλάττης. Καὶ ταῦτα ὑπῆρξεν αὐτῷ, τοῦ θεοῦ συναγωνισαμένου. Λέγεται γὰρ Ἀρτέμιδος χόλῳ Πριαπίνης ὁ χειμὼν ἐμπεσεῖν τοῖς Ποντικοῖς, συλήσασιν αὐτῆς τὸ ἱερὸν καὶ τὸ ξόανον ἀνασπάσασι.

XIV. Πολλῶν δὲ Λουκούλλῳ παραινούντων ἀναβαλέσθαι τὸν πόλεμον, οὐ φρονήσας ἐνέβαλε διὰ Βιθυνίας καὶ Γαλατίας εἰς τὴν βασιλικὴν, ἐν ἀρχῇ μὲν ἐνδεὴς τῶν ἀναγκαίων, ὥστε Γαλάτας ἕπεσθαι τρισμυρίους, ἕκαστον ἐπὶ τῶν ὤμων κομίζοντα σίτου μέδιμνον. Προϊὼν δὲ καὶ κρατῶν ἁπάντων εἰς τοσαύτην ἦλθεν εὐπορίαν, ὥστε τὸν μὲν βοῦν ἐν στρατοπέδῳ δραχμῆς, τὸ δ' ἀνδράποδον τεττάρων ὤνιον εἶναι· τὴν δ' ἄλλην λείαν ἐν οὐδενὶ λόγῳ τοὺς μὲν ἀπολείπειν, τοὺς δ' ἀναλίσκειν. Διάθεσις γὰρ ἦν οὐδενὸς πρὸς οὐδένα, πάντων εὐπορούντων. Ἀλλ' ὅσον φθεῖραι καὶ κακῶσαι τὴν χώραν, ἱππασάμενοι καὶ καταδραμόντες ἄχρι Θεμισκύρας καὶ τῶν περὶ Θερμώδοντα πεδίων, ᾐτιῶντο τὸν Λούκουλλον, ὅτι πάσας προσάγεται τὰς πόλεις, κατὰ κράτος δ' οὐδεμίαν ἦρηκεν, οὐδὲ παρέσχηκεν αὐτοῖς ὠφεληθῆναι διαρπάσασιν. „Ἀλλὰ καὶ νῦν (ἔφασαν) Ἀμισὸν, πόλιν εὐδαίμονα καὶ πλουσίαν, οὐ μέγα ὂν ἔργον, εἴ τις

Digitized by Google

ἐντεῖναι τὴν πολιορκίαν, κατασχεῖν, ἀπολιπόντας ἡμᾶς, ἄγει πρὸς τὴν Τιβαρηνῶν καὶ Χαλδαίων ἐρημίαν, Μιθριδάτῃ πολεμήσοντας." Ἀλλὰ ταῦτα μὲν, οὐκ ἂν ὁ Λούκουλλος ἐλπίσας εἰς τοσοῦτον ἀπονοίας ἥξειν στρατιώτας παραγαγεῖν, ὅσον ὕστερον ἐξέφηναν, ὑπερεώρα, καὶ οὐκ ἐφρόντιζεν. Ἐκείνοις δ' ἀπελογεῖτο μᾶλλον, οἳ βραδύτητα κατηγόρουν αὐτοῦ, διατρίβοντος ἐνταῦθα περὶ κώμας καὶ πόλεις οὐ πολλοῦ τινος ἀξίας πολὺν χρόνον, ἐῶντος δ' αὔξεσθαι Μιθριδάτην. „Αὐτὸ γὰρ (ἔφη) τοῦτο καὶ βούλομαι καὶ πάθημαι τεχνάζον μέγαν αὖθις γενέσθαι τὸν ἄνδρα, καὶ συναγαγεῖν αὐτὸν ἀξιόμαχον δύναμιν, ἵνα μείνῃ καὶ μὴ φύγῃ προσιόντας ἡμᾶς. Ἢ οὐχ ὁρᾶτε πολλὴν μὲν αὐτῷ καὶ ἀτέκμαρτον ἐρημίαν ὄπισω παροῦσαν; ἐγγὺς δὲ ὁ Καύκασος, καὶ ὄρη πολλὰ καὶ βαθέα καὶ μυρίους βασιλεῖς φυγομαχοῦντας ἀρκοῦντα κατακρύψαι καὶ περισχεῖν. Ὀλίγων δ' ἡμερῶν ὁδὸς εἰς Ἀρμενίαν ἐκ Καβείρων· καὶ ὑπὲρ Ἀρμενίας κάθηται Τιγράνης, βασιλεὺς βασιλέων, ἔχων δύναμιν, ἣ Πάρθους τε περικόπτει τῆς Ἀσίας, καὶ πόλεις Ἑλληνίδας εἰς Μηδίαν ἀνακομίζει, καὶ Συρίας κρατεῖ καὶ Παλαιστίνης, καὶ τοὺς ἀπὸ Σελεύκου βασιλεῖς ἀποστιννύει, θυγατέρας δ' αὐτῶν ἄγει καὶ γυναῖκας ἀνασπάστους. Οὗτος οἰκεῖός ἐστι Μιθριδάτου καὶ γαμβρός. Οὐ περιόψεται δὴ αὐτὸν ἱκέτην ὑποδεξάμενος, ἀλλὰ πολεμήσει πρὸς ἡμᾶς· καὶ σπεύδοντες ἐκβάλλειν Μιθριδάτην, κινδυνεύσομεν ἐπισπάσασθαι Τιγράνην, πάλαι μὲν αἰτίας δεά-

Digitized by Google

μενον ἐφ' ἡμᾶς, εὐπρεπεστέραν δ' οὐκ ἂν λαβόντα τῆς ὑπὲρ ἀνδρὸς οἰκείου καὶ βασιλέως ἀναγκασθέντος ὑπουργεῖν αὐτῷ. Τί οὖν δεῖ τοῦθ' ἡμᾶς ἐξεργάσασθαι, καὶ διδάξαι Μιθριδάτην ἀγνοοῦντα, μεθ' ὧν ἐστιν αὐτῷ πρὸς ἡμᾶς πολεμητέον; καὶ μὴ βουλόμενον, ἀλλ' ἀδοξοῦντα, συνελαύνειν ἐπὶ τὰς τοῦ Τιγράνου χεῖρας; ἀλλ' οὐχὶ δόντας αὐτῷ χρόνον ἐκ τῶν οἰκείων παρασκευάσασθαι καὶ ἀναθαρρῆναι, Κόλχοις καὶ Τιβαρηνοῖς καὶ Καππάδοξιν, ὧν πολλάκις κεκρατήκαμεν, μάχεσθαι μᾶλλον, ἢ Μήδοις καὶ Ἀρμενίοις;"

XV. Ἐπὶ τοιούτων λογισμῶν γενόμενος ὁ Λούκουλλος, περί τε τὴν Ἀμισὸν διέτριψε, μαλακῶς τῇ πολιορκίᾳ χρώμενος· καὶ μετὰ χειμῶνα Μουρήναν ἀπολιπὼν ἐπὶ τῆς πολιορκίας, ἐβάδιζεν ἐπὶ Μιθριδάτην, καθήμενον ἐν Καβείροις, καὶ διανοούμενον ὑφίστασθαι τοὺς Ῥωμαίους, ἠθροισμένης αὐτῷ δυνάμεως εἰς τετρακισμυρίους πεζοὺς, ἱππεῖς δὲ τετρακισχιλίους, οἷς ἐθάρρει μάλιστα. Καὶ διαβὰς τὸν Λύκον ποταμὸν, εἰς τὸ πεδίον προὐκαλεῖτο τοὺς Ῥωμαίους. Γενομένης δ' ἱππομαχίας, ἔφυγον οἱ Ῥωμαῖοι· Ποππώνιος δ', ἀνὴρ οὐκ ἄδοξος, ἑάλω τετρωμένος, καὶ πρὸς τὸν Μιθριδάτην ἀνήχθη κακῶς ὑπὸ τραυμάτων διακείμενος. Πυθομένου δὲ τοῦ βασιλέως, εἰ σωθεὶς ὑπ' αὐτοῦ γενήσεται φίλος· „Ἄν γε δὴ (ἔφη) Ῥωμαίοις διαλλαγῇς· εἰ δὲ μὴ, πολέμιος." Τοῦτον μὲν θαυμάσας ὁ Μιθριδάτης οὐκ ἠδίκησε. Τοῦ δὲ Λουκούλλου τὰ μὲν πεδία, τῶν πολεμίων ἱπποκρατούντων, δεδιότος, τὴν δ' ὀρεινὴν

Digitized by Google

ὀκνοῦντος προϊέναι, μακρὰν καὶ ὑλώδη καὶ δύσβατον οὖσαν, ἁλίσκονταί τινες κατὰ τύχην Ἕλληνες, εἴς τι σπήλαιον καταφυγόντες· ὧν ὁ πρεσβύτερος, Ἀρτεμίδωρος, ὑπέσχετο τὸν Λούκουλλον ἄξειν καὶ καταστήσειν ἐπὶ τόπῳ ἀσφαλεῖ τῷ στρατοπέδῳ, καὶ φρούριον ἔχοντι τοῖς Καβείροις ἐπικρεμάμενον. Πιστεύσας δ' ὁ Λούκουλλος, ἅμα τῇ νυκτὶ πυρὰ καύσας ἐκίνει· καὶ τὰ στενὰ παρελθὼν ἀσφαλῶς, τὸ χωρίον εἶχε, καὶ μεθ' ἡμέραν ὑπερεφαίνετο τῶν πολεμίων, ἱδρύων τὸν στρατὸν ἐν τόποις, οἷ μάχεσθαι βουλομένῳ προσαγωγὴν ἐδίδοσαν, καὶ τὸ μὴ βιασθῆναι παρεῖχον ἡσυχάζοντι. Γνώμην μὲν οὖν οὐδέτερος εἶχεν ἔν γε τῷ παρόντι διακινδυνεύειν· ἔλαφον δὲ λέγεται τῶν βασιλικῶν διωκόντων, ὑποτεμνομένους ἀπαντῆσαι τοὺς Ῥωμαίους· ἐκ δὲ τούτου συμπεσόντας ἀγωνίζεσθαι, πλειόνων ἑκατέροις ἀεὶ προσγινομένων. Τέλος δ' ἐνίκων οἱ βασιλικοί· καὶ τὴν φυγὴν ἐκ τοῦ χάρακος οἱ Ῥωμαῖοι καθορῶντες, ἠσχάλλον, καὶ συνέτρεχον πρὸς τὸν Λούκουλλον, ἄγειν σφᾶς δεόμενοι, καὶ σύνθημα πρὸς τὴν μάχην αἰτοῦντες. Ὁ δὲ, βουλόμενος, αὐτοὺς μαθεῖν, ἡλίκον ἐστὶν ἐν ἀγῶνι πολέμου καὶ κινδύνου παρουσία καὶ ὄψις ἡγεμόνος ἔμφρονος, ἐκείνους μὲν ἡσυχίαν ἄγειν ἐκέλευεν, αὐτὸς δὲ κατέβαινεν εἰς τὸ πεδίον, καὶ τοῖς προτέροις ἀπαντήσας τῶν φευγόντων, ἵστασθαι προσέταξεν καὶ ἀναστρέφειν μετ' αὐτοῦ. Πεισθέντων δὲ τούτων, καὶ οἱ λοιποὶ μεταβαλόμενοι καὶ συστάντες, ὀλίγῳ πόνῳ τρέπονται τοὺς πολεμί-

Digitized by Google

ους, καὶ καταδιώκουσιν εἰς τὸ στρατόπεδον. Ἐπανελθὼν δὲ Λούκουλλος ἀτιμίαν τινὰ τοῖς φεύγουσι νενομισμένην προσέβαλε, κελεύσας ἐν χιτῶσιν ἀζώστοις ὀρύξαι δώδεκα ποδῶν τάφρον, ἑφεστώτων καὶ θεωμένων τῶν ἄλλων στρατιωτῶν.

XVI. Ἦν δέ τις ἐν τῷ Μιθριδάτου στρατοπέδῳ Δανδαρίων δυνάστης, Ὀλθακός, (γένος δ' εἰσὶν οἱ Δανδάριοι βαρβάρων, τῶν περὶ τὴν Μαιῶτιν οἰκούντων) ἀνὴρ, ὅσα χειρὸς ἔργα καὶ τόλμης ἐν πολέμῳ, διαπρεπὴς ἅπαντα, καὶ γνώμην ἱκανὸς ἐν τοῖς μέγιστοις, ἔτι δ' ἐμμελὴς ὁμιλῆσαι καὶ θεραπευτικός. Οὗτος ἔχων ἀεὶ πρός τινα τῶν ὁμοφύλων δυναστῶν ἅμιλλαν ὑπὲρ πρωτείων καὶ ζηλοτυπίαν, ὑπέσχετο τῷ Μιθριδάτῃ μέγα ἔργον, ἀποκτενεῖν Λούκουλλον. Ἐπαινέσαντος δὲ τοῦ βασιλέως, καί τινας αὐτῷ προσβαλόντος ἐπίτηδες ἀτιμίας εἰς προσποίησιν ὀργῆς, ἀφικπάσατο πρὸς Λούκουλλον· ὁ δ' ἄσμενος ἐδέξατο. Λόγος γὰρ ἦν αὐτοῦ πολὺς ἐν τῷ στρατοπέδῳ· καὶ ταχὺ πειρώμενος, ἠσπάζετο τήν τ' ἀγχίνοιαν αὐτοῦ καὶ τὸ λιπαρές, ὥστε τραπέζης καὶ συνεδρίου ποτὲ ποιεῖσθαι κοινωνόν. Ἐπεὶ δ' ἐδόκει καιρὸν ἔχειν ὁ Δανδάριος, τὸν μὲν ἵππον ἔξω τοῦ χάρακος ἐκέλευσε προαγάγειν τοὺς παῖδας, αὐτὸς δὲ, μεσημβρίας οὔσης, καὶ τῶν στρατιωτῶν ἐνδιαζόντων καὶ ἀναπαυομένων, ἐβάδιζεν ἐπὶ τὴν στρατηγικὴν σκηνὴν, ὡς οὐδενὸς κωλύσοντος εἰσελθεῖν ἄνδρα συνήθη, καὶ λόγους τινὰς ἀξίους σπουδῆς τῷ στρατηγῷ κομίζειν φάσκοντα. Κἂν εἰσῆλθεν ἀδεῶς, εἰ μὴ

Digitized by Google

ὁ πολλοὺς ἀνηρηκὼς στρατηγοὺς ὕπνος Λουκούλλου ἔσωσεν. Ἐτύγχανε γὰρ καθεύδων· καὶ Μενέδημος, εἷς τῶν κατευναστῶν, παρὰ ταῖς θύραις ἑστὼς, οὐκ ἔφη κατὰ καιρὸν ἥκειν τὸν Ὀλθακὸν, ἄρτι Λουκούλλου πρὸς ἀνάπαυσιν ἐκ μακρᾶς ἀγρυπνίας καὶ πόνων τοσούτων δεδοκότος ἑαυτόν. Ἐπεὶ δ' οὐκ ἀπῄει κελεύοντος, ἀλλ' ἔφη κωλύοντος εἰσελεύσεσθαι, περὶ πράγματος ἀναγκαίου καὶ μεγάλου διαλεχθῆναι βουλόμενος, ἤδη πρὸς ὀργὴν ὁ Μενέδημος, εἰπὼν, μηδὲν ἀναγκαιότερον τοῦ σώζεσθαι Λούκουλλον, ἀπεώσατο τὸν ἄνθρωπον ἀμφοτέραις ταῖς χερσίν. Ὁ δὲ δείσας ὑπεξῆλθε τοῦ χάρακος, καὶ λαβὼν τὸν ἵππον, ἀπήλασεν εἰς τὸ Μιθριδάτου στρατόπεδον ἄπρακτος. Οὕτως ἄρα καὶ τοῖς πράγμασιν ὁ καιρὸς, ὥσπερ τοῖς φαρμάκοις, καὶ τὴν σώζουσαν καὶ τὴν ἀναιροῦσαν ῥοπὴν προστίθησιν.

XVII. Ἐκ τούτου Σωρνάτιος μὲν ἐπὶ σίτου κομιδὴν ἐπέμφθη μετὰ δέκα σπειρῶν, καὶ καταδιωχθεὶς ὑπὸ Μενάνδρου, τῶν Μιθριδάτου στρατηγῶν ἑνός, ἀντέστη, καὶ συμβαλὼν φόνον ἐποίησε πολὺν καὶ τροπὴν τῶν πολεμίων. Αὖθις δὲ πεμφθέντος Ἀδριανοῦ μετὰ δυνάμεως, ὅπως ἐκ περιουσίας ἔχωσιν οἱ στρατιῶται σῖτον, οὐ περιεῖδε Μιθριδάτης, ἀλλ' ἀπέστειλε Μενέμαχον καὶ Μύρωνα, πολλῶν μὲν ἱππέων, πολλῶν δὲ πεζῶν ἡγουμένους. Οὗτοι πάντες, ὡς λέγεται, πλὴν δυοῖν, κατεκόπησαν ὑπὸ τῶν Ῥωμαίων. Καὶ Μιθριδάτης μὲν ἔκρυπτε τὴν συμφορὰν, ὡς οὐ τοσαύτην οὖσαν, ἀλλὰ μικράν, προσκεκρου-

Digitized by Google

κότων ἀπειρίᾳ τῶν στρατηγῶν. Ἁδριανὸς δὲ λαμπρὸς παρημείβετο τὸ στρατόπεδον, πολλὰς κατάγων ἁμάξας σίτου καὶ λαφύρων γεμούσας· ὥστε δυσθυμίαν μὲν αὐτῷ, ταραχὴν δὲ καὶ φόβον ἀμήχανον ἐμπεσεῖν τοῖς στρατιώταις. Ἐδέδοκτο μὲν οὖν μηκέτι μένειν· ἐπεὶ δὲ προεξέπεμπον οἱ βασιλικοὶ τὰ σφέτερα χρήματα καθ' ἡσυχίαν, τοὺς δ' ἄλλους ἐκώλυον, ἤδη καὶ πρὸς ὀργὴν ἐπὶ τὰς ἐξόδους ὠθούμενοι καὶ βιαζόμενοι, τὰ μὲν χρήματα ἥρπαζον, αὐτοὺς δ' ἀπέσφαττον. Ὅπου καὶ Δορύλαος στρατηγός, οὐδὲν ἕτερον ἔχων ἢ τὴν πορφύραν περὶ αὐτόν, ἀπώκετο διὰ ταύτην· Ἑρμαῖος δὲ, ὁ Θύτης, κατεπατήθη περὶ τὰς πύλας. Αὐτὸς δ' ὁ Μιθριδάτης, οὔτε ὀπαδοῦ τινος, οὔτε ἱπποκόμου παραμείναντος αὐτῷ, συνεξέπεσεν ἀπὸ τοῦ στρατοπέδου τοῖς πολλοῖς ἀναμεμιγμένος, οὐδ' ἵππου τῶν βασιλικῶν εὐπορήσας· ἀλλ' ὄψέ που κατιδὼν αὐτὸν ἐν τῷ ῥεύματι τῆς τροπῆς ἐκείνης διαφερόμενον Πτολεμαῖος ὁ εὐνοῦχος, ἵππον ἔχων, αὐτὸς ἀπεπήδησε καὶ παρέσχεν. Ἤδη γὰρ αὐτὸν οἱ Ῥωμαῖοι κατεῖχον ἐπικείμενοι, καὶ τάχει μὲν οὐκ ἀπελίποντο τοῦ λαβεῖν αὐτὸν, ἀλλ' ἦλθον ἔγγιστα τούτου· φιλοπλουτία δὲ καὶ μικρολογία στρατιωτικὴ τὸ πολλοῖς ἀγῶσι καὶ μεγάλοις κινδύνοις διωκόμενον ἐκ μακροῦ θήραμα Ῥωμαίους ἀφείλετο, καὶ Λούκουλλον ἀπεστέρησε νικῶντα τῶν ἐπάθλων. Ἦν μὲν γὰρ ἐν ἐφικτῷ τῆς διώξεως ὁ ὑπεκφέρων τὸν ἄνδρα ἵππος· ἡμιόνου δὲ τῶν τὸ χρυσίον κομιζόντων μεταξὺ τοῦ βασιλέως, εἶτ' ἀπὸ

Digitized by Google

ταὐτομάτου παρεισπεσόντος, εἴτε τοῦ βασιλέως ἐπιτηδες ἐμβαλόντος αὐτὸν εἰς τοὺς διώκοντας, ἁρπάζοντες καὶ συλλέγοντες τὸ χρυσίον, καὶ διαμαχόμενοι πρὸς ἀλλήλους, καθυστέρησαν. Καὶ οὐ τοῦτο μόνον αὐτῶν ἀπέλαυσε τῆς πλεονεξίας ὁ Λούκουλλος, ἀλλὰ καὶ τὸν ἐπὶ τῶν ἀποῤῥήτων τοῦ βασιλέως ὄντα Καλλίστρατον ὁ μὲν ἄγειν ἐκέλευσεν, οἱ δ' ἄγοντες, αἰσθόμενοι πεντακοσίους χρυσοῦς ὑπεξωσμένον, ἀπέκτειναν. Οὐ μὴν ἀλλὰ τούτοις μὲν ἐπέτρεψε τὸν χάρακα πορθῆσαι.

XVIII. Τὰ δὲ Κάβειρα λαβὼν, καὶ τῶν ἄλλων φρουρίων τὰ πλεῖστα, θησαυρούς τε μεγάλους εὗρε, καὶ δεσμωτήρια, πολλῶν μὲν Ἑλλήνων, πολλῶν δὲ συγγενῶν τοῦ βασιλέως καθειργμένων, οἷς πάλαι τεθνάναι δοκοῦσιν οὐ σωτηρίαν, ἀλλ' ἀναβίωσιν καὶ δευτέραν τινὰ γέννησιν ἡ Λουκούλλου χάρις παρέσχεν. Ἑάλω δὲ καὶ ἀδελφὴ τοῦ Μιθριδάτου, Νύσσα, σωτήριον ἄλωσιν· αἱ δ' ἀπωτάτω τοῦ κινδύνου καὶ καθ' ἡσυχίαν ἀποκεῖσθαι δοκοῦσαι περὶ Φάρνακίαν ἀδελφαὶ καὶ γυναῖκες οἰκτρῶς ἀπώλοντο, Μιθριδάτου πέμψαντος ἐπ' αὐτὰς ἐκ τῆς φυγῆς Βακχίδην εὐνοῦχον. Ἦσαν δὲ μετὰ πολλῶν ἀδελφαί τε δύο τοῦ βασιλέως, Ῥωξάνη καὶ Στάτειρα, περὶ τεσσαράκοντα ἔτη παρθενευόμεναι· καὶ γαμεταὶ δύο, γένος Ἰωνίδες, Βερενίκη μὲν ἐκ Χίου, Μονίμη δὲ, Μιλησία. Ταύτης ὁ πλεῖστος ἦν λόγος ἐν τοῖς Ἕλλησιν, ὅτι, τοῦ βασιλέως πειρῶντος αὐτὴν, καὶ μυρίους πεντακισχιλίους χρυσοῦς προσπέμψαντος, ἀντέσχε, μέχρις οὗ γάμων ἐγέ-

Digitized by Google

νοντο συνθῆναι, καὶ διάδημα πέμψας αὐτῇ, βασίλισσαν ἀνηγόρευσεν. Αὕτη καὶ παρὰ τὸν ἄλλον χρόνον ἀνιαρῶς εἶχε, καὶ ἀπεθρήνει τὴν τοῦ σώματος εὐμορφίαν ὡς δεσπότην μὲν ἀντ' ἀνδρὸς αὐτῇ, φρουρὰν δὲ βαρβάρων ἀντὶ γάμου καὶ οἴκου προξενήσασαν· πόρρω δέ που τῆς Ἑλλάδος ἀπῳκισμένη, τοῖς ἐλπισθεῖσιν ἀγαθοῖς ὄναρ σύνεστι, τῶν δ' ἀληθινῶν ἐκείνων ἀπεστέρηται. Καὶ δὴ τοῦ Βακχίδου παραγενομένου, καὶ προστάξαντος αὐταῖς ἀποθνήσκειν, ὡς ἑκάστῃ δοκοίη ῥᾷστον εἶναι καὶ ἀλυπότατον, περισπάσασα τῆς κεφαλῆς τὸ διάδημα, τῷ τραχήλῳ περιῆψε, καὶ ἀνήρτησεν ἑαυτήν. Ταχὺ δ' ἀποῤῥαγέντος· „Ὦ κατηραμένον (ἔφη) ῥάκος· οὐδὲ πρὸς τοῦτό μοι χρήσιμον ἔσῃ;" Κἀκεῖνο μὲν ἀπέῤῥιψε προσπτύσασα, τῷ δὲ Βακχίδῃ τὴν σφαγὴν παρέσχεν. Ἡ δὲ Βερενίκη, κύλικα φαρμάκου λαβοῦσα, τῆς μητρὸς αὐτῇ παρούσης καὶ δεομένης, μετέδωκε. Καὶ συνεξέπιον μὲν ἀμφότεραι. Ἧρκεσε δὲ ἡ τοῦ φαρμάκου δύναμις εἰς τὸ ἀσθενέστερον σῶμα· τὴν δὲ Βερενίκην, οὐχ, ὅσον ἔδει, πιοῦσαν, οὐκ ἀπήλλαξεν, ἀλλὰ δυσθανατοῦσα, τοῦ Βακχίδου σπεύδοντος, ἀπεπνίγη. Λέγεται δὲ καὶ τῶν ἀγάμων ἀδελφῶν ἐκείνων, τὴν μὲν, ἐπαρωμένην πολλὰ καὶ λοιδοροῦσαν ἐκπιεῖν τὸ φάρμακον· τὴν δὲ Στάτειραν, οὔτε δύσφημόν τι φθεξαμένην, οὔτ' ἀγεννές, ἀλλ' ἐπαινοῦσαν τὸν ἀδελφὸν, ὅτι περὶ τοῦ σώματος κινδυνεύων, οὐκ ἠμέλησεν αὐτῶν, ἀλλὰ προὐνόησεν ἐλευθέρας καὶ ἀνυβρίστους ἀποθανεῖν. Ταῦτα μὲν οὖν φύσει χρηστὸν ὄντα καὶ φιλάνθρωπον ἠνία τὸν Λούκουλλον.

Digitized by Google

XIX. Ἐλάσας δ' ἄχρι Ταλαύρων, ἔνθεν ἡμέρᾳ τετάρτῃ πρότερον ἐφθάκει Μιθριδάτης εἰς Ἀρμενίαν πρὸς Τιγράνην πεφευγὼς, ἀποτρέπεται. Καταστρεψάμενος δὲ Χαλδαίους καὶ Τιβαρηνοὺς, καὶ τὴν μικρὰν Ἀρμενίαν παραλαβὼν, καὶ φρούρια καὶ πόλεις παραστησάμενος, Ἄππιον μὲν ἔπεμψε πρὸς Τιγράνην, ἐξαιτῶν Μιθριδάτην· αὐτὸς δ' ἦλθε πρὸς Ἀμισὸν ἔτι πολιορκουμένην. Αἴτιος δ' ἦν Καλλίμαχος ὁ στρατηγὸς, ἐμπειρίᾳ μηχανικῆς παρασκευῆς, καὶ δεινότητι πανουργίας, ὅσην πολιορκία δέχεται, πλεῖστα λυπήσας Ῥωμαίους· ὧν ὕστερον ἔδωκε δίκην. Τότε δ' ὑπὸ Λουκούλλου καταστρατηγηθείς, ὑφ' ἧν ἔθος εἶχεν ὥραν τῆς ἡμέρας ἀπάγειν καὶ ἀναπαύειν τοὺς στρατιώτας, ἐν ἐκείνῃ προσβαλόντος αἰφνιδίως, καὶ κατασχόντος οὐ πολὺ μέρος τοῦ τείχους, αὐτὸς ἐκλιπὼν τὴν πόλιν ὑφῆψεν· εἴτε φθονῶν ὠφεληθῆναι Ῥωμαίους, εἴτε ῥᾳστώνην φυγῆς ἑαυτῷ μηχανώμενος. Οὐδεὶς γὰρ ἐφρόντιζε τῶν ἐκπλεόντων, ἀλλὰ ταχέως ἡ φλὸξ ἀναδραμοῦσα πολλὴ τὰ τείχη περιέσχε· καὶ οἱ μὲν στρατιῶται παρεσκευάζοντο πρὸς ἁρπαγὴν, ὁ δὲ Λούκουλλος, οἰκτείρων ἀπολλυμένην τὴν πόλιν, ἔξωθεν ἐβοήθει πρὸς τὸ πῦρ, καὶ σβεννύναι παρεκάλει, μηδενὸς αὐτῷ προσέχοντος, ἀλλ' ἐξαιρουμένων τὰ χρήματα, καὶ μετὰ βοῆς ὅπλα κρουόντων, ἕως ἐκβιασθεὶς ἐπέτρεψεν, ὡς αὐτήν γε τὴν πόλιν ἐξαιρησόμενος τοῦ πυρός. Οἱ δὲ τοὐναντίον ἔπραξαν. Πάντα γὰρ ἐξερευνῶντες ὑπὸ λαμπάδων, καὶ παντα-χοῖ φῶς ἐπιφέροντες, αὐτοὶ τὰ πλεῖστα τῶν οἰκημά-

Digitized by Google

των καθεῖλον· ὥστε τὸν Λούκουλλον, εἰσελθόντα μεθ' ἡμέραν καὶ δακρύσαντα, πρὸς τοὺς φίλους εἰπεῖν, ὡς πολλάκις ἤδη Σύλλαν μακαρίσας, μάλιστα τῇ σήμερον ἡμέρᾳ τὴν τἀνδρὸς εὐτυχίαν θαυμάσειεν, ὅτι σῶσαι βουληθεὶς ἐδυνήθη τὰς Ἀθήνας. „Ἐμὲ δ' (ἔφη), τούτου ζηλωτὴν γενόμενον, εἰς τὴν Μομμίου δόξαν ὁ δαίμων περιέστησεν.“ Οὐ μὴν ἀλλ' ἐκ τῶν παρόντων ἀναλαμβάνειν ἐπειρᾶτο τὴν πόλιν. Καὶ τὸ μὲν πῦρ ὄμβροι κατέσβεσαν ἔκ τινος θείας τύχης περὶ τὴν ἅλωσιν αὐτὴν συμπεσόντες. Τὰ δὲ πλεῖστα τῶν ἀπολωλότων αὐτὸς ἔτι παρὼν ἀνῳκοδόμησε, καὶ τοὺς φεύγοντας Ἀμισηνῶν ἐδέξατο, καὶ τῶν ἄλλων Ἑλλήνων κατῴκισε τοὺς βουλομένους, εἴκοσι καὶ ἑκατὸν σταδίων χώραν προσορίσας. Ἦν δ' ἡ πόλις Ἀθηναίων ἄποικος, ἐν ἐκείνοις ἄρα τοῖς καιροῖς, ἐν οἷς ἤκμαζεν ἡ δύναμις αὐτῶν, καὶ κατεῖχε τὴν θάλασσαν, οἰκισθεῖσα. Καὶ διὰ τοῦτο πολλοὶ τῶν τὴν Ἀριστίωνος τυραννίδα βουλομένων φεύγειν, εἰσπλεύσαντες αὐτοῦ κατῴκουν, καὶ μετεῖχον τῆς πολιτείας, οἷς συνέβη τὰ οἰκεῖα διαφεύγουσιν ἀπολαῦσαι τῶν ἀλλοτρίων. Ἀλλὰ τούς γε σωθέντας αὐτῶν ὁ Λούκουλλος ἀμφιέσας καλῶς, καὶ διακοσίας ἑκάστῳ δραχμὰς ἐπιδοὺς ἀπέστειλε. Τότε καὶ Τυραννίων ὁ γραμματικὸς ἑάλω. Μουρήνας δ' αὐτὸν ἐξητήσατο, καὶ λαβὼν ἀπηλευθέρωσεν, ἀνελευθέρως τῇ δωρεᾷ χρησάμενος. Οὐ γὰρ ἠξίου Λούκουλλος ἄνδρα διὰ παιδείαν ἐσπουδασμένον, δοῦλον γενέσθαι πρότερον, εἶτα ἀπελεύθερον. Ἀφαίρεσις γὰρ ἦν τῆς ὑπαρχούσης, ἡ τῆς δο-

Digitized by Google

κούσης ἐλευθερίας δύσις. Ἀλλὰ Μουρήνας μὲν οὐκ ἐνταῦθα μόνον ὤφθη πολὺ τῆς τοῦ στρατηγοῦ καλοκαγαθίας ἀποδέων.

XX. Λούκουλλος δὲ τρέπεται πρὸς τὰς ἐν Ἀσίᾳ πολεις, ὅπως, τῶν πολεμικῶν ἔργων σχολάζοντος αὐτοῦ, καὶ δίκης τινὸς μετάσχῃ καὶ θεσμῶν, ὧν ἐπὶ πολὺν χρόνον ἐνδεῆ τὴν ἐπαρχίαν οὖσαν ἄῤῥητοι καὶ ἄπιστοι δυστυχίαι κατεῖχον, ὑπὸ τῶν τελωνῶν καὶ τῶν δανειστῶν προθουμένην καὶ ἀνδραποδιζομένην, πιπράσκειν ἰδία μὲν υἱοὺς εὐπρεπεῖς, θυγατέρας δὲ παρθένους, δημοσίᾳ δ' ἀναθήματα, γραφὰς, ἱεροὺς ἀνδριάντας, ἀναγκαζομένων. Αὐτοῖς δὲ τέλος μὲν ἦν προσθέτοις γενομένοις δουλεύειν· τὰ δὲ πρὸ τούτου χαλεπώτερα, σχοινισμοὶ, καὶ κιγκλίδες, καὶ ἵπποι, καὶ στάσεις ὕπαιθροι, καύματος μὲν ἐν ἡλίῳ, ψύχους δ' εἰς πηλὸν ἐμβιβαζομένων, ἢ πάγον· ὥστε τὴν δουλείαν σεισάχθειαν δοκεῖν εἶναι καὶ εἰρήνην. Τοιαῦτα μὲν κακὰ Λούκουλλος εὑρὼν ἐν ταῖς πόλεσιν, ὀλίγῳ χρόνῳ πάντων ἀπήλλαξε τοὺς ἀδικουμένους. Πρῶτον μὲν γὰρ ἑκατοστὴν ἐκέλευσε, καὶ μὴ πλέον, εἰς τοὺς τόκους λογίζεσθαι· δεύτερον δὲ τοὺς μακροτέρους τοῦ ἀρχαίου τόκους ἀπέκοψε. Τὸ δὲ τρίτον καὶ μέγιστον, ἔταξε τῶν τοῦ χρεωφειλέτου προσόδων τὴν τετάρτην μερίδα καρποῦσθαι τὸν δανειστήν· ὁ δὲ τόκον κεφαλαίῳ συνάψας ἐστέρητο τοῦ παντός. Ὥστ' ἐν ἐλάττονι χρόνῳ τετραετίας διαλυθῆναι τὰ χρέα πάντα, καὶ τὰς κτήσεις ἐλευθέρας ἀποδοθῆναι τοῖς δεσπόταις. Ἦν δὲ τοῦτο κοινὸν θάνειον ἐκ τῶν δισ-

Digitized by Google

μυρίων ταλάντων, οἷς τὴν Ἀσίαν ἐζημίωσεν ὁ Σίλλας· καὶ διπλοῦν ἀπεδύθη τοῖς δανείσασιν, ὑπ' ἐκείνων ἀνηγμένον ἤδη τοῖς τόκοις εἰς δώδεκα μυριάδας ταλάντων. Ἐκεῖνοι μὲν οὖν, ὡς δεινὰ πεπονθότες, ἐν Ῥώμῃ τοῦ Λουκούλλου κατεβόων, καὶ χρήμασιν ἀνίστασαν ἐπ' αὐτὸν ἐνίους τῶν δημαγωγῶν, μέγα δυνάμενοι, καὶ πολλοὺς ὑπόχρεως πεποιημένοι τῶν πολιτευομένων. Ὁ δὲ Λούκουλλος οὐ μόνον ὑπὸ τῶν εὖ πεπονθότων ἠγαπᾶτο δήμων, ἀλλὰ καὶ ταῖς ἄλλαις ἐπαρχίαις ποθεινὸς ἦν, εὐδαιμονιζούσαις τοὺς ἡγεμόνος τοιούτου τυχόντας.

XXI. Ἄππιος δὲ Κλώδιος, ὃ πεμφθεὶς πρὸς Τιγράνην, (ἦν δ' ὁ Κλώδιος ἀδελφὸς τῆς τότε Λουκούλλῳ συνοικούσης) πρῶτον μὲν ὑπὸ τῶν βασιλικῶν ὁδηγῶν κύκλον τινὰ καὶ περιβολὴν ἔχουσαν οὐκ ἀναγκαίαν καὶ πολυήμερον ὁδὸν διὰ τῆς ἄνω χώρας ἀγόμενος, μηνύσαντος αὐτῷ τὴν εὐθεῖαν ὁδὸν ἀπελευθέρου, Σύρου τὸ γένος, ἐκτρέπεται τῆς μακρᾶς ἐκείνης καὶ σοφιστικῆς, ἐρρῶσθαι φράσας πολλὰ τοῖς βαρβάροις ἀγωγοῖς· καὶ δι' ἡμερῶν ὀλίγων τὸν Εὐφράτην περάσας, εἰς Ἀντιόχειαν ἦκε τὴν ἐπὶ Δάφνης. Ἐπεὶ δὲ Τιγράνην αὐτοῦ κελευσθεὶς περιμένειν, ἀπῆν γὰρ ἐνίας ἔτι τῶν ἐν Φοινίκῃ πόλεων καταστρεφόμενος) πολλοὺς μὲν ᾠκειώσατο τῶν ὑπούλως ἀκροωμένων τοῦ Ἀρμενίου δυναστῶν, ὧν εἷς ἦν καὶ Ζαρβιηνὸς, ὁ τῆς Γορδυηνῆς βασιλεύς· πολλαῖς δὲ κρύφα τῶν δεδουλωμένων πόλεων, διαπεμπομέναις πρὸς αὐτὸν, ὑπέσχετο τὴν Λουκούλλου βοήθειαν, ἐν τῷ

Digitized by Google

παρόντι κελεύσας ἡσυχάζειν. Ἦν γὰρ οὐκ ἀνασχετὴ τῶν Ἀρμενίων ἡ ἀρχὴ τοῖς Ἕλλησιν, ἀλλὰ χαλεπή· καὶ μάλιστα τοῦ βασιλέως αὐτοῦ τὸ φρόνημα τραγικὸν καὶ ὑπέρογκον ἐν ταῖς μεγάλαις εὐτυχίαις ἐγεγόνει, πάντων, ὅσα ζηλοῦσιν οἱ πολλοὶ καὶ θαυμάζουσιν, οὐ μόνον ὄντων περὶ αὐτόν, ἀλλὰ καὶ δι' αὐτὸν γεγονέναι δοκούντων. Ἀρξάμενος γὰρ ἀπὸ μικρᾶς καὶ καταφρονουμένης ἐλπίδος, ἔθνη πολλὰ κατεστρέψατο, καὶ τὴν Πάρθων, ὡς ἄλλος οὐδείς, δύναμιν ἐταπείνωσεν, Ἑλλήνων δὲ τὴν Μεσοποταμίαν ἀνέπλησε, πολλοὺς μὲν ἐκ Κιλικίας, πολλοὺς δ' ἐκ Καππαδοκίας ἀνασπάστους κατοικίζων. Ἐκίνησε δ' ἐξ ἠθῶν καὶ Ἄραβας τοὺς Σκηνίτας μεταγαγών, καὶ πλησίον ἱδρύσας, ὅπως χρῷτο δι' ἐκείνων ταῖς ἐμπορίαις. Βασιλεῖς δὲ, πολλοὶ μὲν ἦσαν οἱ θεραπεύοντες αὐτόν· τέσσαρες δὲ, οὓς ἀεὶ περὶ αὑτὸν εἶχεν, ὥσπερ ὀπαδοὺς, ἢ δορυφόρους, ἱππότῃ μὲν ἐλαύνοντι πεζοὺς παραθέοντας ἐν χιτωνίσκοις, καθημένῳ δὲ καὶ χρηματίζοντι περιεστῶτας ἐπηλλαγμέναις δι' ἀλλήλων ταῖς χερσίν· ὅπερ ἐδόκει μάλιστα τῶν σχημάτων ἐξομολόγησις εἶναι δουλείας, οἷον ἀποδομένων τὴν ἐλευθερίαν, καὶ τὸ σῶμα τῷ κυρίῳ παρεχόντων παθεῖν ἑτοιμότερον, ἢ ποιῆσαι. Ταύτην μέντοι τὴν τραγῳδίαν οὐχ ὑποτρέσας, οὐδ' ἐκπλαγεὶς Ἄππιος, ὡς ἔτυχε λόγου πρῶτον, ἄντικρυς ἦκεν ἔφη Μιθριδάτην ἀπάξων, ὀφειλόμενον τοῖς Λουκούλλου θριάμβοις, ἢ καταγγελῶν Τιγράνῃ πόλεμον· ὥστε τὸν Τιγράνην, καίπερ ἐν διαχύσει τοῦ προσώπου καὶ μειδιάματι

Digitized by Google

πεπλασμένῳ πειρώμενον ἀκούειν τῶν λόγων, μὴ λαθεῖν τοὺς παρόντας ἠλλοιωμένον τῇ παῤῥησίᾳ τοῦ νεανίσκου, φανῆς σχεδὸν ἐλευθέρας ἀκούοντα διὰ πέντε καὶ εἴκοσιν ἐτῶν· τοσοῦτα γὰρ ἐβασίλευσε, μᾶλλον δὲ ὕβρισεν. Ἀπεκρίνατο μὲν οὖν τῷ Ἀππίῳ μὴ προήσεσθαι Μιθριδάτην, καὶ Ῥωμαίους πολέμου ἄρχοντας ἀμυνεῖσθαι. Μουσούλλῳ δ' ὀργιζόμενος, ὅτι βασιλέα μόνον αὐτὸν, οὐ βασιλέα βασιλέων, ἐν τῇ ἐπιστολῇ προσηγόρευσεν, οὐδ' αὐτὸς ἀντιγράφων αὐτοκράτορα προσεῖπεν. Ἔπεμψε δὲ δῶρα τῷ Ἀππίῳ λαμπρὰ, καὶ μὴ λαβόντος, ἄλλα πλείω προσέθηκεν. Ἐκ τούτων ὁ Ἄππιος, οὐκ ἐθέλειν δοκεῖν ἔχθρα τινὶ διωθεῖσθαι, φιάλην δεξάμενος μίαν, ἀπέπεμψε τὰ λοιπὰ, καὶ διὰ ταχέων ἀπήλαυνε πρὸς τὸν αὐτοκράτορα.

XXII. Τιγράνης δὲ Μιθριδάτην πρότερον μὲν οὐδ' ἰδεῖν ἠξίωσεν, οὐδὲ προσειπεῖν οἰκεῖον ἄνδρα, βασιλείας ἐκπεπτωκότα τηλικαύτης, ἀλλ' ἀτίμως καὶ ὑπερηφάνως ἀπωτάτω περιεῖδεν αὐτὸν τρόπον τινὰ φρουρούμενον ἐν χωρίοις ἑλώδεσι καὶ νοσεροῖς· τότε δὲ σὺν τιμῇ καὶ φιλοφροσύνῃ μετεπέμψατο αὐτόν. Καὶ δὴ λόγων εἰς τὰ βασίλεια γενομένων ἀποῤῥήτων, τὰς πρὸς ἀλλήλους ἐθεράπευον ὑποψίας ἐπὶ κακῷ τῶν φίλων, εἰς ἐκείνους τὰς αἰτίας τρέποντες. Ὧν ἦν καὶ Μητρόδωρος ὁ Σκήψιος, ἀνὴρ εἰπεῖν οὐκ ἀηδὴς, καὶ πολυμαθὴς, ἀκμῇ δὲ φιλίας τοσαύτῃ χρησάμενος, ὥστε πατὴρ προσαγορεύεσθαι τοῦ βασιλέως. Τοῦτον, ὡς ἔοικεν, ὁ Τιγράνης, πεμφθέντα πρεσβευ-

Digitized by Google

τὴν ὑπὸ τοῦ Μιθριδάτου πρὸς αὐτὸν, δεομένου βοηθεῖν ἐπὶ Ῥωμαίους, ἤρετο „Σὺ δ' αὐτὸς, ὦ Μητρόδωρε, τί μοι περὶ τούτων παραινεῖς;" Κἀκεῖνος, εἴτε πρὸς τὸ Τιγράνου συμφέρον, εἴτε Μιθριδάτην σώζεσθαι μὴ βουλόμενος, ὡς μὲν πρεσβευτὴς, ἔφη, κελεύειν, ὡς δὲ σύμβουλος, ἀπαγορεύειν. Ταῦτ' ἐξήνεγκεν ὁ Τιγράνης τῷ Μιθριδάτῃ, καὶ κατέλιπεν, ὡς οὐδὲν ἐργασομένῳ τὸν Μητρόδωρον ἀνήκεστον. Ὁ δ' εὐθὺς ἀνῄρητο· καὶ μετέγνωσαν τὸν Τιγράνην εἶχον, οὐ παντελῶς ὄντα τῷ Μητροδώρῳ τῆς συμφορᾶς αἴτιον, ἀλλὰ φοπήν τινα τῷ πρὸς αὐτὸν ἔχθει τοῦ Μιθριδάτου προσθέντα. Πάλαι γὰρ ὑπούλως εἶχε πρὸς τὸν ἄνδρα· καὶ τοῦτ' ἐφωράθη, τῶν ἀποῤῥήτων αὐτοῦ γραμμάτων ἁλόντων, ἐν οἷς ἦν καὶ Μητρόδωρον ἀπολέσθαι διατεταγμένον. Ἔθαψεν οὖν ὁ Τιγράνης λαμπρῶς τὸ σῶμα, μηδεμιᾶς πολυτελείας φεισάμενος εἰς νεκρὸν, ὃν ζῶντα προὔδωκεν. Ἐτελεύτησε δὲ παρὰ τῷ Τιγράνῃ καὶ Ἀμφικράτης ὁ ῥήτωρ· εἰ δεῖ καὶ τούτου μνήμην τινὰ γενέσθαι διὰ τὰς Ἀθήνας. Λέγεται γὰρ φυγεῖν μὲν αὐτὸν εἰς Σελεύκειαν τὴν ἐπὶ Τίγριδι· δεομένων δ' αὐτόθι σοφιστεύειν, ὑπεριδεῖν, καταλαζονευσάμενον, ὡς οὐδὲ λεκάνη δέλφινα χωρεῖ· μεταστάντα δὲ πρὸς Κλεοπάτραν, τὴν Μιθριδάτου θυγατέρα, Τιγράνῃ δὲ συνοικοῦσαν, ἐν διαβολῇ γενέσθαι ταχὺ, καὶ τῆς πρὸς τοὺς Ἕλληνας ἐπιμιξίας εἴργόμενον ἀποκαρτερῆσαι. Ταφῆναι δὲ καὶ τοῦτον ἐντίμως ὑπὸ τῆς Κλεοπάτρας, καὶ κεῖσθαι περὶ Σαφὰν, ἐκεῖτι χωρίον οὕτω καλούμενον.

Digitized by Google

XXIII. Λούκουλλος δὲ τὴν Ἀσίαν πολλῆς μὲν εὐνομίας, πολλῆς δ' εἰρήνης ἐμπεπληκώς, οὐδὲ τῶν πρὸς ἡδονὴν καὶ χάριν ἠμέλησεν· ἀλλὰ πομπαῖς καὶ πανηγύρεσιν ἐπινικίοις, καὶ ἀγῶσιν ἀθλητῶν καὶ μονομάχων ἐν Ἐφέσῳ καθήμενος ἐδημαγώγει τὰς πόλεις. Αἱ δ' ἀμειβόμεναι Λουκούλλειά τ' ἦγον ἐπὶ τιμῇ τοῦ ἀνδρὸς, καὶ τῆς τιμῆς ἡδίονα τὴν ἀληθινὴν εὔνοιαν αὐτῷ πάρεῖχον. Ἐπεὶ δ' Ἄππιός τε ἦκε, καὶ πολεμητέον πρὸς Τιγράνην ἐφαίνετο, παρῆλθεν αὖθις εἰς Πόντον· καὶ τοὺς στρατιώτας ἀναλαβὼν, ἐπολιόρκει Σινώπην, μᾶλλον δὲ τοὺς κατέχοντας αὐτὴν βασιλικοὺς Κίλικας, οἳ πολλοὺς μὲν ἀνελόντες τῶν Σινωπέων, τὴν δὲ πόλιν ἐμπρήσαντες, διὰ νυκτὸς ἔφυγον. Αἰσθόμενος δ' ὁ Λούκουλλος, καὶ παρελθὼν εἰς τὴν πόλιν, ὀκτακισχιλίους αὐτῶν τοὺς ἐγκαταλειφθέντας ἀπέκτεινε· τοῖς δ' ἄλλοις ἀπέδωκε τὰ οἰκεῖα, καὶ τῆς πόλεως ἐπεμελήθη, μάλιστα διὰ τὴν τοιαύτην ὄψιν. Ἐδόκει τινὰ κατὰ τοὺς ὕπνους εἰπεῖν παραστάντα· „Πρόελθε, Λούκουλλε, μικρόν· ἥκει γὰρ Αὐτόλυκος ἐντυχεῖν σοι βουλόμενος.“ Ἐξαναστὰς δὲ, τὴν μὲν ὄψιν οὐκ εἶχε συμβαλεῖν εἰς ὃ φέροι· τὴν δὲ πόλιν εἶλε κατ' ἐκείνην τὴν ἡμέραν, καὶ τοὺς ἐμπλέοντας τῶν Κιλίκων διώκων, ὁρᾷ παρὰ τὸν αἰγιαλὸν ἀνδριάντα κείμενον, ὃν ἐκκομίζοντες οἱ Κίλικες οὐκ ἔφθασαν ἐμβαλέσθαι. Τὸ δ' ἔργον ἦν Σθένιδος τῶν καλῶν. Φράζει οὖν τις, ὡς Αὐτολύκου, τοῦ κτίσαντος τὴν Σινώπην, ὁ ἀνδριὰς εἴη. Λέγεται δ' ὁ Αὐτόλυκος γενέσθαι τῶν ἐπὶ τὰς Ἀμαζόνας ἐκ Θεν-

Digitized by Google

ταλίας Ἡρακλεῖ συστρασευσάνσων, Δημάχου παῖς· ἐκεῖθεν δ' ἀποπλέων ἅμα Δημολέοντι καὶ Φλογίῳ, τὴν μὲν ναῦν ἀπολέσαι, περιπεσοῦσαν τῆς Χερρονήσου κατὰ τὸ καλούμενον Πηδάλιον, αὐτὸς δὲ σωθεὶς μετὰ τῶν ὅπλων καὶ τῶν ἑταίρων πρὸς τὴν Σινώπην, ἀφελέσθαι τοὺς Σύρους τὴν πόλιν· Σύροι γὰρ αὐτὴν κατεῖχον, ἀπὸ Σύρου γεγονότες τοῦ Ἀπόλλωνος, ὡς λέγεται, καὶ Σινώπης τῆς Ἀσωπίδος. Ταῦτ' ἀκούων ὁ Λούκουλλος, ἀνεμιμνήσκετο τῆς Σύλλα παραινέσεως. Παρῆνει δέ διὰ τῶν ὑπομνημάτων ἐκεῖνος, μηδὲν οὕτως ἀξιόπιστον ἡγεῖσθαι καὶ βέβαιον, ὡς ὅ τι ἂν ἀποσημανθῇ διὰ τῶν ἐνυπνίων. Πυνθανόμενος δὲ, Μιθριδάτην τι καὶ Τιγράνην εἰς Λυκαονίαν καὶ Κιλικίαν ὅσον οὔπω διαβιβάζειν δύναμιν, ὡς προτέρους ἐμβαλοῦντας εἰς τὴν Ἀσίαν, ἐθαύμαζε τὸν Ἀρμένιον, εἰ γνώμην ἔχων ἐπιθέσθαι Ῥωμαίοις, ἀκμάζοντι μὲν οὐκ ἐχρῆτο Μιθριδάτῃ πρὸς τὸν πόλεμον, οὐδ' ἐῤῥωμένοις τοῖς ἐκείνου τὰ παρ' αὐτοῦ συνῆπτεν· ἀπολέσθαι δ' ἐάσας καὶ συντριβῆναι, νῦν ἐπὶ ψυχραῖς ἐλπίσιν ἄρχεται πολέμου, τοῖς ἀναστῆναι μὴ δυναμένοις συγκαταβάλλων ἑαυτόν.

XXIV. Ἐπειδὴ δὲ καὶ Μαχάρης, ὁ Μιθριδάτου παῖς, ἔχων τὸν Βόσπορον, ἔπεμψεν αὐτῷ στέφανον ἀπὸ χρυσῶν χιλίων, δεόμενος Ῥωμαίων ἀναγραφῆναι φίλος καὶ σύμμαχος· ἤδη οἰόμενος τὰ τοῦ προτέρου πολέμου πέρας ἔχειν, Σωρνάτιον μὲν αὐτοῦ φύλακα τῶν Ποντικῶν ἀπέλιπε μετὰ στρατιωτῶν ἑξακισχιλίων· αὐτὸς δὲ μυρίους μὲν ἄγων καὶ δισχιλίους πεζοὺς,

Digitized by Google

ἱππεῖς δὲ τρισχιλίων ἐλάττους, ἐπὶ τὸν δεύτερον ἐχώρει πόλεμον, ὁρμῇ τινι δοκῶν παραβόλῳ, καὶ σωτήριον οὐκ ἐχούσῃ λογισμόν, ἐμβαλεῖν αὐτὸν εἰς ἔθνη μάχιμα, καὶ μυριάδας ἱππέων πολλὰς, καὶ ἀχανῆ χώραν, βαθέσι μὲν ποταμοῖς, ἀεὶ δὲ κατανιφομένοις ὄρεσι περιεχομένην· ὥστε τοὺς μὲν στρατιώτας, οὐδ' ἄλλως ὄντας εὐτάκτους, ἄκοντας ἕπεσθαι καὶ ζυγομαχοῦντας, ἐν δὲ Ῥώμῃ καταβοᾶν καὶ διαμαρτύρεσθαι τοὺς δημαγωγοὺς, ὡς πόλεμον ἐκ πολέμου διώκει Λούκουλλος, οὐδὲν τῆς πόλεως δεομένης, ἀλλ' ὑπὲρ τοῦ στρατηγῶν μηδέποτε καταθέσθαι τὰ ὅπλα, μηδὲ παύσασθαι χρηματιζόμενος ἀπὸ τῶν κοινῶν κινδύνων. Οὗτοι μὲν οὖν ἐξεργάσαντο χρόνῳ τὴν αὐτῶν ὑπόθεσιν· Λούκουλλος δὲ συντόνως ὁδεύσας ἐπὶ τὸν Εὐφράτην, καὶ κατιόντα πολὺν καὶ θολερὸν ὑπὸ χειμῶνος εὑρὼν, ἠσχάλλεν, ὡς διατριβῆς αὐτῷ καὶ πραγματείας ἐσομένης, συνάγοντι πορθμεῖα, καὶ πηγνυμένῳ σχεδίας. Ἀρξάμενον δ' ἀφ' ἑσπέρας ὑποχωρεῖν τὸ ῥεῦμα, καὶ μειούμενον διὰ τῆς νυκτὸς, ἅμ' ἡμέρᾳ κοῖλον ὀφθῆναι παρέσχε τὸν ποταμόν. Οἱ δ' ἐπιχώριοι, νησίδας ἐν τῷ πόρῳ μικρὰς διαφανείσας θεασάμενοι, καὶ τεναγίζοντα τὸν ῥοῦν ἐπ' αὐταῖς, προσεκύνουν τὸν Λούκουλλον, ὡς δὴ ὀλιγάκις τούτου συμβεβηκότος πρότερον· ἐκείνῳ δ' ἑκουσίως χειροήθη καὶ πρᾷον αὐτὸν ἐνδιδόντος τοῦ ποταμοῦ, καὶ παρέχοντος ἀπράγμονα καὶ ταχεῖαν τὴν διάβασιν. Χρησάμενος οὖν τῷ καιρῷ, διεβίβαζε τὴν στρατιὰν, καὶ γίνεται σημεῖον αὐτῷ χρηστὸν ἅμα τῇ δια-

Digitized by Google

βάσει. Βόες ἱεραὶ νέμονται Περσίας Ἀρτέμιδος, ἣν μάλιστα θεῶν οἱ πέραν Εὐφράτου βάρβαροι τιμῶσι. Χρῶνται δὲ ταῖς βουσὶ πρὸς θυσίαν μόνον, ἄλλως δὲ πλάζονται κατὰ τὴν χώραν ἄφετοι, χάραγμα φέρουσαι τῆς θεοῦ, λαμπάδα· καὶ λαβεῖν ἐξ αὐτῶν, ὅταν δεηθῶσιν, οὐ πάνυ ῥᾴδιόν ἐστιν, οὐδὲ μικρᾶς πραγματείας. Τούτων μία, τοῦ στρατοῦ διαβάντος τὸν Εὐφράτην, ἐλθοῦσαι πρός τινα πέτραν, ἱερὰν τῆς θεοῦ νομιζομένην, ἐπ' αὐτῆς ἕστη, καὶ καταβαλοῦσα τὴν κεφαλήν, ὥσπερ εἰ δεσμῷ κατατεινόμενον, θῦσαι τῷ Λουκούλλῳ παρέσχεν αὐτήν. Ἔθυσε δὲ καὶ τῷ Εὐφράτῃ ταῦρον διαβατήρια. Καὶνείνην μὲν αὐτοῦ τὴν ἡμέραν ηὐλίσατο, τῇ δ' ὑστεραίᾳ καὶ ταῖς ἑφεξῆς προῆγε διὰ τῆς Σωφηνῆς, οὐδὲν ἀδικῶν τοὺς ἀνθρώπους προσχωροῦντας αὐτῷ, καὶ δεχομένους τὴν στρατιὰν ἀσμένους. Ἀλλὰ καὶ τῶν στρατιωτῶν φρούριόν τι δοκοῦν ἔχειν χρήματα πολλὰ βουλομένων λαβεῖν· „Ἐκεῖνο (ἔφη) μᾶλλον τὸ φρούριον ἡμῖν ἐκκοπτέον ἐστὶ, (δείξας τὸν Ταῦρον ἔκπαθεν ὄντα,) ταῦτα δ' ἀπόκειται τοῖς νικῶσι." Συντείνας δὲ τὴν πορείαν, καὶ τὸν Τίγριν διαβὰς, ἐνέβαλεν εἰς τὴν Ἀρμενίαν.

XXV. Τιγράνῃ δ' ὡς ὁ πρῶτος ἀγγελίας ἥκοντα Λούκουλλον, οὐκ ἐχαίρησεν, ἀλλ' ἀπετέτμητο τὴν κεφαλήν, οὐδεὶς ἄλλος ἔφραζεν· ἀλλ' ἀγνοῶν ἐκαθῆστο περικαιόμενος ἤδη τῷ πολεμίῳ πυρὶ, λόγους ἀκούων πρὸς χάριν, ὡς μέγαν ὄντα Λούκουλλον στρατηγὸν, εἰ πρὸς Ἔφεσῳ Τιγράνην ὑποστείη,

Digitized by Google

καὶ μὴ φεύγων εὐθὺς ἐξ Ἀσίας οἴχοιτο, τὰς τοσαύτας μυριάδας ἰδών. Οὕτως οὔτε σώματος παντὸς ἔστι, πολὺν ἄκρατον ἐνεγκεῖν, οὔτε διανοίας τῆς τυχούσης, ἐν εὐτυχήμασι μεγάλοις μὴ ἐκστῆναι τῶν λογισμῶν. Πρῶτος δ' αὐτῷ τῶν φίλων ἐτόλμησε Μιθροβαρζάνης φράσαι τὸ ἀληθές. Οὐδ' οὗτος δὲ χρηστὸν ἠνέγκατο γέρας τῆς παῤῥησίας. Ἐπέμφθη γὰρ εὐθὺς ἐπὶ τὸν Λούκουλλον σὺν ἱππεῦσι τρισχιλίοις, πεζοῖς δὲ παμπόλλοις, κελευσθεὶς τὸν μὲν στρατηγὸν ἄγειν ζῶντα, τοὺς δ' ἄλλους καταπατῆσαι. Λουκούλλῳ δὲ τῆς στρατιᾶς ἡ μὲν ἤδη κατεζεύγνυεν, ἡ δὲ ἔτι προσήει. Τῶν δὲ σκοπῶν αὐτῷ φρασάντων ἐπελαύνοντα τὸν βάρβαρον, ἔδεισε, μὴ χωρὶς ὄντας καὶ οὐκ ἐν τάξει προσπεσὼν ταράξῃ. Καὶ αὐτὸς μὲν καθίστατο τὴν στρατοπεδείαν, Σεξτίλιον δὲ πρεσβευτὴν ἔπεμψεν ἱππεῖς ἔχοντα χιλίους ἑξακοσίους, ὁπλίτας δὲ καὶ ψιλοὺς οὐ πολλῷ πλείονας· κελεύσας ἐγγὺς προσελθόντα τοῖς πολεμίοις μένειν, ἕως ἂν πύθηται τοὺς μετ' αὐτοῦ κατεστρατοπεδευκότας. Ἐβούλετο μὲν οὖν ὁ Σεξτίλιος ταῦτα ποιεῖν, ἐβιάσθη δ' ὑπὸ τοῦ Μιθροβαρζάνου θρασέως ἐπελαύνοντος εἰς χεῖρας ἐλθεῖν. Καὶ γενομένης μάχης, ὁ μὲν Μιθροβαρζάνης ἔπεσεν ἀγωνιζόμενος, οἱ δ' ἄλλοι φεύγοντες ἀπώλοντο πλὴν ὀλίγων ἅπαντες. Ἐκ τούτου Τιγράνης μὲν, ἐκλιπὼν Τιγρανόκερτα, μεγάλην πόλιν, ἐκτισμένην ὑπ' αὐτοῦ, πρὸς τὸν Ταῦρον ἀνεχώρησε, καὶ τὰς δυνάμεις πανταχόθεν ἐνταῦθα συνῆγε. Λούκουλλος δὲ τῇ παρα-

Digitized by Google

σκευῇ χρόνον οὐ διδοὺς, Μουρήναν μὲν ἐξέπεμψεν ἐνοχλήσοντα καὶ περικόψοντα τοὺς ἀθροιζομένους πρὸς τὸν Τιγράνην, Σέξτίλιον δὲ πάλιν, Ἀράβων χεῖρα μεγάλην ἀνείρξοντα βασιλεῖ προσιοῦσαν. Ὁμοῦ δὲ Σεξτίλιος μὲν, ἐπιπεσὼν στρατόπεδον ποιουμένοις τοῖς Ἄραψι, τοὺς πλείστους διέφθειρε· Μουρήνας δ', ἑπόμενος Τιγράνῃ, τραχὺν αὐλῶνα καὶ στενόπορον στρατῷ μακρῷ διεκβάλλοντι, καιροῦ παρασχόντος, ἐπιτίθεται. Καὶ φεύγει μὲν αὐτὸς Τιγράνης, προέμενος τὴν ἀποσκευὴν ἅπασαν· ἀποθνήσκουσι δὲ πολλοὶ, καὶ πλείονες ἁλίσκονται τῶν Ἀρμενίων.

XXVI. Οὕτω δὲ τούτων προχωρούντων, ἄρας ὁ Λούκουλλος ἐπορεύετο πρὸς Τιγρανόκερτα, καὶ περιστρατοπεδεύσας, ἐπολιόρκει τὴν πόλιν. Ἦσαν δ' ἐν αὐτῇ πολλοὶ μὲν Ἕλληνες τῶν ἀναστάντων ἐκ Κιλικίας, πολλοὶ δὲ βάρβαροι τοῖς Ἕλλησιν ὅμοια πεπονθότες, Ἀδιαβηνοὶ, καὶ Ἀσσύριοι, καὶ Γορδυηνοὶ, καὶ Καππάδοκες· ὧν κατασκάψας τὰς πατρίδας, αὐτοὺς δὲ κομίσας, ἐκεῖ κατοικεῖν ἠνάγκασεν. Ἦν δὲ καὶ χρημάτων ἡ πόλις μεστὴ καὶ ἀναθημάτων, παντὸς ἰδιώτου καὶ δυνάστου τῷ βασιλεῖ συμφιλοτιμουμένου πρὸς αὔξησιν καὶ κατασκευὴν τῆς πόλεως. Διὸ καὶ συντόνως ἐπολιόρκει ὁ Λούκουλλος αὐτὴν, οὐκ ἀνέξεσθαι τὸν Τιγράνην οἰόμενος, ἀλλὰ καὶ παρὰ γνώμην ὑπ' ὀργῆς καταβήσεσθαι διαμαχούμενον, ὀρθῶς οἰόμενος. Πολλὰ δὲ Μιθριδάτης ἀπηγόρευσεν, ἀγγέλους πέμπων καὶ γράμματα, μὴ συνάπτειν μάχην, ἀλλὰ τοῖς ἵπποις περικόπτειν τὴν ἀγοράν.

Digitized by Google

πολλὰ δὲ Ταξίλης, ἦκον παρ' αὐτοῦ καὶ συστρατεύων, ἐδεῖτο τοῦ βασιλέως φυλάττεσθαι καὶ φεύγειν, ὡς ἄμαχον πρᾶγμα, τὰ Ῥωμαίων ὅπλα. Καὶ τά γε πρῶτα πρᾴως ἤκουε τούτων. Ἐπεὶ δὲ παντστρατιᾷ μὲν αὐτῷ συνῆλθον Ἀρμένιοι καὶ Γορδυηνοὶ, παντστρατιᾷ δὲ Μήδους καὶ Ἀδιαβηνοὺς ἄγοντες οἱ βασιλεῖς παρῆσαν, ἦκον δὲ πολλοὶ μὲν ἀπὸ τῆς ἐν Βαβυλῶνι θαλάσσης Ἄραβες, πολλοὶ δ' ἀπὸ τῆς Κασπίας Ἀλβανοὶ, καὶ Ἴβηρες Ἀλβανοῖς προσοικοῦντες, οὐκ ὀλίγοι δὲ τῶν περὶ τὸν Ἀράξην νεμομένων ἀβασίλευτοι, χάριτι καὶ δώροις πεισθέντες, ἀπήντησαν· ἐλπίδων δὲ καὶ θράσους καὶ βαρβαρικῶν ἀπειλῶν μεστὰ μὲν ἦν τὰ συμπόσια τοῦ βασιλέως, μεστὰ δὲ τὰ συμβούλια· παρεκινδύνευσε μὲν ὁ Ταξίλης ἀποθανεῖν, ὑπεναντιούμενος τῇ γνώμῃ τῆς μάχης, ἐδόκει δὲ καὶ Μιθριδάτης φθονῶν ἀποτρέπειν μεγάλου κατορθώματος. Ὅθεν οὐδ' ἀνέμεινεν αὐτὸν ὁ Τιγράνης, μὴ μετάσχοι τῆς δόξης, ἀλλ' ἐχώρει παντὶ τῷ στρατῷ, σφόδρα δυσφορῶν, ὡς λέγεται, πρὸς τοὺς φίλους, ὅτι πρὸς Λεύκουλλον αὐτῷ μόνον, οὐ πρὸς ἅπαντας ὁ ἀγὼν ἔσοιτο τοὺς Ῥωμαίων στρατηγοὺς ἐν ταὐτῷ γενομένους. Καὶ οὐ παντάπασιν ἦν τὸ θράσος αὐτοῦ μανιῶδες, οὐδ' ἄλογον, ἔθνη τοσαῦτα καὶ βασιλεῖς ἑπομένους, καὶ φάλαγγας ὁπλιτῶν, καὶ μυριάδας ἱππέων ἀποβλέποντος. Τοξότας μὲν γὰρ καὶ σφενδονήτας διςμυρίους ἦγεν, ἱππεῖς δὲ πεντακισμυρίους καὶ πεντακισχιλίους· ὧν ἑπτακισχίλιοι καὶ μύριοι κατάφρακτοι

ἦσαν, ὡς Λούκουλλος ἔγραψε πρὸς τὴν σύγκλητον· ὁπλιτῶν δὲ, τῶν μὲν εἰς σπείρας, τῶν δ' εἰς φάλαγγας συντεταγμένων, πεντεκαίδεκα μυριάδας, ὁδοποιοὺς δὲ καὶ γεφυρωτὰς, καὶ καθαρτὰς ποταμῶν, καὶ ὑλοτόμους, καὶ τῶν ἄλλων χρειῶν ὑπηρέτας, τρισμυρίους καὶ πεντακισχιλίους· οἳ τοῖς μαχομένοις ἐπιτεταγμένοι κατόπιν ὄψιν ἅμα καὶ ῥώμην παρεῖχον.

XXVII. Ὡς δ' ὑπερβαλὼν τὸν Ταῦρον, ἄθρους κατεφάνη, καὶ κατεῖδε πρὸς τοῖς Τιγρανοκέρτοις ἐπικαθήμενον τὸ στράτευμα τῶν Ῥωμαίων, ὁ μὲν ἐν τῇ πόλει βάρβαρος ὅμιλος ὀλολυγῇ καὶ κρότῳ τὴν ὄψιν ἐδέξατο, καὶ τοῖς Ῥωμαίοις ἀπὸ τῶν τειχῶν ἀπειλοῦντες ἐδείκνυσαν τοὺς Ἀρμενίους. Λουκούλλῳ δὲ, σκοποῦντι περὶ τῆς μάχης, οἱ μὲν ἄγειν ἐπὶ Τιγράνην, ἐάσαντα τὴν πολιορκίαν, συνεβούλευον, οἱ δὲ μὴ καταλιπεῖν ὀπίσω πολεμίους τοσούτους, μηδ' ἀνεῖναι τὴν πολιορκίαν. Ὁ δ', εἰπὼν ἑκατέρους μὲν οὐκ ὀρθῶς, ἀμφοτέρους δὲ καλῶς παραινεῖν, διεῖλε τὴν στρατιάν. Καὶ Μουρήναν μὲν ἑξακισχιλίους ἔχοντα πεζοὺς ἐπὶ τῆς πολιορκίας ἀπέλιπεν, αὐτὸς δὲ τέσσαρας καὶ εἴκοσι σπείρας ἀναλαβὼν, ἐν αἷς οὐ πλείονες ἦσαν μυρίων ὁπλιτῶν, καὶ τοὺς ἵππεις ἅπαντας, καὶ σφενδονήτας καὶ τοξότας περὶ χιλίους, ἐχώρει. Καὶ παρὰ τὸν ποταμὸν ἐν πεδίῳ μεγάλῳ κατεστρατοπεδεύσας, παντάπασι μικρὸς ἐφάνη Τιγράνῃ, καὶ τοῖς κολακεύουσιν αὐτὸν διατριβὴν παρεῖχεν, Οἱ μὲν γὰρ ἔσκωπτον· οἱ δ' ὑπὲρ τῶν λαφύρων ἐν παιδιᾷ ἐβάλλοντο κλῆρον. Τῶν δὲ στρατηγῶν καὶ βασι-

Digitized by Google

λέων ἕκαστος ἠιτεῖτο προσιὼν, αὐτοῦ μόνου γενέσθαι τὸ ἔργον, ἐκεῖνον δὲ καθέζεσθαι θεατήν. Βουλόμενος δέ τι καὶ αὐτὸς ὁ Τιγράνης χαρίεις εἶναι καὶ σκωπτικὸς, εἶπε τὸ θρυλλούμενον· „Εἰ μὲν ὡς πρεσβευταὶ πολλοὶ πάρεισιν· εἰ δ' ὡς στρατιῶται, ὀλίγοι." Καὶ τότε μὲν οὕτως εἰρωνευόμενοι καὶ παίζοντες διετέλεσαν. Ἅμα δ' ἡμέρᾳ Λούκουλλος ὡπλισμένην τὴν δύναμιν ἐξῆγε. Καὶ πρὸς ἕω μὲν ἦν τοῦ ποταμοῦ τὸ βαρβαρικὸν στράτευμα· τοῦ δὲ ῥεύματος ἀποστροφὴν λαμβάνοντος ἐπὶ τὰς δύσεις, ᾗ μάλιστα περάσιμον ἦν, ἀντιπαρεξάγων τὴν δύναμιν, καὶ σπεύδων, ἔδοξεν ἀποχωρεῖν τῷ Τιγράνῃ. Καὶ καλέσας τὸν Ταξίλην, ἅμα γέλωτι· „Τοὺς ἀμάχους (ἔφη) Ῥωμαίων ὁπλίτας οὐχ ὁρᾷς φεύγοντας;" Καὶ ὁ Ταξίλης· „Βουλοίμην ἂν (εἶπεν), ὦ βασιλεῦ, γενέσθαι τι τῷ σῷ δαίμονι τῶν παραλόγων· ἀλλ' οὔτ' ἐσθῆτα λαμπρὰν οἱ ἄνδρες λαμβάνουσιν ὁδοιποροῦντες, οὔτε θυρεοῖς ἐκκεκαθαρμένοις χρῶνται, καὶ κράνεσι γυμνοῖς, ὥσπερ νῦν τὰ σκύτινα τῶν ὅπλων σκεπάσματα περισπάσαντες· ἀλλὰ μαχουμένων ἐστὶν ἡ λαμπρότης αὕτη, καὶ βαδιζόντων ἤδη πρὸς τοὺς πολεμίους." Ταῦτα λέγοντος ἔτι τοῦ Ταξίλου, καταφανὴς ἦν πρῶτος ἀετὸς ἐπιστρέφοντος τοῦ Λουκούλλου, καὶ τάξιν αἱ σπεῖραι κατὰ λόχους λαμβάνουσαι πρὸς τὴν διάβασιν· καὶ μόλις, ὥσπερ ἐκ μέθης τινὸς ἀναφέρων ὁ Τιγράνης, δὶς, ἢ τρὶς ἐξέκραγεν· „Ἐφ' ἡμᾶς οἱ ἄνδρες;" ὥστε θορύβῳ πολλῷ τὸ πλῆθος εἰς τάξιν καθίστασθαι, βασιλέως

Digitized by Google

μὲν αὐτοῦ τὸ μέσον ἔχοντος, τῶν δὲ κεράτων τὸ μὲν ἀριστερὸν τῷ Ἀδιαβηνῷ, τὸ δὲ δεξιὸν τῷ Μήδῳ παραδόντος· ἐφ' οὗ καὶ τῶν καταφράκτων ἐν προτάγματι τὸ πλεῖστον ἦν. Λουκούλλῳ δὲ μέλλοντι διαβαίνειν τὸν ποταμὸν ἔνιοι τῶν ἡγεμόνων παρῄνουν φυλάττεσθαι τὴν ἡμέραν, μίαν οὖσαν τῶν ἀποφράδων, ἃς μελαίνας καλοῦσιν· ἐν ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ ἡ μετὰ Κουπίωνος ἀπώλετο στρατιά, συμβαλοῦσα Κίμβροις. Ὁ δ' ἀπεκρίνατο τὴν μνημονευομένην φωνήν· „Ἐγὼ (γὰρ ἔφη) καὶ ταύτην εὐτυχῆ ποιήσω Ῥωμαίοις τὴν ἡμέραν." Ἦν δὲ ἡ πρὸ μιᾶς νόμων Ὀκτωβρίων.

XXVIII. Ταῦτα δ' εἰπὼν, καὶ θαῤῥεῖν κελεύσας, τόν τε ποταμὸν διέβαινε, καὶ πρῶτος ἐπὶ τοὺς πολεμίους ἦγεῖτο, θώρακα μὲν ἔχων σιδηροῦν φολιδωτὸν ἀποστίλβοντα, κροσσωτὴν δὲ ἐφεστρίδα· τὸ δὲ ξίφος αὐτόθεν ὑποφαίνων γυμνὸν, ὡς εὐθὺς εἰς χεῖρας ἴεσθαι δέον ἐκβόλοις ἀνδράσι, καὶ συναιρεῖν τὴν διατοξεύσιμον χώραν τῷ τάχει τῆς ἐπαγωγῆς. Ἐπεὶ δὲ τὴν κατάφρακτον ἵππον, ἧς πλεῖστος ἦν λόγος, κατεῖδε κατατεταγμένην ὑπὸ λόφῳ τινὶ, τὴν ἄνω χώραν ἐπίπεδον καὶ πλατεῖαν ἔχοντι, πρόσβασιν δὲ τεττάρων σταδίων οὐ παντάπασι χαλεπὴν, οὐδ' ἀποκεκομμένην, Θρᾷκας μὲν ἱππεῖς καὶ Γαλάτας, οὓς εἶχεν, ἐκέλευσεν ἐκ πλαγίου προσφερομένους παρακρούεσθαι ταῖς μαχαίραις τοὺς κοντούς. Μία γὰρ ἀλκὴ τῶν καταφράκτων, κοντός· ἄλλο δ' οὐδὲν οὔθ' ἑαυτοῖς, οὔτε τοῖς πολεμίοις, χρῆσθαι

δύνανται, διὰ βάρος καὶ σκληρότητα τῆς σκευῆς, ἀλλ' ἐγκατοπλοδομημένοις ἐοίκασιν. Αὐτὸς δὲ δύο σπείρας ἀναλαβὼν, ἡμιλλᾶτο πρὸς τὸν λόφον, ἐρρωμένως ἑπομένων τῶν στρατιωτῶν, διὰ τὸ κἀκεῖνον ἐν τοῖς ὅπλοις ὁρᾶν πρῶτον καμοπαθοῦντα πεζὸν καὶ προσβιαζόμενον. Γενόμενος δ' ἄνω, καὶ στὰς ἐν τῷ περιφανεῖ τοῦ χωρίου, μέγα βοήσας· „Νενικήκαμεν (ἔφη), νενικήκαμεν, ὦ συστρατιῶται." Καὶ τοῦτ' εἰπὼν, ἐπῆγε τοῖς καταφράκτοις, καὶ κελεύσας μηδὲν ἔτι χρῆσθαι τοῖς ὑσσοῖς, ἀλλ' ἐκ χειρὸς ἕκαστον διαλαβόντα παίειν τῶν πολεμίων κνήμας τε καὶ μηροὺς, ἃ μόνα γυμνὰ τῶν καταφράκτων ἐστίν. Οὐ μὴν ἐδέησέ τι τούτης τῆς μάχης· οὐ γὰρ ἐδέξαντο τοὺς Ῥωμαίους, ἀλλ' ἀλαλάξαντες καὶ φεύγοντες αἴσχιστα πάντων, ἐκέωσαν ἑαυτούς τε καὶ τοὺς ἵππους βαρεῖς ὄντας εἰς τὰ τῶν πεζῶν ὅπλα, πρὶν ἄρξασθαί τινος ἐκείνους μάχης· ὥστε, μήτε τραύματος γενομένου, μήθ' αἵματος ὀφθέντος, ἡττᾶσθαι τὰς τοσαύτας μυριάδας. Ὁ δὲ πολὺς φόνος ἦδη φευγόντων ἐγίνετο, μᾶλλον δὲ βουλομένων φεύγειν. Οὐ γὰρ ἐδύναντο, πυκνότητι καὶ βάθει τῶν τάξεων ὑφ' αὑτῶν ἐμποδιζόμενοι. Τιγράνης δ' ἐξελάσας ἐν ἀρχῇ μετ' ὀλίγων ἔφευγεν, καὶ τὸν υἱὸν ὁρῶν κοινωνοῦντα τῆς αὐτῆς τύχης, περισπάσατο τὸ διάδημα τῆς κεφαλῆς, κἀκείνῳ δακρύσας παρέδωκε, σώζειν ἑαυτὸν, ὅπως δύναται, καθ' ἑτέρας ὁδοὺς κελεύσας. Ὁ δὲ νεανίας ἀναδήσασθαι μὲν οὐκ ἐτόλμησε, τῶν δὲ παίδων τῷ πιστοτάτῳ φυλάττειν ἔδωκεν. Οὗτος ἄλους

Digitized by Google

κατὰ τύχην, ἐνήχθη πρὸς Λούκουλλον, ὥστε μετὰ τῶν ἄλλων αἰχμαλώτων καὶ τὸ διάδημα γενέσθαι τὸ Τιγράνου. Λέγεται δὲ, τῶν μὲν πεζῶν ὑπὲρ δέκα μυριάδας διαφθαρῆναι, τῶν δ' ἱππέων ὀλίγους παντάπασι διαφυγεῖν. Ῥωμαίων δ' ἑκατὸν ἐτρώθησαν, ἔπεσον δὲ πέντε. Ταύτης τῆς μάχης Ἀντίοχος ὁ φιλόσοφος ἐν τῇ Περὶ θεῶν γραφῇ μνησθεὶς, οὗ φησιν ἄλλην ἐφεωρακέναι τοιαύτην τὸν ἥλιον. Στράβων δ', ἕτερος φιλόσοφος, ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασιν, αὐτοὺς λέγει τοὺς Ῥωμαίους αἰσχύνεσθαι καὶ καταγελᾶν ἑαυτῶν, ἐπ' ἀνδράποδα τοιαῦτα δεηθέντας ὅπλων. Διοΰϊος δ' εἴρηκεν, ὡς οὐδέποτε Ῥωμαῖοι πολεμίοις, ἀποδέοντες τοσούτῳ πλήθει, παρετάξαντο. Σχεδὸν γὰρ οὐδ' εἰκοστὸν, ἀλλ' ἔλαττον ἐγένοντο μέρος οἱ νικῶντες τῶν ἡσσημένων. Ῥωμαίων δ' οἱ δεινότατοι στρατηγοὶ, καὶ πλεῖστα πολέμοις ὡμιληκότες, ἐπῄνουν μάλιστα τοῦ Λουκούλλου τὸ δύο βασιλεῖς τοὺς ἐπιφανεστάτους καὶ μεγίστους δυσὶ τοῖς ἐναντιωτάτοις, τάχει καὶ βραδύτητι, καταστρατηγῆσαι. Μιθριδάτην μὲν γὰρ ἀκμάζοντα χρόνῳ καὶ τριβῇ κατηνάλωσε· Τιγράνῃ δὲ τῷ σπεῦσαι συνέτριψεν· ἐν ὀλίγοις τῶν πώποτε ἡγεμόνων, τῇ μελλήσει μὲν ἐνεργῷ, τῇ τόλμῃ δ' ὑπὲρ ἀσφαλείας χρησάμενος.

XXIX. Διὸ καὶ Μιθριδάτης οὐ συνέπεινεν ἐπὶ τὴν μάχην, τῇ συνήθει τὸν Λούκουλλον εὐλαβείᾳ καὶ παραγωγῇ πολεμήσειν οἰόμενος, ἀλλὰ καθ' ἡσυχίαν ἐπορεύετο πρὸς τὸν Τιγράνην. Καὶ πρῶτον μὲν ὀλίγοις τῶν Ἀρμενίων ἐντυχὼν κατ' ὁδὸν, ἐπτοημένοις καὶ

Digitized by Google

περιφόβοις ἀπιοῦσιν, εἴκασε τὸ πάθος, εἶτ' ἤδη πλειόνων γυμνῶν καὶ τετρωμένων ἁπαντώντων, πυθόμενος τὴν ἧττταν, ἐζήτει τὸν Τιγράνην. Εὑρὼν δὲ πάντων ἔρημον καὶ ταπεινῶν, οὐκ ἀνθύβρισεν, ἀλλὰ καταβὰς καὶ συνδακρύσας τὰ κοινὰ πάθη, θεραπείαν τε τὴν ἑπομένην αὐτῷ βασιλικὴν ἔδωκε, καὶ κατεθάῤῥυνε πρὸς τὸ μέλλον. Οὗτοι μὲν οὖν αὖθις ἑτέρας δυνάμεις συνῆγον. Ἐν δὲ τῇ πόλει τοῖς Τιγρανοκέρτοις τῶν Ἑλλήνων πρὸς τοὺς βαρβάρους στασιασάντων, καὶ τῷ Λουκούλλῳ τὴν πόλιν ἐνδιδόντων, προσβαλὼν εἷλε· καὶ τοὺς μὲν ἐν τῇ πόλει θησαυροὺς παρελάμβανε, τὴν δὲ πόλιν διαρπάσαι παρέδωκε τοῖς στρατιώταις, μετὰ τῶν ἄλλων χρημάτων ὀκτακισχίλια τάλαντα νομίσματος ἔχουσαν. Χωρὶς δὲ τούτων ὀκτακοσίας δραχμὰς κατ' ἄνδρα διένειμεν ἀπὸ τῶν λαφύρων. Πυνθανόμενος δὲ, πολλοὺς ἐν τῇ πόλει κατειλῆφθαι τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν, οὓς ὁ Τιγράνης πανταχόθεν ἠθροίκει, μέλλων ἀποδεικνύναι τὸ κατεσκευασμένον ὑπ' αὐτοῦ θέατρον, ἐχρήσατο τούτοις πρὸς τοὺς ἀγῶνας καὶ τὰς θέας τῶν ἐπινικίων. Τοὺς δ' Ἕλληνας εἰς τὰς αὐτῶν πατρίδας ἔπεμψε, προσθεὶς ἐφόδια, καὶ τῶν βαρβάρων ὁμοίως τοὺς ἠναγκασμένους κατοικεῖν. Ὥστε συνέβη, μιᾶς πόλεως διαλυθείσης, πολλὰς ἀνοικίζεσθαι, πάλιν κομιζομένας τοὺς αὑτῶν οἰκήτορας· ὑφ' ὧν ὡς εὐεργέτης ὁ Λούκουλλος καὶ κτίστης ἠγαπᾶτο. Προὐχώρει δὲ καὶ τἆλλα κατ' ἀξίαν τἀνδρὶ, τῶν ἀπὸ δικαιοσύνης καὶ φιλανθρωπίας ἐπαίνων ὀρεγο-

Digitized by Google

μένῳ μᾶλεον, ἢ τῶν ἐπὶ τοῖς πολεμικοῖς κατορθώμασιν. Ἐκείνων μὲν γὰρ οὐκ ὀλίγον ἡ στρατιὰ, καὶ τὸ πλεῖστον ἡ τύχη μετεῖχε· ταῦτα δ' ἦν ἡμέρου ψυχῆς καὶ πεπαιδευμένης ἐπίδειξις, οἷς ὁ Λούκουλλος τότε χωρὶς ὅπλων ἐχειροῦτο τοὺς βαρβάρους. Καὶ γὰρ Ἀράβων βασιλεῖς ἦκον πρὸς αὐτὸν, ἐγχειρίζοντες τὰ σφέτερα, καὶ τὸ Σωφηνῶν ἔθνος προσεχώρει. Τὸ δὲ Γορδυηνῶν οὕτω διέθηκεν, ὥστε βούλεσθαι τὰς πόλεις ἐκλιπόντας ἀκολουθεῖν ἐκείνῳ μετὰ παίδων καὶ γυναικῶν ἐθέλοντας, ἐξ αἰτίας τοιᾶσδε. Ζαρβιηνὸς γὰρ, ὁ τῶν Γορδυηνῶν βασιλεὺς, ὥσπερ εἴρηται, δι' Ἀππίου κρύφα Λουκούλλῳ διείλεκτο περὶ συμμαχίας, τὴν Τιγράνου τυραννίδα βαρυνόμενος. Μηνυθεὶς δ' ἀπεσφάγη, καὶ παῖδες αὐτοῦ καὶ γυνὴ συναπώλοντο, πρὶν ἢ Ῥωμαίους εἰς Ἀρμενίαν ἐμβαλεῖν. Τούτων οὐκ ἠμνημόνησεν ὁ Λούκουλλος, ἀλλὰ παρελθὼν εἰς τὴν Γορδυηνῶν, ταφὰς προὔθετο τοῦ Ζαρβιηνοῦ· καὶ πυρὰν ἐσθῆτι καὶ χρυσῷ βασιλικῷ καὶ τοῖς ἀπὸ Τιγράνου κοσμήσας λαφύροις, αὐτὸς παρὼν ὑφῆψε, καὶ χοὰς ἐπήνεγκε μετὰ φίλων καὶ οἰκείων τοῦ ἀνδρὸς, ἑταῖρον ἑαυτοῦ, καὶ Ῥωμαίων σύμμαχον ἀνακαλούμενος. Ἐκέλευσε δὲ καὶ μνημεῖον ἀπὸ χρημάτων συχνῶν αὐτῷ γενέσθαι· πάμπολλα γὰρ εὑρέθη, καὶ χρυσὸς καὶ ἄργυρος ἐν τοῖς Ζαρβιηνοῦ βασιλείοις. Σίτου δ' ἀπέκειντο μυριάδες τριακόσιαι μεδίμνων· ὥστε καὶ τοὺς στρατιώτας ὠφελεῖσθαι, καὶ τὸν Λούκουλλον θαυμάζεσθαι, ὅτι δραχμὴν μίαν ἐκ τοῦ δημοσίου

Digitized by Google

ταμιείου μὴ λαβὼν, αὐτὸν ἐξ αὑτοῦ διοίκει τὸν πόλεμον.

XXX. Ἐνταῦθα καὶ παρὰ τοῦ Πάρθων βασιλέως ἦκε πρεσβεία παρ' αὐτὸν, εἰς φιλίαν προκαλουμένου καὶ συμμαχίαν. Ἦν δ' ἀσμένῳ ταῦτα τῷ Λουκούλλῳ, καὶ πάλιν ἀντέπεμψε παρ' ἑαυτοῦ πρεσβείαν πρὸς τὸν Πάρθον, οἳ κατεφώρασαν αὐτὸν ἐπαμφοτερίζοντα τῇ γνώμῃ, καὶ μισθὸν αἰτοῦντα κρύφα τοῦ συμμαχῆσαι τῷ Τιγράνῃ τὴν Μεσοποταμίαν. Ὡς οὖν ταῦθ' ὁ Λούκουλλος ᾔσθετο, Τιγράνην μὲν ἔγνω καὶ Μιθριδάτην παρελθεῖν, ὥσπερ ἀνταγωνιστὰς ἀπειρηκότας, ἀποπειρᾶσθαι δὲ τῆς Πάρθων δυνάμεως, καὶ στρατεύειν ἐπ' αὐτούς· καλὸν ἡγούμενος μιᾷ ῥύμῃ πολέμου τρεῖς ἐφεξῆς, ὥσπερ ἀθλητὴς, βασιλεῖς καταπαλαῖσαι, καὶ διὰ τριῶν τῶν ὑπὸ τὸν ἥλιον μεγίστων ἡγεμονιῶν ἀήττητος καὶ νικῶν διεξελθεῖν. Ἔπεμψεν οὖν εἰς Πόντον τοῖς περὶ Σωρνάτιον ἡγεμόσιν, ἐπιστείλας ἄγειν τὴν ἐκεῖ στρατιὰν πρὸς αὐτὸν, ὡς ἐκ τῆς Γορδυηνῆς ἀναβησόμενος. Οἱ δὲ, καὶ πρότερον χαλεποῖς χρώμενοι καὶ δυσπειθέσι τοῖς στρατιώταις, τότε παντελῶς ἀπεκάλυψαν αὐτῶν τὴν ἀκολασίαν, οὐδενὶ τρόπῳ πειθοῦς οὐδ' ἀνάγκης εὑρόμενοι προσαγαγέσθαι, μαρτυρομένους καὶ βοῶντας, ὡς οὐδ' αὐτόθι μενοῦσιν, ἀλλ' οἰχήσονται τὸν Πόντον ἔρημον ἀπολιπόντες. Ταῦτα πρὸς Λούκουλλον ἀπαγγελθέντα καὶ τοὺς ἐκεῖ προσδιέφθειρε στρατιώτας, ἤδη μὲν ὑπὸ πλούτου καὶ τρυφῆς βαρεῖς γεγονότας πρὸς τὴν στρατείαν, καὶ

Digitized by Google

σχολῆς δεομένους· ὡς δὲ τὴν ἐκείνων ἐπύθοντο παῤῥησίαν, ἄνδρας αὐτοὺς ἀπεκάλουν, καὶ μιμητέον αὐτοὺς ἔφασαν εἶναι· πολλὰ γὰρ αὐτοῖς ἄξια σωτηρίας καὶ ἀναπαύσεως κατειργάσθαι.

XXXI. Τοιούτων δὲ καὶ πονηροτέρων ἔτι λόγων αἰσθόμενος ὁ Λούκουλλος, τὴν ἐπὶ Πάρθους στρατείαν ἀφῆκεν, αὖθις δ' ἐπὶ τὸν Τιγράνην ἐβάδιζε, θέρους ἀκμάζοντος. Καὶ τὸν Ταῦρον ὑπερβαλὼν, ἠθύμησε χλωρῶν τῶν πεδίων ἐκφανέντων· τοσοῦτον αἱ ὧραι διὰ τὴν ψυχρότητα τοῦ ἀέρος ὑστερίζουσιν. Οὐ μὴν ἀλλὰ καταβὰς, καὶ δὶς, ἢ τρὶς ἀνατολμήσαντας ἐπ' αὐτὸν τοὺς Ἀρμενίους τρεψάμενος, ἀδεῶς ἐπόρθει τὰς κώμας· καὶ τὸν παρεσκευασμένον τῷ Τιγράνῃ σῖτον ἐξαιρῶν, ἣν αὐτὸς ἐφοβεῖτο, τοῖς πολεμίοις περιέστησεν ἀπορίαν. Ἐπεὶ δὲ προκαλούμενος εἰς μάχην αὐτοὺς, περιταφρεύων τὸν χάρακα, καὶ πορθῶν ἐν ὄψει τὴν χώραν, οὐκ ἐκίνει πεπληγότας πολλάκις, ἀναστὰς ἐβάδιζεν ἐπ' Ἀρτάξατα, τὸ Τιγράνου βασίλειον, ὅπου καὶ παῖδες αὐτῷ νήπιοι καὶ γαμεταὶ γυναῖκες ἦσαν· οὐκ ἂν οἰόμενος ἀμαχεὶ ταῦτα προήσεσθαι τὸν Τιγράνην. Λέγεται δ', Ἀννίβαν τὸν Καρχηδόνιον, Ἀντιόχου καταπολεμηθέντος ὑπὸ Ῥωμαίων, μεταβάντα πρὸς Ἀρτάξαν τὸν Ἀρμένιον, ἄλλων τε πολλῶν εἰσηγητὴν καὶ διδάσκαλον αὐτῷ γενέσθαι χρησίμων, καὶ τῆς χώρας καταμαθόντα τόπον εὐφυέστατον καὶ ἥδιστον, ἀργοῦντα καὶ παροράμενον, σχῆμα πόλεως ἐν αὐτῷ προϋπογράψασθαι, καὶ τὸν Ἀρτάξαν ἐπαγαγόντα δεῖξαι,

Digitized by Google

καὶ παρορμῆσαι πρὸς τὸν οἰκισμόν. Ἡσθέντος δὲ τοῦ βασιλέως, καὶ δεηθέντος, ὅπως αὐτὸς ἐπιστατήσῃ τοῦ ἔργου, μέγα τι καὶ πάγκαλον χρῆμα πόλεως ἀναστῆναι, καὶ γενομένην ἐπώνυμον τοῦ βασιλέως, μητρόπολιν ἀποδειχθῆναι τῆς Ἀρμενίας. Ἐπὶ ταύτην τοῦ Λουκούλλου βαδίζοντος, οὐκ ἠνέσχετο Τιγράνης, ἀλλὰ τὴν δύναμιν ἀναλαβὼν, ἡμέρᾳ τετάρτῃ παρεστρατοπέδευσε τοῖς Ῥωμαίοις, ἐν μέσῳ λαβὼν τὸν Ἀρσανίαν ποταμὸν, ὃν ἐξ ἀνάγκης διαβατέον ἦν τοῖς Ῥωμαίοις τὴν ἐπ' Ἀρταξάτων πορευομένοις. Θύσας δὲ τοῖς θεοῖς Λούκουλλος, ὡς ἐν χερσὶν οὔσης τῆς νίκης, διεβίβαζε τὸν στρατὸν, ἐν δώδεκα σπείραις προτεταγμέναις, ταῖς δ' ἄλλαις ἐπιτεταγμέναις διὰ τὰς κυκλώσεις τῶν πολεμίων. Πολλοὶ γὰρ ἦσαν ἱππεῖς καὶ λογάδες ἀντιπαρατεταγμένοι· πρὸ δ' αὐτῶν ἱπποτοξόται Μάρδοι, καὶ λογχοφόροι Ἴβηρες, οἷς μάλιστα τῶν ξένων ὁ Τιγράνης ἐπίστευεν, ὡς μαχιμωτάτοις. Οὐ μὴν ἐπράχθη τι λαμπρὸν ὑπ' αὐτῶν· μικρὰ δὲ τοῖς ἱππεῦσι τῶν Ῥωμαίων διαπληκτισάμενοι, τοὺς πεζοὺς ἐπιόντας οὐχ ὑπέμειναν, ἀλλ' ἑκατέρωσε τῆς φυγῆς σχισθέντες, ἐπεσπάσαντο τοὺς ἱππεῖς πρὸς τὴν δίωξιν. Ἅμα δὲ τῷ τούτους διασπαρῆναι, τῶν περὶ τὸν Τιγράνην ἐξιππασαμένων; ἰδὼν τὴν λαμπρότητα καὶ τὸ πλῆθος ὁ Λούκουλλος ἔδεισε. Καὶ τοὺς μὲν ἱππεῖς ἀπὸ τῆς διώξεως ἀνεκαλεῖτο, πρῶτος δ' αὐτὸς ἀντέστη τοῖς Ἀτροπατηνοῖς κατ' αὐτὺν οὖσι μετὰ τῶν ἀρίστων, καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν, φοβήσας ἐτρέψατο. Τρ-

Digitized by Google

ὧν δ' ὁμοῦ παρατεταγμένων βασιλεων, αἴσχιστα δοκεῖ φυγεῖν ὁ Ποντικὸς Μιθριδάτης, οὐδὲ τὴν κραυγὴν τῶν Ῥωμαίων ἀνασχόμενος. Γενομένης δὲ τῆς διώξεως μακρᾶς, καὶ δι' ὅλης νυκτὸς, οὐ μόνον κτείνοντες αὐτοὺς, ἀλλὰ καὶ ζωγροῦντες, καὶ χρήματα καὶ λείαν ἄγοντες καὶ φέροντες ἀπεῖπον οἱ Ῥωμαῖοι. Φησὶ δ' ὁ Λιούϊος, ἐν μὲν τῇ προτέρᾳ μάχῃ πλείονας, ἐν δὲ ταύτῃ γνωριμωτέρους πεσεῖν καὶ ληφθῆναι τῶν πολεμίων.

XXXII. Ἐκ τούτου Λούκουλλος μὲν επῃρμένος καὶ τεθαῤῥηκὼς ἄνω προάγειν διενοεῖτο καὶ καταστρέφεσθαι τὸν βάρβαρον· ὥρᾳ δ' ἰσημερίας φθινοπωρινῆς οὐκ ἂν ἐλπίσαντι χειμῶνες ἐπέπεσον βαρεῖς, τὰ μὲν πλεῖστα κατανίφοντες, ἐν δὲ ταῖς αὐθρίαις πάχνην ἐπιφέροντες καὶ πάγον, ὑφ' οὗ χαλεποὶ μὲν ἦσαν οἱ ποταμοὶ τοῖς ἵπποις πίνεσθαι, διὰ ψυχρότητος ὑπερβολὴν, χαλεπαὶ δ' αὐτῶν αἱ διαβάσεις, ἐκρηγνυμένου τοῦ κρυστάλλου καὶ διακύπτοντος τὰ νεῦρα τῶν ἵππων τῇ τραχύτητι. Τῆς δὲ χώρας ἡ πολλὴ συνηρεφὴς οὖσα καὶ στενόπορος καὶ ὑλώδης, ἀεὶ καθυγραινεν αὐτοὺς, χιόνος ἀναπιμπλαμένους ἐν ταῖς ὁδοιπορίαις, καὶ κακῶς ἐν τόποις νοτεροῖς νυκτερεύοντας. Οὐ πολλὰς οὖν ἡμέρας ἀκολουθήσαντες τῷ Λουκούλλῳ μετὰ τὴν μάχην, ἠναντιοῦντο, πρῶτον δεόμενοι καὶ τοὺς χιλιάρχους προσπέμποντες, ἔπειτα θορυβωδέστερον συνιστάμενοι, καὶ κατὰ σκηνὰς νυκτὸς ἀλαλάζοντες· ὅπερ εἶναι δοκεῖ σύμβολον ἀποστατικῶς ἐχούσης στρατιᾶς. Καίτοι πολλὰ προσελιπάρει

Digitized by Google

Λούκουλλος, ἀξιῶν αὐτοὺς μακροθυμίαν ἐμβαλέσθαι ταῖς ψυχαῖς, ἄχρις οὗ τὴν ἐν Ἀρμενίοις Καρχηδόνα λαβόντες, ἀνδρὸς ἐχθίστου, τὸν Ἀννίβαν λέγων, ἔργον ἀνατρέψωσιν. Ὡς δ' οὐκ ἔπειθεν, ἀπῆγεν αὐτοὺς ὀπίσω, καὶ κατ' ἄλλας ὑπερβολὰς διελθὼν τὸν Ταῦρον, εἰς τὴν λεγομένην Μυγδονικὴν κατέβαινε χώραν, πάμφορον καὶ ἀλεεινὴν, καὶ πόλιν ἐν αὐτῇ μεγάλην καὶ πολυάνθρωπον ἔχουσαν, ἣν οἱ μὲν βάρβαροι Νίσιβιν, οἱ δ' Ἕλληνες Ἀντιόχειαν Μυγδονικὴν προσηγόρευον. Ταύτην εἶχεν ἀξιώματι μὲν ἀδελφὸς Τιγράνου, Γούρας, ἐμπειρίᾳ δὲ καὶ δεινότητι μηχανικῇ Καλλίμαχος, ὃ καὶ περὶ Ἀμισὸν πλεῖστα πράγματα Λουκούλλῳ παρασχών. Βαλόμενος δὲ στρατόπεδον, καὶ πᾶσαν ἰδέαν πολιορκίας ἐπαγαγὼν, ὀλίγῳ χρόνῳ κατὰ κράτος λαμβάνει τὴν πόλιν. Καὶ Γούρᾳ μὲν ἑαυτὸν ἐγχειρίσαντι φιλανθρώπως ἐχρήσατο· Καλλιμάχῳ δὲ, ὑπισχνουμένῳ θήκας ἀποῤῥήτους μεγάλων χρημάτων ἀνακαλύψειν, οὐ προσέσχεν, ἀλλ' ἐκέλευσεν ἐν πέδαις κομίζεσθαι, δίκην ὑφέξοντα τοῦ πυρὸς, ᾧ τὴν Ἀμισηνῶν διαλυμηνάμενος πόλιν, ἀφείλετο φιλοτιμίαν αὐτοῦ καὶ χρηστότητος ἐπίδειξιν πρὸς τοὺς Ἕλληνας.

XXXIII. Μέχρι τοῦδε φαίη τις ἂν Λουκούλλῳ τὴν τύχην ἑπομένην συστρατηγεῖν. Ἐντεῦθεν δ', ὥσπερ πνεύματος ἐπιλιπόντος, προσβιαζόμενος πάντα, καὶ παντάπασιν ἀντικρούων, ἀρετὴν μὲν ἐπεδείκνυτο καὶ μακροθυμίαν ἡγεμόνος ἀγαθοῦ, δόξαν δὲ καὶ χάριν οὐδεμίαν αἱ πράξεις ἔσχον· ἀλλὰ καὶ τὴν

Digitized by Google

προϋπάρχουσαν ἐγγὺς ἦλθε, δυσπραγῶν καὶ διαφερόμενος μάτην, ἀποβαλεῖν. Τῶν δ' αἰτιῶν αὐτὸς οὐχὶ τὴν ἐλαχίστην εἰς τοῦτο παρέσχεν, οὐκ ὢν θεραπευτικὸς πλήθους στρατιωτικοῦ, καὶ πᾶν τὸ πρὸς ἡδονὴν τοῦ ἀρχομένου γινόμενον, ἀρχῆς ἀτιμίαν καὶ κατάλυσιν ἡγούμενος· τὸ δὲ μέγιστον, οὐδὲ τοῖς δυνατοῖς καὶ ἰσοτίμοις εὐάρμοστος εἶναι πεφυκὼς, ἀλλὰ πάντων καταφρονῶν, καὶ μηδενὸς ἄξίους πρὸς αὐτὸν ἡγούμενος. Ταῦτα γὰρ ὑπάρξαι Λουκούλλῳ κακὰ λέγουσιν ἐν πᾶσι τοῖς ἄλλοις ἀγαθοῖς. Καὶ γὰρ μέγας, καὶ καλὸς, καὶ δεινὸς εἰπεῖν, καὶ φρόνιμος ὁμαλῶς ἐν ἀγορᾷ καὶ στρατοπέδῳ δοκεῖ γενέσθαι. Σαλούστιος μὲν οὖν φησι, χαλεπῶς διατεθῆναι τοὺς στρατιώτας πρὸς αὐτὸν, εὐθὺς ἐν ἀρχῇ τοῦ πολέμου πρὸς Κυζίκῳ, καὶ πάλιν πρὸς Ἀμισῷ, δύο χειμῶνας ἐξῆς ἐν χάρακι διαγαγεῖν ἀναγκασθέντας. Ἠνίων δ' αὐτοὺς καὶ οἱ λοιποὶ χειμῶνες. Ἦ γὰρ ἐν τῇ πολεμίᾳ διεχείμαζον, ἢ παρὰ τοῖς συμμάχοις, ὕπαιθροι σκηνοῦντες· εἰς δὲ πόλιν Ἑλληνίδα καὶ φίλην οὐδ' ἅπαξ εἰσῆλθε μετὰ στρατοπέδου Λούκουλλος. Οὕτω δὲ διακειμένοις αὐτοῖς τὰς μεγίστας ἐνέδωκαν ἀπὸ τῆς Ῥώμης οἱ δημαγωγοὶ προφάσεις, φθόνῳ τοῦ Λουκούλλου κατηγοροῦντες, ὡς ὑπὸ φιλαρχίας καὶ φιλοπλουτίας ἔλκοντος τὸν πόλεμον, καὶ μονονοὺ κατέχοντος ἐν ταὐτῷ Κιλικίαν, Ἀσίαν, Βιθυνίαν, Παφλαγονίαν, Γαλατίαν, Πόντον, Ἀρμενίαν, τὰ μέχρι Φάσιδος· νῦν δὲ καὶ τὰ Τιγράνου βασίλεια πεπορθηκότος, ὥσπερ ἐκδῦσαι τοὺς βασιλεῖς, οὐ

Digitized by Google

καταπολεμῆσαι πεμφθέντος. Τοῦτο γὰρ εἰπεῖν φασιν ἕνα τῶν στρατηγῶν Λεύκιον Κοΐντιον· ὑφ' οὗ μάλιστα πεισθέντες, ἐψηφίσαντο πέμπειν διαδόχους τῷ Λουκούλλῳ τῆς ἐπαρχίας. Ἐψηφίσαντο δὲ καὶ τῶν ὑπ' αὐτῷ στρατευομένων πολλοὺς ἀφεῖσθαι στρατείας

XXXIV. Τούτοις δὲ τηλικούτοις οὖσι προσγίνεται τὸ μάλιστα Λουκούλλῳ διειργασμένον τὰς πράξεις, Πόπλιος Κλώδιος, ἀνὴρ ὑβριστὴς καὶ μεστὸς ὀλιγωρίας ἁπάσης καὶ θρασύτητος. Ἦν δὲ τῆς Λουκούλλου γυναικὸς ἀδελφός, ἣν καὶ διαφθείρειν ἔσχεν αἰτίαν, ἀκολαστοτάτην οὖσαν. Τότε δὲ τῷ Λουκούλλῳ συστρατεύων, οὐχ, ὅσης αὐτὸν ἠξίου, τιμῆς ἐτύγχανεν· ἠξίου δὲ πρῶτος εἶναι, καὶ πολλῶν ἀπολειπόμενος διὰ τὸν τρόπον, ὑποικούρει τὴν Φιμβριανὴν στρατιάν, καὶ παρώξυνε κατὰ τοῦ Λουκούλλου, λόγους χρηστοὺς εἰς οὐκ ἄποντας, οὐδ' ἀήθεις τοῦ δημαγωγεῖσθαι, διαδιδούς. Οὗτοι γὰρ ἦσαν, οὓς καὶ πρότερον ἀνέπεισε Φιμβρίας, ἀποκτείναντας τὸν ὕπατον Φλάκκον, αὐτὸν ἑλέσθαι στρατηγόν. Δι' ὃ καὶ τὸν Κλώδιον ἡδέως ἐδέχοντο, καὶ φιλοστρατιώτην προσηγόρευον, ἀγανακτεῖν προσποιούμενον ὑπὲρ αὐτῶν, εἰ πέρας οὐδὲν ἔσται πολέμων τοσούτων καὶ πόνων, ἀλλὰ παντὶ μὲν ἔθνει μαχόμενοι, πᾶσαν δὲ γῆν πλανώμενοι κατατρίψουσι τὸν βίον· οὐδὲν ἄξιον ἐκ τηλικαύτης φερόμενοι στρατείας, ἀλλὰ τὰς Λουκούλλου παραπέμποντες ἁμάξας καὶ καμήλους, ἐκπωμάτων χρυσῶν καὶ διαλίθων γεμούσας. Οἱ δὲ

Digitized by Google

Πομπηΐου στρατιῶται, δῆμος ὄντες, ἤδη που μετὰ γυναικῶν καὶ τέκνων πάθηνται γῆν εὐδαίμονα καὶ πόλεις ἔχοντες, οὐ Μιθριδάτην καὶ Τιγράνην εἰς τὰς ἀοικήτους ἐμβαλόντες ἐρημίας, οὐδὲ τῆς Ἀσίας τὰ βασίλεια καταφρίψαντες, ἀλλὰ φυγάσιν ἀνθρώποις ἐν Ἰβηρίᾳ, καὶ δραπέταις ἐν Ἰταλίᾳ, πολεμήσαντες. Τί οὖν, εἰ δεῖ μηδέποτε παύσασθαι στρατευομένους, οὐχὶ τοιούτῳ στρατηγῷ καὶ σώματα τὰ λοιπὰ καὶ ψυχὰς φυλάσσομεν, ᾧ κάλλιστος εἶναι δοκεῖ κόσμος ὁ τῶν στρατευομένων πλοῦτος; Τοιαύταις αἰτίαις τὸ Λουκούλλου στράτευμα διαφθαρὲν, οὔτ' ἐπὶ Τιγράνην ἠκολούθησεν, οὔτ' ἐπὶ Μιθριδάτην, αὖθις ἐξ Ἀρμενίας εἰς Πόντον ἐμβαλόντα, καὶ τὴν ἀρχὴν ἀναλαμβάνοντα. Πρόφασιν δὲ τὸν χειμῶνα ποιούμενοι, περὶ τὴν Γορδυηνὴν διέτριβον, ὅσον οὔπω Πομπήϊον, ἢ τιν' ἄλλον τῶν ἡγεμόνων, Λουκούλλῳ διάδοχον ἀφίξεσθαι προσδοκῶντες.

XXXV. Ἐπεὶ δὲ Μιθριδάτης ἤγγελτο, Φάβιον νενικηκὼς, ἐπὶ Σωρνάτιον καὶ Τριάριον βαδίζειν, αἰσχυνθέντες εἵποντο τῷ Λουκούλλῳ. Τριάριος δ', ὡς ἕτοιμον ἁρπάσαι τὸ νίκημα, πρὶν ἐπελθεῖν Λούκουλλον, ἐγγὺς ὄντα, φιλοτιμούμενος, ἥττᾶται μάχῃ μεγάλῃ. Λέγονται γὰρ ὑπὲρ ἑπτακισχιλίους Ῥωμαίων ἀποθανεῖν, ἐν οἷς ἑκατόνταρχοι μὲν ἑκατὸν πεντήκοντα, χιλίαρχοι δ' εἴκοσι καὶ τέσσαρες. Τὸ δὲ στρατόπεδον εἷλε Μιθριδάτης. Ἐπελθὼν δὲ Λούκουλλος ὀλίγαις ὕστερον ἡμέραις, Τριάριον μὲν ὑπὸ τῶν στρατιωτῶν ζητούμενον πρὸς ὀργὴν ἐξέκλεψε,

Digitized by Google

Μιθριδάτου δὲ μὴ θέλοντος μάχεσθαι, ἀλλὰ Τιγράνην περιμένοντες, ἤδη καταβαίνοντα μετὰ πολλῆς δυνάμεως, ἔγνω, πρὶν ἀμφοτέρους συνελθεῖν, πάλιν ἀπαντῆσαι καὶ διαγωνίσασθαι πρὸς τὸν Τιγράνην. Πορευομένῳ δ' αὐτῷ καθ' ὁδὸν οἱ Φιμβριανοὶ στασιάσαντες, ἀπέλιπον τὰς τάξεις, ὡς ἀφειμένοι δόγματι τῆς στρατείας, καὶ μηκέτι τῷ Λουκούλλῳ προσῆκον ἄρχειν, ἑτέροις ἀποδεδειγμένων τῶν ἐπαρχιῶν. Οὐδὲν οὖν ἐστιν ὅ τι τῶν παρ' ἀξίαν ὁ Λούκουλλος οὐχ ὑπέμεινεν, ἀντιβολῶν καθ' ἕνα, καὶ κατὰ σκηνὰς περιὼν, ταπεινὸς καὶ δεδακρυμένος, ἔστι δ' ὧν καὶ χειρὸς ἁπτόμενος. Οἱ δ' ἀπετρίβοντο τὰς δεξιώσεις, καὶ κενὰ προσερρίπτουν βαλάντια, καὶ μόνον μάχεσθαι τοῖς πολεμίοις ἐκέλευον, ἀφ' ὧν μόνος ἠπίστατο πλουτεῖν. Οὐ μὴν ἀλλὰ, τῶν ἄλλων στρατιωτῶν δεομένων, ἐκβιασθέντες οἱ Φιμβριανοὶ, συνέθεντο παραμεῖναι τὸ θέρος· ἐὰν δὲ μηδεὶς ἐν τῷ χρόνῳ τούτῳ κατίῃ πρὸς αὐτοὺς ἀγωνιούμενος, ἀπηλλάχθαι. Ταῦτ' ἔδει στέργειν ἐξ ἀνάγκης τὸν Λούκουλλον, ἢ προέσθαι τοῖς βαρβάροις τὴν χώραν ἀπολειφθέντα. Συνεῖχεν οὖν αὐτοὺς οὐκέτι προσβιαζόμενος, οὐδὲ προάγων πρὸς μάχην, ἀλλ' εἰ παραμένοιεν ἀγαπῶν, καὶ περιορῶν πορθουμένην ὑπὸ τοῦ Τιγράνου τὴν Καππαδοκίαν, καὶ πάλιν ὑβρίζοντα Μιθριδάτην, ὃν αὐτὸς ἐπεστάλκει τῇ συγκλήτῳ γράφων καταπεπολεμῆσθαι· καὶ οἱ πρέσβεις παρῆσαν αὐτῷ πρὸς τὴν διάθεσιν τῶν ἐν Πόντῳ πραγμάτων, ὡς ἤδη βεβαίως ἐχομένων. Καὶ δὴ

Digitized by Google

παρόντες ἑωρων οὐδ' αὑτοῦ κύριον, ἀλλὰ παροινούμενον καὶ προπηλακιζόμενον ὑπὸ τῶν στρατιωτῶν. Οἷς γε τοσοῦτο περιῆν τῆς εἰς τὸν στρατηγὸν ἀσελγείας, ὥστε, τοῦ θέρους λήγοντος, ἐνδύντες τὰ ὅπλα καὶ σπασάμενοι τὰς μαχαίρας, προεκαλοῦντο τοὺς μηδαμοῦ παρόντας, ἀλλ' ἀπηρκότας ἤδη πολεμίους. Ἀλαλάξαντες δὲ καὶ σκιαμαχήσαντες ἀπεχώρησαν ἐκ τοῦ χάρακος, ἐπιμαρτυράμενοι πεπληρῶσθαι τὸν χρόνον, ὃν ὡμολόγησαν τῷ Λουκούλλῳ παριμενεῖν. Τοὺς δ' ἄλλους ἐκάλει διὰ γραμμάτων Πομπήϊος· ἤδη γὰρ ἀποδέδεικτο τοῦ πρὸς Μιθριδάτην καὶ Τιγράνην πολέμου στρατηγός, χάριτι τοῦ δήμου καὶ κολακείᾳ τῶν δημαγωγῶν. Ἐπεὶ τῇ γε βουλῇ καὶ τοῖς ἀρίστοις ἄδικα πάσχειν ἐδόκει Λούλουλλος, οὐ πολέμου διαδόχους, ἀλλὰ θριάμβου λαμβάνων, οὐδὲ τῆς στρατηγίας ἀναγκαζόμενος, ἀλλὰ τῶν ἐπάθλων τῆς στρατηγίας, ἐξίστασθαι καὶ παραχωρεῖν ἑτέροις.

XXXVI. Ἔτι δὲ μᾶλλον ἐφάνη τὸ γινόμενον τοῖς ἐκεῖ παροῦσι νεμεσητόν. Οὔτε γὰρ τιμῆς ὁ Λούκουλλος, οὔτε τιμωρίας τῶν ἐν πολέμῳ κύριος ὑπῆρχεν· οὐδ' εἴα τινὰ Πομπήϊος βαδίζειν πρὸς αὐτὸν, οὐδὲ προσέχειν, οἷς ἐκεῖνος ἔγραφε καὶ διένεμε μετὰ τῶν δέκα πρέσβεων· ἀλλ' ἐκώλυεν, ἐκτιθεὶς διαγράμματα, καὶ φοβερὸς παρὼν ἀπὸ μείζονος δυνάμεως. Ὅμως δ' ἔδοξε τοῖς φίλοις συναγαγεῖν αὐτούς· καὶ συνῆλθον ἐν κώμῃ τινὶ τῆς Γαλατίας, καὶ προσεῖπον ἀλλήλους φιλοφρόνως, καὶ συνήσθησαν ἐπὶ τοῖς κα-

Digitized by Google

τωρθωμένοις ἑκατέρῳ· πρεσβύτερος μὲν ὢν ὁ Λούκουλλος, ἀξίωμα δ' ἦν τὸ Πομπηΐου μεῖζον, ἀπὸ πλειόνων στρατηγιῶν καὶ δυοῖν θριάμβων. Ῥάβδοι δ' ἀμφοτέρων προηγοῦντο δαφνηφόροι διὰ τὰς νίκας. Καὶ τοῦ γε Πομπηΐου, μακρὰν ὁδὸν διὰ τόπων ἀνύδρων καὶ αὐχμηρῶν ὁδεύσαντος, τὰς δάφνας ξηρὰς περικειμένας ταῖς ῥάβδοις ἰδόντες οἱ τοῦ Λουκούλλου ῥαβδοφόροι, φιλοφρονούμενοι τοῖς ἐκείνου μετέδωκαν ἐκ τῶν ἰδίων, προσφάτους καὶ θαλερὰς ἔχοντες. Καὶ τὸ γινόμενον εἰς οἰωνὸν ἐτίθεντο χρηστὸν οἱ Πομπηΐου φίλοι. Τῷ γὰρ ὄντι τὴν ἐκείνου στρατηγίαν αἱ τούτου πράξεις ἐκόσμησαν. Ἐκ δὲ τῶν λόγων πρὸς οὐδὲν ἐπιεικὲς συνέβησαν, ἀλλ' ἔτι μᾶλλον ἀλλοτριωθέντες πρὸς ἀλλήλους ἀπῆλθον, καὶ τὰς ὑπὸ Λουκούλλου γενομένας διατάξεις ἠκύρωσεν ὁ Πομπήϊος· στρατιώτας δὲ τοὺς ἄλλους ἀπαγαγών, μόνους αὐτῷ χιλίους ἑξακοσίους ἀπέλιπε συνθριαμβεύσοντας, οὐδὲ τούτους μάλα προθύμως ἑπομένους. Οὕτω τις ἦν ἀφυὴς, ἢ δυστυχὴς, ὁ Λούκουλλος πρὸς τὸ πάντων ἐν ἡγεμονίᾳ πρῶτον καὶ μέγιστον· ὡς, εἰ τοῦτο μετὰ τῶν ἄλλων ὑπῆρξεν αὐτῷ, τηλικούτων ὄντων καὶ τοσούτων, μετ' ἀνδρείας, ἐπιμελείας, συνέσεως, δικαιοσύνης, οὐκ ἂν εἶχεν ἡ Ῥωμαίων ἡγεμονία τὸν Εὐφράτην τῆς Ἀσίας ὅρον, ἀλλὰ τὰ ἔσχατα, καὶ τὴν Ὑρκανίαν θάλασσαν, τῶν μὲν ἄλλων ἐθνῶν Τιγράνῃ προηττημένων, τῆς δὲ Πάρθων δυνάμεως, οὐχ ὅση κατὰ Κράσσον ἐξεφάνη, τοσαύτης κατὰ Λούκουλλον οὔσης, οὐδ' ὁμοίως συνεστώ-

Digitized by Google

σης, ἀλλ' ὑπ' ἐμφυλίων καὶ προσοίκων πολέμων οὐδ' Ἀρμενίους ὑβρίζοντας ἐῤῥωμένης ἀμύνεσθαι. Νῦν δέ μοι δοκεῖ Λούκουλλος, ὧν ὠφέλησε δι' αὑτοῦ τὴν πατρίδα, βλάψαι μείζονα δι' ἑτέρων. Τὰ γὰρ ἐν Ἀρμενίᾳ τρόπαια Πάρθων πλησίον ἑστῶτα, καὶ Τιγρανόκερτα, καὶ Νίσιβις, καὶ πλοῦτος ἐκ τούτων πολὺς εἰς Ῥώμην κομισθεὶς, καὶ τὸ Τιγράνου διάδημα πομπευθὲν αἰχμαλώτου, ἐπῆρε Κράσσον ἐπὶ τὴν Ἀσίαν, ὡς λάφυρα καὶ λείαν τοὺς βαρβάρους, ἄλλο δ' οὐδὲν ὄντας. Ταχὺ μέντοι τοῖς Πάρθων τοξεύμασιν ἐντυχὼν, ἀπέδειξε τὸν Λούκουλλον οὐκ ἀφροσύνῃ καὶ μαλακίᾳ τῶν πολεμίων, αὐτοῦ δὲ τόλμῃ καὶ δεινότητι περιγενόμενον. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

XXXVII. Ὁ δὲ Λούκουλλος, ἀναβὰς εἰς Ῥώμην, πρῶτον μὲν κατέλαβε τὸν ἀδελφὸν Μάρκον ὑπὸ Γαΐου Μεμμίου κατηγορούμενον, ἐφ' οἷς ἔπραξε ταμιεύων, Σύλλα προστάξαντος. Ἐκείνου δ' ἀποφυγόντος, ἐπὶ τοῦτον αὐτὸν ὁ Μέμμιος μεταβαλόμενος παρώξυνε τὸν δῆμον, καὶ ὡς πολλὰ νενοσφισμένῳ καὶ μηκύναντι τὸν πόλεμον ἔπεισεν αὐτῷ μὴ δοῦναι θρίαμβον. Ἐλθόντος δ' εἰς ἀγῶνα τοῦ Λουκούλλου μέγαν, οἱ πρῶτοι καὶ δυνατώτατοι καταμίξαντες ἑαυτοὺς ταῖς φυλαῖς, πολλῇ δεήσει καὶ σπουδῇ μόλις ἔπεισαν τὸν δῆμον ἐπιτρέψαι θριαμβεῦσαι, οὐχ ὥσπερ ἔνιοι, μήκει τε πομπῆς, καὶ πλήθει τῶν κομιζομένων, ἐκπληκτικὸν καὶ ὀχλώδη θρίαμβον· ἀλλὰ τοῖς ὅπλοις τῶν πολεμίων οὖσι παμπύλλοις καὶ τοῖς βασιλικοῖς μηχανήμασι τὸν Φλαμίνειον ἱππόδρομον διεκόσμησε·

Digitized by Google

καὶ θέα τις ἦν αὐτὴ καθ' ἑαυτὴν οὐκ εὐκαταφρόνητος. Ἐν δὲ τῇ πομπῇ, τῶν τε καταφράκτων ἱππέων ὀλίγοι, καὶ τῶν δρεπανηφόρων ἁρμάτων δέκα παρῆλθον· ἑξήκοντα δὲ φίλοι καὶ στρατηγοὶ τῶν βασιλικῶν· μακραὶ δὲ χαλκέμβολοι νῆες ἑκατὸν καὶ δέκα ἅμα παρεκομίσθησαν· αὐτοῦ τε Μιθριδάτου χρύσεος ἑξάπους κολοσσός, καὶ θυρεός τις διάλιθος· καὶ φορήματα εἴκοσι μὲν ἀργυρῶν σκευῶν, χρυσῶν δ' ἐκπωμάτων καὶ ὅπλων καὶ νομίσματος, δύο καὶ τριάκοντα. Ταῦτα μὲν οὖν ἄνδρες παρεκόμιζον. Ἡμίονοι δ' ὀκτὼ, κλίνας χρυσᾶς ἔφερον, ἓξ δὲ καὶ πεντήκοντα, κεχωνευμένον ἀργύριον· ἄλλοι δ' ἑκατὸν ἑπτὰ, νομίσματος καὶ ἀργυρίου μικρῷ τινι δεούσας ἑβδομήκοντα καὶ διακοσίας μυριάδας. Ἐν δὲ δέλτοις ἀναγραφαὶ τῶν ἤδη δεδομένων χρημάτων ὑπ' αὐτοῦ Πομπηΐῳ πρὸς τὸν πειρατικὸν πόλεμον, καὶ τοῖς ἐπὶ τοῦ δημοσίου ταμιείου, καὶ χωρὶς, ὅτι στρατιώτης ἕκαστος ἐννακοσίας καὶ πεντήκοντα δραχμὰς ἔλαβεν. Ἐπὶ τούτοις τήν τε πόλιν εἱστίασε λαμπρῶς, καὶ τὰς περιοικίδας κώμας, ἃς οἴκους καλοῦσι.

XXXVIII. Τῆς δὲ Κλωδίας ἀπηλλαγμένος, οὔσης ἀσελγοῦς καὶ πονηρᾶς, Σερουΐλιαν ἔγημεν, ἀδελφὴν Κάτωνος, οὐδὲ τοῦτον εὐτυχῆ γάμον. Ἐν γὰρ οὐ προσῆν αὐτῷ τῶν Κλωδίας κακῶν μόνον, ἡ τῶν ἀδελφῶν διαβολή· τἆλλα δὲ βδελυρὰν ὁμοίως οὖσαν καὶ ἀκόλαστον ἠναγκάζετο φέρειν, αἰδούμενος Κάτωνα· τέλος δ' ἀπεῖπεν. Ἐλπίδας δὲ θαυμαστὰς τῇ βουλῇ παρασχὼν, ὡς ἐχούσῃ τὸν ἄνδρα τοῦτον ἀν-

Digitized by Google

τίταγμα πρὸς τὴν Πομπηΐου τυραννίδα, καὶ τῆς ἀριστοκρατίας πρόμαχον, ἀπὸ δόξης καὶ δυνάμεως ὁρμώμενον μεγάλης, ἐγκατέλιπε καὶ προήκατο τὴν πολιτείαν, εἴτε δυσκάθεκτον ἤδη καὶ νοσοῦσαν ὁρῶν, εἴθ', ὥς φασιν ἔνιοι, μεστὸς ὢν δόξης, καὶ πρὸς τὸ ῥᾷστον ἀναπίπτων τοῦ βίου καὶ μαλακώτατον, ἐκ πολλῶν ἀγώνων καὶ πόνων οὐκ εὐτυχέστατον τέλος λαβόντων. Οἱ μὲν γὰρ ἐπαινοῦσιν αὐτοῦ τὴν τοσαύτην μεταβολὴν, τὸ Μαρίου πάθος μὴ παθόντος, ὃς ἐπὶ ταῖς Κιμβρικαῖς νίκαις καὶ τοῖς μεγάλοις καὶ καλοῖς ἐκείνοις κατορθώμασιν οὐκ ἠθέλησεν αὑτὸν ἀναθεῖναι τιμῇ τοσαύτῃ ζηλωτὸν, ἀλλ' ἀπληστίᾳ δόξης καὶ ἀρχῆς, νέοις ἀνδράσι γέρων ἀντιπολιτευόμενος, εἰς ἔργα δεινὰ καὶ πάθη δεινότερα τῶν ἔργων ἐξώκειλε. Βέλτιον δ' ἂν καὶ Κικέρωνα γηράσαι, μετὰ Κατιλίναν, ὑποστειλάμενον, καὶ Σκιπίωνα, Καρχηδόνι προσθέντα Νομαντίαν, εἶτα παυσάμενον· εἶναι γάρ τινα καὶ πολιτικῆς περιόδου κατάλυσιν. Τῶν γὰρ ἀθλητικῶν ἀγώνων τοὺς πολιτικοὺς οὐδὲν ἧττον ἀκμῆς καὶ ὥρας ἀπολιπούσης ἐλέγχεσθαι. Οἱ δὲ περὶ τὸν Κράσσον καὶ Πομπήϊον ἐχλεύαζον τὸν Λούκουλλον, εἰς ἡδονὴν ἀφεικότα καὶ πολυτέλειαν αὑτὸν, ὥσπερ τοῦ τρυφᾶν μᾶλλον τοῖς τηλικούτοις παρ' ἡλικίαν ὄντος, ἢ τοῦ πολιτεύσθαι καὶ στρατηγεῖν.

XXXIX. Ἔστι δ' οὖν τοῦ Λουκούλλου βίου, καθάπερ ἀρχαίας κωμῳδίας, ἀναγνῶναι τὰ μὲν πρῶτα, πολιτείας καὶ στρατηγίας, τὰ δ' ὕστερα, πό-

Digitized by Google

τους καὶ δεῖπνα, καὶ μονονουχὶ κώμους καὶ λαμπάδας καὶ παιδιὰν ἅπασαν. Εἰς παιδιὰν γὰρ ἔγωγε τίθεμαι καὶ οἰκοδομὰς πολυτελεῖς, καὶ κατασκευὰς περιπάτων καὶ λουτρῶν, καὶ ἔτι μᾶλλον γραφὰς καὶ ἀνδριάντας, καὶ τὴν περὶ ταύτας τὰς τέχνας σπουδὴν, ἃς ἐκεῖνος συνῆγε μεγάλοις ἀναλώμασιν, εἰς ταῦτα τῷ πλούτῳ ῥύδην καταχρώμενος, ὃν ἠθροίκει πολὺν καὶ λαμπρὸν ἀπὸ τῶν στρατειῶν. Ὅπου καὶ νῦν, ἐπίδοσιν τοιαύτην τῆς τρυφῆς ἐχούσης, οἱ Λουκουλλιανοὶ κῆποι τῶν βασιλικῶν ἐν τοῖς πολυτελεστάτοις ἀριθμοῦνται. Τὰ δ' ἐν τοῖς παραλίοις καὶ περὶ Νέαν πόλιν ἔργα, λόφους ἀνακρεμαννύντος αὐτοῦ μεγάλοις ὀρύγμασι, καὶ τροχοὺς θαλάσσης, καὶ διαδρομὰς ἰχθυοτρόφους τοῖς οἰκητηρίοις περιελίσσοντος, καὶ διαίτας ἐναλίους κτίζοντος, ὁ Στωϊκὸς Τουβέρων θεασάμενος, Ξέρξην αὐτὸν ἐκ τηβέννου προσηγόρευσεν. Ἦσαν δ' αὐτῷ περὶ Τοῦσκλον ἐγχώριοι δίαιται, καὶ κατασκοπαὶ περίοπτοι, καὶ κατασκευαὶ ἀναπεπταμένων ἀνδρώνων καὶ περιπάτων. Ἐν αἷς ὁ Πομπήϊος γενόμενος, ἐμέμφετο τὸν Λούκουλλον, ὅτι πρὸς θέρος ἄριστα διαθεὶς τὴν ἔπαυλιν, ἀοίκητον ἐν χειμῶνι πεποίηκε. Γελάσας οὖν ἐκεῖνος „Εἶτα (ἔφη) σοὶ δοκῶ ἐλάττονα τῶν γεράνων νοῦν ἔχειν καὶ τῶν πελαργῶν, ὥστε ταῖς ὥραις μὴ συμμεταβάλλειν τὰς διαίτας;“ Στρατηγοῦ δέ ποτε φιλοτιμουμένου περὶ θέας, καὶ χορῷ τινι κόσμον αἰτουμένου πορφυρᾶς χλαμύδας, ἀπεκρίνατο, σκεψάμενος, ἂν ἔχῃ, δώσειν. Εἶτα μεθ' ἡμέραν ἠρώτησεν

Digitized by Google

αὐτὸν, ὁπόσων δέοιτο. Τοῦ δ' ἑκατὸν ἀρκέσειν φήσαντος, ἐκέλευσε λαβεῖν δὶς τοσαύτας. Εἰς ὃ καὶ Φλάκκος ὁ ποιητὴς ἐπιπεφώνηκεν, ὡς οὐ νομίζει πλοῦτον, οὗ μὴ τὰ παρορώμενα καὶ λανθάνοντα πλείονα τῶν φαινομένων ἐστί.

XL. Νεόπλουτα δ' ἦν τοῦ Λουκούλλου τὰ δεῖπνα τὰ καθ' ἡμέραν, οὐ μόνον στρωμναῖς ἁλουργίσι καὶ διαλίθοις ἐκπώμασι καὶ χοροῖς καὶ ἀκροάμασιν ἐπεισοδίοις, ἀλλ' ὄψων τε παντοδαπῶν καὶ πεμμάτων περιττῶς διαπεπονημένων παρασκευαῖς, ζηλωτὸν ἀνελευθέροις ποιοῦντος ἑαυτόν. Ὁ γοῦν Πομπήϊος εὐδοκίμησε νοσῶν, τοῦ μὲν ἰατροῦ κίχλην αὐτὸν λαβεῖν κελεύσαντος· τῶν δ' οἰκετῶν οὐκ ἂν εὑρεῖν ἀλλαχόθι φαμένων θέρους ὥρᾳ κίχλην, ἢ παρὰ Λουκούλλῳ, σιτευομένην, οὐκ εἴασε λαβεῖν ἐκεῖθεν, ἀλλ' εἰπὼν πρὸς τὸν ἰατρόν· „Οὐκοῦν, εἰ μὴ Λούκουλλος ἐτρύφα, Πομπήϊος οὐκ ἂν ἔζησεν;“ ἄλλο τι παρασκευάσαι τῶν εὐπορίστων ἐκέλευσε. Κάτων δ' ἦν αὐτῷ φίλος καὶ οἰκεῖος· οὕτω δὲ τὸν βίον αὐτοῦ καὶ τὴν δίαιταν ἐδυσχέραινεν, ὥστε, νέου τινὸς ἐν τῇ βουλῇ λόγον ἐπαχθῆ καὶ μακρὸν ἀκαίρως ὑπὲρ εὐτελείας καὶ σωφροσύνης διελθόντος, ἐπαναστὰς ὁ Κάτων· „Οὐ παύσῃ (ἔφη) σὺ πλουτῶν μὲν, ὡς Κράσσος, ζῶν δ', ὡς Λούκουλλος, λέγων δὲ, ὡς Κάτων,“ Ἔνιοι δὲ τοῦτο ῥηθῆναι μὲν οὕτως, ὑπὸ Κάτωνος δὲ οὐ λέγουσιν.

XLI. Ὁ μέντοι Λούκουλλος οὐχ ἡδόμενος μόνον, ἀλλὰ καὶ σεμνυνόμενος τῷ βίῳ τούτῳ δῆλος

Digitized by Google

ἦν ἐκ τῶν ἀπομνημονευομένων. Λέγεται γὰρ Ἕλληνας ἀνθρώπους, ἀναβάντας εἰς Ῥώμην, ἐστιᾶν ἐπὶ πολλὰς ἡμέρας. Τοὺς δ', ὄντως Ἑλληνικόν τι παθόντας, αἰσχύνεσθαι καὶ διωθεῖσθαι τὴν κλῆσιν, ὡς δι' αὐτοὺς καθ' ἡμέραν τοσούτων ἀναλισκομένων. Τὸν οὖν Λούκουλλον εἰπεῖν μειδιάσαντα πρὸς αὐτούς· „Γίνεται μέν τι τούτων καὶ δι' ὑμᾶς, ὦ ἄνδρες Ἕλληνες· τὰ μέντοι πλεῖστα γίνεται διὰ Λούκουλλον." Ἐπεὶ δὲ, μόνου δειπνοῦντος αὐτοῦ, μία τράπεζα καὶ μέτριον παρεσκευάσθη δεῖπνον, ἠγανάκτει καλέσας τὸν ἐπὶ τούτῳ τεταγμένον οἰκέτην. Τοῦ δὲ φήσαντος, ὡς οὐκ ᾤετο, μηδενὸς κεκλημένου, πολυτελοῦς τινος αὐτὸν δεήσεσθαι· „Τί λέγεις; (εἶπεν) οὐκ ἤδεις, ὅτι σήμερον παρὰ Λουκούλλῳ δειπνεῖ Λούκουλλος;" Ὄντος δὲ περὶ τούτου λόγου πολλοῦ, ὡς εἰκὸς, ἐν τῇ πόλει, προσῆλθον αὐτῷ κατ' ἀγορὰν σχολὴν ἄγοντι Κικέρων καὶ Πομπήϊος, ὁ μὲν ἐν τοῖς μάλιστα φίλος ὢν καὶ συνήθης. Πομπηΐῳ δ' ἦν μὲν ἐκ τῆς στρατηγίας διαφορὰ πρὸς αὐτὸν, εἰώθεισαν δὲ χρῆσθαι καὶ διαλέγεσθαι πολλάκις ἐπιεικῶς ἀλλήλοις. Ἀσπασάμενος οὖν ὁ Κικέρων αὐτὸν, ἠρώτησεν, ὅπως ἔχει πρὸς ἔντευξιν· τοῦ δὲ φήσαντος, ὡς ἄριστα, καὶ παρακαλοῦντος ἐντυγχάνειν· „Ἡμεῖς (ἔφη) βουλόμεθα δειπνῆσαι παρά σοι τήμερον οὕτως, ὅπως ἐστί σοι παρεσκευασμένα." Θρυπτομένου δὲ τοῦ Λουκούλλου, καὶ μεταλαβεῖν ἡμέραν ἀξιοῦντο, οὐκ ἔφασαν ἐπιτρέψειν, οὐδ' εἴων διαλέγεσθαι τοῖς οἰκέταις, ἵνα μή τι πλέον κελεύσῃ γενέσθαι τῶν

Digitized by Google

αὐτῷ γινομένων. Πλὴν τοσοῦτο μόνον αἰτουμένῳ συνεχώρησαν εἰπεῖν πρὸς ἕνα τῶν οἰκετῶν, ἐναντίον ἐκείνων, ὅτι σήμερον ἐν τῷ Ἀπόλλωνι δειπνήσει· τοῦτο γάρ τις εἶχε τῶν πολυτελῶν οἴκων ὄνομα. Καὶ τοῦτο σεσοφισμένος ἐλελήθει τοὺς ἄνδρας. Ἑκάστῳ γὰρ, ὡς ἔοικε, δειπνητηρίῳ τεταγμένον ἦν τίμημα δείπνου, καὶ χορηγίαν ἰδίαν καὶ παρασκευὴν ἕκαστον εἶχεν· ὥστε τοὺς δούλους ἀκούσαντας, ὅπου βούλεται δειπνεῖν, εἰδέναι, πόσον δαπάνημα, καὶ ποίων τι κόσμῳ καὶ διαθέσει γενέσθαι δεῖ τὸ δεῖπνον. Εἰώθει δὲ δειπνεῖν ἐν τῷ Ἀπόλλωνι πέντε μυριάδων. Καὶ τότε τοσούτου τελεσθέντος, ἐξέπληξε τοὺς περὶ τὸν Πομπήϊον ἐν τῷ μεγέθει τῆς δαπάνης, τό τάχος τῆς παρασκευῆς. Εἰς ταῦτα μὲν οὖν ὑβριστικῶς ἐχρῆτο τῷ πλούτῳ, καθάπερ ὄντως αἰχμαλώτῳ καὶ βαρβάρῳ.

XLII. Σπουδῆς δ' ἄξια καὶ λόγου τὰ περὶ τὴν τῶν βιβλίων κατασκευήν. Καὶ γὰρ πολλὰ καὶ γεγραμμένα καλῶς συνῆγε· ἦ τε χρῆσις ἦν φιλοτιμοτέρα τῆς κτήσεως, ἀνειμένων πᾶσι τῶν βιβλιοθηκῶν, καὶ τῶν περὶ αὐτὰς περιπάτων καὶ σχολαστηρίων ἀκωλύτως ὑποδεχομένων τοὺς Ἕλληνας, ὥσπερ εἰς Μουσῶν τι καταγώγιον, ἐκεῖσε φοιτῶντας καὶ συνδιημερεύοντας ἀλλήλοις, ἀπὸ τῶν ἄλλων χρειῶν ἀσμένως ἀποτρέχοντας. Πολλάκις δὲ καὶ συνεσχόλαζεν αὐτὸς ἐμβάλλων εἰς τοὺς περιπάτους τοῖς φιλολόγοις, καὶ τοῖς πολιτικοῖς συνέπραττεν, ὅτου δέοιντο· καὶ ὅλως ἑστία καὶ πρυτανεῖον Ἑλληνικὸν ὁ οἶ-

Digitized by Google

κος ἦν αὐτοῦ τοῖς ἀφικνουμένοις εἰς Ῥώμην. Φιλοσοφίαν δὲ πᾶσαν μὲν ἠσπάζετο, καὶ πρὸς πᾶσαν εὐμενὴς ἦν καὶ οἰκεῖος· ἴδιον δὲ τῆς Ἀκαδημίας ἐξ ἀρχῆς ἔρωτα καὶ ζῆλον ἔσχεν, οὐ τῆς νέας λεγομένης, καίπερ ἀνθούσης τότε τοῖς Καρνεάδου λόγοις διὰ Φίλωνος, ἀλλὰ τῆς παλαιᾶς, πιθανὸν ἄνδρα καὶ δεινὸν εἰπεῖν τότε προστάτην ἐχούσης, τὸν Ἀσκαλωνίτην Ἀντίοχον. Ὃν πάσῃ σπουδῇ ποιησάμενος φίλον ὁ Λούκουλλος καὶ συμβιωτὴν, ἀντέταττε τοῖς Φίλωνος ἀκροαταῖς, ὧν καὶ Κικέρων ἦν. Καὶ σύγγραμμά γε πάγκαλον ἐποίησεν εἰς τὴν αἵρεσιν, ἐν ᾧ τὸν ὑπὲρ τῆς καταλήψεως λόγον Λουκούλλῳ περιτέθεικεν, αὐτῷ δὲ τὸν ἐναντίον· Λούκουλλος δ' ἀναγέγραπται τὸ βιβλίον. Ἦσαν δ', ὥσπερ εἴρηται, φίλοι σφόδρα καὶ κοινωνοὶ τῆς ἐν πολιτείᾳ προαιρέσεως· οὐδὲ γὰρ αὖ πάμπαν ἀπηλλάχει τῆς πολιτείας ἑαυτὸν ὁ Λούκουλλος, ἀλλὰ τὴν ὑπὲρ τοῦ μέγιστος εἶναι καὶ πλεῖστον δύνασθαι φιλοτιμίαν καὶ ἅμιλλαν, ὡς οὔτ' ἀκίνδυνον, οὔτ' ἀνύβριστον οὖσαν, εὐθὺς ἀφῆκε Κράσσῳ καὶ Κάτωνι. Τούτους γὰρ οἱ τὴν Πομπηΐου δύναμιν ὑφορώμενοι προεβάλλοντο τῆς βουλῆς, ἀπολεγομένου τοῦ Λουκούλλου τὰ πρωτεῖα. Κατέβαινε δ' εἰς τὴν ἀγορὰν διὰ τοὺς φίλους· εἰς δὲ τὴν σύγκλητον, εἰ Πομπηΐου τινὰ δέοι σπουδὴν ἢ φιλοτιμίαν ἐπηρεάσαι. Καὶ τάς τε διατάξεις, ἃς ἐκεῖνος ἐποιήσατο, τῶν βασιλέων κρατήσας, ἐξέκρουσε, καὶ νέμησίν τινα τοῖς στρατιώταις αὐτοῦ γράφοντος, ἐκώλυσε δοθῆναι, συμπράττοντος Κάτωνος.

Digitized by Google

Ὥστε Πομπήϊον εἰς τὴν Κράσσου καὶ Καίσαρος φιλίαν, μᾶλλον δὲ συνωμοσίαν, καταφυγεῖν· καὶ πληρώσαντα τὴν πόλιν ὅπλων καὶ στρατιωτῶν, βίᾳ κυρῶσαι τὰ δόγματα, τοὺς περὶ τὸν Κάτωνα καὶ Λουκούλλον ἐκβαλόντα τῆς ἀγορᾶς. Ἀγανακτούντων δὲ τῶν βελτίστων ἐπὶ τοῖς γινομένοις, προῆγον οἱ Πομπηϊανοὶ Βρέττιόν τινα, συνειληφέναι λέγοντες ἐπιβουλεύοντα Πομπηΐῳ. Κἀκεῖνος ἀνακρινόμενος, ἐν μὲν τῇ συγκλήτῳ κατηγόρησεν ἑτέρων τινῶν, ἐν δὲ τῷ δήμῳ Λούκουλλον ὠνόμασεν, ὡς ὑπ' ἐκείνου παρεσκευασμένος ἀποκτεῖναι Πομπήϊον. Οὐδεὶς δὲ τῷ λόγῳ προσέσχεν, ἀλλὰ καὶ παραυτίκα δῆλος ἦν ὁ ἄνθρωπος ἐπὶ συκοφαντίᾳ καὶ διαβολῇ προηγμένος ὑπ' αὐτῶν. Καὶ μᾶλλον ἐφωράθη τὸ πρᾶγμα μετ' ὀλίγας ἡμέρας, ῥιφθέντος ἐκ τῆς εἱρκτῆς νεκροῦ· οὐ λεγομένου μὲν αὐτομάτως τεθνάναι, σημεῖα δ' ἀγχόνης καὶ πληγῶν ἔχοντος, ἐδόκει παρ' αὐτῶν ἀνῃρῆσθαι τῶν παρεσκευακότων.

XLIII. Ταῦτα δὴ καὶ μᾶλλον ἀπῆγε τῆς πολιτείας τὸν Λούκουλλον. Ἐπεὶ δὲ Κικέρων ἐξέπεσε τῆς πόλεως, καὶ Κάτων εἰς Κύπρον ἀπεστάλη, παντάπασιν ἐξελύθη. Καὶ πρό γε τῆς τελευτῆς λέγεται νοσῆσαι τὴν διάνοιαν αὐτῷ, κατὰ μικρὸν ἀπομαραινομένην. Νέπως δὲ Κορνήλιος οὐχ ὑπὸ γήρως φησὶν, οὐδὲ νόσου παραλλάξαι τὸν Λούκουλλον, ἀλλὰ φαρμάκοις ὑπό τινος τῶν ἀπελευθέρων, Καλλισθένους, διαφθαρέντα· τὰ δὲ φάρμακα δοθῆναι μὲν, ὡς ἄγαπῶτο μᾶλλον ὁ Καλλισθένης ὑπ' αὐτοῦ, τοιαύτην

Digitized by Google

ἔχειν δοκοῦντα τὴν δύναμιν· ἐκστῆσαι δὲ καὶ καταλῦσαι τὸν λογισμόν, ὥστ', ἔτι ζῶντος αὐτοῦ, τὴν οὐσίαν διοικεῖν τὸν ἀδελφόν. Οὐ μὴν ἀλλ', ὡς ἀπέθανε, καθάπερ ἂν ἐν ἀκμῇ τῆς στρατηγίας καὶ τῆς πολιτείας αὐτοῦ τελευτήσαντος, ὁ δῆμος ἠχθέσθη καὶ συνέδραμε, καὶ τὸ σῶμα κομισθὲν εἰς ἀγορὰν ὑπὸ τῶν εὐγενεστάτων νεανίσκων, ἐβιάζετο θάπτειν ἐν τῷ πεδίῳ τοῦ Ἄρεως, ὅπου καὶ Σύλλαν ἔθαψεν. Οὐδενὸς δὲ τοῦτο προσδοκήσαντος, οὐδὲ ῥᾳδίας οὔσης τῆς παρασκευῆς, ὁ ἀδελφὸς αὐτοῦ δεύμενος καὶ παραιτούμενος, ἔπεισεν ἐπιτρέψαι τὴν παρεσκευασμένην ἐν τῷ περὶ Τοῦσκλον ἀγρῷ τοῦ νεκροῦ κηδείαν γενέσθαι. Πολὺν δ' οὐδ' αὐτὸς προσεβίω χρόνον, ἀλλ' ὡς ἡλικίᾳ καὶ δόξῃ, μικρὸν ἀπελείφθη καὶ τῷ χρόνῳ τῆς τελευτῆς, φιλαδελφότατος γενόμενος.

Digitized by Google

COMPARATIO CIMONIS CVM LVCVLLO.

Μάλιστα δ' ἂν τις εὐδαιμονίσειε τοῦ τέλους Λούκουλλον, ὅτι πρὸ τῆς μεταβολῆς, ἣν ἤδη κατὰ τῆς πολιτείας ἐτεκταίνετο τοῖς ἐμφυλίοις πολέμοις τὸ πεπρωμένον, ἔφθη προαποθανών, καὶ καταλύσας ἐν νοσούσῃ μὲν, ἔτι δ' ἐλευθέρᾳ τῇ πατρίδι τὸν βίον. Καὶ τοῦτό γε πάντων αὐτῷ πρὸς Κίμωνα κοινότατόν ἐστι. Καὶ γὰρ ἐκεῖνος, οὔπω συντεταραγμένων τῶν Ἑλληνικῶν, ἀλλ' ἀκμὴν εὖ ἐχόντων, ἐτελεύτησεν· ἐπὶ στρατοπέδου μέντοι, καὶ στρατηγῶν, οὐκ ἀπειρηκώς, οὐδ' ἀλύων, οὐδὲ τῶν ὅπλων καὶ τῶν στρατηγιῶν καὶ τῶν τροπαίων ἔπαθλον ποιούμενος εὐωχίας καὶ πότους· ὥσπερ Πλάτων ἐπισκώπτει τοὺς περὶ τὸν Ὀρφέα, τοῖς εὖ βεβιωκόσι φάσκοντας ἀποκεῖσθαι γέρας ἐν ᾅδου, μέθην αἰώνιον. Σχολὴ μὲν οὖν καὶ ἡσυχία καὶ διατριβὴ περὶ λόγους ἡδονήν τινα καὶ θεωρίαν ἔχοντας, εὐπρεπέστατον ἀνδρὶ πρεσβύτῃ καὶ πεπαυμένῳ πολέμων καὶ πολιτείας παραμύθιον. τὸ δ' ἐφ' ἡδονὴν, ὡς τέλος, καταστρέψαντα τὰς καλὰς

Digitized by Google

πράξεις, ἤδη λοιπὸν Ἀφροδίσια τῶν πολέμων καὶ στρατηγιῶν ἄγοντα παίζειν καὶ τρυφᾶν, οὐκ ἄξια τῆς καλῆς Ἀκαδημίας, οὐδὲ τὸν Ξενοκράτη ζηλοῦντος, ἀλλ' ἐγκεκλικότος πρὸς τὸν Ἐπίκουρον. Ὃ καὶ θαυμαστόν ἐστιν. Ὑπεναντίως γὰρ ἡ νεότης τοῦ μὲν ἐπιψογος καὶ ἀκόλαστος γεγονέναι δοκεῖ, τοῦ δὲ πεπαιδευμένη καὶ σώφρων. Βελτίων οὖν, ᾧ πρὸς τὸ βέλτιον ἡ μεταβολή· χρηστοτέρα γὰρ ἡ φύσις, ἐν ᾗ γηρᾷ μὲν τὸ χεῖρον, ἐπακμάζει δὲ τὸ ἄμεινον. Καὶ μὴν ὁμοίως γε πλουτήσαντες οὐχ ὁμοίως διέθεντο τὸν πλοῦτον. Οὐ γὰρ ἄξιον ὁμοιῶσαι τῷ νοτίῳ τείχει τῆς ἀκροπόλεως, ὃ τοῖς ὑπὸ Κίμωνος κομισθεῖσιν ἐτελέσθη χρήμασι, τοὺς ἐν Νεαπόλει θαλάμους καὶ τὰς περικλύστους ἀπόψεις, ἃς Λούκουλλος ἀπὸ τῶν βαρβαρικῶν ἐξωκοδόμει λαφύρων· οὐδέ γε τῇ Κίμωνος τραπέζῃ τὴν Λουκούλλου παραβαλεῖν, τῇ δημοκρατικῇ καὶ φιλανθρώπῳ τὴν πολυτελῆ καὶ σατραπικήν. Ἡ μὲν γὰρ ἀπὸ μικρᾶς δαπάνης πολλοὺς καθ' ἡμέραν διέτρεφεν, ἡ δ' εἰς ὀλίγους τρυφῶντας ἀπὸ πολλῶν παρεσκευάζετο χρημάτων. Εἰ μὴ νὴ Δία τῶν πραγμάτων ἐποίει διαφορὰν ὁ χρόνος. Ἄδηλον γάρ, εἰ καὶ Κίμων ἀπὸ τῶν πράξεων καὶ στρατηγιῶν εἰς ἀπόλεμον καὶ ἀπολίτευτον γῆρας ἀφεὶς αὑτὸν, ἔτι μᾶλλον ἂν ἐχρήσατο σοβαρᾷ καὶ πρὸς ἡδονὴν ἀνειμένῃ διαίτῃ. Καὶ γὰρ φιλοπότης καὶ πανηγυρικὸς, καὶ τὰ πρὸς γυναῖκας, ὡς εἴρηται, διαβεβλημένος. Αἱ δ' ἐπὶ τὰς πράξεις καὶ τοὺς ἀγῶνας κατορθώσεις, ἡδονὰς ἑτέρας ἔχουσαι, τῶν χειρόνων ἐπιθυμιῶν ἀσχο-

Digitized by Google

λίαν ποιοῦσι καὶ λήθην ταῖς πολιτικαῖς καὶ φιλοτίμοις φύσεσιν. Εἰ γοῦν καὶ Λούκουλλος ἐτελεύτησεν ἀγωνιζόμενος καὶ στρατηγῶν, οὐδ' ἂν ὁ ψογερώτατος καὶ φιλομεμφότατος εὑρεῖν μοι δοκεῖ διαβολὴν ἐπ' αὐτόν. Καὶ ταῦτα μὲν περὶ τῆς διαίτης.

II. Ἐν δὲ τοῖς πολεμικοῖς, ὅτι μὲν ἀμφότεροι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἀγαθοὶ γεγόνασιν ἀγωνισταί, δῆλον. Ὥσπερ δὲ τῶν ἀθλητῶν τοὺς ἡμέρᾳ μιᾷ πάλῃ [μιᾷ] καὶ παγκρατίῳ στεφανουμένους, ἔθει τινὶ παραδοξονίκας καλοῦσιν, οὕτω Κίμων ἐν ἡμέρᾳ μιᾷ πεζομαχίας καὶ ναυμαχίας ἅμα τροπαίῳ στεφανώσας τὴν Ἑλλάδα, δίκαιός ἐστιν ἔχειν τινὰ προεδρίαν ἐν τοῖς στρατηγοῖς. Καὶ μὴν Λουκούλλῳ μὲν ἡ πατρὶς, Κίμωνι δὲ τῇ πατρίδι τὴν ἡγεμονίαν περιέθηκε. Καὶ ὁ μὲν ἀρχούσῃ τῶν συμμάχων προσεκτήσατο τὰ τῶν πολεμίων· ὁ δ' ἄλλοις ἑπομένην παραλαβὼν, ἅμα καὶ τῶν συμμάχων ἄρχειν καὶ τῶν πολεμίων κρατεῖν ἐποίησε, Πέρσας μὲν [οὖν] ἀναγκάσας ἡττηθέντας ἐκβῆναι τῆς θαλάσσης, Λακεδαιμονίους δὲ πείσας ἑκόντας ἐκστῆναι. Εἰ τοίνυν μέγιστον ἔργον ἡγεμόνος, εὐπείθειαν ἐνεργάσασθαι δι' εὔνοιαν, Λούκουλλος μὲν ὑπὸ τῶν στρατιωτῶν κατεφρονήθη, Κίμων δ' ὑπὸ τῶν συμμάχων ἐθαυμάσθη. Παρ' οὗ μὲν γὰρ ἀπέστησαν, πρὸς ὃν δὲ μετέστησαν. Καὶ ὁ μὲν ὢν ἄρχων ἐξῆλθεν, ὑπὸ τούτων ἀπολειφθεὶς ἐπανῆλθεν· ὁ δὲ, μεθ' ὧν ἑτέροις ποιήσων τὸ προσταττόμενον ἐξεπέμφθη, τούτοις αὐτὸς διδοὺς τὸ παράγγελμα, κατέπλευσε, τρία τὰ πάντων δυσκο-

Digitized by Google

λώτατα διαπεπραγμένος δμοῦ τῇ πόλει, πρὸς μὲν τοὺς πολεμίους εἰρήνην, παρὰ δὲ τῶν συμμάχων ἡγεμονίαν, πρὸς δὲ Λακεδαιμονίους δμόνοιαν. Μεγάλας τοίνυν ἐπιχειρήσαντες ἀμφότεροι καταλύειν ἡγεμονίας, καὶ καταστρέφεσθαι τὴν Ἀσίαν πᾶσαν, ἀτελεῖς ἐγένοντο τῶν πράξεων, ὁ μὲν καθάπαξ διὰ τὴν τύχην· ἐτελεύτησε γὰρ στρατηγῶν καὶ εὐημερῶν· τὸν δ' οὐ παντελῶς ἄν τις ἐξέλοιτο τῆς παὰ αὐτὸν αἰτίας, εἴτ' ἠγνόησεν, εἴτ' οὐκ ἐθεράπευσε τὰς ἐν τῷ στρατιωτικῷ διαφορὰς καὶ μέμψεις, ἀφ' ὧν εἰς τηλικαύτας ἀπεχθείας προῆλθεν. Ἢ τοῦτό γε καὶ πρὸς Κίμωνα κοινόν ἐστι· καὶ γὰρ ἐκεῖνον ὑπήγαγόν τε εἰς δίκας οἱ πολῖται, καὶ τελευτῶντες ἐξωστράκισαν, ἵν' αὐτοῦ δέκα ἐτῶν, ὡς φησιν ὁ Πλάτων, τῆς φωνῆς μὴ ἀκούσωσιν. Αἱ γὰρ ἀριστοκρατικαὶ φύσεις ὀλίγα τοῖς πολλοῖς συνᾴδουσι καὶ πρὸς ἡδονὴν ἔχουσι· τὰ δὲ πολλὰ προσβιαζόμεναι, τῷ κατευθύνειν διαστρευομένους ἀνιῶσιν, ὥσπερ οἱ τῶν ἰατρῶν δεσμοὶ, καίπερ εἰς τὰ κατὰ φύσιν ἄγοντες τὰς παραρθρήσεις. Ταύτης μὲν οὖν ἴσως ἀπαλλακτέον τῆς αἰτίας ἐκάτερον.

III. Πολὺ δ' ὁ Λούκουλλος προῆλθε τῷ πολέμῳ, τόν τε Ταῦρον ὑπερβαλὼν στρατοπέδῳ Ῥωμαίων πρῶτος, καὶ τὸν Τίγριν διαβὰς, καὶ τὰ βασίλεια τῆς Ἀσίας ἐν ὄψει τῶν βασιλέων, Τιγρανόκερτα καὶ Κάβειρα καὶ Σινώπην καὶ Νίσιβιν ἑλὼν καὶ καταφλέξας, καὶ τὰ μὲν βόρεια, μέχρι Φάσιδος, τὰ δ' ἑῷα, μέχρι Μηδίας, τὰ δὲ πρὸς νότον καὶ τὴν ἐρυθρὰν θάλασσαν

Digitized by Google

οἰκειωσάμενος διὰ τῶν Ἀραβικῶν βασιλέων· συντρίψας δὲ τὰς δυνάμεις τῶν βασιλέων, ἀπολειφθεὶς δὲ μόνου τοῦ τὰ σώματα λαβεῖν, ὥσπερ θηρίων εἰς ἐρημίας καὶ ὕλας ἀστιβεῖς καὶ ἀβάτους ἀποδιδρασκόντων. Τεκμήριον δὲ μέγα· Πέρσαι μὲν γὰρ, ὡς οὐδὲν μέγα πεπονθότες ὑπὸ Κίμωνος, εὐθὺς ἀντετάττοντο τοῖς Ἕλλησι, καὶ τήν γε πολλὴν δύναμιν αὐτῶν ἐν Αἰγύπτῳ κρατήσαντες διέφθειραν. Τιγράνου δὲ καὶ Μιθριδάτου μετὰ Λούκουλλον οὐδὲν ἄλλο ἔργον ἐγένετο· ἀλλ' ὁ μὲν, ἀσθενὴς ἤδη καὶ συγκεκομμένος ὑπὸ τῶν πρώτων ἀγώνων, οὐδ' ἅπαξ ἐτόλμησε δεῖξαι Πομπηΐῳ τὴν δύναμιν ἔξω τοῦ χάρακος, ἀλλὰ φυγὼν εἰς Βόσπορον κατέβη, κἀκεῖ κατέστρεψε· Τιγράνης δ' αὐτὸς ἑαυτὸν γυμνὸν καὶ ἄνοπλον φέρων ὑπέρριψε Πομπηΐῳ, καὶ τὸ διάθημα τῆς κεφαλῆς ἀφελόμενος, ἔθηκε πρὸ τῶν ποδῶν, οὐ τοῖς ἑαυτοῦ κολακεύων Πομπήϊον, ἀλλὰ τοῖς ὑπὸ Λουκούλλου τεθριαμβευμένοις. Ἠγάπησε γοῦν ἀπολαμβάνων τὰ σύμβολα τῆς βασιλείας, ὡς ἀφῃρημένος πρότερον. Μείζων οὖν στρατηγὸς, ὥσπερ ἀθλητὴς, ὁ τῷ μεθ' ἑαυτὸν ἀσθενέστερον παραδοὺς τὸν ἀντίπαλον. Ἔτι τοίνυν, Κίμων μὲν συντετριμμένην τὴν βασιλέως δύναμιν, καὶ τὸ Περσῶν φρόνημα συνεσταλμένον ἥτταις μεγάλαις καὶ ἀπαύστοις φυγαῖς ὑπὸ Θεμιστοκλέους καὶ Παυσανίου καὶ Λεωτυχίδου καταλαβὼν, ἐπενέβη, καὶ προπεπτωκότων καὶ προηττημένων ταῖς ψυχαῖς τὰ σώματα ῥᾳδίως ἐνίκησε· Λουκούλλῳ δὲ Τιγράνης, ἥττητος ἐκ πολλῶν ἀγώνων καὶ μέγα φρονῶν, συν-

Digitized by Google

ἔπεσε. Πλήθει δ' οὐδ' ἄξιον παραβαλεῖν τοῖς ἐπὶ Λούκουλλον συνελθοῦσι τοὺς ὑπὸ Κίμωνος κρατηθέντας. Ὥστε πάντη μεταλαμβάνοντι δυσδιαίτητον εἶναι τὴν κρίσιν. Ἐπεὶ καὶ τὸ δαιμόνιον ἀμφοτέροις ἔοικεν εὐμενὲς γενέσθαι, τῷ μὲν ἃ χρὴ κατορθοῦν, τῷ δ' ἃ φυλάττεσθαι χρὴ, προμηνύον· ὥστε καὶ τὴν παρὰ τῶν θεῶν ψῆφον αὐτοῖς ὑπάρχειν, ὡς ἀγαθοῖς καὶ θείοις τὴν φύσιν ἀμφοτέροις.

Digitized by Google

ΝΙΚΙΑΣ.

Ἐπεὶ δοκοῦμεν οὐκ ἀτόπως τῷ Νικίᾳ τὸν Κράσσον παραβάλλειν, καὶ τὰ Παρθικὰ παθήματα τοῖς Σικελικοῖς, ὥρα παραιτεῖσθαι καὶ παρακαλεῖν ὑπὲρ ἐμοῦ τοὺς ἐντυγχάνοντας τοῖς συγγράμμασι τούτοις, ὅπως ἐπὶ ταῖς διηγήσεσιν, αἷς Θουκυδίδης, αὐτὸς αὑτοῦ περὶ ταῦτα παθητικώτατος, ἐναργέστατος, ποικιλώτατος γενόμενος, ἀμιμήτως ἐξενήνοχε, μηδὲν ἡμᾶς ὑπολάβωσι πεπονθέναι Τιμαίῳ πάθος ὅμοιον· ὃς ἐλπίσας τὸν μὲν Θουκυδίδην ὑπερβαλεῖσθαι δεινότητι, τὸν δὲ Φίλιστον ἀποδείξειν παντάπασι φορτικὸν καὶ ἰδιώτην, διὰ μέσων ὠθεῖται τῇ ἱστορίᾳ τῶν μάλιστα κατωρθωμένων ἐκείνοις ἀγώνων, καὶ ναυμαχιῶν, καὶ δημηγοριῶν, οὐ μὰ Δια

Παρὰ Λύδιον ἅρμα πεζὸς οἰχνεύων,

ὡς φησι Πίνδαρος· ἀλλ' ὅλως τις ὀψιμαθὴς καὶ μειρακιώδης φαινόμενος ἐν τούτοις, καὶ κατὰ τὸν Λίφιλον,

Παχὺς, ὠνθυλευμένος στέατι Σικελικῷ.

πολλαχοῦ δ' ὑποῤῥέων εἰς τὸν Ξέναρχον. Ὥσπερ ὅταν

Digitized by Google

λέγῃ τοῖς Ἀθηναίοις οἰωνὸν ἡγήσασθαι γεγονέναι, τὸν ἀπὸ τῆς νίκης ἔχοντα τοὔνομα στρατηγὸν, ἀντειπόντα πρὸς τὴν στρατηγίαν· καὶ τῇ περικοπῇ τῶν Ἑρμῶν προσημαίνειν αὐτοῖς τὸ δαιμόνιον, ὡς ὑπὸ Ἑρμοκράτους τοῦ Ἕρμωνος πλεῖστα πείσονται παρὰ τὸν πόλεμον. Ἔτι δ', εἰκὸς εἶναι τὸν Ἡρακλέα τοῖς μὲν Συρακουσίοις βοηθεῖν, διὰ τὴν Κόρην, παῤ ἧς ἔλαβε τὸν Κέρβερον· ὀργίζεσθαι δὲ τοῖς Ἀθηναίοις, ὅτι τοὺς Αἰγεσιέας, ἀπογόνους ὄντας Τρώων, ἔσωζον, αὐτὸς δ' ὑπὸ Λαομέδοντος ἀδικηθεὶς, ἀνάστατον ἐποίησε τὴν πόλιν. Ἀλλὰ τούτῳ μὲν ἴσως ἀπὸ τῆς αὐτῆς ἐμμελείας ταῦτά τε γράφειν ἐπῄει, καὶ τὴν Φιλίστου διάλεκτον εὐθύνειν, καὶ τοῖς περὶ Πλάτωνα καὶ Ἀριστοτέλη λοιδορεῖσθαι. Ἐμοὶ δ' ὅλως μὲν ἡ περὶ λέξιν ἄμιλλα καὶ ζηλοτυπία πρὸς ἑτέρους, μικροπρεπὲς φαίνεται· καὶ σοφιστικόν· ἂν δὲ πρὸς τὰ ἄμιμητα γίγνηται, καὶ τελέως ἀναίσθητον. Ὡς γοῦν Θουκυδίδης ἐξήνεγκε πράξεις καὶ Φίλιστος, ἐπεὶ παρελθεῖν οὐκ ἔστι, μάλιστά γε δὴ τὸν τρόπον καὶ τὴν διάθεσιν τοῦ ἀνδρὸς ὑπὸ πολλῶν καὶ μεγάλων παθῶν καλυπτομένην περιεχούσας, ἐπιδραμὼν βραχέως καὶ διὰ τῶν ἀναγκαίων, ἵνα μὴ παντάπασιν ἀμελὴς δοκῶ καὶ ἀργὸς εἶναι, τὰ διαφεύγοντα τοὺς πολλοὺς, ὑφ' ἑτέρων δ' εἰρημένα σποράδην, ἢ πρὸς ἀναθήμασιν, ἢ ψηφίσμασιν εὑρημένα παλαιοῖς, πεπείραμαι συναγαγεῖν· οὐ τὴν ἄχρηστον ἀθροίζων ἱστορίαν, ἀλλὰ τὴν πρὸς κατανόησιν ἤθους καὶ τρόπου παραδιδούς.

Π. Ἔνεστιν οὖν περὶ Νικίου πρῶτον εἰπεῖν, ὃ γὲ

γραφεν Ἀριστοτέλης, ὅτι τρεῖς ἐγένοντο βέλτιστοι τῶν πολιτῶν, καὶ πατρικὴν ἔχοντες εὔνοιαν καὶ φιλίαν πρὸς τὸν δῆμον, Νικίας ὁ Νικηράτου, καὶ Θουκυδίδης ὁ Μιλησίου, καὶ Θηραμένης ὁ Ἄγνωνος· ἧττον δὲ οὗτος, ἢ ἐκεῖνοι· καὶ γὰρ εἰς δυσγένειαν, ὡς ξένος ἐκ Κέω, λελοιδόρηται, καὶ διὰ τὸ μὴ μόνιμον, ἀλλὰ καὶ ἐπαμφοτερίζον ἀεὶ τῇ προαιρέσει τῆς πολιτείας, ἐπεκλήθη Κόθορνος. Ἐκείνων δὲ πρεσβύτερος μὲν ὁ Θουκυδίδης ἦν, καὶ πολλὰ Περικλεῖ δημαγωγοῦντι, τῶν καλῶν καὶ ἀγαθῶν προϊστάμενος, ἀντεπολιτεύσατο. Νεώτερος δὲ Νικίας γενόμενος, ἦν μὲν ἔν τινι λόγῳ, καὶ Περικλέους ζῶντος, ὥστε κἀκείνῳ συστρατηγῆσαι, καὶ καθ' αὑτὸν ἄρξαι πολλάκις. Περικλέους δ' ἀποθανόντος, εὐθὺς εἰς τὸ πρωτεύειν προήχθη, μάλιστα μὲν ὑπὸ τῶν πλουσίων καὶ γνωρίμων, ἀντίταγμα ποιουμένων αὐτὸν πρὸς τὴν Κλέωνος βδελυρίαν καὶ τόλμαν· οὐ μὴν ἀλλὰ καὶ τὸν δῆμον εἶχεν εὔνουν καὶ συμφιλοτιμούμενον. Ἴσχυε μὲν γὰρ ὁ Κλέων μέγα, γερονταγωγῶν, καὶ ἀναμισθαρνεῖν διδούς. Ὅμως δὲ καὶ τὴν πλεονεξίαν αὐτοῦ καὶ τὴν ἰταμότητα καὶ τὸ θράσος ὁρῶντες αὐτοὶ, οἷς πρὸς χάριν ἔπραττεν, οἱ πολλοὶ τὸν Νικίαν ἐπήγοντο. Καὶ γὰρ οὐκ ἦν αὐστηρὸν, οὐδ' ἐπαχθὲς ἄγαν αὐτοῦ τὸ σεμνὸν, ἀλλ' εὐλαβείᾳ τινὶ μεμιγμένον, αὐτῷ τῷ δεδιέναι δοκοῦντι τοὺς πολλοὺς δημαγωγοῦν. Τῇ φύσει γὰρ ὢν ἀθαρσὴς καὶ δύσελπις, ἐν μὲν τοῖς πολεμικοῖς ἀπέκρυπτεν εὐτυχίᾳ τὴν δειλίαν· κατώρθου γὰρ ὁμαλῶς στρατηγῶν. Τὸ δ' ἐν τῇ πολιτείᾳ ψοφο-

Digitized by Google

δεὲς, καὶ πρὸς τοὺς συκοφάντας εὐθορύβητον αὐτοῦ, καὶ δημοτικὸν ἐδόκει, καὶ δύναμιν οὐ μικρὰν ἀπ' εὐνοίας τοῦ δήμου παρεῖχε, τῷ δεδιέναι τοὺς ὑπερορῶντας, αὔξειν δὲ τοὺς δεδιότας. Τοῖς γὰρ πολλοῖς τιμὴ μεγίστη παρὰ τῶν μειζόνων, τὸ μὴ καταφρονεῖσθαι.

III. Περικλῆς μὲν οὖν ἀπό τ' ἀρετῆς ἀληθινῆς καὶ λόγου δυνάμεως τὴν πόλιν ἄγων, οὐδενὸς ἐδεῖτο σχηματισμοῦ πρὸς τὸν ὄχλον, οὐδὲ πιθανότητος. Νικίας δὲ τούτοις μὲν λειπόμενος, οὐσίᾳ δὲ προέχων, ἀπ' αὐτῆς ἐδημαγώγει, καὶ τῇ Κλέωνος εὐχερείᾳ καὶ βωμολοχίᾳ πρὸς ἡδονὴν μεταχειριζομένῃ τοὺς Ἀθηναίους, διὰ τῶν ὁμοίων ἀντιπαρεξάγειν ἀπίθανος ὤν, χορηγίαις ἀνελάμβανε καὶ γυμνασιαρχίαις, ἑτέραις τε τοιαύταις φιλοτιμίαις τὸν δῆμον, ὑπερβαλλόμενος πολυτελείᾳ καὶ χάριτι τοὺς πρὸ ἑαυτοῦ καὶ καθ' ἑαυτὸν ἅπαντας. Εἱστήκει δὲ καὶ τῶν ἀναθημάτων αὐτοῦ καθ' ἡμᾶς τό τε Παλλάδιον ἐν ἀκροπόλει, τὴν χρύσωσιν ἀποβεβληκὸς, καὶ ὁ τοῖς χορηγικοῖς τρίποσιν ὑποκείμενος ἐν Διονύσου νεώς. Ἐνίκησε γὰρ πολλάκις χορηγήσας, ἐλείφθη δ' οὐδέποτε. Λέγεται δ' ἔν τινι χορηγίᾳ παρελθεῖν οἰκέτης αὐτῷ κεκοσμημένος εἰς σχῆμα Διονύσου, κάλλιστος ὀφθῆναι καὶ μέγιστος, οὔπω γενειῶν. Ἡσθέντων δὲ τῶν Ἀθηναίων τῇ ὄψει, καὶ κροτούντων ἐπὶ πολὺν χρόνον, ἀναστὰς ὁ Νικίας, εἶπεν, ὡς οὐχ ὅσιον ἡγοῖτο δουλεύειν καταπεφημισμένον θεῷ σῶμα, καὶ τὸν νεανίσκον ἀπηλευθέρωσε. Μνημονεύεται δ' αὐτοῦ καὶ τὰ

Digitized by Google

περὶ Δῆλον, ὡς λαμπρὰ καὶ θεοπρεπῆ φιλοτιμήματα. Τῶν γὰρ χορῶν, οὓς αἱ πόλεις ἔπεμπον ᾄσομένους τῷ θεῷ, προσπλεόντων μὲν, ὡς ἔτυχεν, εὐθὺς δ' ὄχλου πρὸς τὴν ναῦν ἀπαντῶντος, ᾄδειν κελευομένων κατ' οὐδένα κόσμον, ἀλλ' ὑπὸ σπουδῆς ἀσυντάκτως ἀποβαινόντων ἅμα καὶ στεφανουμένων, καὶ μεταμφιεννυμένων, ἐκεῖνος ὅτε τὴν θεωρίαν ἦγεν, αὐτὸς μὲν εἰς Ῥηνίαν ἀπέβη τὸν χορὸν ἔχων, καὶ τὰ ἱερεῖα, καὶ τὴν ἄλλην παρασκευήν, ζεῦγμα δὲ, πεποιημένον Ἀθήνησι πρὸς τὰ μέτρα, καὶ κεκοσμημένον ἐκπρεπῶς χρυσώσεσι καὶ βαφαῖς καὶ στεφάνοις καὶ αὐλαίαις, κομίζων, διὰ νυκτὸς ἐγεφύρωσε τὸν μεταξὺ Ῥηνίας καὶ Δήλου πόρον, οὐκ ὄντα μέγαν. Εἶθ' ἅμα ἡμέρᾳ τήν τε πομπὴν τῷ θεῷ καὶ τὸν χορὸν ἄγων, κεκοσμημένον πολυτελῶς καὶ ᾄδοντα, διὰ τῆς γεφύρας ἀπεβίβαζε. Μετὰ δὲ τὴν θυσίαν, καὶ τὸν ἀγῶνα καὶ τὰς ἑστιάσεις, τόν τε φοίνικα τὸν χαλκοῦν ἔστησεν, ἀνάθημα τῷ θεῷ, καὶ χωρίον μυρίων δραχμῶν πριάμενος καθιέρωσεν, οὗ τὰς προσόδους ἔδει Δηλίους καταθύοντας ἑστιᾶσθαι, πολλὰ καὶ ἀγαθὰ Νικίᾳ παρὰ τῶν θεῶν αἰτουμένους. Καὶ γὰρ τοῦτο τῇ στήλῃ ἐνέγραψεν, ἣν ὥσπερ φύλακα τῆς δωρεᾶς ἐν Δήλῳ κατέλιπεν. Ὁ δὲ φοίνιξ ἐκεῖνος ὑπὸ τῶν πνευμάτων ἀποκλασθεὶς ἐνέπεσε τῷ Ναξίων ἀνδριάντι τῷ μεγάλῳ, καὶ ἀνέτρεψε.

IV. Τούτοις δ' ὅτι μὲν πολὺ τὸ πρὸς δόξαν καὶ φιλοτιμίαν πανηγυρικὴν καὶ ἀγοραῖον ἔνεστιν, οὐκ ἄδηλον· ἀλλὰ τῷ λοιπῷ τρόπῳ τοῦ ἀνδρὸς καὶ ἤθει

Digitized by Google

πιστεύσειεν ἄν τις εὐσεβείας ἐπακολούθημα τὴν τοιαύτην χάριν καὶ δημαγωγίαν γενέσθαι. Σφόδρα γὰρ ἦν τῶν ἐκπεπληγμένων τὰ δαιμόνια, καὶ θειασμῷ προσκείμενος, ὡς φησι Θουκυδίδης. Ἐν δέ τινι τῶν Πασιφῶντος διαλόγων γέγραπται, ὅτι καθ' ἡμέραν ἔθυε τοῖς θεοῖς, καὶ μάντιν ἔχων ἐπὶ τῆς οἰκίας, προσεποιεῖτο μὲν ἀεὶ σκέπτεσθαι περὶ τῶν δημοσίων, τὰ δὲ πλεῖστα περὶ τῶν ἰδίων, καὶ μάλιστα περὶ τῶν ἀργυρείων μετάλλων. Ἐκέκτητο γὰρ ἐν τῇ Λαυριωτικῇ πολλὰ καὶ μεγάλα εἰς πρόσοδον, οὐκ ἀκινδύνους δὲ τὰς ἐργασίας ἔχοντα. Καὶ πλῆθος ἀνδραπόδων ἔτρεφεν αὐτόθι, καὶ τῆς οὐσίας ἐν ἀργυρίῳ τὸ πλεῖστον εἶχεν. Ὅθεν οὐκ ὀλίγοι περὶ αὐτὸν ἦσαν αἰτοῦντες καὶ λαμβάνοντες. Ἐδίδου γὰρ οὐχ ἧττον τοῖς κακῶς ποιεῖν δυναμένοις, ἢ τοῖς εὖ πάσχειν ἀξίοις. Καὶ ὅλως πρόσοδος ἦν αὐτοῦ τοῖς τε πονηροῖς ἡ δειλία, καὶ τοῖς χρηστοῖς ἡ φιλανθρωπία. Λαβεῖν δὲ περὶ τούτων μαρτυρίαν, καὶ παρὰ τῶν κωμικῶν ἐστι. Τηλεκλείδης μὲν γὰρ εἴς τινα τῶν συκοφαντῶν ταυτὶ πεποίηκε·

Χαρικλῆς μὲν οὖν ἔδωκε μνᾶν, ἵν' αὐτὸν μὴ λέγῃ,
Ὡς ἔφυ τῇ μητρὶ παίδων πρῶτος ἐκ βαλαντίου.
Τέσσαρας δὲ μνᾶς ἔδωκε Νικίας Νικηράτου·
Ὧν δ' ἑκατὶ τοῦτ' ἔδωκε, καίπερ εὖ εἰδὼς ἐγώ,
Οὐκ ἐρῶ. Φίλος γὰρ ἀνήρ, σωφρονεῖν δέ μοι δοκεῖ.

Ὁ δ' ὑπ' Εὐπόλιδος κωμῳδούμενος ἐν τῷ Μαρικᾷ, παράγων τινὰ τῶν ἀπραγμόνων καὶ πενήτων, λέγει.

Α. Πόσου χρόνου γὰρ συγγεγένησαι Νικίᾳ;

Digitized by Google

Β. Οὐδ, εἶδον, εἰ μὴ ναγχος ἑστῶτ' ἐν ἀγορᾷ.
Α. Ἀνὴρ ὁμολογεῖ Νικίαν ἑωρακέναι.
Καίτοι τί μαθὼν ἂν εἶδεν, εἰ μὴ προὐδίδου;
Ἠκούσατ'. ὦ συνήλικες, ἁπαντοφώρῳ Νικίᾳ εἰ-
λημμένον.
Β. Ὑμεῖς γὰρ, ὦ φρενοβλαβεῖς, λάβοιτ' ἂν ἄνδρ'
ἄριστον ἐν κακῷ τινι;
Ὁ δ' Ἀριστοφάνους Κλεὼν ἀπειλῶν λέγει
Λαρυγγιῶ τοὺς ῥήτορας, καὶ Νικίαν ταράξω,
Ὑποδηλοῖ δὲ καὶ Φρύνιχος τὸ ἀθαρσὲς αὐτοῦ καὶ κα-
ταπεπληγμένον ἐν τούτοις·
Ἦν γὰρ πολίτης ἀγαθὸς, ὡς εὖ οἶδ' ἐγὼ,
Κοὐχ ὑποταγεὶς ἐβάδιζεν, ὥσπερ Νικίας.

V. Οὕτω δὴ διακείμενος εὐλαβῶς πρὸς τοὺς συκοφάντας, οὔτε συνεδείπνει τινὶ τῶν πολιτῶν, οὔτε κοινολογίαις οὔτε συνδιημερεύσεσιν ἐνέβαλλεν ἑαυτὸν, οὐδ' ὅλως ἐσχόλαζε ταῖς τοιαύταις διατριβαῖς· ἀλλ' ἄρχων μὲν ἐν τῷ στρατηγίῳ διετέλει μέχρι νυκτός· ἐκ δὲ βουλῆς ὕστατος ἀπῄει, πρῶτος ἀφικνούμενος. Εἰ δὲ μηδὲν ἐν κοινῷ πράττειν ἔχοι, δυσπρόσοδος ἦν καὶ δυσέντευκτος, οἰκουρῶν καὶ κατακεκλεισμένος. Οἱ δὲ φίλοι τοῖς ἐπὶ ταῖς θύραις φοιτῶσιν ἐνετύγχανον, καὶ παρῃτοῦντο συγγνώμην ἔχειν. ὡς καὶ τότε Νικίου πρὸς δημοσίας χρείας τινὰς καὶ ἀσχολίας ὄντος. Καὶ ὁ μάλιστα ταῦτα συντραγῳδῶν, καὶ συμπεριτιθεὶς ὄγκον αὐτῷ καὶ δόξαν, Ἱέρων ἦν, ἀνὴρ τεθραμμένος ἐπὶ τῆς οἰκίας τοῦ Νικίου, περί τε γράμματα καὶ μουσικὴν ἐξησκημένος ὑπ' αὐτοῦ· προσποιούμενος δ' υἱὸς εἶναι

Digitized by Google

Διονυσίου τοῦ Χαλκοῦ προσαγορευθέντος, οὗ καὶ ποιήματα σώζεται, καὶ τῆς εἰς Ἰταλίαν ἀποικίας ἡγεμὼν γενόμενος, ἔκτισε Θουρίους. Οὗτος οὖν ὁ Ἱέρων τά τε πρὸς τοὺς μάντεις ἀπόῤῥητα διεπράττετο τῷ Νικίᾳ, καὶ λόγον ἐξέφερεν εἰς τὸν δῆμον, ὡς ἐπίπονόν τινα καὶ ταλαίπωρον διὰ τὴν πόλιν ζῶντος αὐτοῦ βίον· „Ὢι γ' (ἔφη) καὶ περὶ λουτρὸν ὄντι καὶ περὶ δεῖπνον ἀεί τι προσπίπτει δημόσιον· ἀμελῶν δὲ τῶν ἰδίων, ὑπὸ τοῦ τὰ κοινὰ φροντίζειν, μόλις ἄρχεται καθεύδειν περὶ πρῶτον ὕπνον. Ὅθεν αὐτῷ καὶ τὸ σῶμα διάκειται κακῶς, καὶ τοῖς φίλοις οὐ προσηνὴς, οὐδ' ἡδύς ἐστιν· ἀλλὰ καὶ τούτους προσαποβέβληκε τοῖς χρήμασι πολιτευόμενος. Οἱ δ' ἄλλοι, καὶ φίλους κτώμενοι, καὶ πλουτίζοντες αὑτοὺς ἀπὸ τοῦ βήματος, εὐπαθοῦσι καὶ προσπαίζουσι τῇ πολιτείᾳ." Τῷ δ' ὄντι ποιοῦτος ἦν ὁ Νικίου βίος, ὥστ' αὐτὸν εἰπεῖν τὰ τοῦ Ἀγαμέμνονος εἰς αὑτόν·

προστάτην δὲ τοῦ βίου
Τὸν ὄγκον ἔχομεν, τῷ δ' ὄχλῳ δουλεύομεν.

VI. Ὁρῶν δὲ τῶν ἐν λόγῳ δυνατῶν, ἢ τῷ φρονεῖν διαφερόντων, ἀποχρώμενον εἰς ἕνια ταῖς ἐμπειρίαις τὸν δῆμον, ὑφορώμενον δ' ἀεὶ καὶ φυλαττόμενον τὴν δεινότητα, καὶ κολούοντα τὸ φρόνημα καὶ τὴν δόξαν, (ὡς δῆλον ἦν τῇ Περικλέους καταδίκῃ, καὶ τῷ Δάμωνος ἐξοστρακισμῷ, καὶ τῇ πρὸς Ἀντιφῶντα τὸν Ῥαμνούσιον ἀπιστίᾳ τῶν πολλῶν. καὶ μάλιστα δὴ τοῖς περὶ Πάχητα, τὸν ἑλόντα Λέσβον, ὃς, εὐθύνας διδοὺς τῆς στρατηγίας, ἐν αὐτῷ τῷ δικαστη-

Digitized by Google

ρίῳ σπασάμενος ξίφος ἀνεῖλεν ἑαυτόν) τὰς μὲν ἐργώδεις πάνυ καὶ μακρὰς ἐπειρᾶτο διακρούεσθαι στρατηγίας, ὅπου δ' αὐτὸς στρατεύοιτο, τῆς ἀσφαλείας ἐχόμενος καὶ τὰ πλεῖστα κατορθῶν, ὡς εἰκός, εἰς οὐδεμίαν αὑτοῦ σοφίαν, ἢ δύναμιν, ἢ ἀρετὴν, ἀνέφερε τὰς πράξεις, ἀλλὰ παρεχώρει τῇ τύχῃ, καὶ κατέφευγεν εἰς τὸ θεῖον, τῷ φθόνῳ τῆς δόξης ὑφιέμενος. Ἐπεμαρτύρει δὲ καὶ τὰ πράγματα· πολλῶν γὰρ τότε προσκρουσμάτων τῇ πόλει καὶ μεγάλων γενομένων, οὐδενὸς ἁπλῶς ἐκεῖνος μετέσχεν. Ἀλλὰ περὶ Θράκην μὲν ἡττήθησαν ὑπὸ Χαλκιδέων, Καλλιάδου τε καὶ Ξενοφῶντος στρατηγούντων· τὸ δ' Αἰτωλικὸν πταῖσμα συνέβη, Δημοσθένους ἄρχοντος· ἐν δὲ Δηλίῳ χιλίους αὐτῶν ἀπέβαλον, Ἱπποκράτους ἡγομένου. τοῦ δὲ λοιμοῦ τὴν πλείστην αἰτίαν ἔλαβε Περικλῆς, διὰ τὸν πόλεμον εἰς τὸ ἄστυ κατακλείσας τὸν ἀπὸ τῆς χώρας ὄχλον, ἐκ τῆς μεταβολῆς τῶν τόπων καὶ διαίτης ἀήθους γενομένου. Νικίας δὲ τούτων ἁπάντων ἀναίτιος ἔμεινε, καὶ στρατηγῶν εἷλε μὲν Κύθηρα, νῆσον εὖ κατὰ τῆς Λακωνικῆς πεφυκυῖαν, καὶ Λακεδαιμονίους ἔχουσαν οἰκήτορας. Ἔλαβε δὲ καὶ πολλὰ τῶν ἐπὶ Θράκης ἀφεστώτων, καὶ προσηγάγετο. Κατακλείσας δὲ Μεγαρεῖς εἰς τὴν πόλιν, εὐθὺς μὲν ἔσχε Μινῴαν τὴν νῆσον· ὀλίγῳ δ' ὕστερον ἐκ ταύτης ὁρμώμενος, Νισαίας ἐκράτησεν. Εἰς δὲ τὴν Κορινθίαν ἀποβὰς, ἐνίκησε μάχῃ καὶ διέφθειρε Κορινθίων πολλοὺς, καὶ Λυκόφρονα τὸν στρατηγόν· ἔνθα δὴ αὐτῷ συνέβη τῶν οἰκείων δύο νεκροὺς ἀπολιπεῖν,

Digitized by Google

διαλαθόντας περὶ τὴν ἀναίρεσιν. Ὡς οὖν τοῦτ' ἔγνω, τάχιστα τὸν στόλον ἐπιστήσας, ἔπεμψε κήρυκα πρὸς τοὺς πολεμίους περὶ ἀναιρέσεως. Καίτοι κατὰ νόμον τινὰ καὶ συνήθειαν ἐδόκουν οἱ νεκρῶν ὑποσπόνδων λαβόντες ἀναίρεσιν, ἀπολέγεσθαι τὴν νίκην. Καὶ τρόπαιον ἱστάναι τοὺς τούτου τυχόντας, οὐκ ἔνθεσμον ἦν· νικᾶν γὰρ τοὺς κρατοῦντας, μὴ κρατεῖν δὲ τοὺς αἰτοῦντας, ὡς λαβεῖν μὴ δυναμένους. Ἀλλ' ὅμως ἐκεῖνος ὑπέμεινε μᾶλλον προέσθαι τὸ νίκημα καὶ τὴν δόξαν, ἢ καταλιπεῖν ἀτάφους δύο τῶν πολιτῶν. Πορθήσας δὲ τὴν παραλίαν τῆς Λακωνικῆς, καὶ τοὺς ἀντιστάντας Λακεδαιμονίων τρεψάμενος, εἷλε Θυρέαν, Αἰγινητῶν ἐχόντων, καὶ τοὺς αἱρεθέντας ἀπήγαγε ζῶντας εἰς Ἀθήνας.

VII. Ἐπεὶ δὲ, Δημοσθένους Πύλον τειχίσαντος, ἐπεστράτευσαν ἅμα πεζῷ καὶ ναυσὶ Πελοποννήσιοι, καὶ μάχης γενομένης, ἀπελείθησαν ἐν τῇ Σφακτηρίᾳ νήσῳ Σπαρτιατῶν ἄνδρες ἀμφὶ τοὺς τετρακοσίους, μέγα μὲν, ὥσπερ ἦν, ἡγούμενοι τὸ λαβεῖν αὐτοὺς Ἀθηναῖοι, χαλεπῆς δὲ καὶ δυσέργου τῆς πολιορκίας οὔσης, ἐν χωρίοις ἀνύδροις, καὶ θέρους μὲν μακρὰν καὶ πολυτελῆ τὴν περιαγωγὴν τῶν ἐπιτηδείων ἐχούσης, σφαλερὰν δὲ χειμῶνος καὶ παντελῶς ἄπορον, ἤχθοντο, καὶ μετεμέλοντο πρεσβείαν Λακεδαιμονίων ἀπωσάμενοι περὶ σπονδῶν καὶ εἰρήνης ἀφικομένην πρὸς αὐτούς. Ἀπεώσαντο δὲ, Κλέωνος ἐναντιωθέντος, οὐχ ἥκιστα διὰ Νικίαν. Ἐχθρὸς γὰρ ὢν αὐτοῦ, καὶ προθύμως ὁρῶν συμπράττοντα

Digitized by Google

τοῖς Λακεδαιμονίοις, ἔπεισε τὸν δῆμον ἀποψηφίσασθαι τὰς σπονδάς. Ὡς οὖν ἡ τε πολιορκία μῆκος ἐλάμβανε, καὶ δεινὰς ἀπορίας ἐπυνθάνοντο περιεστάναι τὸ στρατόπεδον, δι' ὀργῆς εἶχον τὸν Κλέωνα. Τοῦ δ' εἰς τὸν Νικίαν ἐκτρέποντος τὴν αἰτίαν, καὶ κατηγοροῦντος ὅτι δειλίᾳ καὶ μαλακίᾳ προΐσται τοὺς ἄνδρας, ὡς, αὐτοῦ γε στρατηγοῦντος, οὐκ ἂν περιγενομένους χρόνον τοσοῦτον, τοῖς Ἀθηναίοις εἰπεῖν παρέστη· „Τί δ' οὐχὶ καὶ νῦν αὐτὸς σὺ πλεῖς ἐπὶ τοὺς ἄνδρας; ὅ τε Νικίας ἀναστὰς ἐξίστατο τῆς ἐπὶ Πύλον στρατηγίας αὐτῷ, καὶ λαμβάνειν, ὁπόσην βούλεται, δύναμιν ἐκέλευσε, καὶ μὴ θρασύνεσθαι λόγοις ἀκινδύνοις, ἀλλ' ἔργον τι τῇ πόλει παρασχεῖν ἄξιον σπουδῆς. Ὁ δὲ τὸ μὲν πρῶτον ἀνεδύετο, τῷ μὴ προσδοκῆσαι τοῦτο θορυβούμενος ἐγκελευομένων δὲ ταῦτα τῶν Ἀθηναίων, καὶ τοῦ Νικίου καταβοῶντος, ἐξαρθεὶς καὶ ἀναφλεχθεὶς τὸ φιλότιμον, ὑπεδέξατό τε τὴν στρατηγίαν, καὶ προσδιωρίσατο, πλεύσας, ἐντὸς ἡμερῶν εἴκοσιν ἢ κατακτενεῖν ἐκεῖ τοὺς ἄνδρας, ἢ ζῶντας ἄξειν Ἀθήναζε. Τοῖς δ' Ἀθηναίοις ἐπῆλθε γελάσαι μέγα μᾶλλον, ἢ πιστεῦσαι· καὶ γὰρ ἄλλως εἰώθεσαν αὐτοῦ τὴν κουφότητα καὶ μανίαν φέρειν μετὰ παιδιᾶς οὐκ ἀηδῶς. Λέγεται γάρ, ἐκκλησίας ποτὲ οὔσης, τὸν μὲν δῆμον καθήμενον ἄνω περιμένειν πολὺν χρόνον, ὀψὲ δ' εἰσελθεῖν ἐκεῖνον ἐστεφανωμένον, καὶ παρακαλεῖν ὑπερθέσθαι. τὴν ἐκκλησίαν εἰς αὔριον. „Ἀσχολοῦμαι γάρ (ἔφη) σήμερον, ἑστιῶν μέλλων ξένους, καὶ τεθυκὼς

Digitized by Google

τοῖς θεοῖς." Τοὺς δ' Ἀθηναίους γελάσαντας, ἀναστῆναι καὶ διαλῦσαι τὴν ἐκκλησίαν.

VIII. Οὐ μὴν ἀλλὰ καὶ τότε τύχῃ χρησάμενος ἀγαθῇ, καὶ στρατηγήσας ἄριστα μετὰ Λημοσθένους, ἐντὸς οὗ προεῖπε χρόνου, τῶν Σπαρτιατῶν ὅσοι μὴ κατὰ τὴν μάχην ἔπεσον, τὰ ὅπλα παραδόντας ἤνεγκεν αἰχμαλώτους. Καὶ τοῦτο τῷ Νικίᾳ μεγάλην ἤνεγκεν ἀδοξίαν. Οὐ γὰρ ἀσπίδος ῥίψις, ἀλλ' αἴσχιόν τι καὶ χεῖρον ἐδύκει, τὸ δειλίᾳ τὴν στρατηγίαν ἀποβαλεῖν ἑκουσίως, καὶ προέσθαι τῷ ἐχθρῷ τηλικούτου κατορθώματος ἀφορμὰς, αὐτὸν ἀποχειροτονήσαντα τῆς ἀρχῆς. Σκώπτει δ' αὐτὸν εἰς ταῦτα πάλιν Ἀριστοφάνης, ἐν μὲν Ὄρνισιν οὕτω πως λέγων·

Καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυστάζειν γέ πω
Ὥρα ἐστὶν ἡμῖν, οὐδὲ μελλονικιᾶν.

ἐν δὲ Γεωργοῖς ταῦτα γράφων.

Α. Ἐθέλω γεωργεῖν. Β. Εἶτα τίς σε κωλύει;
Α. Ὑμεῖς, Ἐπεὶ δίδωμι χιλίας δραχμὰς,
Ἐάν με τῶν ἀρχῶν ἀφῆτε. Β. Λεχόμεθα.
Δισχίλιαι γάρ εἰσι σὺν ταῖς Νικίου.

Καὶ μέντοι καὶ τὴν πόλιν ἔβλαψεν οὐ μικρὰ, τῷ Κλέωνι τοσοῦτον προσγενέσθαι δόξης ἐάσας καὶ δυνάμεως· ὑφ' ἧς εἰς βαρὺ φρόνημα καὶ θράσος ἐμπεσὼν ἀκάθεκτον, ἄλλας τε τῇ πόλει προσετρίψατο συμφορὰς, ὧν οὐχ ἥκιστα καὶ αὐτὸς ἀπέλαυσε, καὶ τὸν ἐπὶ τοῦ βήματος κόσμον ἀνελὼν, καὶ πρῶτος ἐν τῷ δημηγορεῖν ἀνακραγὼν, καὶ περισπάσας τὸ ἱμάτιον, καὶ τὸν μηρὸν πατάξας, καὶ δρόμῳ μετὰ

Digitized by Google

τοῦ λέγειν ἅμα χρησάμενος, τὴν ὀλίγον ὕστερον ἅπαντα τὰ πράγματα συγχέασαν εὐχέρειαν καὶ ὀλιγωρίαν τοῦ πρέποντος ἐνεποίησε τοῖς πολιτευομένοις.

IX. Ἤδη δέ που καὶ Ἀλκιβιάδης ἐνεφύετο τηνικαῦτα τοῖς Ἀθηναίοις δημαγωγός, οὐχ ὁμοίως ἄκρατος· ἀλλ' οἷον ἡ Αἰγυπτίων χώρα λέγεται δι' ἀρετὴν ἐκφέρειν ὁμοῦ

Φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά,

οὕτως ἡ Ἀλκιβιάδου φύσις, ἐπ' ἀμφότερα πολλὴ φυεῖσα καὶ λαμπρά, μεγάλων ἐνέδωκεν ἀρχὰς νεωτερισμῶν. Ὅθεν οὐδ' ἀπαλλαγεὶς τοῦ Κλέωνος ὁ Νικίας, καιρὸν ἔσχε παντάπασιν ἀναπαῦσαι καὶ καταστορέσαι τὴν πόλιν· ἀλλ' εἰς ὁδὸν τὰ πράγματα καταστήσας σωπήριον, ἐξέπεσε, ῥώμῃ καὶ σφοδρότητι τῆς Ἀλκιβιάδου φιλοτιμίας αὖθις ἐξωσθεὶς εἰς τὸν πόλεμον. Ἐπράχθη δὲ οὕτως. Οἱ μάλιστα προσπολεμοῦντες τῇ εἰρήνῃ τῆς Ἑλλάδος Κλέων καὶ Βρασίδας ἦσαν, ὧν ὁ πόλεμος τοῦ μὲν ἀπέκρυπτε τὴν κακίαν, τοῦ δὲ τὴν ἀρετὴν ἐκόσμει. Τῷ μὲν γὰρ ἀδικημάτων μεγάλων, τῷ δὲ κατορθωμάτων ἀφορμὰς παρεῖχε. Τούτων οὖν ἅμα πεσόντων ἐν μάχῃ μιᾷ περὶ Ἀμφίπολιν, εὐθὺς ὁ Νικίας παραλαβὼν τοὺς μὲν Σπαρτιάτας, ἔκπαλαι τῆς εἰρήνης ὀρεγομένους, τοὺς δ' Ἀθηναίους οὐκέτι τῷ πολέμῳ θαῤῥοῦντας, ἀμφοτέρους δ' οἷον ἐκλελυμένους καὶ παρακαθιέντας ἑκουσίως τὰς χεῖρας, ἔπραττεν, ὅπως εἰς φιλίαν τὰς πόλεις συναγαγὼν, καὶ τοὺς ἄλλους Ἕλληνας ἀπαλλάξας κακῶν καὶ ἀναπαυσάμενος, βέβαιον οὕτω τὸ τῆς εὐτυχίας ὄνομα πρὸς

Digitized by Google

τὸν αὖθις χρόνον ποιοῖτο. Τοὺς μὲν οὖν εὐπόρους καὶ πρεσβυτέρους, καὶ τῶν γεωργῶν τὸ πλῆθος αὐτόθεν εἰρηνικὸν εἶχεν. Ἐπεὶ δὲ καὶ τῶν ἄλλων πολλοῖς ἐντυγχάνων ἰδίᾳ, καὶ διδάσκων, ἀμβλυτέρους ἐποίησε πρὸς τὸν πόλεμον, οὕτως ἤδη τοῖς Σπαρτιάταις ἐλπίδας ἐνδιδοὺς, προεκαλεῖτο καὶ προὔτρεπεν ἔχεσθαι τῆς εἰρήνης. Οἱ δ' ἐπίστευον αὐτῷ, διά τε τὴν ἄλλην ἐπιείκειαν, καὶ ὅτι τοῖς ἡλωκόσι περὶ Πύλον καὶ δεδεμένοις, ἐπιμελούμενος καὶ περιέπων φιλανθρώπως, ἐλαφροτέραν ἐποίει τὴν ἀτυχίαν. Ἦσαν οὖν πρότερον πεποιημένοι τινὰ πρὸς ἀλλήλους ἐκεχειρίαν ἐνιαύσιον, ἐν ᾗ συνιόντες εἰς ταὐτὸ, καὶ γευόμενοι πάλιν ἀδείας καὶ σχολῆς, καὶ πρὸς ξένους καὶ οἰκείους ἐπιμιξίας, ἐπόθουν τὸν ἀμίαντον, καὶ ἀπόλεμον βίον· ἡδέως μὲν ᾠδόντων τὰ τοιαῦτα χορῶν ἀκούοντες·

Κείσθω δόρυ μοι μίτον ἀμφιπλέκειν ἀράχναις·

ἡδέως δὲ μεμνημένοι τοῦ εἰπόντος, ὅτι τοὺς ἐν εἰρήνῃ καθεύδοντας οὐ σάλπιγγες, ἀλλ' ἀλεκτρυόνες ἀφυπνίζουσι. Λοιδορούντες οὖν καὶ προβαλλόμενοι τοὺς λέγοντας, ὡς τρὶς ἐννέα ἔτη διαπολεμηθῆναι πέπρωται τὸν πόλεμον, ἔπειθ' οὕτω περὶ παντὸς εἰς λόγους συμβάλλοντες, ἐποιήσαντο τὴν εἰρήνην· δόξα τε παρέστη τοῖς πλείστοις, ἀπαλλαγὴν κακῶν σαφῆ γεγονέναι, καὶ τὸν Νικίαν διὰ στόματος εἶχον, ὡς ἀνὴρ εἴη θεοφιλὴς, καὶ τὸ δαιμόνιον αὐτῷ δι' εὐσέβειαν ἐπωνύμῳ γενέσθαι τοῦ μεγίστου καὶ καλλίστου τῶν ἀγαθῶν δέδωκε. Τῷ γὰρ ὄντι Νικίου τὴν εἰρήνην

Digitized by Google

ἐνόμιζον ἔργον, ὡς Περικλέους τὸν πόλεμον. Ὁ μὲν γὰρ ἐπ' αἰτίαις μικραῖς εἰς συμφορὰς μεγάλας ἐμβαλεῖν ἐδόκει τοὺς Ἕλληνας· ὁ δὲ τῶν μεγίστων κακῶν ἔπεισεν ἐκλαθέσθαι, φίλους γενομένους. Διὸ καὶ τὴν εἰρήνην ἐκείνην ἄχρι νῦν Νικίειον καλοῦσι.

X. Γενομένων δὲ συνθηκῶν, ὅπως τὰ χωρία καὶ τὰς πόλεις, ἃς εἶχον, ἀλλήλων καὶ τοὺς αἰχμαλώτους ἀποδιδῶσι, προτέρων ἀποδιδόντων τῶν κλήρῳ λαχόντων, ὠνήσατο τὸν κλῆρον ὁ Νικίας κρύφα χρήμασιν, ὥστε προτέρους ἀποδιδόναι τοὺς Λακεδαιμονίους. Καὶ τοῦτο μὲν ἱστορεῖ Θεόφραστος. Ἐπεὶ δὲ Κορίνθιοι καὶ Βοιωτοὶ πρὸς τὰ πραττόμενα δυσκολαίνοντες, αἰτίαις καὶ μέμψεσιν αὖθις ἐδόκουν ἀνακαλεῖσθαι τὸν πόλεμον, ἔπεισεν ὁ Νικίας τοὺς Ἀθηναίους καὶ Λακεδαιμονίους, τῇ εἰρήνῃ τὴν συμμαχίαν, ὥσπερ κράτος, ἢ δεσμόν, ἐπιθέντας, φοβερωτέρους τε τοῖς ἀφισταμένοις καὶ βεβαιοτέρους ἀλλήλοις γενέσθαι. Πραττομένων δὲ τούτων, ὁ Ἀλκιβιάδης, οὔτε πρὸς ἡσυχίαν εὖ πεφυκὼς καὶ τοῖς Λακεδαιμονίοις ἀχθόμενος, ὅτι τῷ Νικίᾳ προσέκειντο καὶ προσεῖχον, αὐτὸν δ' ὑπερεώρων καὶ κατεφρόνουν, ἐν ἀρχῇ μὲν εὐθὺς ὑπεναντιωθεὶς τῇ εἰρήνῃ καὶ ἀντιστὰς οὐδὲν ἐπέραινεν· ὀλίγῳ δ' ὕστερον ὁρῶν οὐκ ἔτι τοῖς Ἀθηναίοις ὁμοίως ἀρέσκοντας τοὺς Λακεδαιμονίους, ἀλλ' ἀδικεῖν δοκοῦντας, ὅτι Βοιωτοῖς ἔθεντο συμμαχίαν, καὶ Πάνακτον ἑστῶσαν οὐ παρέδωκαν, οὐδ' Ἀμφίπολιν, ἐπεφύετο ταῖς αἰτίαις καὶ παρώξυνε τὸν δῆμον ἐφ' ἑκάστῃ. Τέλος δὲ, πρεσβείαν μεταπεμψάμενος

Digitized by Google

Ἀργείων, ἔπραττε συμμαχίαν πρὸς τοὺς Ἀθηναίους. Ἐπεὶ δὲ πρέσβεις, ἐλθόντες ἐς Λακεδαίμονος αὐτοκράτορες, καὶ τῇ βουλῇ προσεντυγχάνοντες, ἔδοξαν ἐπὶ πᾶσιν ἥκειν τοῖς δικαίοις, δείσας ὁ Ἀλκιβιάδης, μὴ καὶ τὸν δῆμον ἀπὸ τῶν αὐτῶν λόγων ἐπαγάγωνται, περιῆλθεν αὐτοὺς δι' ἀπάτης καὶ ὅρκων, ὡς ἅπαντα συμπράξων, ἂν μὴ φῶσι, μηδ' ὁμολογήσωσιν ἥκειν αὐτοκράτορες· μάλιστα γὰρ οὕτως, ἃ βούλονται, γενήσεσθαι. Πεισθέντων δὲ, καὶ μεταστάντων ἀπὸ τοῦ Νικίου πρὸς ἐκεῖνον, ἐμβαλὼν αὐτοὺς εἰς τὸν δῆμον, ἠρώτα πρῶτον, εἰ περὶ πάντων ἥκουσιν αὐτοκράτορες· ὡς δ' ἠρνοῦντο, παρ' ἐλπίδας μεταβαλόμενος, τήν τε βουλὴν ἐπεκαλεῖτο μάρτυρα τῶν λόγων, καὶ τὸν δῆμον ἐκέλευε μὴ προσέχειν, μηδὲ πιστεύειν οὕτω περιφανῶς ψευδομένοις, καὶ νῦν μὲν ταῦτα, νῦν δὲ τἀναντία, περὶ τῶν αὐτῶν λέγουσι. Θορυβουμένων δ', ὡς εἰκὸς, αὐτῶν, καὶ τοῦ Νικίου μηδὲν ἔχοντος εἰπεῖν, ἀλλ' ἄχει καὶ θαύματι πεπληγότος, ὁ μὲν δῆμος εὐθὺς ὥρμητο τοὺς Ἀργείους καλεῖν καὶ ποιεῖσθαι συμμάχους· ἐβοήθησε δὲ τῷ Νικίᾳ σεισμός τις διὰ μέσου γενόμενος, καὶ διαλύσας τὴν ἐκκλησίαν. Τῇ δ' ὑστεραίᾳ πάλιν τοῦ δήμου συνελθόντος, πολλὰ ποιήσας καὶ εἰπὼν, ἔπεισε μόλις ἐπισχεῖν τὰ πρὸς Ἀργείους, αὐτὸν δὲ πέμψαι πρὸς Λακεδαιμονίους, ὡς πάντων καλῶς γενησομένων. Ἐλθὼν δ' εἰς Σπάρτην, τἆλλα μὲν, ὡς ἀνὴρ ἀγαθὸς καὶ πρόθυμος εἰς αὐτοὺς, ἐτιμήθη, πράξας δ' οὐδὲν, ἀλλὰ κρατηθεὶς ὑπὸ τῶν βοιωτιαζόντων, ἐπανῆλθεν,

Digitized by Google

οὐ μόνον ἀδοξῶν καὶ κακῶς ἀκούων, ἀλλὰ καὶ δεδιὼς τοὺς Ἀθηναίους, λυπουμένους καὶ ἀγανακτοῦντας, ὅτι, πεισθέντες ὑπ' ἐκείνου, τοσούτους καὶ τοιούτους ἄνδρας ἀπέδωκαν. Οἱ γὰρ ἐκ Πύλου κομισθέντες ἦσαν ἐξ οἴκων τε πρώτων τῆς Σπάρτης, καὶ φίλους καὶ συγγενεῖς τοὺς δυνατωτάτους ἔχοντες. Οὐ μὴν ἔπραξάν τι ταχύτερον ὀργῇ πρὸς ἐκεῖνον, ἀλλὰ τὸν Ἀλκιβιάδην στρατηγὸν εἵλοντο, καὶ Μαντινεῖς καὶ Ἠλείους, Λακεδαιμονίων ἀποστάντας, ἐποιήσαντο συμμάχους μετ' Ἀργείων, καὶ λῃστὰς εἰς Πύλον ἔπεμψαν, κακουργεῖν τὴν Λακωνικήν· ἐξ ὧν αὖθις εἰς πόλεμον κατέστησαν.

XI. Ἀκμαζούσης δὲ τῆς πρὸς τὸν Νικίαν τοῦ Ἀλκιβιάδου διαφορᾶς, καὶ γιγνομένης ὀστρακοφορίας, ἣν εἰώθει διὰ χρόνου τινὸς ὁ δῆμος ποιεῖσθαι, ἕνα τῶν ὑπόπτων, ἢ διὰ δόξαν ἄλλως, ἢ πλοῦτον, ἐπιφθόνων ἀνδρῶν, τῷ ὀστράκῳ μεθιστὰς εἰς δέκα ἔτη, πολὺς θόρυβος ἀμφοτέρους περίστατο, καὶ κίνδυνος, ὡς θατέρου πάντως ὑποπεσουμένου τῷ ἐξοστρακισμῷ. Τοῦ μὲν γὰρ Ἀλκιβιάδου καὶ τὸν βίον ἐβδελύττοντο, καὶ τὸ θράσος ὠρῴωδουν, ὡς μᾶλλον ἐν τοῖς περὶ ἐκείνου γραφομένοις δηλοῦται· τὸν δὲ Νικίαν ὅ τε πλοῦτος ἐπίφθονον ἐποίει, καὶ μάλιστα τῆς διαίτης τὸ μὴ φιλάνθρωπον, μηδὲ δημοτικόν, ἀλλ' ἄμικτον, καὶ ὀλιγαρχικόν, ἀλλόκοτον ἐδόκει. Πολλὰ δ' ἤδη ταῖς ἐπιθυμίαις αὐτῶν ἀντιτείνων παρὰ γνώμην, καὶ βιαζόμενος πρὸς τὸ συμφέρον, ἐπαχθὴς ἦν. Ὡς δ' ἁπλῶς εἰπεῖν, νέων ἦν καὶ πολεμοποιῶν ἅμιλλα πρὸς

Digitized by Google

εἰρηνοποιοὺς καὶ πρεσβυτέρους, τῶν μὲν εἰς τοῦτον, τῶν δ' εἰς ἐκεῖνον τὸ ὄστρακον τρεπόντων.

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς·

ὥς που καὶ τότε διαστὰς ὁ δῆμος δίχα, χώραν ἔδωκε τοῖς ἰταμωτάτοις καὶ πανουργοτάτοις. Ὧν ἦν καὶ Ὑπέρβολος ὁ Περιθοίδης, ἄνθρωπος ἀπ' οὐδεμιᾶς τολμῶν δυνάμεως, ἀλλ' ἀπὸ τοῦ τολμᾶν εἰς δύναμιν προελθών, καὶ γενόμενος, δι' ἣν εἶχεν ἐν τῇ πόλει δύξαν, ἀδοξία τῆς πόλεως. Οὗτος ἐν τῷ τότε χρόνῳ τοῦ μὲν ὀστράκου πόρρω τιθέμενος ἑαυτὸν, ἅτε δὴ τῷ κύφωνι μᾶλλον προσήκων, ἐλπίζων δὲ, θατέρου τῶν ἀνδρῶν ἐκπεσόντος, αὐτὸς ἀντίπαλος τῷ λειπομένῳ γενέσθαι, καταφανὴς ἦν ἡδόμενός τε τῇ διαφορᾷ, καὶ παροξύνων τὸν δῆμον ἐπ' ἀμφοτέρους. Συνιδόντες οὖν τὴν μοχθηρίαν οἱ περὶ τὸν Νικίαν καὶ τὸν Ἀλκιβιάδην, καὶ λόγον δόντες ἀλλήλοις κρύφα, καὶ τὰς στάσεις συναγαγόντες εἰς ἓν ἀμφοτέρας καὶ ἀναμίξαντες, ἐκράτησαν, ὥστε μηδέτερον αὐτῶν, ἀλλὰ τὸν Ὑπέρβολον ἐξοστρακισθῆναι. Καὶ παραυτίκα μὲν ἡδονὴν τοῦτο καὶ γέλωτα τῷ δήμῳ παρέσχεν, ὕστερον δ' ἠγανάκτουν, ὡς καθυβρισμένον τὸ πρᾶγμα τοῦτο πρὸς ἄνθρωπον ἀνάξιον γεγονέναι νομίζοντες. Εἶναι γάρ τι καὶ κολάσεως ἄξίωμα, μᾶλλον δὲ κόλασιν τὸν ἐξοστρακισμὸν ἡγούμενοι Θουκυδίδῃ καὶ Ἀριστείδῃ, καὶ τοῖς ὁμοίοις, Ὑπερβόλῳ δὲ τιμὴν καὶ προσποίησιν ἀλαζονείας, εἰ διὰ μοχθηρίαν ταὐτὰ ἔπαθε τοῖς ἀρίστοις· ὥς που καὶ Πλάτων ὁ κωμικὸς εἴρηκε περὶ αὐτοῦ·

Digitized by Google

Καίτοι πέπραχε τῶν τρόπων μὲν ἄξια,
Αὐτοῦ δὲ καὶ τῶν στιγμάτων ἀνάξια.
Οὐ γὰρ τοιούτων εἵνεκ' ὄστρακ' εὑρέθη.

Καὶ τὸ πέρας οὐδεὶς ἔτι τὸ παράπαν ἐξωστρακίσθη μετὰ Ὑπέρβολον, ἀλλ' ἔσχατας ἐκεῖνος· πρῶτος δ' Ἵππαρχος ὁ Χολαργεὺς, συγγενής τις ὢν τοῦ τυράννου. Ἄκριτον δ' ἡ τύχη πρᾶγμα καὶ ἄληπτον λογισμῷ. Νικίας γάρ, εἰ τὸν περὶ ὀστράκου κίνδυνον ἀνέῤῥιψε πρὸς τὸν Ἀλκιβιάδην, ἢ κρατήσας ἂν ἀσφαλῶς ᾤκει τὴν πόλιν ἐκεῖνον ἐξελάσας, ἢ κρατηθεὶς αὐτὸς ἐξήει, πρὸ τῶν ἐσχάτων ἀτυχιῶν τὸ δοκεῖν ἄριστος εἶναι στρατηγὸς διαφυλάξας. Οὐκ ἀγνοῶ δ', ὅτι Θεόφραστος ἐξοστρακισθῆναί φησι τὸν Ὑπέρβολον, Φαίακος, οὐ Νικίου, πρὸς Ἀλκιβιάδην ἐρίσαντος. Ἀλλ' οἱ πλείονες οὕτω γεγράφασιν.

XII. *Ὁ γοῦν Νικίας, τῶν Αἰγεστέων πρέσβεων καὶ Λεοντίνων παραγενομένων, καὶ πειθόντων τοὺς Ἀθηναίους στρατεύειν ἐπὶ Σικελίαν, ἀνθιστάμενος ἡτιᾶτο τῆς βουλῆς Ἀλκιβιάδου καὶ φιλοτιμίας, πρὶν ὅλως ἐκκλησίαν γενέσθαι, κατασχόντος ἤδη πλῆθος ἐλπίσι καὶ λόγοις προδιεφθαρμένον. ὥστε καὶ νέους ἐν παλαίστραις, καὶ γέροντας ἐν ἐργαστηρίοις καὶ ἡμικυκλίοις συγκαθεζομένους, ὑπογράφειν τὸ σχῆμα τῆς Σικελίας, καὶ τὴν φύσιν τῆς περὶ αὐτὴν θαλάσσης, καὶ λιμένας καὶ τόπους, οἷς τέτραπται πρὸς Λιβύην ἡ νῆσος. Οὐ γὰρ ἆθλον ἐποιοῦντο τοῦ πολέμου Σικελίαν, ἀλλ' ὁρμητήριον, ὡς ἀπ' αὐτῆς διαγωνισόμενοι πρὸς Καρχηδονίους, καὶ σχήσοντες ἅμα Λι-*

Digitized by Google

βύην καὶ τὴν ἐντὸς Ἡρακλείων στηλῶν θάλασσαν. Ὡς οὖν ὥρμηντο πρὸς ταῦτα, ὁ Νικίας ἐναντιούμενος, θῦτε πολλοὺς, οὔτε δυνατοὺς εἶχε συναγωνιστάς. Οἱ γὰρ εὔποροι, δεδιότες, μὴ δοκῶσι τὰς λειτουργίας καὶ τριηραρχίας ἀποδιδράσκειν, παρὰ γνώμην ἡσύχαζον. Ὁ δ' οὐκ ἔκαμνεν, οὐδ' ἀπηγόρευεν, ἀλλὰ μετὰ τὸ ψηφίσασθαι τὸν πόλεμον Ἀθηναίους, καὶ στρατηγὸν ἑλέσθαι πρῶτον ἐκεῖνον μετ' Ἀλκιβιάδου καὶ Λαμάχου, πάλιν ἐκκλησίας γενομένης, ἀναστὰς ἀπέτρεπε καὶ διεμαρτύρετο· καὶ τελευτῶν διέβαλλε τὸν Ἀλκιβιάδην, ἰδίων ἕνεκα κερδῶν καὶ φιλοτιμίας τὴν πόλιν εἰς χαλεπὸν ἐξωθεῖν καὶ διαπόντιον κίνδυνον. Ἔπραξε δ' οὐδὲν μᾶλλον, ἀλλ' ὑπ' ἐμπειρίας δόξας ἐπιτηδειότερος εἶναι καὶ πολλὴν ἀσφάλειαν ἔξειν, πρὸς τὴν Ἀλκιβιάδου τόλμαν καὶ τὴν Λαμάχου θρασύτητα τῆς ἐκείνου συγκερανυμένης εὐλαβείας, βεβαιοτέραν ἐποίησε τὴν χειροτονίαν. Ἀναστὰς γὰρ ὁ μάλιστα τῶν δημαγωγῶν ἐπὶ τὸν πόλεμον παροξύνων τοὺς Ἀθηναίους Δημόστρατος, ἔφη τὸν Νικίαν προφάσεις λέγοντα παύσειν· καὶ ψήφισμα γράψας, ὅπως αὐτοκράτορες ὦσιν οἱ στρατηγοὶ κἀνταῦθα κἀκεῖ, βουλευόμενοι καὶ πράττοντες, ἔπεισε τὸν δῆμον ψηφίσασθαι.

VIII. Καίτοι λέγεται πολλὰ καὶ παρὰ τῶν ἱερέων ἐναντιοῦσθαι πρὸς τὴν στρατείαν· ἀλλ' ἑτέρους ἔχων μάντεις ὁ Ἀλκιβιάδης ἐκ δή τινων λογίων προὔφερε παλαιῶν, μέγα κλέος τῶν Ἀθηναίων ἀπὸ Σικελίας ἔσεσθαι. Καὶ θεοπρόποι τινὲς αὐτῷ παρ' Ἄμμωνος

Digitized by Google

ἀφίκοντο, χρησμὸν νομίζοντες, ὡς λήψονται Συρακουσίους ἅπαντας Ἀθηναῖοι. Τὰ δ' ἐναντία, φοβούμενοι δυσφημεῖν, ἔκρυπτον. Οὐδὲ γὰρ τὰ προὔπτα καὶ καταφανῆ τῶν σημείων ἀπέτρεπεν, ἥ τε τῶν Ἑρμῶν περικοπή, μιᾷ νυκτὶ πάντων ἀκρωτηριασθέντων, πλὴν ἑνός, ὃν Ἀνδοκίδου καλοῦσιν, ἀνάθημα μὲν τῆς Αἰγηΐδος φυλῆς, κείμενον δὲ πρὸ τῆς τότε οὔσης Ἀνδοκίδου οἰκίας· καὶ τὸ πραχθὲν περὶ τὸν βωμὸν τῶν δώδεκα θεῶν. Ἄνθρωπος γάρ τις ἐξαίφνης ἀναπηδήσας ἐπ' αὐτὸν, εἶτα περιβὰς ἀπέκοψεν αὐτοῦ λίθῳ τὸ αἰδοῖον. Ἐν δὲ Δελφοῖς Παλλάδιον ἔστηκε χρυσοῦν, ἐπὶ φοίνικος χαλκοῦ βεβηκός, ἀνάθημα τῆς τόλεως ἀπὸ τῶν Μηδικῶν ἀριστείων. Τοῦτ' ἔκοπτον ἐφ' ἡμέρας πολλὰς προσπετόμενοι κόρακες, καὶ τὸν καρπὸν ὄντα χρυσοῦν τοῦ φοίνικος ἀπέτρωγον καὶ κατέβαλλον. Οἱ δὲ ταῦτα μὲν ἔφασαν εἶναι Δελφῶν πλάσματα πεπεισμένων ὑπὸ Συρακουσίων. Χρησμοῦ δέ τινος κελεύοντος αὐτοὺς ἐκ Κλαζομενῶν τὴν ἱέρειαν τῆς Ἀθηνᾶς ἄγειν, μετεπέμψαντο τὴν ἄνθρωπον· ἐκαλεῖτο δὲ Ἡσυχία. Καὶ τοῦτ' ἦν, ὡς ἔοικεν, ὃ παρήνει τῇ πόλει τὸ δαιμόνιον, ἐν τῷ παρόντι τὴν ἡσυχίαν ἄγειν. Εἴτε δὴ ταῦτα δείσας, εἴτ' ἀνθρωπίνῳ λογισμῷ τὴν στρατείαν φοβηθεὶς ὁ ἀστρολόγος Μέτων, (ἦν γὰρ ἐφ' ἡγεμονίας τινὸς τεταγμένος.) προσεποιεῖτο τὴν οἰκίαν ὑφάπτειν, ὡς μεμηνώς. Οἱ δὲ φασιν, οὐ μανίαν σκηψάμενον, ἀλλὰ νύκτωρ ἐμπρήσαντα τὴν οἰκίαν, προελθεῖν εἰς τὴν ἀγορὰν ταπεινόν, καὶ δεῖσθαι τῶν πολιτῶν, ὅπως ἐπὶ συμφορᾷ τοσαύτῃ

Digitized by Google

τὸν υἱὸν αὐτοῦ, μέλλοντα πλεῖν τριήραρχον εἰς Σικελίαν, ἀφῶσι τῆς στρατείας. Σωκράτει δὲ τῷ σοφῷ τὸ δαιμόνιον, οἷς εἰώθει συμβόλοις χρησάμενον πρὸς αὐτὸν, ἐμήνυσε κἀκεῖνον τὸν ἔκπλουν ἐπ' ὀλέθρῳ τῆς πόλεως πραττόμενον. Ὁ δὲ τοῖς συνήθεσι καὶ φίλοις ἔφρασε, καὶ διῆλθεν εἰς πολλοὺς ὁ λόγος. Οὐκ ὀλίγους δὲ καὶ τὰ τῶν ἡμερῶν, ἐν αἷς τὸν στόλον ἐξέπεμπον, ὑπέθραττεν. Ἀδώνια γὰρ ἦγον αἱ γυναῖκες τότε, καὶ προὔκειτο πολλαχόθι τῆς πόλεως εἴδωλα, καὶ ταφαὶ περὶ αὐτὰ, καὶ κοπετοὶ γυναικῶν ἦσαν, ὥστε τοὺς ἐν λόγῳ ποιουμένους τινὶ τὰ τοιαῦτα θυαχεραίνειν καὶ δεδιέναι περὶ τῆς παρασκευῆς ἐκείνης καὶ δυνάμεως, μὴ λαμπρότητα καὶ ἀκμὴν ἐπιφανεστάτην σχοῦσα ταχέως μαρανθῇ.

XIV Τὸ μὲν οὖν ἐναντιωθῆναι ψηφιζομένῃ τῇ στρατείᾳ τὸν Νικίαν, καὶ μήθ' ὑπ' ἐλπίδων ἐπαρθέντα, μήτε πρὸς τὸ τῆς ἀρχῆς μέγεθος ἐκπλαγέντα, μεταθέσθαι τὴν γνώμην, ἀνδρὸς ἦν χρηστοῦ καὶ σώφρονος. Ἐπεὶ δ' οὔτε τοῦ πολέμου τὸν δῆμον ἀποτρέψαι πειρώμενος, οὔθ' αὑτὸν ἐξελέσθαι τῆς στρατηγίας δεόμενος, ἴσχυσεν, ἀλλ' ὥσπερ ἀράμενος καὶ φέρων αὐτὸν ὁ δῆμος ἐπέθηκε τῇ δυνάμει στρατηγόν, οὐδεὶς ἔτι καιρὸς ἦν τῆς πολλῆς εὐλαβείας καὶ μελλήσεως, ὥστε παιδὸς δίκην ἀπὸ τῆς νεὼς ὀπίσω βλέποντα, καὶ τὸ μὴ κρατηθῆναι τοῖς λογισμοῖς ἀναλαμβάνοντα καὶ στρέφοντα πολλάκις, ἐναμβλῦναι καὶ τοὺς συνάρχοντας αὐτῷ, καὶ τὴν ἀκμὴν διαφθεῖραι τῶν πράξεων· ἀλλ' εὐθὺς ἔδει τοῖς πο-

Digitized by Google

λεμίοις ἐμφύντα καὶ προσκείμενον, ἐλέγχειν τὴν τύχην ἐπὶ τῶν ἀγώνων. Ὁ δὲ, Λαμάχου μὲν ἄντικρυς ἀξιοῦντος πλεῖν ἐπὶ Συρακούσας, καὶ μάχην ἔγγιστα τῆς πόλεως τιθέναι, Ἀλκιβιάδου δὲ τὰς πόλεις ἀφιστάναι Συρακουσίων, εἶθ' οὕτως ἐπ' αὐτοὺς βαδίζειν, τὰ ἐναντία λέγων, καὶ πείθων, ἄπρακτα παρὰ τὴν Σικελίαν κομιζομένους καὶ περιπλέοντας, ἐπιδείξασθαι τὰ ὅπλα καὶ τὰς τριήρεις, εἶτ' ἀποπλεῖν Ἀθήναζε, μικρὸν τῆς δυνάμεως Αἰγεστεῦσιν ἀπαρξαμένους, αὐτίκα τε τὴν γνώμην ὑπεξέλυσε, καὶ κατέβαλε τὸ φρόνημα τῶν ἀνδρῶν. Καὶ μετ' ὀλίγον χρόνον, Ἀλκιβιάδην Ἀθηναίων μεταπεμψαμένων εἰς κρίσιν, λόγῳ μὲν ἀποδειχθεὶς δεύτερος ἡγεμών, δυνάμει δὲ μόνος ὤν, οὐκ ἐπαύσατο καθήμενος, ἢ περιπλέων, ἢ βουλευόμενος, πρὶν ἐγγηράσαι μὲν αὐτῷ τὴν ἀκμὴν τῆς ἐλπίδος, ἐκρυῆναι δὲ τῶν πολεμίων τὸ θάμβος καὶ τὸν φόβον, ὃν ἡ πρώτη παρέθηκεν αὐτοῖς ὄψις τῶν δυνάμεων. Ἔτι δὲ τοῦ Ἀλκιβιάδου παρόντος, ἑξήκοντα ναυσὶ πλεύσαντες ἐπὶ Συρακούσας, τὰς μὲν ἄλλας ἀνεῖχον, ὑπὲρ τοῦ λιμένος ἔξω παρατάξαντες, δέκα δὲ κατήλαυνον εἴσω κατασκοπῆς εἵνεκα· καὶ Λεοντίνους ἐπὶ τὴν οἰκείαν ἀποκαλοῦσαι διὰ κήρυκος αὖται, λαμβάνουσι ναῦν πολεμίαν σανίδας κομίζουσαν, εἰς ἃς ἀπεγράφοντο κατὰ φυλὰς αὖτοὺς οἱ Συρακούσιοι. Κείμεναι δ' ἄπωθεν τῆς πόλεως ἐν ἱερῷ Διὸς Ὀλυμπίου, τότε πρὸς ἐξέτασιν καὶ κατάλογον τῶν ἐν ἡλικίᾳ μετεπέμφθησαν. Ὡς οὖν ὑπὸ τῶν Ἀθηναίων ἁλοῦσαι πρὸς τοὺς

Digitized by Google

στρατηγοὺς ἐκομίσθησαν, καὶ τὸ πλῆθος ὤφθη τῶν ὀνομάτων, ἠχθέσθησαν οἱ μάντεις, μή ποτε ἄρα τὸ χρεὼν ἐνταῦθα τοῦ χρησμοῦ περαίνοι, λέγοντες, ὡς Ἀθηναῖοι λήψονται Συρακουσίους ἅπαντας. Οὐ μὴν ἀλλ' ἑτέρῳ φασὶν ἔργον τοῦτο τοῖς Ἀθηναίοις γενέσθαι ἐπιτελές, καθ' ὃν χρόνον ἀποκτείνας Λίωνα Κάλλιππος ὁ Ἀθηναῖος ἔσχε Συρακούσας.

XV. Ἀποπλεύσαντος δὲ τοῦ Ἀλκιβιάδου μετ' ὀλίγον ἐκ Σικελίας, τὸ πᾶν ἤδη κράτος ὁ Νικίας ἔσχεν. Ὁ δὲ Λάμαχος ἦν μὲν ἀνδρώδης καὶ δίκαιος ἀνὴρ, καὶ τῇ χειρὶ χρώμενος ἀφειδῶς κατὰ τὰς μάχας· πένης δὲ τοσοῦτον καὶ λιτὸς, ὥστε καθ' ἑκάστην στρατηγίαν ἀπολογίζεσθαι τοῖς Ἀθηναίοις μικρὸν ἀργύριον εἰς ἐσθῆτα καὶ κρηπῖδας ἑαυτῷ. Τοῦ δὲ Νικίου καὶ διὰ τἆλλα μέγας ἦν, καὶ διὰ τὸν πλοῦτον καὶ τὴν δόξαν, ὁ ὄγκος. Λέγεται δ' ἐν τῷ στρατηγίῳ ποτὲ βουλευομένων τι κοινῇ τῶν συναρχόντων, κελευσθεὶς ὑπ' αὐτοῦ πρῶτος εἰπεῖν γνώμην Σοφοκλῆς ὁ ποιητὴς, ὡς πρεσβύτατος ὢν τῶν συστρατήγων· Ἐγὼ, φάναι, παλαιότατός εἰμι, σὺ δὲ πρεσβύτατος. Οὕτω δὴ καὶ τότε τὸν Λάμαχον ἄγων ὑφ' ἑαυτῷ, στρατηγικώτερον ὄντα, καὶ χρώμενος εὐλαβῶς καὶ διὰ μελλήσεως ἀεὶ τῇ δυνάμει, πρῶτον μὲν ἀπωτάτω τῶν πολεμίων ἐκπεριπλέων Σικελίαν, θάρσος ἔδωκεν αὐτοῖς, ἔπειτα προσβαλὼν Ὕβλῃ, πολιχνίῳ μικρῷ, καὶ πρὶν ἁλῶναι ἀποστάς, κομιδῇ κατεφρονήθη. Καὶ τέλος εἰς Κατάνην ἀπῆλθε, πράξας οὐδὲν, ἢ καταστρεψάμενος Ἕκκαρα, βαρβαρικὸν χωρίον· ὅθεν λέγεται

Digitized by Google

καὶ Λαΐδα, τὴν ἑταίραν, ἔτι κόρην ἐν τοῖς αἰχμαλώτοις πραθεῖσαν, εἰς Πελοπόννησον κομισθῆναι.

XVI. Τοῦ δὲ θέρους διελθόντος, ἐπεὶ τοὺς Συρακουσίους ἐπυνθάνετο προτέρους ἐπ' αὐτοὺς ἀφίξεσθαι τεθαρρηκότας· οἱ δ' ἱππεῖς, ὕβρει προσελαύνοντες ἤδη πρὸς τὸ στρατόπεδον, ἠρώτων, εἰ Καταναίοις συνοικήσοντες, ἢ Λεοντίνους κατοικιοῦντες ἥκουσιν, μόλις δ Νικίας ὥρμησε πλεῖν ἐπὶ Συρακούσας. Καὶ βουλόμενος ἀδεῶς καὶ καθ' ἡσυχίαν ἱδρύσαι τὸν στρατὸν, ὑπέπεμψεν ἄνθρωπον ἐκ Κατάνης, κελεύοντα τοὺς Συρακουσίους, εἰ βούλονται λαβεῖν ἔρημον ἀνδρῶν τὸ στρατόπεδον, καὶ τὰ ὅπλα τῶν Ἀθηναίων, ἐν ἡμέρᾳ ῥητῇ πρὸς Κατάνην παστρατιᾷ παραγενέσθαι· τῶν δ' Ἀθηναίων ἐν τῇ πόλει τὰ πλεῖστα διατριβόντων, ἐγνωκέναι τοὺς Συρακουσίων φίλους, ὅταν ἐκείνους προσιόντας αἴσθωνται, τάς τε πύλας καταλαμβάνειν ἅμα, καὶ τὸν ναύσταθμον ὑποπιμπράναι· πολλοὺς δ' εἶναι τοὺς συνεστῶτας ἤδη, καὶ τὴν ἐκείνων περιμένοντας ἄφιξιν. Τοῦτ' ἄριστα Νικίας ἐστρατήγησε περὶ Σικελίαν. Παστρατιᾷ γὰρ ἐξαγαγὼν τοὺς πολεμίους, καὶ τὴν πόλιν δμοῦ τι ποιήσας ἔρημον ἀνδρῶν, αὐτὸς ἐκ Κατάνης ἀναχθεὶς, τῶν τε λιμένων ἐκράτησε, καὶ τῷ στρατοπέδῳ κατέλαβε χώραν, ὅθεν, ἥκιστα βλαπτόμενος οἷς ἐλείπετο τῶν πολεμίων, ἤλπιζεν ἐξ ὧν ἐθάρρει πολεμήσειν ἀκωλύτως. Ἐπεὶ δ' ἀναστρέψαντες ἐκ Κατάνης οἱ Συρακούσιοι, παρετάξαντο πρὸ τῆς πόλεως, ἐπαγαγὼν ταχὺ τοὺς Ἀθηναίους

Digitized by Google

ἐκράτησε. Καὶ πολλοὺς μὲν οὐκ ἀπέκτεινε τῶν πολεμίων· οἱ γὰρ ἵππεῖς ἐμποδὼν ἐγένοντο τῇ διώξει· τοῦ δὲ ποταμοῦ διαφθείρων καὶ ἀποκόπτων τὰς γεφύρας, παρέσχεν Ἑρμοκράτει λέγειν, παραθαῤῥύνοντι τοὺς Συρακουσίους, ὅτι γελοῖός ἐστιν ὁ Νικίας, ὅπως οὐ μαχεῖται στρατηγῶν, ὥσπερ οὐκ ἐπὶ μάχῃ πεπλευκώς. Οὐ μὴν ἀλλὰ φόβον τε καὶ κατάπληξιν ἰσχυρὰν ἐνειργάσατο τοῖς Συρακουσίοις, ὥστ' ἀντὶ τῶν ὄντων τότε πεντεκαίδεκα στρατηγῶν ἑτέρους ἑλέσθαι τρεῖς, οἷς πίστιν ἔδωκεν ὁ δῆμος δι' ὅρκων, ἢ μὴν ἐάσειν ἄρχειν αὐτοκράτορας. Τοῦ δ' Ὀλυμπίου πλησίον ὄντος, ὥρμησαν οἱ Ἀθηναῖοι καταλαβεῖν, πολλῶν ὄντων ἐν αὐτῷ χρυσῶν καὶ ἀργυρῶν ἀναθημάτων. Ὁ δὲ Νικίας ἐπίτηδες ἀναβαλλόμενος ὑστέρησε, καὶ περιεῖδε φρουρὰν εἰσελθοῦσαν παρὰ τῶν Συρακουσίων, ἡγούμενος, ἐὰν τὰ χρήματα διαρπάσωσιν οἱ στρατιῶται, τὸ μὲν κοινὸν οὐκ ὠφεληθήσεσθαι, τὴν δ' αἰτίαν αὐτὸς ἕξειν τοῦ ἀσεβήματος. Τῇ δὲ νίκῃ περιβοήτῳ γενομένῃ χρησάμενος εἰς οὐδέν, ὀλίγων ἡμερῶν διαγενομένων, εὐθὺς ἀνεχώρησεν εἰς Νάξον, κἀκεῖ διεχείμασε, πολλὰ μὲν ἀναλίσκων στρατιᾷ τοσαύτῃ, πράττων δὲ μικρὰ πρὸς Σικελούς τινας, ἀφισταμένους πρὸς αὐτόν· ὥστε τοὺς Συρακουσίους αὖθις ἀναθαῤῥήσαντας ἐξελάσαι πρὸς Κατάνην, καὶ τὴν τε χώραν τεμεῖν, καὶ τὸ στρατόπεδον κατακαῦσαι τῶν Ἀθηναίων. Ἃ δὴ πάντες ἠτιῶντο τὸν Νικίαν, ὡς ἐν τῷ διαλογίζεσθαι καὶ μέλλειν, καὶ φυλάττεσθαι, τὸν τῶν πράξεων

Digitized by Google

ἀπολλύντα καιρόν· ἐπεὶ τάς γε πράξεις οὐδεὶς ἂν ἐπέμψατο τοῦ ἀνδρός. Ὥρμησαι γὰρ ἦν ἐνεργὸς καὶ δραστήριος, τολμῆσαι δὲ μελλητὴς καὶ ἄτολμος.

XVII. Ὡς δ' οὖν ἐκίνησε τὴν στρατιὰν πάλιν ἐπὶ τὰς Συρακούσας, οὕτως ἐστρατήγησε, καὶ μετὰ τοσαύτης ὀξύτητος ἅμα καὶ ἀσφαλείας ἐπῆλθεν, ὥστε λαθεῖν μὲν εἰς Θάψον ταῖς ναυσὶ προαμίξας καὶ ἀποβάς, φθάσαι δὲ τὰς Ἐπιπολὰς κατασχών· τῶν δὲ προσβοηθούντων λογάδων κρατήσας, ἑλεῖν μὲν τριακοσίους, τρέψασθαι δὲ καὶ τὴν ἵππον τῶν πολεμίων, ἄμαχον εἶναι δοκοῦσαν. Ὃ δὲ μάλιστα πάντων καὶ Σικελιώτας ἐξέπληξε, καὶ τοῖς Ἕλλησιν ἀπιστίαν παρέσχεν, ὀλίγῳ χρόνῳ περιετείχισε Συρακούσας, πόλιν Ἀθηνῶν οὐκ ἐλάττονα, δυσεργοτέραν δὲ χωρίων ἀνωμαλίαις, καὶ θαλάσσῃ γειτνιώσῃ, καὶ παρακειμένοις ἕλεσι, τεῖχος κύκλῳ περὶ αὐτὴν τοσοῦτον ἀγαγεῖν. Ἀλλὰ τοῦτ' ἐξεργάσασθαι μικρὸν ἐδέησε τοῦ παντός, ἄνθρωπος, οὐδ' ὑγιαίνοντι χρώμενος ἑαυτῷ πρὸς τοσαύτας φροντίδας, ἀλλὰ νόσον νοσῶν νεφρῖτιν, ἧς τὸ μὴ προσεκπονηθὲν λεῖμμα ποιεῖσθαι δίκαιόν ἐστι. Θαυμάζω δὲ τοῦ στρατηγοῦ τὴν ἐπιμέλειαν, καὶ τὴν τῶν στρατιωτῶν ἀνδραγαθίαν, ἐν οἷς κατώρθουν. Ὁ μὲν γὰρ Εὐριπίδης μετὰ τὴν ἧτταν αὐτῶν καὶ τὸν ὄλεθρον, γράφων ἐπικήδειον, ἐποίησεν·

Οἵδε Συρακοσίους ὀκτὼ νίκας ἐκράτησαν
Ἄνδρες, ὅτ' ἦν τὰ θεῶν ἐξίσου ἀμφοτέροις.

Οὐκ ὀκτὼ δὲ νίκας, ἀλλὰ πλείονας ἄν τις εὕροι Συ-

Digitized by Google

ρακουσίους νενικημένους ὑπ᾽ αὐτῶν, πρὶν ἐκ θεων τ.ου, ἢ τύχης, ἀντίστασίν τινα γενέσθαι τοῖς Ἀθηναίοις, ἐπὶ πλεῖστον αἰρομένοις δυνάμεως.

XVIII. Ταῖς μὲν οὖν πλείσταις πράξεσι, βιαζόμενος τὸ σῶμα, παρῆν ὁ Νικίας· ἀκμὴν δέ ποτε τῆς ἀῤῥωστίας λαβούσης, ὁ μὲν ἐν τείχεσι μετ᾽ ὀλίγων ὑπηρετῶν κατέκειτο, τὴν δὲ στρατιὰν ἔχων ὁ Λάμαχος προσεμάχετο τοῖς Συρακουσίοις, ἐκ τῆς πόλεως τεῖχος ἀνάγουσι πρὸς τὸ τῶν Ἀθηναίων, ὃ κωλύσειν ἔμελλε διὰ μέσου τὸν ἀποτειχισμόν. Τῷ δὲ κρατεῖν, τῶν Ἀθηναίων ἀτακτότερον φερομένων πρὸς τὰς διώξεις, ἀπομονωθεὶς ὁ Λάμαχος, ὑπέστη τῶν Συρακουσίων τοὺς ἱππεῖς ἐπιφερομένους. Ἦν δὲ πρῶτος αὐτῶν Καλλικράτης, ἀνὴρ πολεμικὸς καὶ θυμοειδής. Πρὸς τοῦτον ἐκ προκλήσεως καταστὰς ὁ Λάμαχος, ἐμονομάχησε, καὶ λαβὼν πληγὴν πρότερος, εἶτα δοὺς καὶ πεσὼν, ὁμοῦ συναπέθανε τῷ Καλλικράτει. Καὶ τὸ μὲν σῶμα κρατήσαντες αὐτοῦ μετα τῶν ὅπλων ἐξῆραν οἱ Συρακούσιοι, δρόμῳ δ᾽ ἐφέροντο πρὸς τὰ τείχη τῶν Ἀθηναίων, ἐν οἷς ὁ Νικίας ἦν οὐκ ἔχων τοὺς βοηθοῦντας. Ὅμως δ᾽ ὑπὸ τῆς ἀνάγκης ἐξαναστὰς καὶ κατιδὼν τον κίνδυνον, ἐκέλευσε τοὺς καθ᾽ ἑαυτὸν, ὅσα ξύλα πρὸ τῶν τειχῶν ἐτύγχανεν εἰς μηχανὰς παραβεβλημένα, καὶ τὰς μηχανὰς αὐτὰς, πῦρ κομίσαντας, ἅψαι. Τοῦτο τοὺς Συρακουσίους ἐπέσχε, καὶ τὸν Νικίαν ἔσωσε, καὶ τὰ τείχη καὶ τὰ χρήματα τῶν Ἀθηναίων. Φλόγα γὰρ ἀρθεῖσαν διὰ μέσου πολλὴν ἰδόντες ἀπετράπησαν οἱ

Digitized by Google

Συρακούσιοι. Τούτων δὲ πραχθέντων, ἀπολέλειπτο μὲν ὁ Νικίας μόνος τῶν στρατηγῶν, ἦν δ' ἐλπὶς μεγάλη. Καὶ γὰρ πόλεις μεθίσταντο, καὶ πλοῖα μεστὰ σίτου πολλαχόθεν εἰς τὸ στρατόπεδον, τοῖς πράγμασιν εὖ φερομένοις πάντων προστιθεμένων. Καὶ λόγοι τινὲς ἤδη παρὰ τῶν Συρακουσίων ἐγίνοντο περὶ συμβάσεως πρὸς αὐτὸν, ἀπεγνωκότων τὴν πόλιν. Ὅπου καὶ Γύλιππος ἐκ Λακεδαίμονος πλέων βοηθὸς αὐτοῖς, ὡς ἤκουσε κατὰ πλοῦν τὸν ἀποτειχισμὸν καὶ τὰς ἀπορίας, οὕτως ἔπλει τὸ λοιπὸν, ὡς ἐχομένης μὲν ἤδη τῆς Σικελίας, Ἰταλιώταις δὲ τὰς πόλεις διαφυλάξων, εἰ καὶ τοῦτό πως ἐγγένοιτο. Μεγάλη γὰρ ἡ δόξα διεφοίτα τοῦ κρατεῖν πάντα τοὺς Ἀθηναίους, καὶ στρατηγὸν ἔχειν ἄμαχον δι' εὐτυχίαν καὶ φρόνησιν. Ὁ δὲ Νικίας αὐτὸς εὐθὺς καὶ παρὰ φύσιν ὑπὸ τῆς ἐν τῷ παρόντι ῥώμης καὶ τύχης ἀνατεθαῤῥηκὼς, μάλιστα δὲ, τοῖς ἐκ Συρακουσῶν διαλεγομένοις κρύφα, καὶ πέμπουσι πρὸς αὐτὸν, ὅσον οὔπω τὴν πόλιν ἐνδίδοσθαι κατὰ συμβάσεις νομίζων, οὐδένα τοῦ Γυλίππου λόγον ἔσχε προσπλέοντος, οὐδὲ φυλακὴν ἐποιήσατο καταίροντος· ἀλλὰ τῷ παντελῶς ὑπερορᾶσθαι καὶ καταφρονεῖσθαι, λαθὼν αὐτὸν ὁ ἀνὴρ, εἰσέπλευσε διὰ πορθμείου, καὶ προσκομισθεὶς ἀπωτάτω τῶν Συρακουσῶν, στρατιὰν συνηγάγετο πολλὴν, οὐδ' εἰ πάρεστι, τῶν Συρακουσίων ἐπισταμένων, οὐδὲ προσδοκώντων. Διὸ καὶ παρήγγελτο μὲν αὐτοῖς ἐκκλησία περὶ τῶν πρὸς τὸν Νικίαν ὁμολογιῶν καὶ τινες ἐβάδιζον ἤδη, πρὶν ἢ παντελῶς ἀπο-

Digitized by Google

τειχισθῆναι τὴν πόλιν, οἰόμενοι δεῖν γενέσθαι τὰς διαλύσεις. Βραχὺ γὰρ ἦν κομιδῇ τὸ ἀπολειπόμενον τοῦ ἔργου· καὶ τοῦτο παραβεβλημένην εἶχε τὴν παρασκευὴν τῆς τειχοδομίας σύμπασαν.

XIX. Ἐν τούτῳ δὲ καιροῦ παρόντος τοῦ κινδύνου, ἀφικνεῖται Γογγύλος ἐκ Κορίνθου μιᾷ τριήρει· καὶ συνδραμόντων πρὸς αὐτὸν, ὡς εἰκὸς, πάντων, ἔφραζεν, ὅτι Γύλιππος ἀφίξεται διὰ ταχέων, καὶ νῆες ἄλλαι βοηθοὶ προσπλέουσιν. Οὔπω δὲ τῷ Γογγύλῳ πιστευόντων βεβαίως, ἦκεν ἄγγελος παρὰ τοῦ Γυλίππου κελεύοντος ἀπαντᾶν. Οἱ δὲ θαῤῥήσαντες ἐξεπλίζοντο· καὶ προσῆγεν εὐθὺς ὁ Γύλιππος ἐξ ὁδοῦ παρατεταγμένος ἐπὶ τοὺς Ἀθηναίους. Ὡς δὲ κἀκείνους ἀντέταξεν ὁ Νικίας, θέμενος ἐπὶ τοὺς Ἀθηναίους ὁ Γύλιππος τὰ ὅπλα, καὶ κήρυκα πέμψας, ἔλεγε διδόναι τοῖς Ἀθηναίοις ἄδειαν ἀπιοῦσιν ἐκ Σικελίας. Ὁ μὲν οὖν Νικίας οὐδὲν ἠξίωσεν ἀποκρίνασθαι· τῶν δὲ στρατιωτῶν τινες καταγελῶντες, ἠρώτων, εἰ διὰ παρουσίαν ἑνὸς τρίβωνος καὶ βακτηρίας Λακωνικῆς οὕτως ἰσχυρὰ τὰ Συρακουσίων ἐξαίφνης γέγονεν, ὥστ' Ἀθηναίων καταφρονεῖν, οἳ πολὺ ῥωμαλεωτέρους Γυλίππου, καὶ μᾶλλον κομῶντας, τριακοσίους ἔχοντες ἐν πέδαις δεδεμένους ἀπέδοσαν Λακεδαιμονίοις. Τίμαιος δὲ καὶ τοὺς Σικελιώτας φησὶν ἐν μηδενὶ λόγῳ ποιεῖσθαι τὸν Γύλιππον, ὕστερον μὲν αἰσχροκέρδειαν αὐτοῦ καὶ μικρολογίαν κατεγνώκοτας· ὡς δὲ πρῶτον ἄφθη, σκώπτοντας εἰς τὸν τρίβωνα καὶ τὴν κόμην. Εἶτα μέντοι φησὶν αὐ-

Digitized by Google

τὸς, ὅτι τῷ Γυλίππῳ φανέντι, καθάπερ γλαυκὶ, πολλοὶ προσέπτησαν ἑτοίμως στρατευόμενοι. Καὶ ταῦτα τῶν πρώτων ἀληθέστερά εἰσιν· ἐν γὰρ τῇ βακτηρίᾳ καὶ τῷ τρίβωνι τὸ σύμβολον καὶ τὸ ἀξίωμα τῆς Σπάρτης καθορῶντες συνίσταντο. Κἀκείνου τὸ πᾶν ἔργον γεγονέναι φησὶν οὐ Θουκυδίδης μόνον, ἀλλὰ καὶ Φίλιστος, ἀνὴρ Συρακούσιος, καὶ τῶν πραγμάτων ὁρατὴς γενόμενος. Τῇ μὲν οὖν πρώτῃ μάχῃ κρατήσαντες οἱ Ἀθηναῖοι τῶν Συρακουσίων ὀλίγους τινὰς ἀπέκτειναν, καὶ Γογγύλον τὸν Κορίνθιον. Εἰς δὲ τὴν ἐπιοῦσαν ἡμέραν ἔδειξεν ὁ Γύλιππος, οἷόν ἐστιν ἐμπειρία. Τοῖς γὰρ αὐτοῖς ὅπλοις καὶ ἵπποις καὶ χωρίοις χρησάμενος, οὐχ ὡσαύτως, ἀλλὰ μεταθεὶς τὴν τάξιν, ἐνίκησε τοὺς Ἀθηναίους· καὶ φυγόντων εἰς τὸ στρατόπεδον, ἐπιστήσας τοὺς Συρακουσίους, τοῖς λίθοις, οἷς ἐκεῖνοι προσεκόμισαν, καὶ τῇ ὕλῃ, παροικοδομῶν εἰς διαστολὰς, ἀπέκοψε τὸν ἐκείνων περιτειχισμόν, ὥστ' αὐτοῖς μηδὲν εἶναι πλέον κρατοῦσιν. Ἐκ τούτου δὲ θαῤῥήσαντες οἱ Συρακούσιοι, τάς τε ναῦς ἐπλήρουν, καὶ τοῖς ἔπεσθαι τοῖς ἑαυτῶν καὶ ἀκολούθοις περιελαύνοντες πολλοὺς ἦρουν. Καὶ ὁ Γύλιππος ἐπιὼν ἐπὶ τὰς πόλεις αὐτὸς ἐξώρμα καὶ συνίστη πάντας ἐῤῥωμένως ὑπακούοντας αὐτῷ, καὶ συλλαμβανομένους· ὥστε τὸν Νικίαν, αὖθις εἰς ἐκείνους ἀποτρεπόμενον τοὺς πρώτους λογισμοὺς, καὶ συμφρονοῦντα τὴν τῶν πραγμάτων μεταβολὴν, ἀθυμεῖν, καὶ γράφειν τοῖς Ἀθηναίοις, κελεύοντα πέμπειν ἕτερον στρατὸν, ἢ καὶ

Digitized by Google

τοῦτον ἀπαγαγεῖν ἐκ Σικελίας· αὐτῷ δὲ πάντως αἰτούμενον τῆς στρατηγίας ἄφεσιν, διὰ τὴν νόσον.

XX. Οἱ δ' Ἀθηναῖοι καὶ πρότερον μὲν ὥρμηντο πέμπειν ἑτέραν δύναμιν εἰς Σικελίαν, φθόνῳ δὲ τῶν πρώτων πραττομένων πρὸς εὐτυχίαν τοῦ Νικίου τοσαύτην πολλὰς διατριβὰς ἐμβαλόντων, τότε γοῦν ἔσπευδον βοηθεῖν. Καὶ Δημοσθένης μὲν ἔμελλε μεγάλῳ στόλῳ πλεῖν ἐκ χειμῶνος· Εὐρυμέδων δὲ διὰ χειμῶνος προεξέπλευσε, χρήματα κομίζων καὶ συστρατήγους ἀποφαίνων ἠρημένους τῷ Νικίᾳ τῶν αὐτόθι στρατευομένων, Εὐθύδημον καὶ Μένανδρον. Ἐν τούτῳ δὲ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐξαίφνης ἐπιχειρούμενος ὁ Νικίας, ταῖς μὲν ναυσὶν ἡττώμενος τὸ πρῶτον, ὅμως ἐξέωσε καὶ κατέδυσε πολλὰς τῶν πολεμίων· πρὸς δὲ τὸ πεζὸν οὐκ ἔφθασε βοηθῶν. Ἀλλ' ἄφνω προσπεσὼν ὁ Γύλιππος εἷλε τὸ Πλημμύριον, ἐν ᾧ σκευῶν τριηρικῶν καὶ χρημάτων πολλῶν ἀποκειμένων, ἐκράτησε πάντων, καὶ διέφθειρεν ἄνδρας οὐκ ὀλίγους, καὶ ζῶντας ἔλαβε· τὸ δὲ μέγιστον, ἀφείλετο τοῦ Νικίου τῆς ἀγορᾶς τὴν εὐπέτειαν. Ἦν γὰρ ἡ κομιδὴ παρὰ τὸ Πλημμύριον ἀσφαλὴς καὶ ταχεῖα, τῶν Ἀθηναίων κρατούντων· ἐκτεσόντων δὲ, χαλεπὴ, καὶ μετὰ μάχης ἐγίνετο πρὸς τοὺς πολεμίους ἐκεῖ ναυλοχοῦντας. Ἔτι δὲ καὶ τὸ ναυτικὸν τοῖς Συρακουσίοις οὐκ ἀπὸ κράτους ἐφαίνετο νενικημένον, ἀλλ' ἀταξίᾳ περὶ τὴν δίωξιν. Αὖθις οὖν ἐπεχείρουν παρασκευαζόμενοι λαμπρότερον. Ὁ δὲ Νικίας οὐκ ἐβούλετο ναυμαχεῖν, ἀλλὰ πολλὴν

Digitized by Google

ἀβελτερίαν ἔλεγεν εἶναι, στόλου τοσούτου προσπλέοντος αὐτοῖς καὶ δυνάμεως ἀκραιφνοῦς, ἣν ἦγε Δημοσθένης, σκεύδων, ἀπ' ἐλαττόνων καὶ χορηγουμένων φαύλως διαγωνίσασθαι. Τοῖς δὲ περὶ τὸν Μένανδρον καὶ τὸν Εὐθύδημον, ἀρτίως εἰς τὴν ἀρχὴν καθισταμένοις, φιλοτιμία καὶ ζῆλος ἦν πρὸς ἀμφοτέρους τοὺς στρατηγούς, τὸν μὲν Δημοσθένην φθῆναι πράξαντάς τι λαμπρὸν, ὑπερβαλέσθαι δὲ τὸν Νικίαν. Πρόσχημα δ' ἦν ἡ δόξα τῆς πόλεως, ἣν ἀπόλλυσθαι καὶ καταλύεσθαι παντάπασι φάσκοντες, εἰ φοβηθήσονται Συρακουσίους ἐπιπλέοντας, ἐξεβιάσαντο ναυμαχῆσαι. Καὶ καταστρατηγηθέντες ὑπ' Ἀρίστωνος, τοῦ Κορινθίων κυβερνήτου, τοῖς περὶ τὸ ἀριστερὸν, ὡς εἴρηκε Θουκυδίδης, κατὰ κράτος ἡττήθησαν, καὶ πολλοὺς ἀπέβαλον· καὶ ἀθυμία πολλὴ περιειστήκει τὸν Νικίαν, τῇ τε μοναρχίᾳ κακοπαθοῦντα, καὶ σφαλλόμενον αὖθις ὑπὸ τῶν συναρχόντων.

XXI. Ἐν τούτῳ δὲ Δημοσθένης ὑπὲρ τῶν λιμένων ἐπεφαίνετο λαμπρότατος τῇ παρασκευῇ, καὶ δεινότατος τοῖς πολεμίοις, ἐπὶ νεῶν ἑβδομήκοντα καὶ τριῶν ἄγων ὁπλίτας πεντακισχιλίους, ἀκοντιστὰς δὲ καὶ τοξότας καὶ σφενδονήτας τρισχιλίων οὐκ ἐλάττους, ὅπλων δὲ κόσμῳ καὶ παρασήμοις τριηρῶν, καὶ πλήθει κελευστῶν καὶ αὐλητῶν, θεατρικῶς καὶ πρὸς ἔκπληξιν πολεμίων ἐξησκημένος. Ἦν οὖν, ὡς εἰκὸς, αὖθις ἐν φόβῳ μεγάλῳ τὰ Συρακουσίων, εἰς οὐδὲν πέρας, οὐδ' ἀπαλλαγὴν, ἀλλὰ πονοῦντας ἄλλως καὶ

Digitized by Google

φθειρομένους αὐτοὺς μάτην ὁρώντων. Τὸν δὲ Νικίαν οὐ πολὺν χρόνον εὔφρανεν ἡ παρουσία τῆς δυνάμεως· ἀλλ' ἅμα τῷ πρῶτον ἐν λόγοις γενέσθαι, τοῦ Δημοσθένους εὐθὺς ἐπιχειρεῖν τοῖς πολεμίοις κελεύοντος, καὶ τῷ ταχίστῳ τῶν κινδύνων περὶ τοῦ παντὸς διαγωνισαμένους ἐλεῖν Συρακούσας, καὶ ἀποπλεῖν οἴκαδε, δείσας καὶ θαυμάσας τὴν ὀξύτητα καὶ τόλμαν, ἐδεῖτο μηδὲν ἀπεγνωσμένως πράττειν, μηδ' ἀνοήτως. Τὴν γὰρ τριβὴν εἶναι κατὰ τῶν πολεμίων, οὔτε χρήματα κεκτημένων ἔτι, μήτε τῶν συμμάχων αὐτοῖς πολὺν χρόνον παραμενόντων· εἰ δὲ θλίβοιντο ταῖς ἀπορίαις, ταχὺ πάλιν ἐπ' αὐτὸν ἐπὶ συμβάσεις τραπησομένων, ὡς πρότερον. Καὶ γὰρ ἦσαν ἄνδρες οὐκ ὀλίγοι τῶν ἐν Συρακούσαις διαλεγόμενοι τῷ Νικίᾳ κρύφα, καὶ μένειν κελεύοντες, ὡς καὶ νῦν ἐπιπονούντων τῷ πολέμῳ, καὶ τὸν Γύλιππον βαρυνομένων· ἐὰν δὲ μικρὸν ἐπιτείνωσιν αἱ ἀπάγκαι, πανταπάσιν ἀπαγορευσόντων. Τούτων ὁ Νικίας τὰ μὲν αἰνιττόμενος, τὰ δ' οὐ θέλων ἐν φανερῷ λέγειν, ἀτολμίας παρέσχε τοῖς στρατηγοῖς δόξαν· καὶ ταῦτ' ἐκεῖνα πάλιν ἥκειν φάσκοντες αὐτοῦ, μελλήματα, καὶ διατριβὰς, καὶ ἀκριβολογίας, αἷς ἀπώλεσε τὴν ἀκμὴν, οὐκ εὐθὺς ἐπιχειροῦν τοῖς πολεμίοις, ἀλλ' ἕωλος καὶ καταφρονούμενος, τῷ Δημοσθένει προσετίθεντο. Καὶ ὁ Νικίας μόλις συνεχώρησεν ἐκβιασθείς. Οὕτω δὴ τὴν πεζὴν στρατιὰν ἀναλαβὼν ὁ Δημοσθένης νυκτὸς, ἐπεχείρει ταῖς Ἐπιπολαῖς· καὶ τοὺς μὲν φθάσας, πρὶν αἰσθέσθαι, τῶν πολεμίων

ἀπέκτεινε, τοὺς δ' ἀρνουμένους στρεψατο. Καὶ κρατῶν οὐκ ἔμενεν, ἀλλ' ἐχώρει προσωτέρω, μέχρις οὗ τοῖς Βοιωτοῖς ἐνέτυχε. Πρῶτοι γὰρ οὗτοι συστρέψαντες ἑαυτοὺς, καὶ συνθραμόντες, εἰς τοὺς Ἀθηναίους ἐναντίοις τοῖς δόρασι μετὰ βοῆς ἐώσαντο, καὶ πολλοὺς αὐτοῦ κατέβαλον. Ἀι' ὅλου δὲ τοῦ στρατεύματος εὐθὺς ἦν πτοία καὶ ταραχὴ, καὶ τοῦ φεύγοντος ἤδη καταπεμπλάμενον τὸ ἔτι νικῶν, καὶ τὸ ἐπιβαῖνον καὶ προσφερόμενον ὑπὸ τῶν πεφοβημένων ἀνακοπτόμενον, ἑαυτῷ περιέπιπτε, τοὺς μὲν φεύγοντας σῴζεσθαι διώκειν, τοῖς δὲ φίλοις ὡς πολεμίοις χρώμενον. Ἡ γὰρ ἄτακτος ἀνάμιξις ἐν ταὐτῷ μετὰ φόβου καὶ ἀγνοίας, καὶ τὸ τῆς ὄψεως ἄπιστον, ἐν νυκτὶ μήτε σκότος ἄκρατον, μήτε φῶς ἐχούσῃ βέβαιον, ἀλλ' οἷον εἰκὸς καταφερομένης σελήνης, καὶ περισπαζομένης ὅπλοις πολλοῖς καὶ σώμασι κινουμένοις διὰ τοῦ φωτὸς, μὴ διασαφοῦσαν τὰ εἴδη, φόβῳ τοῦ πολεμίου καὶ τὸ οἰκεῖον ποιεῖν ὕποπτον, εἰς δεινὰς ἀπορίας καὶ περιπετείας καθίστη τοὺς Ἀθηναίους. Ἔτυχον δέ πως καὶ τὴν σελήνην ἔχοντες ὄπισθεν· ὅθεν αὐτοὶ μὲν αὐτοῖς τὰς σκιὰς ἐπιβάλλοντες, ἀπέκρυπτον τὸ πλῆθος τῶν ὅπλων καὶ τὴν λαμπρότητα, τοὺς δ' ἐναντίους ὁ πρὸς τὴν σελήνην τῶν ἀσπίδων ἀντιφωτισμὸς πολὺ πλείονας ὁρᾶσθαι καὶ λαμπροτέρους ἐποίει. Τέλος δὲ, πανταχόθεν αὐτοῖς, ὡς ἐνέδοσαν, προσκειμένων τῶν πολεμίων, φεύγοντες οἱ μὲν ὑπ' ἐκείνων, οἱ δ' ὑπ' ἀλλήλων ἀπέθνησκον, οἱ δὲ κατὰ τῶν κρημνῶν ἁλισθαίνοντες.

Digitized by Google

Τοὺς δ' ἀποσκεδασθέντας καὶ πλανωμένους, ἡμέρας ἐπιγενομένης, οἱ ἱππεῖς καταλαμβάνοντες διέφθειρον. Ἐγένοντο δὲ νεκροὶ δισχίλιοι, καὶ τῶν περιγενομένων ὀλίγοι μετὰ τῶν ὅπλων ἀπεσώθησαν.

XXII. Ὁ μὲν οὖν Νικίας πληγεὶς οὐκ ἀπροσδοκήτως, ἠτιᾶτο τοῦ Δημοσθένους τὴν προπέτειαν. Ἐκεῖνος δὲ περὶ τούτων ἀπολογησάμενος, ἐκέλευσεν ἀποπλεῖν τὴν ταχίστην· οὔτε γὰρ ἄλλην ἀφίξεσθαι δύναμιν αὐτοῖς, οὔτ' ἀπὸ τῆς παρούσης τῶν πολεμίων κρατήσειν· ὅπου γε καὶ κρατοῦντας ἐκείνων ἔδει μεταστῆναι καὶ φυγεῖν τὸ χωρίον, ἀεὶ μέν, ὡς πυνθάνονται, βαρὺ καὶ νοσῶδες ὂν στρατοπέδῳ, νῦν δ', ὡς βλέπουσι, καὶ διὰ τὴν ὥραν ὀλέθριον. Μετοπώρου γὰρ ἦν ἡ ἀρχή· καὶ πολλοὶ μὲν ἠσθένουν ἤδη, πάντες δ' ἠθύμουν. Ὁ δὲ Νικίας χαλεπῶς ἤκουσε τὴν φυγὴν καὶ τὸν ἀπόπλουν, οὐ τῷ μὲ δεδιέναι τοὺς Συρακουσίους, ἀλλὰ τῷ μᾶλλον τοὺς Ἀθηναίους καὶ τὰς ἐκείνων δίκας καὶ συκοφαντίας φοβεῖσθαι. Δεινὸν μέν, οὖν οὐδὲν αὐτόθι προσδοκᾶν ἔφασκεν· εἰ δὲ συμβαίη, μᾶλλον αἱρεῖσθαι τὸν ὑπὸ τῶν πολεμίων θάνατον, ἢ τὸν ὑπὸ τῶν πολιτῶν. (οὐχ ὅμοια φρονῶν οἷς ὕστερον ὁ Βυζάντιος Λέων εἶπε πρὸς τοὺς ἑαυτοῦ πολίτας· Βούλομαι γάρ, ἔφη, μᾶλλον ὑφ' ὑμῶν, ἢ μεθ' ὑμῶν, ἀποθανεῖν·) περὶ μέντοι τόπου καὶ χώρας, εἰς ἣν μετατάξουσι τὸ στρατόπεδον, βουλεύσεσθαι καθ' ἡσυχίαν. Ταῦτα δ' αὐτοῦ λέγοντος, ὁ μὲν Δημοσθένης, οὐδὲ τῇ προτέρᾳ γνώμῃ κατευτυχήσας, ἐπαύσατο βιαζόμενος·

Digitized by Google

τοῖς δ' ἄλλοις παρέσχε τὸν Νικίαν, προσδοκῶντα καὶ πιστεύοντα τοῖς ἔνδον, οὕτως ἐῤῥωμένως ἀναμάχεσθαι περὶ τῆς ἀποβάσεως· διὸ καὶ συνεχώρησαν. Ὡς μέντοι στρατιὰ Συρακουσίοις ἐπῆλθεν ἄλλη, καὶ μᾶλλον ἥπτετο τῶν Ἀθηναίων ἡ νόσος, τότ' ἤδη καὶ τῷ Νικίᾳ συνεδόκει μεθίστασθαι, καὶ παρήγγειλε τοῖς στρατιώταις εὐτρεπεῖς εἶναι πρὸς ἀπόπλουν.

XXIII. Ὡς δ' ἦν ἕτοιμα ταῦτα πάντα, καὶ τῶν πολεμίων οὐδεὶς παρεφύλαττε, ἅτε δὴ μὴ προσδοκώντων, ἐξέλιπεν ἡ σελήνη τῆς νυκτὸς, μέγα δέος τῷ Νικίᾳ καὶ τῶν ἄλλων τοῖς ὑπ' ἀπειρίας, ἢ δεισιδαιμονίας, ἐκπεπληγμένοις τὰ τοιαῦτα. Τοῦ μὲν γὰρ ἡλίου τὴν περὶ τὰς τριακάδας ἐπισκότησιν ἀμωσγέπως ἤδη συνεφρόνουν καὶ οἱ πολλοὶ γινομένην ὑπὸ τῆς σελήνης· αὐτὴν δὲ τὴν σελήνην, ᾗπινι συντυγχάνουσαν, καὶ πῶς αἰφνίδιον ἐκ πανσελήνου τὸ φῶς ἀπόλλυσι, καὶ χρόας ἴησι παντοδαπὰς, οὐ ῥᾴδιον ἦν καταλαβεῖν, ἀλλ' ἀλλόκοτον ἡγοῦντο, καὶ πρὸ συμφορῶν τινων μεγάλων ἐκ θεοῦ γινόμενον σημεῖον. Ὁ γὰρ πρῶτος σαφέστατόν τε πάντων καὶ θαῤῥαλεώτατον περὶ σελήνης καταυγασμῶν καὶ σκιᾶς λόγον εἰς γραφὴν καταθέμενος Ἀναξαγόρας, οὔτ' αὐτὸς ἦν παλαιὸς, οὔτε ὁ λόγος ἔνδοξος, ἀλλ' ἀπόῤῥητος ἔτι, καὶ δι' ὀλίγων καὶ μετ' εὐλαβείας τινὸς, ἢ πίστεως βαδίζων. Οὐ γὰρ ἠνείχοντο τοὺς φυσικοὺς καὶ μετεωρολέσχας τότε καλουμένους, ὡς εἰς αἰτίας ἀλόγους καὶ δυνάμεις ἀπρονοήτους καὶ κατηναγκασμένα πάθη διατρίβοντας τὸ θεῖον. Ἀλλὰ καὶ Πρωταγόρας ἔφυγε·

Digitized by Google

καὶ Ἀναξαγόραν εἱρχθέντα μόλις περιεποιήσατο Περικλῆς· καὶ Σωκράτης, οὐδὲν αὐτῷ τῶν γε τοιούτων προσῆκον, ὅμως ἀπώλετο διὰ φιλοσοφίαν. Ὀψὲ δ', ἡ Πλάτωνος ἐκλάμψασα δόξα, διὰ τὸν βίον τοῦ ἀνδρὸς, καὶ ὅτι ταῖς θείαις καὶ κυριωτέραις ἀρχαῖς ὑπέταξε τὰς φυσικὰς ἀνάγκας, ἀφεῖλε τὴν τῶν λόγων τούτων διαβολὴν, καὶ τοῖς μαθήμασιν εἰς ἅπαντας δδὸν ἐπέδωκεν. Ὁ γοῦν ἑταῖρος αὐτοῦ, Δίων, καθ' ὃν χρόνον ἔμελλεν ἄρας ἐκ Ζακύνθου πλεῖν ἐπὶ Διονύσιον, ἐκλιπούσης τῆς σελήνης, οὐδὲν δεταραχθεὶς ἀνήχθη, καὶ κατασχὼν ἐν Συρακούσαις, ἐξέβαλε τὸν τύραννον. Τῷ μέντοι Νικίᾳ συνηνέχθη τότε μηδὲ μάντιν ἔχειν ἔμπειρον· ὁ γὰρ συνήθης αὐτοῦ, καὶ τὸ πολὺ τῆς δεισιδαιμονίας ἀφαιρῶν Στιλβίδης, ἐτεθνήκει μικρὸν ἔμπροσθεν. Ἐπεὶ τὸ σημεῖον, ὥς φησι Φιλόχορος, φεύγουσιν οὐκ ἦν πονηρὸν, ἀλλὰ καὶ πάνυ χρηστόν· ἐπικρύψεως γὰρ αἱ σὺν φόβῳ πράξεις δέονται, τὸ δὲ φῶς πολέμιόν ἐστιν αὐταῖς. Ἄλλως τε καὶ τῶν περὶ ἥλιον καὶ σελήνην ἐπὶ τρεῖς ἡμέρας ἐποιοῦντο φυλακὴν, ὡς Ἀντικλείδης διέγραψεν ἐν τοῖς ἐξηγητικοῖς. Ὁ δὲ Νικίας ἄλλην ἔπεισε σελήνης ἀναμένειν περίοδον, ὥσπερ οὐκ εὐθὺς θεασάμενος αὐτὴν ἀποκαθαρθεῖσαν, ὅτε τὸν σκιερὸν τόπον καὶ ὑπὸ τῆς γῆς ἀντιφραττόμενον παρῆλθε.

XXIV. Μικροῦ δὲ πάντων ἀφέμενος τῶν ἄλλων, ἔθυε καὶ διεμαντεύετο καθήμενος, ἕως ἐπῆλθον αὐτοῖς οἱ πολέμιοι, τῷ μὲν πεζῷ τὰ τείχη καὶ τὸ στρατόπεδον

Digitized by Google

αὐτῶν πολιορκοῦντες, ταῖς δὲ ναυσὶ κύκλῳ τὸν λιμένα περιλαμβάνοντες, οὐκ αὐτοὶ μόνον ταῖς τριήρεσιν, ἀλλὰ καὶ τὰ παιδάρια πανταχόθεν ἐπιβαίνοντα τῶν ἀλιάδων, καὶ ταῖς σκάφαις προσπλέοντα, προὐκαλεῖτο τοὺς Ἀθηναίους καὶ προὐπηλάκιζεν. Ἦν ἔνα, παῖδα γνωρίμων γονέων, Ἡρακλείδην, προεξελάσαντα τῷ πλοίῳ, ναῦς Ἀττικὴ διώκουσα κατελάμβανε. Δείσας δὲ περὶ αὐτῷ Πόλλιχος ὁ θεῖος, ἀντελαύνει δέκα τριήρεσιν, ὧν ἦρχεν· οἱ δ' ἄλλοι περὶ τοῦ Πολλίχου φοβηθέντες, ὡσαύτως ἀνήγοντο. Καὶ ναυμαχίας ἰσχυρᾶς γενομένης, ἐνίκησαν οἱ Συρακούσιοι, καὶ τὸν Εὐρυμέδοντα πολλῶν μετ' ἄλλων διέφθειραν. Ἦν οὖν οὐκέτι μένειν ἀνασχετὰ Ἀθηναίοις, ἀλλὰ τῶν στρατηγῶν κατεβόων, πεζῇ κελεύοντες ἀναχωρεῖν. Καὶ γὰρ οἱ Συρακούσιοι νικήσαντες, εὐθὺς ἐνέφραξαν καὶ ἀπέκλεισαν τὸν διέκπλουν τοῦ λιμένος. Οἱ δὲ περὶ τὸν Νικίαν τοῦτο μὲν οὐκ ἐπείθοντο· δεινὸν γὰρ ἦν ἀπολιπεῖν ὁλκάδας τε πολλὰς καὶ τριήρεις ὀλίγον ἀριθμῷ διακοσίων ἀποδεούσας. Ἐμβιβάσαντες δὲ τῶν πεζῶν τοὺς ἀρίστους, καὶ τῶν ἀκοντιστῶν τοὺς ἀλκιμωτάτους, ἐπλήρωσαν ἑκατὸν καὶ δέκα τριήρεις· αἱ γὰρ ἄλλαι ταρσῶν ἐνδεεῖς ἦσαν. Τὸν δὲ λοιπὸν ὄχλον ἔστησε παρὰ τὴν θάλασσαν ὁ Νικίας, ἐκλιπὼν τὸ μέγα στρατόπεδον, καὶ τὰ τείχη τὰ συνάπτοντα πρὸς τὸ Ἡράκλειον· ὥστε, μὴ τεθυκότων τὴν εἰθισμένην θυσίαν τῷ Ἡρακλεῖ τῶν Συρακουσίων, θῦσαι τότε τοὺς ἱερεῖς καὶ στρατηγοὺς ἀναβάντας.

Digitized by Google

XXV. Ἤδη δὲ πληρουμένων τῶν τριηρῶν, ἐπειδὴ οἱ μάντεις τοῖς Συρακουσίοις ἀπήγγειλαν ἐκ τῶν ἱερῶν λαμπρότητα καὶ νίκην, μὴ καταρχομένοις μάχης, ἀλλ' ἀμυνομένοις, (καὶ γὰρ τὸν Ἡρακλέα πάντων κρατεῖν ἀμυνόμενον καὶ προεπιχειρούμενον) ἀνήχθησαν. Ἡ δὲ ναυμαχία, πολὺ μεγίστη καὶ καρτερωτάτη γενομένη, καὶ μηδὲν ἐλάττονα πάθη καὶ θορύβους παρασχοῦσα τοῖς θεωμένοις, ἢ τοῖς ἀγωνιζομένοις, διὰ τὴν παντὸς ἐπίβλεψιν τοῦ ἔργου ποικίλας μεταβολὰς καὶ ἀπροσδοκήτους ἐν ὀλίγῳ λαμβάνοντος, ἔβλαπτε ταῖς αὐτῶν παρασκευαῖς οὐχ ἧττον τῶν πολεμίων τοὺς Ἀθηναίους. Ἀθρόαις γὰρ ἐμάχοντο ταῖς ναυσὶ καὶ βαρείαις πρὸς κούφας, ἀλλαχόθεν ἄλλαις ἐπιφερομένας· καὶ βαλλόμενοι λίθοις ὁμοίαν ἔχουσι τὴν πληγὴν πανταχόθεν, ἀντέβαλλον ἀκοντίοις καὶ τοξεύμασιν, ὧν ὁ σάλος τὴν εὐθυβολίαν διέστρεφεν, ὥστε μὴ πάντα κατ' αἰχμὴν προσφέρεσθαι. Ταῦτα δ' Ἀρίστων ὁ Κορίνθιος κυβερνήτης ἐδίδαξε τοὺς Συρακουσίους, καὶ παρὰ τὴν μάχην αὐτὴν ἀγωνιζόμενος προθύμως, ἔπεσεν, ἤδη κρατούντων τῶν Συρακουσίων. Γενομένης δὲ μεγάλης τροπῆς καὶ φθορᾶς, ἡ μὲν κατὰ θάλασσαν φυγὴ τοῖς Ἀθηναίοις ἀποκέκοπτο· χαλεπὴν δὲ καὶ διὰ γῆς τὴν σωτηρίαν ὁρῶντες, οὔτε ναῦς ἀφέλκοντας ἐγγύθεν ἔτι τοὺς πολεμίους ἐκώλυον, οὔτε νεκρῶν ἤτησαν ἀναίρεσιν, ἅτε δὴ τῆς ἐκείνων ἀταφίας, τὴν τῶν νοσούντων καὶ τετρωμένων ἀπόλειψιν, οἰκτροτέραν οὖσαν, ἤδη πρὸ ὀφθαλμῶν ἔχοντες, αὐτοὺς δὲ

Digitized by Google

κἀκείνων ἐπιπονωτέρους ἡγούμενοι, μετὰ πλειόνων κακῶν ἐπὶ ταὐτὸ πάντως ἀφιξομένους τέλος.

XXVI. Ὡρμημένων δ' αὐτῶν ἀπαίρειν διὰ νυκτὸς, οἱ μὲν περὶ τὸν Γύλιππον ὁρῶντες ἐν θυσίαις καὶ πότοις τοὺς Συρακουσίους διά τε τὴν νίκην καὶ τὴν ἑορτὴν, ὄντας, οὔτε πείσειν, οὔτε βιάσεσθαι προσεδόκων ἀναστάντας ἤδη προσφέρεσθαι τοῖς πολεμίοις ἀπιοῦσιν. Ἑρμοκράτης δ', αὐτὸς ἀφ' ἑαυτοῦ συνθεὶς ἐπὶ τὸν Νικίαν ἀπάτην, ἔπεμψέ τινας τῶν ἑταίρων πρὸς αὐτὸν, ἀπ' ἐκείνων μὲν ἥκειν τῶν ἀνδρῶν φάσκοντας, οἳ καὶ πρότερον εἰώθεσαν κρύφα τῷ Νικίᾳ διαλέγεσθαι, παραινοῦντας δὲ μὴ πορεύεσθαι διὰ τῆς νυκτὸς, ὡς τῶν Συρακουσίων ἐνέδρας πεποιημένων αὐτοῖς, καὶ προκατεχόντων τὰς παρόδους. Τούτῳ δὲ καταστρατηγηθεὶς ὁ Νικίας, ὑπέμεινεν, ἃ ψευδῶς ἔδεισεν, ὑπὸ τῶν πολεμίων ἀληθῶς παθεῖν. Προελθόντες γὰρ ἅμ' ἡμέρᾳ τὰς δυσχωρίας τῶν ὁδῶν κατέλαβον, καὶ τὰς διαβάσεις τῶν ποταμῶν ἀπετείχισαν, τάς τε γεφύρας ἀπέκοψαν, ἐν δὲ τοῖς ὁμαλοῖς καὶ πεδινοῖς τοὺς ἱππεῖς ἔταξαν, ὥστε μηδένα λελεῖφθαι τοῖς Ἀθηναίοις τόπον ἀμαχεὶ προελθεῖν. Οἱ δὲ, καὶ τὴν ἡμέραν ἐκείνην καὶ τὴν νύκτα τὴν ἑτέραν ἐπιμείναντες, ἐπορεύοντο κλαυθμῷ καὶ ὀλοφυρμῷ, καθάπερ ἐκ πατρίδος, οὐ πολεμίας, ἀνιστάμενοι, διὰ τὰς ἀπορίας τῶν ἀναγκαίων, καὶ τὰς ἀπολείψεις τῶν ἀδυνάτων φίλων καὶ συνήθων· ὅμως τὰ παρόντα κακὰ κουφότερα τῶν προσδοκωμένων νομίζοντες εἶναι. Πολλῶν δὲ δεινῶν

Digitized by Google

ἐν τῷ στρατοπέδῳ φαινομένων, οὐδὲν ἦν οἰκτρότερον αὐτοῦ Νικίου θέαμα, κεκακωμένου μὲν ὑπὸ τῆς ἀσθενείας, συνεσταλμένου δὲ παρ' ἀξίαν εἰς ἀναγκαίαν δίαιταν καὶ τὰ σμικρότατα τῶν ἐφοδίων εἰς τὸ σῶμα, πολλῶν διὰ τὴν νόσον δεόμενον· πράττοντος δὲ μετ' ἀῤῥωστίας, καὶ καρτεροῦντος, ἃ πολλοὶ τῶν ἐῤῥωμένων μόλις ὑπέμενον· καταφανοῦς δὲ πᾶσιν ὄντος, οὐ δι' αὐτὸν, οὐδὲ τῷ φιλοψυχεῖν, τοῖς πόνοις ἐμμένοντος, ἀλλὰ δι' ἐκείνους τὴν ἐλπίδα μὴ προϊεμένου. Καὶ γὰρ εἰς δάκρυα καὶ ὀδυρμοὺς τῶν ἄλλων ὑπὸ φόβου καὶ λύπης τρεπομένων, ἐκεῖνος, εἴ ποτε βιασθείη τοῦτο ποιῆσαι, δῆλος ἦν τὸ αἰσχρὸν καὶ τὸ ἀκλεὲς τῆς στρατείας ἀναλογιζόμενος πρὸς τὸ μέγεθος καὶ τὴν δόξαν, ὧν ἤλπιζε κατορθώσειν. Οὐ μόνον δ' αὐτοῦ τὴν ὄψιν ὁρῶντες, ἀλλὰ καὶ τῶν λόγων μνημονεύοντες, καὶ τῶν παραινέσεων, ἃς ἐποιήσατο κωλύων τὸν ἔκπλουν, ἔτι μᾶλλον ἐνόμιζον ἀναξίως ταλαιπωρεῖν· καὶ πρὸς τὰς ἐκ θεῶν ἐλπίδας ἀθύμως εἶχον, ἐννοοῦντες, ὡς ἀνὴρ θεοφιλὴς, καὶ πολλὰ καὶ μεγάλα λαμπρυνάμενος πρὸς τὸ θεῖον, οὐδενὸς ἐπιεικεστέρᾳ τύχῃ χρῆται τῶν κακίστων ἐν τῷ στρατεύματι καὶ ταπεινοτάτων.

XXVII. Οὐ μὴν ἀλλ' ὅ γε Νικίας ἐπειρᾶτο καὶ φωνῇ καὶ προσώπῳ καὶ δεξιώσει κρείττων ὁρᾶσθαι τῶν δεινῶν. Καὶ παρὰ πᾶσάν γε τὴν πορείαν ἐφ' ἡμέρας ὀκτὼ βαλλόμενος καὶ τραυματιζόμενος ὑπὸ τῶν πολεμίων, ἀήττητον ἐφύλαττε τὴν σὺν αὐτῷ δύναμιν, ἄχρις οὗ Δημοσθένης ἑάλω, καὶ τὸ μετ' ἐκεί-

Digitized by Google

νου στράτευμα, περὶ τὴν Πολυζήλειον αὐλὴν ἐν τῷ διαμάχεσθαι καὶ ὑπολείπεσθαι κυκλωθέν. Αὐτὸς δὲ Δημοσθένης, σπασάμενος τὸ ξίφος, ἔπληξε μὲν ἑαυτὸν, οὐ μὴν ἀπέθανε, ταχὺ τῶν πολεμίων περισχόντων καὶ συλλαβόντων αὐτόν. Ὡς δὲ τῷ Νικίᾳ προσελάσαντες ἔφραζον οἱ Συρακούσιοι, καὶ πέμψας ἱππέας, ἔγνω τὴν ἐκείνου τοῦ στρατεύματος ἅλωσιν, ἠξίου σπείσασθαι πρὸς τὸν Γύλιππον, ὅπως ἀφῶσι τοὺς Ἀθηναίους ἐκ Σικελίας, ὅμηρα λαβόντες ὑπὲρ τῶν χρημάτων, ὅσα Συρακουσίοις ἀνάλωτο πρὸς τὸν πόλεμον. Οἱ δ' οὐ προσεῖχον, ἀλλὰ πρὸς ὕβριν καὶ μετ' ὀργῆς ἀπειλοῦντες καὶ λοιδοροῦντες ἔβαλλον, ἤδη πάντων ἐνδεῶς ἔχοντα τῶν ἀναγκαίων. Οὐ μὴν ἀλλὰ καὶ τὴν νύκτα διεκαρτέρησε, καὶ τὴν ἐπιοῦσαν ἡμέραν προῆλθε βαλλόμενος πρὸς τὸν Ἀσίναρον ποταμόν. Ἐκεῖ δὲ τοὺς μὲν οἱ πολέμιοι συνενεγκόντες ἐνέσεισαν εἰς τὸ ῥεῖθρον, οἱ δὲ φθάνοντες ὑπὸ δίψους ἔῤῥιπτον ἑαυτούς· καὶ πλεῖστος ἐνταῦθα μόρος ἦν καὶ ὠμότατος, ἐν τῷ ποταμῷ πινόντων ἅμα καὶ σφαττομένων, ἄχρι Νικίας Γύλιππῳ προσπεσὼν, εἶπεν· „Ἔλεος ὑμᾶς, ὦ Γύλιππε, λαβέτω νικῶντας, ἐμοῦ μὲν μηδεὶς, ὃς ἐπὶ τηλικαύταις ἀτυχίαις ὄνομα καὶ δόξαν ἔσχον, τῶν δ' ἄλλων Ἀθηναίων, ἐννοηθέντας, ὅτι κοιναὶ μὲν αἱ τύχαι τοῦ πολέμου, μετρίως δ' αὐταῖς καὶ πρέπως ἐχρήσαντο, ἐν οἷς ηὐτύχουν, Ἀθηναῖοι πρὸς ὑμᾶς.“ Τοιαῦτα τοῦ Νικίου λέγοντος, ἔπαθε μέν τι καὶ πρὸς τὴν ὄψιν αὐτοῦ καὶ πρὸς τοὺς λόγους ὁ Γύλιππος· ἤδει γὰρ τοὺς

Digitized by Google

Λακεδαιμονίους εὖ πεπονθότας ὑπ' αὐτοῦ περὶ τὰς γενομένας διαλύσεις· μέγα δ' ἦγεῖτο πρὸς δόξαν, εἰ ζῶντας ἀπαγάγοι τοὺς ἀντιστρατήγους. Διὸ τόν τε Νικίαν λαναλαβὼν ἐθάρρυνε, καὶ τοὺς ἄλλους ζωγρεῖν παρήγγελε. Βραδέως δὲ τοῦ παραγγέλματος διϊκνουμένου, πολλῷ τῶν φονευθέντων ἐλάττονες οἱ διασωθέντες ἐγένοντο· καίτοι πολλοὶ διεκλάπησαν ὑπὸ τῶν στρατιωτῶν. Τοὺς δὲ φανερῶς ξαλωκότας ἀθροίσαντες, τὰ μὲν κάλλιστα καὶ μέγιστα δένδρα τῶν περὶ τὸν ποταμὸν ἀνέδησαν αἰχμαλώτοις πανοπλίαις, ἐστεφανωμένοι δ' αὐτοὶ καὶ κοσμήσαντες ἵππους διαπρεπῶς, κείραντες δὲ τοὺς τῶν πολεμίων, εἰσήλαυνον εἰς τὴν πόλιν, ἀγῶνα λαμπρότατον, ὧν Ἕλληνες πρὸς Ἕλληνας ἠγωνίσαντο, καὶ νίκην τελεωτάτην κράτει πλείστῳ καὶ ῥώμῃ μεγίστῃ προθυμίας καὶ ἀρετῆς κατωρθωκότες.

XXVIII. Ἐκκλησίας δὲ πανδήμου Συρακουσίων καὶ τῶν συμμάχων γενομένης, Εὐρυκλῆς ὁ δημαγωγὸς ἔγραψε, πρῶτον μὲν τὴν ἡμέραν, ἐν ᾗ τὸν Νικίαν ἔλαβον, ἱερὰν ἔχειν, θύοντας καὶ σχολάζοντας ἔργων, Ἀσιναρίαν τὴν ἑορτὴν ἀπὸ τοῦ ποταμοῦ καλοῦντας. Ἡμέρα δ' ἦν τετρὰς φθίνοντος τοῦ Καρνείου μηνός, ὃν Ἀθηναῖοι Μεταγειτνιῶνα προσαγορεύουσι. Τῶν δ' Ἀθηναίων τοὺς μὲν οἰκέτας ἀποδόσθαι, καὶ τοὺς ἄλλους συμμάχους, αὐτοὺς δὲ καὶ τοὺς ἀπὸ Σικελίας φρουρεῖν, ἐμβαλόντας εἰς τὰς λατομίας, πλὴν τῶν στρατηγῶν· ἐκείνους δ' ἀποκτεῖναι. Ταῦτα προσδεχομένων τῶν Συρακουσίων,

Digitized by Google

Ἑρμοκράτης μὲν εἰπὼν, ὅτι τοῦ νικᾶν κρεῖττόν ἐστι τὸ καλῶς χρῆσθαι τῇ νίκῃ, οὐ μετρίως ἐθορυβήθη. Γύλιππον δὲ, τοὺς στρατηγοὺς τῶν Ἀθηναίων ἐξαιτούμενον ζῶντας ἀγαγεῖν Λακεδαιμονίοις, ὑβρίζοντες ἤδη τοῖς εὐτυχήμασιν οἱ Συρακούσιοι, κακῶς ἔλεγον, ἄλλως τε καὶ παρὰ τὸν πόλεμον αὐτοῦ τὴν ταχύτητα καὶ τὸ Λακωνικὸν τῆς ἐπιστασίας οὐ ῥᾳδίως ἐνηνοχότες· ὡς δὲ Τίμαιός φησι, καὶ μικρολογίαν τινὰ καὶ πλεονεξίαν κατεγνωκότες, ἀῤῥώστημα πατρῷον· ἐφ' ᾧ καὶ Κλεανδρίδης, ὁ πατὴρ αὐτοῦ, δώρων ἁλοὺς ἔφυγε, καὶ οὗτος αὐτὸς ἀπὸ τῶν χιλίων ταλάντων, ἃ Λύσανδρος ἔπεμψεν εἰς τὴν Σπάρτην, ὑφελόμενος τριάκοντα, καὶ κρύψας ὑπὸ τὸν ὄροφον τῆς οἰκίας, εἶτα μηνυθεὶς, αἴσχιστα πρόντων ἐξέπεσεν. Ἀλλὰ ταῦτα μὲν ἐν τῷ Λυσάνδρου βίῳ μᾶλλον διηκρίβωται. Δημοσθένην δὲ καὶ Νικίαν ἀποθανεῖν Τίμαιος οὔ φησιν ὑπὸ τῶν Συρακουσίων καταλευσθέντας, ὡς Φίλιστος ἔγραψε καὶ Θουκυδίδης, ἀλλ', Ἑρμοκράτους πέμψαντος, ἔτι τῆς ἐκκλησίας συνεστώσης, καὶ δι' ἑνὸς, τῶν φυλάκων παρόντων, αὐτοὺς δι' ἑαυτῶν ἀποθανεῖν· τὰ μέντοι σώματα πρὸς ταῖς πύλαις ἐκβληθέντα, κεῖσθαι φανερὰ τοῖς δεομένοις τοῦ θεάματος. Πυνθάνομαι δὲ, μέχρι νῦν ἐν Συρακούσαις ἀσπίδα κειμένην πρὸς ἱερῷ δείκνυσθαι, Νικίου μὲν λεγομένην, χρυσοῦ δὲ καὶ πορφύρας εὖ πως πρὸς ἄλληλα μεμιγμένων δι' ὑφῆς συγκεκροτημένην.

XXIX. Τῶν δ' Ἀθηναίων οἱ μὲν πλεῖστοι διε-

Digitized by Google

φθάρησαν ἐν ταῖς λατομίαις ὑπὸ νόσου καὶ διαίτης πονηρᾶς, εἰς ἡμέραν ἑκάστην κοτύλας δύο κριθῶν λαμβάνοντες, καὶ μίαν ὕδατος· οὐκ ὀλίγοι δ' ἐπράθησαν διακλαπέντες, ἢ καὶ διαλαθόντες, ὡς οἰκέται. Καὶ τοὺς οἰκέτας ἐπώλουν, στίζοντες ἵππον εἰς τὸ μέτωπον. Οὐ πολλοὶ δ' ἦσαν οἳ καὶ τοῦτο πρὸς τῷ δουλεύειν ὑπομένοντες. Ἐβοήθει δὲ καὶ τούτοις ἥ τ' αἰδὼς καὶ τὸ κόσμιον· ἢ γὰρ ἠλευθεροῦντο ταχέως, ἢ τιμώμενοι παρέμενον τοῖς κεκτημένοις. Ἔνιοι δὲ καὶ δι' Εὐριπίδην ἐσώθησαν. Μάλιστα γάρ, ὡς ἔοικε, τῶν ἐντὸς Ἑλλήνων ἐπόθησαν αὐτοῦ τὴν μοῦσαν οἱ περὶ Σικελίαν· καὶ μικρὰ τῶν ἀφικνουμένων ἑκάστοτε δείγματα καὶ γεύματα κομιζόντων ἐκμανθάνοντες, ἀγαπητῶς μετεδίδοσαν ἀλλήλοις. Τότε γοῦν φασι τῶν σωθέντων οἴκαδε συχνοὺς ἀσπάσασθαι τὸν Εὐριπίδην φιλοφρόνως, καὶ διηγεῖσθαι τοὺς μὲν, ὅτι δουλεύοντες ὠφελήθησαν, ἐκδιδάξαντες, ὅσα τῶν ἐκείνου ποιημάτων ἐμέμνηντο, τοὺς δ', ὅτι πλανώμενοι μετὰ τὴν μάχην, τροφῆς καὶ ὕδατος μετέλαβον τῶν μελῶν ᾄσαντες. Οὐ δεῖ δὴ θαυμάζειν, ὅτι τοὺς Καυνίους φασὶ, πλοίου προσφερομένου τοῖς λιμέσιν, ὑπὸ λῃστρίδων διωκομένου, μὴ δέχεσθαι τὸ πρῶτον, ἀλλ' ἀπείργειν· εἶτα μέντοι διαπυνθανομένους, εἰ γινώσκουσιν ᾄσματα τῶν Εὐριπίδου, φησάντων ἐκείνων, οὕτω παρεῖναι καταγαγεῖν τὸ πλοῖον.

XXX. Ἀθηναίοις δέ φασι τὴν συμφορὰν οὐχ ἥκιστα διὰ τὸν ἄγγελον ἄπιστον γενέσθαι. Ξένος

γάρ τις, ὡς ἔοικεν, ἀποβὰς εἰς Πειραιᾶ, καὶ καθίσας ἐπὶ κουρείῳ, ὡς ἐγνωκότων ἤδη τῶν Ἀθηναίων, λόγους ἐποιεῖτο περὶ τῶν γεγονότων. Ὁ δὲ κουρεὺς ἀκούσας, πρὶν ἄλλους πυνθάνεσθαι, δρόμῳ συντείνας εἰς τὸ ἄστυ, καὶ προσβαλὼν τοῖς ἄρχουσιν εὐθὺς κατ' ἀγορὰν ἐνέβαλε τὸν λόγον. Ἐκπλήξεως δὲ καὶ ταραχῆς, ὡς εἰκός, γενομένης, οἱ μὲν ἄρχοντες ἐκκλησίαν συναγαγόντες, εἰσήγαγον τὸν ἄνθρωπον· ὡς δ' ἐρωτώμενος, παρ' οὗ πύθοιτο, σαφὲς οὐδὲν εἶχε φράζειν, δόξας λογοποιὸς εἶναι, καὶ ταράττειν τὴν πόλιν, εἰς τὸν τροχὸν καταδεθεὶς ἐστρεβλοῦτο πολὺν χρόνον, ἕως ἐπῆλθον οἱ τὸ πᾶν κακὸν, ὡς εἶχεν, ἀπαγγέλλοντες. Οὕτω μόλις ὁ Νικίας ἐπιστεύθη παθὼν, ἃ πολλάκις αὐτοῖς προεῖπεν.

Digitized by Google

ΜΑΡΚΟΣ ΚΡΑΣΣΟΣ.

Μάρκος δὲ Κράσσος ἦν τιμητικοῦ καὶ θριαμβικοῦ πατρός· ἐτράφη δ' ἐν οἰκίᾳ μικρᾷ μετὰ δυοῖν ἀδελφῶν. Καὶ τοῖς ἀδελφοῖς αὐτοῦ γυναῖκες ἦσαν, ἔτι τῶν γονέων ζώντων· καὶ πάντες ἐπὶ τὴν αὐτὴν ἐφοίτων τράπεζαν. Ὅθεν οὐχ ἥκιστα δοκεῖ καὶ διὰ τοῦτο σώφρων καὶ μέτριος γενέσθαι περὶ τὴν δίαιταν. Ἀποθανόντος δὲ τοῦ ἑτέρου τῶν ἀδελφῶν, τῇ γυναικὶ συνῴκησε, καὶ τοὺς παῖδας ἐξ ἐκείνης ἔσχεν, οὐδενὸς ἧττον καὶ περὶ ταῦτα Ῥωμαίων εὔτακτος γενόμενος. Καίτοι προϊὼν καθ' ἡλικίαν, αἰτίαν ἔσχε Λικιννίᾳ συνεῖναι, τῶν Ἑστιάδων μιᾷ παρθένων· καὶ δίκην ἔφυγεν ἡ Λικιννία, Πλωτίνου τινὸς διώκοντος. Ἦν δὲ προάστειον αὐτῇ καλὸν, ὃ βουλόμενος λαβεῖν ὀλίγης τιμῆς ὁ Κράσσος, καὶ διὰ τοῦτο προσκείμενος ἀεὶ τῇ γυναικὶ καὶ θεραπεύων, εἰς τὴν ὑποψίαν ἐκείνην ἐνέπεσε· καὶ τρόπον τινὰ τῇ φιλοπλουτίᾳ τὴν αἰτίαν τῆς φθορᾶς ἀπολυσάμενος, ὑπὸ τῶν δικαστῶν ἀφείθη. Τὴν δὲ Λικιννίαν οὐκ ἀνῆκε πρότερον, ἢ τοῦ κτήματος κρατῆσαι.

Digitized by Google

II. Ῥωμαῖοι μὲν οὖν λέγουσι πολλαῖς ἀρεταῖς τοῦ Κράσσου κακίαν μόνην ἐπισκοτῆσαι, τὴν φιλοπλουτίαν. Ἔοικε δὲ μία, πασῶν ἐρρωμενεστέρα τῶν ἐν αὐτῷ κακιῶν γενομένη, τὰς ἄλλας ἀμαυρῶσαι. Τεκμήρια δὲ τῆς φιλοπλουτίας αὐτοῦ μέγιστα ποιοῦνται, τόν τε τρόπον τοῦ πορισμοῦ, καὶ τῆς οὐσίας τὸ μέγεθος. Τριακοσίων γὰρ οὐ πλείω κεκτημένος ἐν ἀρχῇ ταλάντων, εἶτα παρὰ τὴν πολιτείαν ἀποθύσας μὲν τῷ Ἡρακλεῖ τὴν δεκάτην, καὶ τὸν δῆμον ἑστιάσας, τρεῖς δὲ μῆνας ἑκάστῳ Ῥωμαίων σιτηρέσιον ἐκ τῶν αὐτοῦ παρασχών, ὅμως πρὸ τῆς ἐπὶ Πάρθους στρατείας αὐτὸς αὑτῷ θέμενος ἐκλογισμὸν τῆς οὐσίας, εὗρεν ἑκατὸν ταλάντων τίμημα πρὸς ἑπτακισχιλίοις. Τὰ δὲ πλεῖστα τούτων, εἰ δεῖ μετὰ βλασφημίας εἰπεῖν τὸ ἀληθές, ἐκ πυρὸς συνήγαγε καὶ πολέμου, ταῖς κοιναῖς ἀτυχίαις προσόδῳ τῇ μεγίστῃ χρησάμενος. Ὅτε γὰρ Σύλλας ἑλὼν τὴν πόλιν, ἐπώλει τὰς οὐσίας τῶν ἀνῃρημένων ὑπ' αὐτοῦ, λάφυρα καὶ νομίζων καὶ ὀνομάζων, καὶ βουλόμενος ὅτι πλείστοις καὶ κρατίστοις προσομόρξασθαι τὸ ἄγος, οὔτε λαμβάνων, οὔτ' ὠνούμενος ἀπεῖπε. Πρὸς δὲ τούτοις, ὁρῶν τὰς συγγενεῖς καὶ συνοίκους τῆς Ῥώμης κῆρας, ἐμπρησμοὺς καὶ συνιζήσεις, διὰ βάρος καὶ πλῆθος οἰκοδομημάτων, ἐωνεῖτο δούλους ἀρχιτέκτονας καὶ οἰκοδόμους. Εἶτ' ἔχων τούτους, ὑπὲρ πεντακοσίους ὄντας, ἐξηγόραζε τὰ καιόμενα καὶ γειτνιῶντα τοῖς καιομένοις, διὰ φόβον καὶ ἀδηλότητα τῶν δεσποτῶν ἀπ' ὀλίγης τιμῆς προϊεμένων· ὥστε τῆς Ῥώ-

Digitized by Google

μὴς τὸ πλεῖστον μέρος ὑπ' αὐτῷ γενέσθαι. Τοσούτους δὲ κεκτημένος τεχνίτας, οὐδὲν ᾠκοδόμησεν αὐτὸς, ἢ τὴν ἰδίαν οἰκίαν· ἀλλ' ἔλεγε τοὺς φιλοικοδόμους αὐτοὺς ὑφ' ἑαυτῶν καταλύεσθαι, χωρὶς ἀνταγωνιστῶν. Ὄντων δ' αὐτῷ παμπόλλων ἀργυρείων, πολυτιμήτου δὲ χώρας, καὶ τῶν ἐργαζομένων ἐν αὐτῇ, ὅμως ἄν τις ἡγήσαιτο μηδὲν εἶναι ταῦτα πάντα πρὸς τὴν τῶν οἰκετῶν τιμήν. Τοσούτους ἐκέκτητο καὶ τοιούτους, ἀναγνώστας, ὑπογραφεῖς, ἀργυρογνώμονας, διοικητὰς, τραπεζοκόμους· αὐτὸς ἐπιστατῶν μανθάνουσι καὶ προσέχων καὶ διδάσκων, καὶ ὅλως νομίζων τῷ δεσπότῃ προσήκειν μάλιστα τὴν περὶ τοὺς οἰκέτας ἐπιμέλειαν, ὡς ὄργανα ἔμψυχα τῆς οἰκονομικῆς. Καὶ τοῦτο μὲν ὀρθῶς ὁ Κράσσος, εἴπερ, ὡς ἔλεγεν, ἡγεῖτο τὰ μὲν ἄλλα διὰ τῶν οἰκετῶν χρῆναι, τοὺς δ' οἰκέτας δι' αὐτοῦ κυβερνᾶν. Τὴν γὰρ οἰκονομικὴν, ἐν ἀψύχοις χρηματιστικὴν οὖσαν, ἐν ἀνθρώποις πολιτικὴν γιγνομένην ὁρῶμεν. Ἐκεῖνο δ' οὐκ εὖ, τὸ μηδένα νομίζειν, μηδὲ φάσκειν εἶναι πλούσιον, ὃς οὐ δύναται τρέφειν ἀπὸ τῆς οὐσίας στρατόπεδον· (ὁ γὰρ πόλεμος οὐ τεταγμένα σιτεῖται, κατὰ τὸν Ἀρχίδαμον· ὥσθ' ὁ πρὸς πόλεμον πλοῦτος ἀόριστος·) καὶ πολὺ τῆς Μαρίου γνώμης ἀπηρτημένως. Ἐκεῖνος γὰρ, ἐπεὶ, κατ' ἄνδρα νείμας ἑκάστῳ δέκα καὶ τέσσαρα πλέθρα γῆς, ἔγνω πλέον ἐπιζητοῦντας· „Μηδεὶς (ἔφη) γένοιτο Ῥωμαίων ὀλίγην ἡγούμενος τὴν τρέφειν ἀρκοῦσαν."

III. Οὐ μὴν ἀλλὰ καὶ περὶ ξένους ἦν φιλότιμος ὁ

Digitized by Google

Κράσσος. Ἀνέῳκτο γὰρ ἡ οἰκία πᾶσι, καὶ τοῖς φίλοις ἐδάνειζεν ἄνευ τόκων· ἀπῄτει δ' ἀποτόμως, τοῦ χρόνου παρελθόντος, εἰς ὃν ἐδάνειζε, καὶ τὸ προῖκα πολλῶν ἐγίνετο τόκων ἐπαχθέστερον. Ἐν δὲ τοῖς δείπνοις ἡ μὲν κλῆσις ἦν ὡς τὰ πολλὰ δημοτικὴ καὶ λαώδης· ἡ δ' εὐτέλεια τὴν καθαριότητα καὶ τὴν φιλοφροσύνην ἡδίονα τοῦ πολυτελοῦς εἶχε. Παιδείας δὲ τῆς περὶ λόγον, μάλιστα μὲν τὸ ῥητορικὸν καὶ χρειώδες εἰς πολλοὺς ἤσκησε· καὶ γενόμενος δεινὸς εἰπεῖν ἓν τοῖς μάλιστα Ῥωμαίων, ἐπιμελείᾳ καὶ πόνῳ τοὺς εὐφυεστάτους ὑπερέβαλεν. Οὐδεμίαν γὰρ οὕτω δίκην φασὶ μικρὰν, οὐδ' εὐκαταφρόνητον γενέσθαι, πρὸς ἣν ἀπαράσκευος ἦλθεν. Ἀλλὰ καὶ Πομπηΐου πολλάκις ὀκνοῦντος, καὶ Καίσαρος ἐξαναστῆναι καὶ Κικέρωνος, ἐκεῖνος ἀνεπλήρου τὴν συνηγορίαν. Καὶ διὰ τοῦτο μᾶλλον ἤρεσκεν, ὡς ἐπιμελὴς καὶ βοηθητικός. Ἤρεσκε δὲ καὶ τὸ περὶ τὰς δεξιώσεις καὶ προσαγορεύσεις φιλάνθρωπον αὐτοῦ καὶ δημοτικόν. Οὐδενὶ γὰρ οὕτως ἀπήντησε Ῥωμαίων ἀδόξῳ καὶ ταπεινῷ Κράσσος, ὃν ἀσπασάμενον οὐκ ἀντιπροσηγόρευσεν ἐξ ὀνόματος. Λέγεται δὲ καὶ πολυμαθὴς καθ' ἱστορίαν γενέσθαι, καί τι καὶ φιλοσοφῆσαι τοῖς Ἀριστοτέλους λόγοις προσθέμενος· ὧν διδάσκαλον εἶχεν Ἀλέξανδρον, ἄνθρωπον εὐκολίας καὶ πραότητος ἀπόδειξιν διδόντα τὴν πρὸς Κράσσον συνήθειαν. Οὐ γὰρ ἦν ἀποφήνασθαι ῥᾳδίως, πότερον προσῆλθεν αὐτῷ πενέστερος, ἢ προσελθὼν ἐγένετο. Μόνος δ' οὖν ἀεὶ τῶν φίλων, αὐτῷ συναποδημῶν, στέγαστρον

Digitized by Google

ἐλάμβανεν εἰς τὴν ὁδὸν, καὶ τοῦτ' ἐπανελθὼν ἀπῃτεῖτο. Φεῦ τῆς ὑπομονῆς, οὐδὲ τὴν πενίαν ὁ τλήμων ἀδιάφορον ἡγούμενος. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

IV. Ἐπεὶ δὲ Κίννας καὶ Μάριος κρατήσαντες, εὐθὺς ἦσαν ἔνθηλοι κατιόντες οὐκ ἐπ' ἀγαθῷ τῆς πατρίδος, ἐπ' ἀναιρέσει δ' ἄντικρυς καὶ ὀλέθρῳ τῶν ἀρίστων· οἱ μὲν ἐγκαταληφθέντες ἀπέθνησκον, ὧν ἦν καὶ ὁ πατὴρ Κράσσου καὶ ὁ ἀδελφός· αὐτὸς δὲ, νέος ὢν παντάπασι, τὸ μὲν αὐτίκα δεινὸν ἐξέφυγε, πάντη δὲ περιβαλλόμενον ἑαυτὸν αἰσθανόμενος καὶ κυνηγετούμενον ὑπὸ τῶν τυράννων, τρεῖς φίλους ἀναλαβὼν, καὶ θεράποντας δέκα, τάχει δ' ὑπερβάλλοντι χρησάμενος, εἰς Ἰβηρίαν ἔφυγε, γεγονὼς πάλαι στρατηγοῦντος αὐτόθι τοῦ πατρὸς, καὶ φίλους πεποιημένος. Εὑρὼν δὲ πάντας περιδεεῖς, καὶ τὴν ὠμότητα τὴν Μαρίου, καθάπερ ἐφεστῶτος αὐτοῖς, τρέμοντας, οὐδενὶ γενέσθαι φανερὸς ἐθάρρησεν, ἀλλ' εἰς ἀγροὺς ἐμβαλὼν παραλίους Οὐϊβίου Πακιακοῦ, σπήλαιον ἔχοντας εὐμέγεθες, ἔκρυψεν ἑαυτόν. Πρὸς δὲ τὸν Οὐϊβιον ἔπεμψεν ἕνα θοῦλον, ἀποπειρώμενος, ἤδη καὶ τῶν ἐφοδίων ἐπιλιπόντων. Ὁ δὲ Οὐϊβιος ἀκούσας, ἥσθη τε σωζομένῳ, καὶ πυθόμενος τὸ πλῆθος τῶν σὺν αὐτῷ καὶ τὸν τόπον, αὐτὸς μὲν οὐκ ἦλθεν εἰς ὄψιν, τὸν δὲ τῶν χωρίων ἐπίτροπον προσαγαγὼν εὐθὺς, ἐκέλευσε καθ' ἡμέραν δεῖπνον πεποιημένον κομίζειν, καὶ τιθέντα παρὰ τὴν πέτραν, ἀπέρχεσθαι σιωπῇ, καὶ μὴ πολυπραγμονεῖν, μηδ' ἐξετάζειν· προειπὼν πολυπραγμονοῦντι θάνατον, συμπράττοντι δὲ

τοῦτο πιστῶς ἐλευθερίαν. Τὸ δὲ σπήλαιον οὐκ ἄπωθεν μέν ἐστι θαλάσσης· κρημνοὶ δὲ περὶ αὐτὸ συμφερόμενοι λεπτὴν καὶ ἀσαφῆ παραπέμπουσι λαύραν ἄγουσαν εἴσω. Παρελθόντι δ' ὕψος τε θαυμαστὸν ἀναπέπταται, καὶ κατ' εὖρος ἔχει κόλπους δι' ἀλλήλων ἀνοιγομένους μεγάλαις περιφερείαις. Ἀμοιρεῖ δ' οὔτε ὕδατος, οὔτε φωτός· ἀλλὰ πηγὴ μὲν ἡδίστου νάματος ὑπορρεῖ παρὰ τὸν κρημνόν· αὐτοφυεῖς δὲ ῥωχμοὶ τῆς πέτρας, ἢ μάλιστα περιπίπτει τὸ φῶς ἔξωθεν, ὑπολαμβάνουσι, καὶ καταλάμπεται ἡμέρα, τὸ χωρίον. Ὀδ' ἐντὸς ἀὴρ ἀστάλακτος καὶ καθαρός, πυκνότητι τῆς πέτρας τὸ νοτερὸν καὶ ἀποτηκόμενον εἰς τὴν πηγὴν ἐκπιεζούσης.

V. Ἐνταῦθα διατρίβοντι τῷ Κράσσῳ τὰ ἐπινήδεια καθ' ἡμέραν ἐφοίτα κομίζων ὁ ἄνθρωπος, αὐτὸς μὲν οὐχ ὁρῶν ἐκείνους, οὐδὲ γινώσκων, ὑπ' ἐκείνων δὲ καθορώμενος, εἰδότων καὶ παραφυλαττόντων τὸν καιρόν. Ἦν δ' ἄφθονα, καὶ πρὸς ἡδονὴν, οὐ μόνον χρείαν, ποιούμενα τὰ πρὸς τὸ δεῖπνον. Ἐγνώκει γὰρ ὁ Οὐίβιος ἅπάσῃ φιλοφροσύνῃ θεραπεύειν τὸν Κράσσον. Ὥι γε καὶ τὸ τῆς ὥρας ἐν τῷ λαβεῖν ἐπῆλθεν, ὡς παντάπασι νεανίας εἴη, καί τι καὶ ταῖς καθ' ἡλικίαν ἡδοναῖς αὐτοῦ χαριστέον. ἐπεὶ τήν γε χρείαν ἀναγκαίως μᾶλλον, ἢ προθύμως, ὑπουργοῦντος εἶναι. Δύο δὴ θεραπαινίδας εὐπρεπεῖς ἀναλαβὼν ἐβάδιζεν ἐπὶ τὴν θάλασσαν. Ὡς δ' ἦλθεν ἐπὶ τὸν τόπον, δείξας τὴν ἄνοδον, ἐκέλευεν εἴσω πορεύεσθαι καὶ θαρρεῖν. Οἱ δὲ περὶ τὸν Κράσσον, ἰδόντες προσερχομένας, ἐθαι-

Digitized by Google

σαν, μὴ καταφανὲς καὶ γνώριμον εἴη τὸ χωρίον. Ἀνέκρινον οὖν αὐτὰς, τί βούλονται, καὶ τίνες εἰσίν. Ὡς δ' ἀπεκρίναντο δεδιδαγμέναι, δεσπότην ζητεῖν ἐνταῦθα κρυπτόμενον, μαθὼν ὁ Κράσσος τοῦ Οὐϊβίου τὴν πρὸς αὐτὸν παιδιὰν καὶ φιλοφροσύνην, ἀνέλαβε τὰς παιδίσκας. Καὶ συνῆσαν αὐτῷ τὸν λοιπὸν χρόνον, ἐπὶ ἐδεῖτο φράζουσαι καὶ διαγγέλλουσαι πρὸς τὸν Οὐϊβιον. Τούτων φησὶ τὴν ἑτέραν ἤδη πρεσβῦτιν οὖσαν ὁ Φενεστέλλας ἰδεῖν αὐτὸς, καὶ πολλάκις ἀκοῦσαι μεμνημένης ταῦτα καὶ διεξιούσης προθύμως.

VI. Ὁ δὲ Κράσσος, ὀκτὼ μῆνας οὕτω διαγαγὼν καὶ διαλαπεὶς, ἅμα τῷ πυθέσθαι τὴν Κίννα τελευτὴν φανερὸς γενόμενος, συνδραμόντων πρὸς αὐτὸν οὐκ ὀλίγων ἀνθρώπων, ἐπιλεξάμενος δισχιλίους καὶ πεντακοσίους, ἐπῆρχετο τὰς πόλεις· καὶ μίαν γε διήρπασε Μαλάκην, ὃς πολλοὶ γεγραφασιν· αὐτὸν δέ φασιν ἀρνεῖσθαι καὶ διαμάχεσθαι πρὸς τοὺς λέγοντας. Ἐκ τούτου συναγαγὼν πλοῖα, καὶ διαπεράσας εἰς Λιβύην, ἀφίκετο πρὸς Μέτελλον Πίον, ἔνδοξον ἄνδρα, συνειληχότα στρατιὰν οὐκ εὐκαταφρόνητον. Οὐ πολὺν δὲ χρόνον ἐνταῦθα παρέμεινεν, ἀλλὰ στασιάσας τῷ Μετέλλῳ, πρὸς Σύλλαν ἦπῆρε, καὶ συνῆν ἐν τοῖς μάλιστα τιμώμενος. Ἐπεὶ δὲ διαβὰς εἰς Ἰταλίαν ὁ Σύλλας, πάντας ἠβούλετο τοὺς σὺν αὐτῷ νέους ἔχειν ἐνεργοὺς, καὶ πρὸς ἄλλην ἄλλον ἔτατε πρᾶξιν, ἐξαποστελλόμενος εἰς Μαρσοὺς ἐπὶ στρατείαν ὁ Κράσσος, ἤτει φύλακας· ἦν γὰρ ἡ πάροδος παρὰ τοὺς πολεμίους. Εἰπόντος δὲ τοῦ Σύλλα σὺν ὀργῇ καὶ

Digitized by Google

σφόδρα πρὸς αὐτὸν, „Δίδωμί σοι φύλακας, τὸν πατέρα, τὸν ἀδελφὸν, τοὺς φίλους, τοὺς συγγενεῖς; ὧν παρανόμως καὶ ἀδίκως ἀναιρεθέντων, ἔργῳ μετέρχομαι τοὺς φονεῖς“ οὕτω παθών τι καὶ παροξυνθεὶς ὁ Κράσσος, εὐθὺς ἐξῆλθε, καὶ διὰ τῶν πολεμίων ὠσάμενος εὐρώστως, δύναμίν τε συχνὴν ἤθροισε, καὶ πρόθυμον αὑτὸν ἐν τοῖς ἀγῶσι τῷ Σύλλᾳ παρεῖχεν. Ἀπ' ἐκείνων δὲ τῶν πράξεων λέγουσιν αὐτῷ πρῶτον ἐγγενέσθαι τὴν πρὸς Πομπήϊον ὑπὲρ δόξης ἅμιλλαν καὶ φιλοτιμίαν. Ὁ γὰρ Πομπήϊος ἡλικίᾳ τε λειπόμενος αὐτοῦ, καὶ πατρὸς γεγονὼς ἀποδεξαμένου ἐν Ῥώμῃ, καὶ μισηθέντος ἔσχατον μῖσος ὑπὸ τῶν πολιτῶν, ἐν ἐκείνοις τοῖς πράγμασιν ἐξέλαμψε καὶ διεφάνη μέγας; ὥστε Σύλλαν, ἃ πρεσβυτέροις καὶ ἐντιμοτέροις οὐ πάνυ πολλάκις παρεῖχεν, ὑπεξανίστασθαι προσιόντος αὐτοῦ, καὶ κεφαλὴν ἀποκαλύπτεσθαι, καὶ προσεικτεῖν αὐτοκράτορα. Ταῦτα δείσας καὶ παρόξυνε τὸν Κράσσον, οὐκ ἀλόγως ἐλασσούμενον. Ἐμπειρίας τε γὰρ ἐνδεὴς ἦν, καὶ τῶν πράξεων αὐτοῦ τὴν χάριν ἀφῄρουν αἱ συγγενεῖς κῆρες ἐπιφερόμεναι, φιλοκέρδεια καὶ μικρολογία. Καὶ γὰρ πόλιν Ὀμβρικὴν Τουρδετίαν ἑλὼν ἔδοξε πλεῖστα τῶν χρημάτων σφετερίσασθαι, καὶ διεβλήθη πρὸς Σύλλαν. Ἀλλ' ἔν γε τῷ περὶ τὴν Ῥώμην ἀγῶνι, πάντων γενομένῳ μεγίστῳ καὶ τελευταίῳ, Σύλλας μὲν ἡττήθη, τῶν κατ' αὐτὸν ὠσθέντων, ἐνίων δὲ καὶ συντριβέντων· Κράσσος δὲ τὸ δεξιὸν κέρας ἔχων ἐνίκησε, καὶ μέχρι νυκτὸς διώξας τοὺς πολεμίους, ἔπεμψε πρὸς Σύλλαν, δεῖ-

Digitized by Google

πνον αἰτῶν τοῖς στρατιώταις, καὶ τὸ κατόρθωμα φράζων. Ἐν δὲ ταῖς προγραφαῖς καὶ δημεύσεσι πάλιν κακῶς ἤκουσεν, ὠνούμενός τε τιμῆς βραχείας μεγάλα πράγματα, καὶ δωρεὰς αἰτῶν. Ἐν δὲ Βρεττίοις λέγεται καὶ προγράψαι τινά, οὐ Σύλλα κελεύσαντος, ἀλλ' ἐπὶ χρηματισμῷ· διὸ καὶ Σύλλαν καταγνόντα, πρὸς μηδὲν ἔτι χρῆσθαι δημόσιον αὐτῷ. Καίτοι δεινότατος ἦν Κράσσος πάντας ἀνθρώπους κολακείᾳ κατεργάσασθαι, πάλιν δ' αὐτὸς ὑπὸ πάντων διὰ κολακείας εὐάλωτος. Ἴδιον δὲ κἀκεῖνο περὶ αὐτοῦ λέγεται, φιλοκερδέστατον ὄντα, μάλιστα μισεῖν καὶ λοιδορεῖν τοὺς ὁμοίους.

VII. Ἡνία δὲ Πομπήϊος αὐτὸν εὐημερῶν ἐν ἡγεμονίαις, καὶ πρὶν ἢ βουλῆς μεταλαβεῖν, θριαμβεύων, καὶ Μάγνος, ὅπερ ἐστὶ μέγας, ὑπὸ τῶν πολιτῶν ἀναγορευθείς. Καί ποτε φήσαντός τινος, ὡς Πομπήϊος Μάγνος πρόσεισι, γελάσας ἠρώτησεν, ὡς πηλίκος. Ἀπαγνοὺς δὲ τοῖς πολεμικοῖς ἐξισώσασθαι πρὸς ἐκεῖνον, ὑπεδύετο τὴν πολιτείαν, σπουδαῖς καὶ συνηγορίαις καὶ δανεισμοῖς, καὶ τῷ συμπαραγγέλλειν καὶ συνεξετάζεσθαι τοῖς δεομένοις τι τοῦ δήμου, κτώμενος δύναμιν ἀντίπαλον καὶ δόξαν, ἣ Πομπήϊος εἶχεν ἀπὸ πολλῶν καὶ μεγάλων στρατειῶν. Καὶ πρᾶγμα συνέβαινεν αὐτοῖς ἴδιον. Μεῖζον γὰρ ἦν ἀπόντος ὄνομα τοῦ Πομπηΐου καὶ κράτος ἐν τῇ πόλει, διὰ τὰς στρατείας· παρὼν δὲ πολλάκις ἠλαττοῦτο τοῦ Κράσσου, διὰ τὸν ὄγκον καὶ τὸ πρόσχημα τοῦ βίου, φεύγων τὰ πλήθη, καὶ ἀναδυόμενος ἐξ ἀγορᾶς, καὶ

Digitized by Google

τῶν δεομένων ὀλίγοις καὶ μὴ πάνυ προθύμως βοηθῶν, ὡς ἀκμαιοτέραν ἔχοι τὴν δύναμιν ὑπὲρ αὐτοῦ χρώμενος. Ὁ δὲ Κράσσος ἐνδιλεχὲς τὸ χρήσιμον ἔχων, καὶ σπάνιος οὐκ ὤν, οὐδὲ δυσπρόσοδος, ἀλλ' ἐν μέσαις ἀεὶ ταῖς σπουδαῖς ἀναστρεφόμενος, τῷ κοινῷ καὶ φιλανθρώπῳ περιεγίνετο τῆς ἐκείνου σεμνότητος. Σώματος δ' ἄξίωμα, καὶ λόγου πειθώ, καὶ προσώπου χάριν ἄγωγὸν ἀμφοτέροις ὁμοίως προσεῖναι λέγουσιν. Οὐ μέντοι πρὸς ἔχθραν τινὰ Κράσσον ἢ κακόνοιαν, ἐξήνεγκεν οὗτος ὁ ζῆλος· ἀλλὰ καὶ Πομπηΐῳ καὶ Καίσαρι τιμωμένοις μὲν ὑπὲρ αὐτὸν ἤχθετο, τῇ δὲ φιλοτιμίᾳ ταύτῃ δυσμένειαν, ἢ κακοήθειαν, οὐ συνῆπτε· καίτοι Καῖσαρ, ὑπὸ λῃστῶν ἁλοὺς ἐν Ἀσίᾳ, καὶ φρουρούμενος, ἀνεβόησεν· „Ἡλίκης, ὦ Κράσσε, χαρᾶς ἀπολαύσεις, πυθόμενος τὴν ἐμὴν ἅλωσιν!" Ἀλλ' ὕστερόν γε φιλικῶς ἀλλήλοις προσεφέροντο· καί ποτε τῷ Καίσαρι μέλλοντι μὲν εἰς Ἰβηρίαν ἐξιέναι στρατηγῷ, χρήματα δ' οὐκ ἔχοντι, τῶν δανειστῶν ἐπιπεσόντων, καὶ τῆς παρασκευῆς ἐπιλαμβανομένων, ὁ Κράσσος οὐ περιεῖδεν, ἀλλ' ἀπήλλαξεν, ὑποθεὶς αὐτὸν ἔγγυον τριάκοντα καὶ ὀκτακοσίων ταλάντων. Καθόλου δὲ τῆς Ῥώμης εἰς τρεῖς νενεμημένης δυνάμεις, τὴν Πομπηΐου, τὴν Καίσαρος, τὴν Κράσσου, (Κάτωνος γὰρ ἡ δόξα μείζων ἦν τῆς δυνάμεως, καὶ τῷ θαυμαζομένῳ πλέον ἴσχυεν) ἡ μὲν ἔμφρων καὶ καθεστῶσα μερὶς ἐν τῇ πόλει Πομπήϊον ἐθεράπευε· τὸ δ' ὀξὺ καὶ φερόμενον μετ' εὐχερείας ταῖς Καίσαρος ἐλπίσιν ἐπηκολούθει· Κράσ-

Digitized by Google

σος δὲ μέσος ὢν, ἀμφοτέραις ἐχρῆτο, καὶ πλείστας μεταβολὰς ἐν τῇ πολιτείᾳ μεταβαλλόμενος, οὔτε φίλος ἦν βέβαιος, οὔτ' ἀνήκεστος ἐχθρὸς, ἀλλὰ ῥᾳδίως καὶ χάριτος καὶ ὀργῆς ἐξέπιπτεν ὑπὸ τοῦ συμφέροντος, ὥστε πολλάκις μὲν ἀνθρώπων, πολλάκις δὲ νόμων, ἐν ὀλίγῳ φανῆναι τῶν αὐ τῶν συνήγορος καὶ ἀντίδικος. Ἴσχυε δὲ χάριτι καὶ φόβῳ, φόβῳ δ' οὐκ ἔλαττον. Ὁ γοῦν πλεῖστα πράγματα παρασχὼν τοῖς καθ' αὑτὸν ἄρχουσι καὶ δημαγωγοῖς, Σικίννιος, πρὸς τὸν εἰπόντα· Τί δὴ μόνον οὐ σπαράττει τὸν Κράσσον, ἀλλὰ παρίησιν αὐτόν· χόρτον ἔχειν ἔφησεν ἐπὶ τοῦ κέρατος. Εἰώθεσαν δὲ Ῥωμαῖοι τὸν κυρίττοντα τῶν βοῶν, ὑπὲρ τοῦ φυλάττεσθαι τοὺς ἐντυγχάνοντας, χόρτῳ περιελίσσειν τὸ κέρας.

VIII. Ἡ δὲ τῶν μονομάχων ἐπανάστασις καὶ λεηλασία τῆς Ἰταλίας, ἣν οἱ πολλοὶ Σπαρτάκειον πόλεμον ὀνομάζουσιν, ἀρχὴν ἔλαβεν ἐκ τοιαύτης αἰτίας. Λέντλου τινὸς Βατιάτου μονομάχους ἐν Καπύῃ τρέφοντος, ὧν οἱ πολλοὶ Γαλάται καὶ Θρᾷκες ἦσαν, ἐξ αἰτιῶν οὐ πονηρῶν, ἀλλ' ἀδικί. τοῦ πριαμένου συνειρχθέντες ὑπ' ἀνάγκης ἐπὶ τῷ μονομαχεῖν, ἐβουλεύσαντο μὲν διακόσιοι φεύγειν· γενομένης δὲ μηνύσεως, οἱ προαισθόμενοι καὶ φθάσαντες, ὀγδοήκοντα δυεῖν δέοντες, ἔκ τινος ὀπτανείου κοπίδας ἁράμενοι καὶ ὀβελίσκους, ἐξεπήδησαν. Ἐντυχόντες δὲ κατὰ τὴν ὁδὸν ἁμάξαις ὅπλα κομιζούσαις μονομάχων εἰς ἑτέραν πόλιν, ἁρπάσαν καὶ ὡπλίσαντο· καὶ τόπον τινὰ καρτερὸν καταλαβόντες, ἡγεμό-

Digitized by Google

νας εἵλοντο τρεῖς, ὧν πρῶτος ἦν Σπάρταπος, ἀνὴρ Θρᾷξ, τοῦ Νομαδικοῦ γένους, οὐ μόνον φρόνημα μέγα καὶ ῥώμην ἔχων, ἀλλὰ καὶ συνέσει καὶ πραότητι τῆς τύχης ἀμείνων, καὶ τοῦ γένους Ἑλληνικώτερος. Τοῦτον δὲ λέγουσιν, ὅτε πρῶτον εἰς Ῥώμην ὠνιος ἤχθη, δράκοντα κοιμωμένῳ περιπεπλεγμένον φανῆναι περὶ τὸ πρόσωπον. Γυνὴ δ' ὁμόφυλος οὖσα τοῦ Σπαρτάκου, μαντικὴ δὲ καὶ κάτοχος τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς, ἔφραζε τὸ σημεῖον εἶναι μεγάλης καὶ φοβερᾶς περὶ αὐτὸν εἰς ἀτυχὲς τέλος ἐσομένης δυνάμεως· ἢ καὶ τότε συνῆν αὐτῷ καὶ συνέφευγε.

IX. Καὶ πρῶτον μὲν τοὺς ἐκ Καπύης ἐλθόντας ὠσάμενοι, καὶ πολλῶν ὅπλων ἐπιλαβόμενοι πολεμιστηρίων, ἄσμενοι ταῦτα μετελάμβανον, ἀποῤῥίψαντες, ὡς ἄτιμα καὶ βάρβαρα, τὰ τῶν μονομάχων. Ἔπειτα Κλωδίου στρατηγοῦ μετὰ τρισχιλίων πεμφθέντος ἐκ Ῥώμης, καὶ πολιορκοῦντος αὐτοὺς ἐν ὄρει μίαν ἔχοντι καὶ χαλεπὴν καὶ στενὴν ἄνοδον, ἣν ὁ Κλώδιος ἐφρούρει, τὰ δ' ἄλλα κρημνοὺς ἀποτόμους καὶ λισσάδας, ἄμπελον δὲ πολλὴν ἀγρίαν ἐπιπολῆς πεφυκυῖαν, ἔτεμνον τῶν κλημάτων τὰ χρήσιμα καὶ συμπλέκοντες ἐξ αὐτῶν κλιμακίδας εὐτόνους καὶ βαθείας, ὥστ' ἄνωθεν ἀνηρτημένας παρὰ τοὺς κρημνώδεις ἅπτεσθαι τῶν ἐπιπέδων, κατέβαινον ἀσφαλῶς δι' αὐτῶν, πλὴν ἑνός. Οὗτος δὲ τῶν ὅπλων ἕνεκα μείνας, ἐπεὶ κατέβησαν, ἠφίει κάτω τὰ ὅπλα, καὶ βαλὼν ἅπαντα, τελευταῖος ἀπεσώζετο καὶ αὐτός. Τιῤῥ'

Digitized by Google

ἠγνόουν οἱ Ῥωμαῖοι· δὲ ὃ καὶ περιελθόντες αὐτοὺς, ἐξέπληξαν τῷ ἀφνιδίῳ, καὶ φυγῆς γενομένης, ἔλαβον τὸ στρατόπεδον. Καὶ προσεχέοντο πολλοὶ τῶν αὐτόθι βοτήρων καὶ ποιμένων αὐτοῖς, πλῆκται καὶ ποδώκεις ἄνδρες· ὧν τοὺς μὲν ὡπλιζον, τοῖς δὲ προδρόμοις καὶ ψιλοῖς ἐχρῶντο. Δεύτερος ἐκπέμπεται πρὸς αὐτοὺς στρατηγὸς, Ποὔπλιος Βαρῖνος, οὗ πρῶτα μὲν ὑποστρατηγόν τινα Φούριον, ἔχοντα δισχιλίους στρατιώτας, ἐτρέψαντο συμβαλόντες· ἔπειτα σύμβουλον αὐτοῦ καὶ συνάρχοντα Κοσσίνιον, ἀποσταλέντα μετὰ πολλῆς δυνάμεως, ἐπιτηρήσας ὁ Σπάρτακος λουόμενον περὶ Σαλίνας, μικρὸν ἐδέησε συναρπάσαι. Χαλεπῶς δὲ καὶ μόλις ἐκφυγόντος, εὐθὺς μὲν ἐκράτησε τῆς ἀποσκευῆς· ἐκ ποδὸς δὲ κατέχων καὶ διώκων φόνῳ πολλῷ τὸ στρατόπεδον εἷλεν. Ἔπεσε δὲ καὶ Κοσσίνιος. Αὐτὸν δὲ τὸν στρατηγὸν ἄλλαις μάχαις πολλαῖς καταχωνισάμενος, τέλος τούς τε ῥαβδούχους καὶ τὸν ἵππον αὐτοῦ λαβὼν, ἤδη μὲν μέγας καὶ φοβερὸς ἦν. Ἐφρόνει δὲ τὰ εἰκότα, καὶ μὴ προσδοκῶν ὑπερβαλέσθαι τὴν Ῥωμαίων δύναμιν, ἦγεν ἐπὶ τὰς Ἄλπεις τὸν στρατὸν, οἰόμενος δεῖν ὑπερβαλόντας αὐτὰς ἐπὶ τὰ οἰκεῖα χωρεῖν, τοὺς μὲν εἰς Θρᾴκην, τοὺς δ' εἰς Γαλατίαν. Οἱ δὲ, πλήθει τε ὄντες ἰσχυροὶ καὶ μέγα φρονοῦντες, οὐχ ὑπήκουον, ἀλλ' ἐπόρθουν ἐπιπορευόμενοι τὴν Ἰταλίαν. Οὐκέτ' οὖν τὸ παρ' ἀξίαν καὶ τὸ αἰσχρὸν ἠνώχλει τῆς ἀποστάσεως τὴν σύγκλητον· ἀλλὰ δὴ διὰ φόβον τε καὶ κίνδυνον, ὃς πρὸς ἕνα τῶν δυσκολω-

Digitized by Google

τάτων πολέμων καὶ μεγίστων, ἀμφοτέρους ἐξέπεμπον τοὺς ὑπάτους. Ὧν Γέλλιος μὲν τὸ Γερμανικὸν, ὕβρει καὶ φρονήματι τῶν Σπαρτακείων ἀποσχισθὲν, ἐξαίφνης ἐμπεσὼν ἅπαν διέφθειρε· Λέντλου δὲ τὸν Σπάρτακον μεγάλοις στρατοπέδοις περιλαβόντος, ὁρμήσας ὁμόσε, καὶ μάχην συνάψας, ἐκράτησε μὲν τῶν πρεσβευτῶν, ἔλαβε δὲ τὴν ἀποσκευὴν ἅπασαν. Ὠθουμένῳ δ' αὐτῷ πρὸς τὰς Ἄλπεις Κάσσιος, ὁ τῆς περὶ Πάδον Γαλατίας στρατηγὸς, ἔχων μυρίους, ἀπήντησε· καὶ γενομένης μάχης κρατηθεὶς, καὶ πολλοὺς ἀποβαλὼν, μόλις αὐτὸς ἐξέφυγε.

X. Ταῦθ' ἡ βουλὴ πυθομένη, τοὺς μὲν ὑπάτους πρὸς ὀργὴν ἐκέλευσεν ἡσυχίαν ἄγειν, Κράσσον δὲ τοῦ πολέμου στρατηγὸν εἵλετο. Καὶ πολλοὶ διὰ δόξαν αὐτῷ καὶ φιλίαν συνεστράτευον τῶν ἐπιφανῶν. Αὐτὸς μὲν οὖν ὑπέμεινε πρὸ τῆς Πικηνίδος, εἰς τὸν Σπάρτακον ἐκεῖ φερόμενον δεξόμενος· Μόμμιον δὲ πρεσβευτὴν, ἄγοντα δύο τάγματα, κύκλῳ περιέπεμψεν, ἕπεσθαι κελεύσας τοῖς πολεμίοις, συμπλέκεσθαι δὲ μὴ, μηδ' ἐψιμαχεῖν. Ὁ δ', ἅμα τῷ πρῶτον ἐπ' ἐλπίδος γενέσθαι, μάχην θέμενος, ἡττήθη· καὶ πολλοὶ μὲν ἔπεσον, πολλοὶ δ' ἄνευ τῶν ὅπλων φεύγοντες ἐσώθησαν. Ὁ δὲ Κράσσος αὐτόν τε τὸν Μόμμιον ἐδέξατο τραχέως, καὶ τοὺς στρατιώτας ὁπλίζων αὖθις, ἐγγυητὰς ἤτει τῶν ὅπλων, ὅτι φυλάξουσι. Πεντακοσίους δὲ τοὺς πρώτους, καὶ μάλιστα τοὺς τρέσαντας, εἰς πεντήκοντα διανείμας δεκάδας, ἀφ' ἑκάστης ἀπέκτεινεν ἕνα τὸν κλήρῳ λα-

Digitized by Google

χόντα· πάτριον τι τοῦτο διὰ πολλῶν χρόνων κόλασμα τοῖς στρατιώταις ἐπανάγων. Καὶ γὰρ αἰσχύνη τοῦ θανάτου τῷ τρόπῳ πρόσεστι, καὶ δρᾶται πολλὰ φρικώδη καὶ σκυθρωπὰ περὶ τὴν κόλασιν, ἁπάντων θεωμένων. Οὕτω δ' ἐπιστρέψας τοὺς ἄνδρας, ἦγεν ἐπὶ τοὺς πολεμίους. Ὁ δὲ Σπάρτακος ὑπεξεχώρει διὰ Λευκανίας εἰς τὴν θάλασσαν· ἐν δὲ πορθμῷ λῃστρίσι Κιλίσσαις ἐπιτυχὼν, ὥρμησεν ἅψασθαι Σικελίας, καὶ δισχιλίους ἄνδρας ἐμβαλὼν εἰς τὴν νῆσον, αὖθις ἐκζωπυρῆσαι τὸν δουλικὸν ἐκεῖ πόλεμον, οὕπω πολὺν χρόνον ἀπεσβηκότα, καὶ μικρῶν πάλιν ὑπεκκαυμάτων δεόμενον. Ὁμολογήσαντες δ' οἱ Κίλικες αὐτῷ, καὶ δῶρα λαβόντες, ἐξηπάτησαν καὶ ἀπέπλευσαν. Οὕτω δὴ πάλιν ἀπὸ θαλάσσης ἀναζεύξας, ἐκάθιζε τὸν στρατὸν εἰς τὴν Ῥηγίνων χερρόνησον. Ἐπελθὼν δ' ὁ Κράσσος, καὶ τοῦ τόπου τὴν φύσιν ὁρῶν ὑφηγουμένην τὸ δέον, ὥρμησεν ἀποτειχίσαι τὸν ἰσθμόν. ἅμα καὶ τὴν σχολὴν τῶν στρατιωτῶν ὑφαιρῶν, καὶ τὴν εὐπορίαν τῶν πολεμίων. Μέγα μὲν οὖν ἦν καὶ χαλεπὸν τὸ ἔργον, ἤνυσε δὲ καὶ κατειργάσατο παρὰ δόξαν ἐν ὀλίγῳ χρόνῳ, τάφρον ἐμβαλὼν ἐκ θαλάσσης εἰς θάλασσαν διὰ τοῦ αὐχένος, σταδίων τριακοσίων, εὖρος δὲ καὶ βάθος πεντεκαίδεκα ποδῶν. Ὑπὲρ δὲ τῆς τάφρου τεῖχος ἔστησεν ὕψει καὶ ῥώμῃ θαυμαστόν. Ὧν ὁ Σπάρτακος ἠμέλει καὶ κατεφρόνει τὸ πρῶτον. ὡς δὲ, τῆς λείας ὑπολειπούσης, προϊέναι βουλόμενος συνεῖδε τὸν ἀποτειχισμὸν, καὶ λαμβάνειν οὐδὲν ἦν ἐκ τῆς χερρονή-

Digitized by Google

σου, νύκτα νιφετώδη καὶ πνεύματι χειμερινον παραφυλάξας, ἔχωσε τῆς τάφρου μέρος οὐ πολὺ γῇ καὶ ὕλῃ καὶ κλάδοις δένδρων, ὥστε τῆς στρατιᾶς περαιῶσαι τὸ τρίτον.

XI. Ἐφοβήθη μὲν οὖν ὁ Κρασσος, μὴ λάβοι τις ὁρμὴ τὸν Σπάρτακον ἐπὶ τὴν Ῥώμην ἐλαύνειν. Ἐθάῤῥησε δὲ, πολλῶν ἐκ διαφορᾶς ἀποστάντων αὐτοῦ, καὶ στρατοπεδευσαμένων καθ' αὑτοὺς ἐπὶ Λευκανίδος λίμνης, ἣν φασι τρέπεσθαι διὰ χρόνου γινομένην γλυκεῖαν, καὶ αὖθις ἁλμυρὰν καὶ ἄποτον. Τούτους ἐπελθὼν ὁ Κράσσος ἐξέωσε μὲν ἀπὸ τῆς λίμνης, ἀφῃρέθη δὲ τὸν φόνον καὶ τὴν δίωξιν αὐτῶν, ἐπιφανέντος ὀξέως τοῦ Σπαρτάκου, καὶ τὴν φυγὴν ἐπιστήσαντος. Γεγραφὼς δὲ τῇ βουλῇ πρότερον, ὡς χρὴ καὶ Λούκουλλον ἐκ Θρᾴκης καλεῖν, καὶ Πομπήϊον ἐξ Ἰβηρίας, μετενόει, καὶ πρὶν ἥκειν ἐκείνους, ἔσπευδε διαπράξασθαι τὸν πόλεμον· εἰδὼς, ὅτι τοῦ προσγενομένου καὶ βοηθήσαντος, οὐχ αὐτοῦ, τὸ κατόρθωμα δόξει. Πρῶτον μὲν οὖν διωγνοὺς τοῖς ἀφεστῶσι καὶ κατ' ἰδίαν στρατευομένοις, ὧν ἀφηγοῦντο Γάϊος Καννίκιος καὶ Κάστος, ἐπιθέσθαι, λόφον τινὰ προκαταληψομένους ἄνδρας ἑξακισχιλίους ἀπέστειλε, λανθάνειν κελεύσας πειρᾶσθαι. Οἱ δ' ἐπειρῶντο μὲν τὴν αἴσθησιν ἀποκρύπτειν, τὰ κράνη καταμπέχοντες· ὀφθέντες δ' ὑπὸ δυοῖν γυναικῶν προθυομένων τοῖς πολεμίοις, ἐκινδύνευσαν, εἰ μὴ Κράσσος, ὀξέως ἐπιφανεὶς, μάχην ἔθετο πασῶν καρτερωτάτην, ἐν ᾗ τριακοσίους ἐπὶ δισχιλίοις καὶ μυρίοις

Digitized by Google

καταβαλὼν, δύο μόνους εὗρε κατὰ νώτου τετρωμένους· οἱ δ' ἄλλοι πάντες ἑστῶτες ἐν τάξει, καὶ μαχόμενοι τοῖς Ῥωμαίοις, ἀπέθανον. Σπαρτάκῳ δὲ, μετὰ τὴν τούτων ἧτταν ἀναχωροῦντι πρὸς τὰ ὄρη τὰ Πετηλῖνα, Κδίντος τῶν περὶ Κράσσον ἡγεμόνων, καὶ Σκρώφας ταμίας, ἐξαπτόμενοι παρηκολούθουν. Ἐπιστρέψαντος δὲ, γίνεται φυγὴ μεγάλη τῶν Ῥωμαίων, καὶ μόλις τρωθέντα τὸν ταμίαν ἁρπάσαντες ἀπεσώθησαν. Τοῦτο τὸν Σπάρτακον ἀπώλεσε τὸ κατόρθωμα, φρονήματος ἐπιγενομένου τοῖς δραπέταις. Οὐκέτι γὰρ ἠξίουν φυγομαχεῖν, οὐδ' ἐπείθοντο τοῖς ἄρχουσιν, ἀλλ' ἤδη καθ' ὁδὸν ὄντες, ἐν τοῖς ὅπλοις περισχόντες, ἠνάγκασαν αὖθις ὀπίσω διὰ τῆς Λευκανίας ἄγειν ἐπὶ τοὺς Ῥωμαίους, εἰς ταὐτὸ τῷ Κράσσῳ σπεύδοντες. Ἤδη γὰρ ὁ Πομπήϊος προσιὼν ἀπηγγέλλετο· καὶ δὴ ἀρχαιρεσιάζοντες ἔφησαν οὐκ ὀλίγοι, τὴν νίκην ἐκείνῳ τοῦ πολέμου προσήκειν· ἐλθόντα γὰρ εὐθὺς μαχεῖσθαι καὶ καταλύσειν τὸν πόλεμον. Ἐπειγόμενος οὖν διαγωνίσασθαι, καὶ παραστρατοπεδεύσασθαι τοῖς πολεμίοις, ἄρυττε τάφρον· πρὸς ἣν ἐκπηδῶντες οἱ δοῦλοι προσεμάχοντο τοῖς ἐργαζομένοις. Ἀεὶ δὲ πλειόνων ἐκατέρωθεν ἐκβοηθούντων, ὁρῶν τὴν ἀνάγκην ὁ Σπάρτακος, ἅπαν παρέταξε τὸ στράτευμα. Καὶ πρῶτον μὲν τοῦ ἵππου προσαχθέντος αὐτῷ, σπασάμενος τὸ ξίφος, καὶ εἰπὼν, ὅτι νικῶν μὲν ἕξει πολλοὺς ἵππους καὶ καλοὺς τῶν πολεμίων, ἡττώμενος δὲ οὐ δεῖται, κατέσφαξε τὸν ἵππον. „Ἔπειτα πρὸς Κράσσον αὐτὸν ὠθούμενος, διὰ

Digitized by Google

πολλῶν ὅπλων καὶ τραυμάτων, ἐκείνου μὲν οὐκ ἔτυχεν, ἑκατοντάρχας δὲ δύο συμπεσόντας ἀνεῖλε. Τέλος δὲ, φυγόντων τῶν περὶ αὐτὸν, αὐτὸς ἑστὼς, καὶ κυκλωθεὶς ὑπὸ πολλῶν, ἀμυνόμενος κατεκόπη. Κράσσου δὲ τῇ τύχῃ χρησαμένου, καὶ στρατηγήσαντος ἄριστα, καὶ τὸ σῶμα τῷ κινδύνῳ παρασχόντος, ὅμως οὐ διέφυγε τὸ κατόρθωμα τὴν Πομπηΐου δόξαν. Οἱ γὰρ διαπεσόντες αὐτῷ διεφθάρησαν· ὥστε καὶ γράψαι πρὸς τὴν σύγκλητον, ὅτι μάχῃ μὲν τοὺς δραπέτας φανερᾷ Κράσσος νενίκηκεν, αὐτὸς δὲ τοῦ πολέμου τὴν ῥίζαν ἀνῄρηκε. Πομπήϊος μὲν οὖν ἀπὸ Σερτωρίου καὶ Ἰβηρίας ἐπιφανῶς ἐθριάμβευσε· Κράσσος δὲ τὸν μὲν μέγαν θρίαμβον οὐδ' αὐτὸς αἰτεῖν ἐπεχείρησεν· ἐδόκει δὲ καὶ τὸν πεζὸν, ὀόυαν δὲ καλούμενον, ἀγεννῶς καὶ παρ' ἀξίαν ἐπὶ δουλικῷ πολέμῳ θριαμβεῦσαι. Τί δ' οὗτος ἐκείνου διαφέρει, καὶ περὶ τῆς κλήσεως, ἐν τῷ Μαρκέλλου βίῳ γέγραπται.

XII. Μετα δὲ ταῦτα τοῦ Πομπηΐου αὐτόθεν ἐπὶ τὴν ὕπατειαν καλουμένου, ἐλπίδας ἔχων ὁ Κράσσος συνάρξειν, ὅμως οὐκ ὤκνησε τοῦ Πομπηΐου δεηθῆναι. Δεξάμενος δὲ τὴν χρείαν ἀσμένως ἐκεῖνος, (ἐπιθύμει γὰρ ἀμωσγέπως ἀεὶ χάριτός τινος ὀφειλέτην λαβεῖν τὸν Κράσσον) ἐσπούδασε προθύμως· καὶ τέλος εἶπεν ἐκκλησιάζων, ὡς οὐκ ἐλάττονα περὶ τοῦ συνάρχοντος ἔξει χάριν, ἢ περὶ τῆς ἀρχῆς. Οὐ μὴν ἔμειναν ἐπὶ τῆς αὐτῆς φιλοφροσύνης εἰς τὴν ἀρχὴν καταστάντες· ἀλλ' ὀλίγου δεῖν περὶ πάντων δια-

Digitized by Google

φερόμενοι, καὶ πάντα δυσκολαίνοντες ἀλλήλοις καὶ φιλονεικοῦντες, ἀπολίτευτον καὶ ἄπρακτον αὐτοῖς τὴν ὑπατείαν ἐποίησαν· πλὴν ὅτι Κράσσος Ἡρακλεῖ μεγάλην θυσίαν ποιησάμενος, εἱστίασε τὸν δῆμον ἀπὸ μυρίων τραπεζῶν, καὶ σῖτον ἐμέτρησεν εἰς τρίμηνον. Ἤδη δὲ τῆς ἀρχῆς αὐτοῖς τελευτώσης, ἔτυχον μὲν ἐκκλησιάζοντες· ἀνὴρ δέ τις οὐ τῶν ἐπιφανῶν, ἱππεὺς Ῥωμαίων, ἀγροῖκος δὲ τῷ βίῳ καὶ ἰδιώτης, Ὀνάτιος Αὐρήλιος, ἀναβὰς ἐπὶ τὸ βῆμα καὶ προελθὼν, ὄψιν διηγεῖτο κατὰ τοὺς ὕπνους αὐτῷ γενομένην. „Ὁ γὰρ Ζεὺς (ἔφη) μοὶ φανεὶς, προσέταξεν εἰς κοινὸν εἰπεῖν, ὅπως μὴ πρότερον περιΐδητε τοὺς ὑπάτους ἀποθέσθαι τὴν ἀρχὴν, ἢ φίλους γενέσθαι.“ Ταῦτα λέγοντος τοῦ ἀνθρώπου, καὶ τοῦ δήμου διαλλάττεσθαι κελεύοντος, ὁ μὲν Πομπήϊος ἡσυχίαν ἦγεν ἑστὼς, ὁ δὲ Κράσσος ἐμβαλὼν τὴν δεξιὰν αὐτῷ πρότερος· „Οὐδὲν (εἶπεν), ὦ ἄνδρες, οἶμαι, πολῖται, ταπεινὸν πράττειν, οὐδ' ἀνάξιον ἐμαυτοῦ, καταρχόμενος εὐνοίας καὶ φιλίας πρὸς Πομπήϊον, ὃν ὑμεῖς μήπω γενειῶντα Μέγαν ἀνηγορεύσατε, καὶ μήπω μετέχοντι βουλῆς ἐψηφίσασθε θρίαμβον.“

XIII. Ἡ μὲν οὖν ὑπατεία τοῦ Κράσσου ταῦτ' ἔσχεν ἄξια μνήμης. Ἡ δὲ τιμητεία παντάπασιν ἀτελὴς καὶ ἄπρακτος αὐτῷ διῆλθεν· οὔτε γὰρ βουλῆς ἐξέτασιν, οὐδ' ἱππέων ἐπίσκεψιν, οὔτ' ἀποτίμησιν πολιτῶν ἐποιήσατο· καίτοι συνάρχοντα Ῥωμαίων ἔχοντι τὸν πρᾴστατον, Λουτάτιον Κάτλον. Ἀλλὰ φασὶν, ἐπὶ δεινὸν ὁρμήσαντι τῷ Κράσσῳ πολίτευμα

Digitized by Google

καὶ βίαιον, Αἴγυπτον ποιεῖν ὑποτελῆ Ῥωμαίοις, ἀντιβῆναι τὸν Κάτλον ἐῤῥωμένως· ἐκ δὲ τούτου γενομένης διαφορᾶς, ἑκόντας ἀποθέσθαι τὴν ἀρχήν. Ἐν δὲ τοῖς περὶ Κατιλίναν πράγμασι μεγάλοις καὶ μικροῦ δεήσασιν ἀνατρέψαι τὴν Ῥώμην, ἥψατο μέν τις ὑπόνοια τοῦ Κράσσου, καὶ προσῆλθεν ἄνθρωπος ὀνομάζων ἀπὸ τῆς συνωμοσίας· οὐδεὶς δ' ἐπίστευσεν. Ὅμως δ' Κικέρων ἔν τινι λόγῳ φανερὸς ἦν Κράσσῳ καὶ Καίσαρι τὴν αἰτίαν προστριβόμενος. Ἀλλ' οὗτος μὲν ὁ λόγος ἐξεδόθη μετὰ τὴν ἀμφοῖν τελευτήν. Ἐν δὲ τῷ Περὶ ὑπατείας ὁ Κικέρων νύκτωρ φησὶ τὸν Κράσσον ἀφικέσθαι πρὸς αὐτὸν, ἐπιστολὴν κομίζοντα περὶ τοῦ Κατιλίνα, καὶ ζητουμένην, ὡς ἤδη βεβαιοῦντα τὴν συνωμοσίαν. Ὁ δ' οὖν Κράσσος ἀεὶ μὲν ἐμίσει τὸν Κικέρωνα διὰ τοῦτο· τοῦ δὲ βλάπτειν ἀναφανδὸν ἐμποδὼν εἶχε τὸν υἱόν. Ὁ γὰρ Πόπλιος, ὢν φιλολόγος καὶ φιλομαθὴς, ἐξήρτητο τοῦ Κικέρωνος· ὥστε καὶ συμμεταβαλεῖν αὐτῷ τὴν ἑσθῆτα κρινομένῳ, καὶ τοὺς ἄλλους νέους ταὐτὰ ποιοῦντας παρασχεῖν. Τέλος δὲ τὸν πατέρα πείσας φίλον ἐποίησεν.

XIV. Ὁ δὲ Καῖσαρ, ὡς ἐπανῆλθεν ἀπὸ τῆς ἐπαρχίας, παρασκευαζόμενος ὑπατείαν μετιέναι, καὶ Κράσσον ὁρῶν καὶ Πομπήϊον αὖθις ἐν διαφοραῖς πρὸς ἀλλήλους ὄντας, οὔτε, θατέρου δεηθεὶς ἐβούλετο λαβεῖν ἐχθρὸν τὸν ἕτερον, οὔτε, μηδετέρου συνεργοῦντος, ἤλπιζε κατορθώσειν. Ἔπραττεν οὖν διαλλαγὰς αὐτοῖς, προσκείμενος ἀεὶ, καὶ διδάσκων,

Digitized by Google

ὡς καταλύοντες ἀλλήλους αὔξουσι Κικέρωνας καὶ Κάτλους καὶ Κάτωνας· ὧν οὐδεὶς λόγος, ἂν ἐκεῖνοι συνενεγκόντες εἰς ταὐτὸ τὰς φιλίας καὶ τὰς ἑταιρείας, ἑνὶ κράτει καὶ μιᾷ γνώμῃ τὴν πόλιν ἄγωσι. Πείσας δὲ καὶ διαλλάξας, συνήγαγε καὶ συνέστησεν ἐκ τῶν τριῶν ἰσχὺν ἄμαχον, ᾗ κατέλυσε Ῥωμαίων τὴν βουλὴν καὶ τὸν δῆμον, οὐκ ἐκείνους δι' ἀλλήλων μείζονας, ἀλλὰ δι' ἐκείνων ἑαυτὸν μέγιστον ἀπεργασάμενος. Εὐθὺς γὰρ αἱρεθεὶς ὑπ' ἀμφοτέρων, ὕπατος ἀπεδείχθη λαμπρῶς. Ὑπατεύοντι δ' αὐτῷ καλῶς ψηφισάμενοι στρατευμάτων ἡγεμονίαν, καὶ Γαλατίαν ἐγχειρίσαντες, ὥσπερ εἰς ἀκρόπολιν κατέστησαν, οἰόμενοι καθ' ἡσυχίαν νεμήσεσθαι τὰ λοιπὰ πρὸς ἀλλήλους, ἐκείνῳ βεβαιοῦντες, ἣν ἔλαχεν, ἀρχήν. Πομπήϊος μὲν οὖν ὑπὸ φιλαρχίας ἀμέτρου ταῦτ' ἔπρασσε· τῶν δὲ Κράσσου νοσημάτων τὸ ἀρχαῖον, ἡ φιλοπλουτία, καινὸν ἔρωτα προσλαβοῦσα καὶ ζῆλον, ἐπὶ ταῖς Καίσαρος ἀριστείαις, τροπαίων καὶ θριάμβων, ὥστε μόνοις ἐλαττοῦσθαι, προὔχοντα τοῖς ἄλλοις ἑαυτόν, οὐκ ἀνῆκεν, οὐδ' ἐλώφησε, πρὶν εἰς ὄλεθρον ἀκλεῆ καὶ δημοσίας συμφορὰς τελευτῆσαι. Καίσαρος γὰρ εἰς Λούκαν πόλιν ἐκ Γαλατίας καταβάντος, ἄλλοι τε πολλοὶ Ῥωμαίων ἀφίκοντο, καὶ Πομπήϊος καὶ Κράσσος ἰδίᾳ συγγενόμενοι πρὸς αὐτὸν, ἔγνωσαν ἐγκρατέστερον ἔχεσθαι τῶν πραγμάτων, καὶ πᾶσαν ὑφ' ἑαυτοῖς ποιεῖσθαι τὴν ἡγεμονίαν· Καίσαρος μὲν ἐν τοῖς ὅπλοις μένοντος, ἄλλας δ' ἐπαρχίας καὶ στρατεύματα Πομπηΐου καὶ Κράσσου λα-

Digitized by Google

βόντων. Ἐνταῦθα δ' ὁδὸς ἦν μία, δευτέρας ὑπατείας αἴτησις· ἣν μετιόντων ἐκείνων, ἔδει συμπράττειν Καίσαρα, τοῖς τε φίλοις γράφοντα, καὶ τῶν στρατιωτῶν πέμποντα πολλοὺς ἀρχαιρεσιάσοντας.

XV. Ἐπὶ τούτοις οἱ περὶ Κράσσον εἰς Ῥώμην ἐπανελθόντες, εὐθὺς ἦσαν ὕποπτοι, καὶ πολὺς ἐχώρει διὰ πάντων λόγος, οὐκ ἐπ' ἀγαθῷ γεγονέναι τὴν σύνοδον αὐτῶν. Ἐν δὲ τῇ βουλῇ Μαρκελλίνου καὶ Δομιτίου Πομπήϊον ἐρωτώντων, εἰ μέτεισιν ὑπατείαν, ἀπεκρίνατο, τυχὸν μὲν μετιέναι, τυχὸν δὲ μὴ μετιέναι. Καὶ πάλιν ἐρωτώμενος, ἔφη μετιέναι τοῖς δικαίοις πολίταις, μὴ μετιέναι δὲ τοῖς ἀδίκοις. Ταὐτου δὲ δόξαντος ὑπερηφάνους ἀποκρίσεις καὶ τετυφωμένας ποιεῖσθαι, μετριώτερον ὁ Κράσσος εἶπεν, εἰ τῇ πόλει συμφέρει μετιέναι τὴν ἀρχήν· εἰ δὲ μή, πεπαῦσεσθαι. Διὸ καί τινες ἐθάρρησαν ὑπατείαν μετελθεῖν· ὧν ἦν καὶ Δομίτιος. Ἰδομένων δὲ φανερῶν ἐκείνων ἐν ταῖς παραγγελίαις, οἱ μὲν ἄλλοι δείσαντες ἀπέστησαν· Δομίτιον δὲ Κάτων, οἰκεῖον ὄντα καὶ φίλον, ἐθάρρυνεν, ἐγκελευόμενος καὶ παρορμῶν ἔχεσθαι τῆς ἐλπίδος, ὡς ὑπερμαχοῦντα τῆς κοινῆς ἐλευθερίας· οὐ γὰρ ὑπατείας Πομπήϊον δεῖσθαι καὶ Κράσσον, ἀλλὰ τυραννίδος, οὐδ' ἀρχῆς αἴτησιν, ἀλλ' ἁρπαγὴν ἐπαρχιῶν καὶ στρατοπέδων εἶναι τὰ πραττόμενα. Ταῦτα δὲ καὶ λέγων οὕτω καὶ φρονῶν ὁ Κάτων, μονονοὺ βίᾳ προῆγεν εἰς ἀγορὰν τὸν Δομίτιον, καὶ συνίσταντο πολλοὶ πρὸς αὐτούς. Καὶ τὸ θαυμάζον οὐκ ὀλίγον ἦν, „Τί δὴ δευτέρας

Digitized by Google

οὗτοι χρῄζουσιν ὑπατείας; τί δὲ πάλιν μετ' ἀλλήλων; τί δ' οὐ μεθ' ἑτέρων; πολλοὶ δ' εἰσὶν ἄνδρες ἡμῖν, οὐκ ἀνάξιοι δήπου Κράσσῳ καὶ Πομπηΐῳ συνάρχειν." Ἐκ τούτου δείσαντες οἱ περὶ Πομπήϊον, οὐδενὸς ἀπείχοντο τῶν ἀκοσμοτάτων καὶ βιαιοτάτων. Ἀλλὰ πρὸς πᾶσι τοῖς ἄλλοις, λόχον ὑφέντες τῷ Δομιτίῳ, νυκτὸς ἔτι μετὰ τῶν ἄλλων κατερχομένῳ, κτείνουσι μὲν τὸν ἀνέχοντα τὸ φῶς πρὸ αὐτοῦ συντιτρώσκουσι δὲ πολλούς· ὧν ἦν καὶ Κάτων. Τρεψάμενοι δὲ καὶ κατακλείσαντες εἰς τὴν οἰκίαν ἐκείνους, ἀνηγορεύθησαν ὕπατοι· καὶ μετ' οὐ πολὺν χρόνον αὖθις ὅπλοις περισχόντες τὸ οἴκημα, καὶ τὸν Κάτωνα τῆς ἀγορᾶς ἐκβαλόντες, καί τινας ὑποστάντας ἀποκτείναντες, Καίσαρι μὲν ἄλλην ἐπέδοσαν πεντετείαν τῆς ἀρχῆς, αὐτοῖς δὲ τῶν ἐπαρχιῶν ἐψηφίσαντο Συρίαν, καὶ Ἰβηρίας συναμφοτέρας. Κληρουμένων δὲ, Συρίαν ἔλαχε Κράσσος, τὰ δ' Ἰβηρικὰ Πομπήϊος.

XVI. Ἦν δ' οὐκ ἀκούσιος ὁ κλῆρος ἅπασιν. Οἵ τε γὰρ πολλοὶ Πομπήϊον μὴ μακρὰν εἶναι τῆς πόλεως ἐβούλοντο, καὶ Πομπήϊος ἐρῶν τῆς γυναικὸς, αὐτόθι τὰ πολλὰ διατρίβειν ἔμελλε. Κράσσος δὲ ὑπὸ χαρᾶς εὐθὺς ἐκπεσόντι τῷ κλήρῳ καταφανὴς ἦν· οὐδὲν εὐτύχημα λαμπρότερον ἑαυτῷ γεγονέναι τοῦ παρόντος ἡγούμενος· ὡς μόλις ἐν ἀλλοτρίοις καὶ πολλοῖς ἡσυχίαν ἄγειν, πρὸς δὲ τοὺς συνήθεις πολλὰ κενὰ καὶ μειρακιώδη λέγειν, παρ' ἡλικίαν τὴν ἑαυτοῦ καὶ φύσιν, ἥκιστα κομπαστὴς, ἢ σοβαρὸς τῷ

Digitized by Google

βίῳ γεγονώς. Τότε δ' ἐπηρμένος κομιδῇ καὶ διεφθαρμένος, οὐ Συρίαν, οὐδὲ Πάρθους ὅρον ἐποιεῖτο τῆς εὐπραξίας, ἀλλ' ὡς παιδιὰν ἀποφανῶν τὰ Λουκούλλου πρὸς Τιγράνην, καὶ Πομπηΐου πρὸς Μιθριδάτην, ἄχρι Βακτρίων καὶ Ἰνδῶν καὶ τῆς ἔξω θαλάσσης ἀνῆγεν ἑαυτὸν ταῖς ἐλπίσι. Καίτοι τῷ γραφέντι περὶ τούτων νόμῳ ὁ Παρθικὸς πόλεμος οὐ προσῆν. Ἠιδεσαν δὲ πάντες, ὅτι πρὸς τοῦτον Κράσσος ἐπτόητο· καὶ Καῖσαρ ἐκ Γαλατίας ἔγραψεν αὐτῷ, τὴν ὁρμὴν ἐπαινῶν, καὶ παροξύνων ἐπὶ τὸν πόλεμον. Ἐπεὶ δὲ δημαρχῶν Ἀτήϊος ἔμελλε πρὸς τὴν ἔξοδον ἐναντιώσεσθαι, καὶ συνίσταντο πολλοὶ, χαλεπαίνοντες, εἴ τις ἀνθρώποις οὐδὲν ἀδικοῦσιν, ἀλλ' ἐνσπόνδοις, πολεμήσων ἄπεισι, δείσας ὁ Κράσσος ἐδεήθη Πομπηΐου παραγενέσθαι, καὶ συμπροπέμψαι. Μέγα γὰρ ἦν ἐκείνου τὸ πρὸς τὸν ὄχλον ἀξίωμα· καὶ τότε παρεσκευασμένους πολλοὺς ἐνίστασθαι καὶ καταβοᾶν, δρώμενος πρὸ αὐτοῦ φαιδρῷ βλέμματι καὶ προσώπῳ κατεπράϋνεν ὁ Πομπήϊος, ὥσθ' ὑπείκειν σιωπῇ δι' αὐτῶν προϊοῦσιν. Ὁ δ' Ἀτήϊος ἀπαντήσας, πρῶτον μὲν ἀπὸ φωνῆς ἐκώλυε καὶ διεμαρτύρετο μὴ βαδίζειν, ἔπειτα τὸν ὑπηρέτην ἐκέλευεν ἁψάμενον τοῦ σώματος κατέχειν. Ἄλλων δὲ δημάρχων οὐκ ἐώντων, ὁ μὲν ὑπηρέτης ἀνῆκε τὸν Κράσσον· ὁ δ' Ἀτήϊος προδραμὼν ἐπὶ τὴν πύλην, ἔθηκεν ἐσχαρίδα καιομένην· καὶ τοῦ Κράσσου γενομένου κατ' αὐτὴν, ἐπιθυμιῶν καὶ κατασπένδων, ἀρὰς ἐπηρᾶτο δεινὰς μὲν αὐτὰς καὶ φρικώδεις, δεινοὺς δὲ

Digitized by Google

τινας θεοὺς καὶ ἀλλοκότους ἐπ' αὐταῖς καλῶν καὶ ὀνομάζων. Ταύτας φασὶ Ῥωμαῖοι τὰς ἀρὰς ἀποθέτους καὶ παλαιὰς τοιαύτην ἔχειν δύναμιν, ὡς περιφυγεῖν μηδένα τῶν ἐνσχεθέντων αὐταῖς· κακῶς δὲ πράσσειν καὶ τὸν χρησάμενον· ὅθεν οὐκ ἐπὶ τοῖς τυχοῦσιν αὐτὰς, οὐδ' ὑπὸ πολλῶν ἀρᾶσθαι. Καὶ τότ' οὖν ἐμέμφοντο τὸν Ἀτήϊον, εἰ δι' ἣν ἐχαλέπαινε τῷ Κράσσῳ πόλιν, εἰς αὐτὴν ἀρὰς ἀφῆκε καὶ δεισιδαιμονίαν τοσαύτην.

XXVII. Ὁ δὲ Κράσσος εἰς Βρεντέσιον ἦλθεν. Ἔτι δ' ἀστάτου οὔσης χειμῶνι τῆς θαλάσσης, οὐ περιέμεινεν, ἀλλ' ἀνήχθη, καὶ συχνὰ τῶν πλοίων ἀπέβαλε. Τὴν δ' ἄλλην ἀναλαβὼν δύναμιν, ἠπείγετο πεζῇ διὰ Γαλατίας. Εὑρὼν δὲ τὸν βασιλέα Δηϊόταρον, πάνυ μὲν ὄντα γηραιὸν ἤδη, κτίζοντα δὲ νέαν πόλιν, ἐπέσκωψεν, εἰπών· „Ὦ βασιλεῦ, δωδεκάτης ὥρας οἰκοδομεῖν ἄρχῃ;“ Γελάσας δ' ὁ Γαλάτης· „Ἀλλ' οὐδ' αὐτὸς (εἶπεν), ὦ αὐτόκρατορ, ὡς ὁρῶ, πρωλίαν ἐπὶ Πάρθους ἐλαύνεις.“ Ἦν δ' ὁ Κράσσος ἑξήκοντα μὲν ἔτη παραλλάττων, πρεσβύτερος δὲ τὴν ὄψιν, ἢ καθ' ἡλικίαν. Ἀφικόμενον δ' αὐτὸν ἐδέξατο τὰ πράγματα τῆς ἐλπίδος ἀξίως τὸ πρῶτον. Καὶ γὰρ ἔξευξε ῥᾳδίως τὸν Εὐφράτην, καὶ διήγαγε τὸν στρατὸν ἀσφαλῶς, καὶ πόλεις πολλὰς ἐν τῇ Μεσοποταμίᾳ κατέσχεν, ἑκουσίως προσθεμένας. Ἐν μιᾷ δ', ᾗ Ἀπολλώνιός τις ἐτυράννει, στρατιωτῶν ἑκατὸν ἀναιρεθέντων, ἐπαγαγὼν τὴν δύναμιν αὐτοῖς καὶ κρατήσας, διήρπασε τὰ χρήματα, καὶ τοὺς ἀνθρώ-

Digitized by Google

πους ἀπέδοτο. Ζηνοδοτίαν ἐκάλουν τὴν πόλιν οἱ Ἕλληνες. Ἐπὶ ταύτης ἁλούσης δεξάμενος αὐτοκράτωρ ὑπὸ τῆς στρατιᾶς ἀναγορευθῆναι, πολλὴν ὤφλεν αἰσχύνην καὶ ταπεινὸς ἐφάνη, καὶ περὶ τὰ μείζονα δύσελπις, οὕτω πλεονέκτημα μικρὸν ἠγαπηκώς. Ἐμβαλὼν δὲ φρουρὰς ταῖς προσκεχωρηκυίαις πόλεσιν, ὧν ἀριθμὸς ἦν ἑπτακισχίλιοι πεζοὶ, χίλιοι δ' ἱππεῖς, ἀνεχώρησεν αὐτὸς ἐν Συρίᾳ διαχειμάσων, καὶ δεξόμενος αὐτόθι τὸν υἱὸν ἥκοντα παρὰ Καίσαρος ἐκ Γαλατίας, αὐτόν τε κεκοσμημένον ἀριστείοις, καὶ χιλίους ἱππεῖς ἐπιλέκτους ἄγοντα. Τοῦτο πρῶτον ἁμαρτεῖν ἔδοξεν ὁ Κράσσος, μετὰ γε τὴν στρατείαν αὐτὴν μέγιστον ἁμάρτημα τῶν γενομένων, ὅτι, πρόσω χωρεῖν δέον, ἔχεσθαί τε Βαβυλῶνος καὶ Σελευείας, δυσμενῶν ἀεὶ Πάρθοις πόλεων, χρόνον ἔδωκε οἷς πολεμίοις παρασκευῆς. Ἔπειτα τὰς ἐν Συρίᾳ διατριβὰς ἠτιῶντο, χρηματιστικὰς μᾶλλον οὔσας, ἢ στρατηγικάς. Οὐ γὰρ ὅπλων ἀριθμὸν ἐξετάζων, οὐδὲ γυμνασιῶν ποιούμενος ἅμιλλας, ἀλλὰ προσόδους πόεων ἐκλογιζόμενος, καὶ τὰ χρήματα τῆς ἐν Ἱερᾷ πόλει θεοῦ σταθμοῖς καὶ τρυτάναις μεταχειριζόμενος ἐπὶ πολλὰς ἡμέρας, ἐπιγράφων δὲ καὶ δήμοις καὶ δυναστείαις στρατιωτῶν καταλόγους, εἶτ' ἀνιεὶς ἀργύριον διδόντας, ἠδόξει καὶ κατεφρονεῖτο τούτοις. Γίνεται δὲ πρῶτον αὐτῷ σημεῖον ἀπὸ τῆς θεοῦ ταύτης, ἣν οἱ μὲν Ἀφροδίτην, οἱ δὲ Ἥραν, οἱ δὲ τὴν ἀρχὰς καὶ σπέρματα πᾶσιν ἐξ ὑγρῶν παρασχοῦσαν αἰτίαν καὶ φύσιν νομίζουσι, καὶ τὴν πάντων εἰς ἀν-

Digitized by Google

θρώπους ἀρχὴν ἀγαθῶν καταδείξασαν. Ἐξιόντων γὰρ ἐκ τοῦ ἱεροῦ, πρῶτος ἐσφάλη κατὰ τὰς πύλας ὁ νεανίας Κράσσος, εἶτ' ἐπ' αὐτῷ περιπεσὼν ὁ πρεσβύτερος.

XVIII. Ἤδη δὲ τὰς δυνάμεις ἐκ τῶν χειμαδίων συναθροίζοντος αὐτοῦ, πρέσβεις ἀφίκοντο παρ' Ἀρσάκου βραχύν τινα λόγον κομίζοντες. Ἔφασαν γάρ, εἰ μὲν ὑπὸ Ῥωμαίων ὁ στρατὸς ἀπέσταλται, πόλεμον ἄσπονδον εἶναι καὶ ἀδιάλλακτον· εἰ δὲ τῆς πατρίδος ἀκούσης, ὡς πυνθάνονται, Κράσσος ἰδίων ἕνεκα κερδῶν ὅπλα Πάρθοις ἐπενήνοχε, καὶ χώραν κατείληφε, μετριάζειν Ἀρσάκην· καὶ τὸ μὲν Κράσσου γῆρας οἰκτείρειν, ἀφιέναι δὲ Ῥωμαίοις τοὺς ἄνδρας, οὓς ἔχει φρουρουμένους μᾶλλον, ἢ φρουροῦντας. Πρὸς ταῦτα Κράσσου κομπάσαντος, ὡς ἐν Σελευκείᾳ δώσει τὰς ἀποκρίσεις, γελάσας ὁ πρεσβύτατος τῶν πρέσβεων, Οὐαγίσης, καὶ τῆς χειρὸς ὑπτίᾳ δείξας τὸ μέσον· „Ἐντεῦθεν (εἶπεν), ὦ Κράσσε, φύσονται τρίχες πρότερον, ἢ σὺ ὄψει Σελεύκειαν." Οὗτοι μὲν οὖν ἀπήλαυνον ὡς βασιλέα Τρώδην, πολεμητέα φράσοντες. Ἐκ δὲ τῶν πόλεων, ἃς ἐφρούρουν Ῥωμαῖοι τῆς Μεσοποταμίας, παραβόλως τινὲς διεκπεσόντες, ἄξια φροντίδων ἀπήγγελλον, αὐτόπται μὲν γεγονότες τοῦ τε πλήθους τῶν πολεμίων, καὶ τῶν ἀγώνων, οὓς ἠγωνίσαντο προσμαχόμενοι ταῖς πόλεσιν· οἷα δὲ φιλεῖ, πάντα πρὸς τὸ δεινότερον ἐξαγγέλλοντες, ὡς ἄφυκτοι μὲν οἱ ἄνδρες διώκοντες, ἄληπτοι δὲ φεύγοντες, βέλη δὲ καινὰ προθέοντα τῆς

Digitized by Google

ὄψεως, καὶ πρὶν ὀφθῆναι τὸν βάλλοντα, χωροῦντα διὰ τοῦ προστυχόντος· τῶν δὲ καταφράκτων ὅπλα, τὰ μὲν διὰ παντὸς ὠθεῖσθαι, τὰ δὲ πρὸς μηδὲν ἐνδιδόναι πεποιημένα. Ταῦτα τῶν στρατιωτῶν ἀκουόντων, τὸ θράσος ὑπέπιπτε. Πεπεισμένοι γὰρ οὐδὲν Ἀρμενίων διαφέρειν Πάρθους, οὐδὲ Καππαδοκῶν, οὓς ἄγων καὶ φέρων Λούκουλλος ἀπεῖπε, καὶ τοῦ πολέμου τὸ χαλεπώτατον ἡγούμενοι μακρὰν ὁδὸν ἔσεσθαι, καὶ δίωξιν ἀνθρώπων εἰς χεῖρας οὐκ ἀφιξομένων, παρ' ἐλπίδας ἀγῶνα καὶ κίνδυνον μέγαν προσεδόκων· ὥστε καὶ τῶν ἐν τέλει τινὰς οἴεσθαι δεῖν ἐπισχόντα τὸν Κράσσον, αὖθις ὑπὲρ τῶν ὅλων γνώμην προθέσθαι. Τούτων ἦν Κάσσιος ὁ ταμίας. Ἡσυχῇ δὲ παρεδήλουν καὶ οἱ μάντεις, ὡς ἀεὶ πονηρὰ σημεῖα καὶ δυσέκθυτα προφαίνοιτο τῷ Κράσσῳ διὰ τῶν ἱερῶν. Ἀλλ' οὔτε τούτοις προσεῖχεν, οὔτε τοῖς ἕτερόν τι, πλὴν ἐπείγεσθαι, παραινοῦσιν.

XIX. Οὐχ ἥκιστα δ' αὐτὸν Ἀρταβάζης, ὁ Ἀρμενίων βασιλεύς, ἐπέρρωσεν. Ἦλθε γὰρ εἰς τὸ στρατόπεδον μεθ' ἑξακισχιλίων ἱππέων. Καὶ οὗτοι μὲν ἐλέγοντο φύλακες καὶ προπομποὶ βασιλέως. Ἕτερους δὲ μυρίους ὑπισχνεῖτο καταφράκτους, καὶ τρισμυρίους πεζοὺς οἰκοσίτους. Ἔπειθε δὲ Κράσσον ἐμβαλεῖν δι' Ἀρμενίας εἰς τὴν Παρθίαν· οὐ γὰρ μόνον ἐν ἀφθόνοις διάξειν τὴν στρατιάν, αὐτοῦ παρέχοντος, ἀλλὰ καὶ πορεύσεσθαι δι' ἀσφαλείας, ὄρη πολλὰ καὶ λόφους συνεχεῖς, καὶ χωρία δύσιππα πρὸς τὴν ἵππον, ἣ μόνη Πάρθων ἄλκη, προβαλλόμενον.

Digitized by Google

Ὁ δὲ τὴν προθυμίαν αὐτοῦ καὶ τὴν λαμπρότητα τῆς βοηθείας οὐ μετρίως ἠγάπησε· βαδιεῖσθαι δ' ἔφη διὰ Μεσοποταμίας, ὅπου πολλοὺς καὶ ἀγαθοὺς Ῥωμαίων ἄνδρας ἀπέλιπεν. Ὁ μὲν οὖν Ἀρμένιος ἐπὶ τούτοις ἀπήλαυνε. Τῷ δὲ Κράσσῳ διαβιβάζοντι τὴν στρατιὰν κατὰ τὸ Ζεῦγμα, πολλαὶ μὲν ὑπερφυεῖς βρονταὶ περιερρήγνυντο, πολλὰ δὲ καὶ ἤστραπτεν ἐναντία τῷ στρατῷ. Πνεῦμα δὲ νέφει καὶ πρηστῆρι μεμιγμένον, ἐρεῖσαν αὐτοῦ κατὰ τῆς σχεδίας, ἀνέῤῥηξε πολλὰ καὶ συνέτριψεν. Ἐβλήθη δὲ καὶ κεραυνοῖς θυσὶν ὁ χῶρος, οὗ στρατοπεδεύειν ἔμελλεν. Ἵππος δὲ τῶν στρατηγικῶν, ἐπιφανῶς κεκοσμημένος, βίᾳ συνεπισπάσας τὸν ἡνίοχον, εἰς τὸ ῥεῖθρον ὑποβρύχιος ἠφανίσθη. Λέγεται δὲ καὶ τῶν ἀετῶν ὁ πρῶτος ἀρθεὶς ἀπὸ ταυτομάτου μεταστραφῆναι. Πρὸς δὲ τούτοις συνέπεσε μετὰ τὴν διάβασιν μετρουμένοις τὰ ἐπιτήδεια τοῖς στρατιώταις, πρῶτα πάντων δοθῆναι φακοὺς καὶ ἅλας, ἃ νομίζουσι Ῥωμαῖοι πένθιμα, καὶ προτίθενται τοῖς νέκυσιν· αὐτοῦ τε Κράσσου δημηγοροῦντος ἐξέπεσε φωνή, δεινῶς συγχέασα τὸν στρατόν. Ἔφη γὰρ τὸ ζεῦγμα τοῦ ποταμοῦ διαλύειν, ὅπως μηδεὶς αὐτῶν ἐπανέλθῃ. Καὶ δέον, ὡς ἤσθετο τοῦ ῥήματος τὴν ἀτοπίαν, ἀναλαβεῖν καὶ διασαφῆσαι πρὸς τοὺς ἀποδειλιῶντας τὸ εἰρημένον, ἠμέλησεν ὑπ' αὐθαδείας. Τέλος δὲ τὸν εἰθισμένον καθαρμὸν ἐσφαγιάζετο, καὶ τὰ σπλάγχνα τοῦ μάντεως αὐτῷ προσδόντος, ἐξέβαλε τῶν χειρῶν. Ἐφ' ᾧ καὶ μάλιστα δυσχεραίνοντας ἰδὼν τοὺς παρόντας

Digitized by Google

ἐμειδίασε, καὶ, „Τοιοῦτον (ἔφη), τὸ γῆρας· ἀλλὰ τῶν γε ὅπλων οὐδὲν ἂν ἐκφύγοι τὰς χεῖρας.“

XX. Ἐκ τούτου παρὰ τὸν ποταμὸν ἐξήλαυνεν, ἑπτὰ μὲν ἔχων ὁπλιτῶν τάγματα, καὶ τετρακισχιλίων ὀλίγον ἀποδέοντας ἱππεῖς, ψιλοὺς δὲ τοῖς ἱππεῦσι παραπλησίους. Τῶν δὲ προδρόμων τινὲς ἀπὸ σκοπιᾶς ἐπανελθόντες ἤγγελλον, ἀνθρώπων μὲν ἔρημον εἶναι τὴν χώραν, ἵππων δ' ἐντετυχηκέναι πολλῶν ἴχνεσιν, οἷον ἐκ μεταβολῆς ἐπίσω διωκομένων. Ὅθεν αὐτός τε Κράσσος ἔτι μᾶλλον εὔελπις ἦν, καὶ τοῖς στρατιώταις παντάπασι τῶν Πάρθων παρέστη καταφρονεῖν, ὡς οὐκ ἀφιξομένων εἰς χεῖρας. Ὅμως δ' οἱ περὶ Κάσσιον αὖθις διελέγοντο τῷ Κράσσῳ, καὶ παρῄνουν, μάλιστα μὲν ἐν πόλει τινὶ τῶν φρουρουμένων ἀναλαβεῖν τὴν δύναμιν, ἄχρις οὗ τι πύθηται περὶ τῶν πολεμίων βέβαιον· εἰ δὲ μή, χωρεῖν ἐπὶ Σελευκείας παρὰ τὸν ποταμόν· εὐπορίαν γὰρ τὰ σιτηγὰ τῆς ἀγορᾶς παρέξειν, ἅμα συγκαταίροντα πρὸς τὸ στρατόπεδον, καὶ φύλακα τοῦ μὴ κυκλωθῆναι τὸν ποταμὸν σχόντας, ἀπ' ἴσης ἀεὶ πρὸς ἐναντίους μαχεῖσθαι τοὺς πολεμίους.

XXI. Ταῦτα τοῦ Κράσσου διασκοποῦντος ἔτι καὶ βουλευομένου, παραγίνεται φύλαρχος Ἀράβων, Ἀριάμνης ὄνομα, δολερὸς καὶ παλίμβολος ἀνήρ, καὶ πάντων, ὅσα συνήνεγκεν εἰς ὄλεθρον ἡ τύχη κακά, μέγιστον αὐτοῖς καὶ τελεώτατον γενόμενος· τοῦτον δ' ἤδεσαν ἔνιοι τῶν Πομπηΐῳ συνεστρατευμένων ἀπολαύσαντά τι τῆς ἐκείνου φιλανθρωπίας, καὶ δόξαντα

Digitized by Google

φιλορώμαιον εἶναι. Τότε δ' ὑφεῖτο τῷ Κράσσῳ μετὰ γνώμης τῶν βασιλέως στρατηγῶν, εἰ δύναιτο παραπέμψας αὐτὸν ἀποστάτου τοῦ ποταμοῦ καὶ τῶν ἠπείρων, εἰς πεδίον ἐκβαλεῖν ἀχανὲς περιελαυνόμενον. Πάντα γὰρ διενοοῦντο μᾶλλον, ἢ κατὰ στόμα συμφέρεσθαι Ῥωμαίοις. Ἐλθὼν οὖν πρὸς τὸν Κράσσον ὁ βάρβαρος (ἦν δὲ καὶ πιθανὸς εἰπεῖν), Πομπήϊον μὲν ὡς εὐεργέτην ἐπῄνει· Κράσσον δὲ τῆς δυνάμεως μακαρίσας, ἐμέμφετο τῆς διατριβῆς, μέλλοντα καὶ παρασκευαζόμενον, ὥσπερ ὅπλων αὐτῷ δεῆσον, οὐ χειρῶν, οὐδὲ ποδῶν τῶν ταχίστων, ἐπ' ἀνθρώπους, οἳ πάλαι ζητοῦσιν, ἁρπάσαντες τὰ τιμιώτατα τῶν χρημάτων καὶ σωμάτων, εἰς Σκύθας, ἢ Τρκανοὺς, ἀναπτάσθαι. „Καίτοι μάχεσθαι μέλλοντας (ἔφη) σπεύδειν ἔδει, πρὶν ἅπασαν ἐν ταὐτῷ γενέσθαι τὴν δύναμιν, ἀναθαῤῥήσαντος βασιλέως. Ἐπεὶ νῦν γε Σουρήνας ὑμῖν προβέβληται καὶ Σιλλάκης, ἐφ' αὐτοὺς ἀγαδεξάμενοι τὴν δίωξιν· ὁ δ' οὐδαμῇ φανερός ἐστι." Ταῦτα δ' ἦν ψευδῆ πάντα. Διχῇ γὰρ εὐθὺς Τρώδης διελὼν την δύναμιν, αὐτὸς μὲν Ἀρμενίαν ἐπόρθει, τιννύμενος Ἀρταουάσδην· Σουρήναν δ' ἀφῆκεν ἐπὶ Ῥωμαίους, οὐχ ὑπερφροσύνῃ χρώμενος, ὥς ἔνιοί φασιν. Οὐ γὰρ ἦν ἂν τοῦ αὐτοῦ, Κράσσον μὲν ἀπαξιοῦν ἀνταγωνιστὴν, ἄνδρα Ῥωμαίων πρῶτον, Ἀρταουάσδῃ δὲ προσπολεμεῖν, καὶ τὰς Ἀρμενίων ἐπιόντα χώρας ἐξαιρεῖν· ἀλλὰ καὶ πάνυ δοκεῖ καταδείσας τὸν κίνδυνον, αὐτὸς μὲν ἐφεδρεύειν καὶ παραδοκεῖν τὸ μέλλον· Σουρήναν δὲ προκαθεῖναι

Digitized by Google

πειρασόμενον μάχης, καὶ περιέλξοντα τοὺς πολεμίους. Οὐδὲ γὰρ ἦν τῶν τυχόντων ὁ Σουρήνας, ἀλλὰ πλούτῳ μὲν καὶ γένει καὶ δόξῃ μετὰ βασιλέα δεύτερος, ἀνδρείᾳ δὲ καὶ δεινότητι τῶν κατ' αὐτὸν ἐν Πάρθοις πρῶτος· ἔτι δὲ μεγέθει καὶ κάλλει σώματος, ὡς οὐδεὶς ἕτερος. Ἐξήλαυνε δὲ καθ' ἑαυτὸν ἀεὶ χιλίαις σκευοφορουμένοις καμήλοις, καὶ διακοσίας ἁπήνας ἐπήγετο παλλακίδων· ἱππεῖς δὲ κατάφρακτοι χίλιοι, πλείονες δὲ τῶν κούφων παρέπεμπον. Εἶχε δὲ τοὺς σύμπαντας ἱππεῖς, ὁμοῦ πελάτας τε καὶ δούλους, μυρίων οὐκ ἀποδέοντας. Κατὰ γένος μὲν οὖν ἐξ ἀρχῆς ἐκέκτητο βασιλεῖ γινομένῳ Πάρθων ἐπιτιθέναι τὸ διάδημα πρῶτος. Τρώδην δὲ τοῦτον αὐτὸν ἐξεληλαμένον εἰς Πάρθους κατήγαγε, καὶ Σελεύκειαν αὐτῷ τὴν μεγάλην εἷλε, πρῶτος ἐπιβὰς τοῦ τείχους καὶ τρεψάμενος ἰδίᾳ χειρὶ τοὺς ἀντιστάντας. Οὔπω δὲ γεγονὼς ἔτη τριάκοντα κατ' ἐκεῖνον τὸν χρόνον, εὐβουλίας καὶ συνέσεως δόξαν εἶχε μεγίστην· οἷς οὐχ ἥκιστα καὶ τὸν Κράσσον ἔσφηλε, διὰ θάρσος καὶ φρόνημα πρῶτον, εἶτα ὑπὸ δέους καὶ συμφορῶν ταῖς ἀπάταις εὐχειρώτατον γενόμενον.

XXII. Τότ' οὖν ὁ βάρβαρος, ὡς ἔπεισεν αὐτὸν, ἀποσπάσας τοῦ ποταμοῦ, διὰ μέσων ἦγε τῶν πεδίων, ὁδὸν ἐπιεικῆ καὶ κούφην τὸ πρῶτον, εἶτα μοχθηράν, ἄμμου βαθείας ὑποδεχομένης, καὶ πεδίων ἀδένδρων καὶ ἀνύδρων, καὶ πρὸς οὐδὲν οὐδαμῇ πέρας ἐφικτὸν αἰσθήσει παυομένων· ὥστε μὴ μόνον δίψει καὶ χαλεπότητι τῆς πορείας ἀπαγορεύειν, ἀλλὰ καὶ τὸ

Digitized by Google

τῆς ὄψεως ἀπαραμύθητον ἀθυμίαν παρεῖχεν, οὐ φυτὸν δρῶσιν, οὐ ῥεῖθρον, οὐ προβολὴν ὄρους καθιέντος, οὐ πόαν διαβλαστάνουσαν, ἀλλ' ἀτεχνῶς πελάγιόν τι χεῦμα θινῶν τινων ἐρήμων περιεχόντων τὸν στρατόν. Ἦν μὲν οὖν καὶ ἀπὸ τούτων ὁ δόλος ὕποπτος. Ἐπεὶ δὲ καὶ παρ' Ἀρταουάσδου τοῦ Ἀρμενίου παρῆσαν ἄγγελοι, φράζοντες, ὡς πολλῷ συνέχοιτο πολέμῳ, ῥυέντος ἐπ' αὐτὸν Γρώδου, καὶ πέμπειν μὲν ἐκείνῳ βοήθειαν οὐ δύναται, παραινεῖ δὲ Κράσσῳ, μάλιστα μὲν ἐκεῖ τραπέσθαι, καὶ γενόμενον μετ' Ἀρμενίων, ὁμοῦ διαγωνίσασθαι πρὸς τὸν Γρώδην· εἰ δὲ μή, πορεύεσθαι καὶ στρατοπεδεύειν ἀεὶ τὰ ἱππάσιμα φεύγοντα, καὶ προσχωροῦντα τοῖς ὀρεινοῖς· Κράσσος μὲν, οὐδὲν ἀντιγράψας ὑπ' ὀργῆς καὶ σκαιότητος, ἀπεκρένατο, νῦν μὲν Ἀρμενίοις μὴ σχολάζειν, αὖθις δ' ἀφίξεσθαι δόκην ἐπιθήσων Ἀρταουάσδῃ τῆς προδοσίας. Οἱ δὲ περὶ Κάσσιον αὖθις ἠγανάκτουν καὶ Κράσσον μὲν ἀχθόμενον αὐτοῖς ἐπαύσαντο νουθετοῦντες, ἰδίᾳ δὲ τὸν βάρβαρον ἐλοιδόρουν· „Τίς σε δαίμων πονηρὸς, ὦ κάκιστε ἀνθρώπων, ἦγαγε πρὸς ἡμᾶς; τίσι δὲ φαρμάκοις καὶ γοητείαις ἔπεισας Κράσσον, εἰς ἐρημίαν ἀχανῆ καὶ βύθιον ἐκχέαντα τὴν στρατιὰν, ὁδὸν ὁδεύειν Νομάδι ληστάρχῃ μᾶλλον, ἢ Ῥωμαίων αὐτοκράτορι προσήκουσαν;“ Ὁ δὲ βάρβαρος, ἅτε ὢν ποικίλος, ἐκείνους μὲν ὑποπίπτων ἐθάῤῥυνε, καὶ παρεκάλει μικρὸν ἔτι καρτερῆσαι. Τοὺς δὲ στρατιώτας, ἅμα συμπαραθέων καὶ παραβοηθῶν, ἐπέσκωπτε μετὰ γέλωτος· „Ὑμεῖς δὲ

Digitized by Google

διὰ Καμπανίας ὁδεύειν οἴεσθε, κρήνας καὶ νάματα, καὶ σκιάς, καὶ λουτρὰ δηλαδὴ καὶ πανδοκεῖα ποθοῦντες; οὐ μέμνησθε δὲ τὴν Ἀράβων διεξιόντες καὶ Ἀσσυρίων μεθορίαν;" Οὕτω μὲν ὁ βάρβαρος διεπαιδαγώγησε τοὺς Ῥωμαίους, καὶ, πρὶν ἢ γενέσθαι φανερὸς ἐξαπατῶν, ἀφίππευσεν, οὐ λαθὼν τὸν Κράσσον, ἀλλὰ καὶ τοῦτο πείσας, ὡς ὑπεργάσεται καὶ διαταράξει τὰ τῶν πολεμίων.

XXIII. Λέγεται δὲ, τῆς ἡμέρας ἐκείνης τὸν Κράσσον, οὐχ ὥσπερ ἔθος ἐστὶ Ῥωμαίων στρατηγοῖς, ἐν φοινικίδι προελθεῖν, ἀλλ' ἐν ἱματίῳ μέλανι· καὶ τοῦτο μὲν εὐθὺς ἀλλάξαι προνοήσαντα. τῶν δὲ σημαιῶν ἑνίας μόλις, ὥσπερ πεπηγυίας, πολλὰ παθόντας ἀνελέσθαι τοὺς φέροντας. Ὧν ὁ Κράσσος καταγελῶν ἐπετάχυνε τὴν πορείαν, προσβιαζόμενος ἀκολουθεῖν τὴν φάλαγγα τοῖς ἱππεῦσι· πρὶν γε δὴ τῶν ἐπὶ κατασκοπὴν ἀποσταλέντων ὀλίγοι προσπελάσαντες ἀπήγγειλαν ἀπολωλέναι τοὺς ἄλλους ὑπὸ τῶν πολεμίων, αὐτοὺς δὲ μόλις ἐκφυγεῖν. Ἐπιέναι δὲ μαχομένους πλήθει πολλῷ καὶ θάρσει τοὺς ἄνδρας. Ἅπαντες μὲν οὖν ἐθορυβήθησαν, ὁ δὲ Κράσσος ἐξεπλάγη παντάπασι, καὶ διὰ σπουδῆς οὐ πάνυ καθεστηκὼς παρέταττε· πρῶτον μὲν, ὡς οἱ περὶ Κάσσιον ἠξίουν, ἀραιὰν τὴν φάλαγγα τῶν ὁπλιτῶν ἐπὶ πλεῖστον ἀνάγων τοῦ πεδίου, πρὸς τὰς κυκλώσεις, τοὺς δ' ἱππεῖς διανέμων τοῖς κέρασιν. Ἔπειτα μετέδοξε, καὶ συναγαγὼν, ἀμφίστομον ἐποίησε καὶ βαθὺ πλινθίον, εἰς δώδεκα σπείρας προερχομένης τῶν πλευρῶν ἑκάστης.

Digitized by Google

Παρὰ δὲ σπεῖραν ἴλην ἱππέων ἔταξεν, ὡς μηδὲν ἔχοι μέρος ἐνδεὲς ἱππικῆς βοηθείας, ἀλλὰ πανταχόθεν ὁμαλῶς προσφέροιτο πεφραγμένος. Τῶν δὲ κεράτων τὸ μὲν Κασσίῳ, τὸ δὲ τῷ νέῳ Κράσσῳ παρέδωκεν, αὐτὸς δ' εἰς μέσον κατέστη. Καὶ προάγοντες οὕτως, ἐπὶ ῥεῖθρον ἦλθον, ὃ καλεῖται Βάλισσος, οὐ πολὺ μὲν ἄλλως, οὐδ' ἄφθονον, ἀσμένοις δὲ τότε τοῖς στρατιώταις φανέν, ἐν αὐχμῷ καὶ καύματι, καὶ παρὰ τὴν ἄλλην ἐπίπονον καὶ ἄνυδρον πορείαν. Οἱ μὲν οὖν πλεῖστοι τῶν ἡγεμόνων ᾤοντο δεῖν ἐνταῦθα κατανλισαμένους καὶ νυκτερεύσαντας, καὶ πυθομένους, ἐφ' ὅσον οἷόν τε, πλῆθος καὶ τάξιν τῶν πολεμίων, ἅμ' ἡμέρᾳ χωρεῖν ἐπ' αὐτούς· Κράσσος δὲ, τῷ παιδὶ καὶ τοῖς περὶ αὐτὸν ἱππεῦσιν ἐγκελευομένοις ἄγειν καὶ συνάπτειν ἐπαρθεὶς, ἐκέλευσεν ἑστῶτας ἐν τάξει φαγεῖν καὶ πιεῖν τοὺς δεομένους. Καὶ πρὶν ἢ τοῦτο διὰ πάντων γενέσθαι καλῶς, ἦγεν οὐ σχέδην, οὐδ' ὡς ἐπὶ μάχην, διαναπαύων, ἀλλ' ὀξείᾳ καὶ συντόνῳ χρώμενος τῇ πορείᾳ, μέχρις οὗ κατώφθησαν οἱ πολέμιοι, παρὰ δόξαν οὔτε πολλοὶ φανέντες, οὔτε σοβαροὶ τοῖς Ῥωμαίοις. Τὸ μὲν γὰρ πλῆθος ὑπέστειλε τοῖς προτάκτοις Σουρήνας, τὴν δὲ λαμπρότητα κατέκρυπτε τῶν ὅπλων, ἱμάτια καὶ διφθέρας προϊσχεσθαι κελεύσας. Ὡς δ' ἐγγὺς ἐγένοντο, καὶ σημεῖον ἤρθη παρὰ τοῦ στρατηγοῦ πρῶτον μὲν ἐπίμπλατο φθογγῆς βαρείας καὶ βρόμου φρικώδους τὸ πεδίον. Πάρθοι γὰρ οὐ κέρασιν, οὐδὲ σάλπιγξιν ἐποτρύνουσιν ἑαυτοὺς εἰς μάχην, ἀλλὰ ῥόπτρα βυρ-

Digitized by Google

σοπαγη καὶ κοῖλα περιτείναντες ἠχείοις χαλκοῖς, ἅμα πολλαχόθεν ἐπιδουποῦσι· τὰ δὲ φθέγγεται βύθιόν τι καὶ δεινόν, ὠρυγῇ θηριώδει καὶ τραχύτητι βροντῆς μεμιγμένον· εὖ πως συνεωρακότες, ὅτι τῶν αἰσθητηρίων ἀκοὴ ταρακτικώτατόν ἐστι τῆς ψυχῆς, καὶ τὰ περὶ ταύτην πάθη τάχιστα κινεῖ, καὶ μάλιστα ἐξίστησι τὴν διάνοιαν.

XXIV. Ἐκπεπληγμένων δὲ τῶν Ῥωμαίων διὰ τὸν ἦχον, ἐξαίφνης τὰ προκαλύμματα τῶν ὅπλων καταβαλόντες, ὤφθησαν αὐτοί τε φλογοειδεῖς, πράνεσι καὶ θώραξι τοῦ Μαργιανοῦ σιδήρου στίλβοντος ὀξὺ καὶ πυριλαμπές· οἵ θ' ἵπποι καταπεφραγμένοι χαλκοῖς καὶ σιδηροῖς σκεπάσμασιν. Ὁ δὲ Σουρήνας μέγιστος καὶ κάλλιστος αὐτὸς, τῇ δὲ κατ' ἀνδρείαν δόξῃ τὴν θηλύτητα τοῦ κάλλους οὐκ ἐοικὼς, ἀλλὰ Μηδικώτερον ἐσκευασμένος ἐντρίμμασι προσώπου καὶ κόμης διακρίσει, τῶν ἄλλων Πάρθων ἔτι Σκυθικῶς ἐπὶ τὸ φοβερὸν τῶν ἀνασίλλων κομώντων. Καὶ πρῶτον μὲν διενοοῦντο τοῖς κοντοῖς εἰσελαύνοντες ὠθεῖν καὶ βιάζεσθαι τοὺς προτάκτους. Ὡς δ' ἑώρων τό τε βάθος τοῦ συνασπισμοῦ, καὶ τῶν ἀνδρῶν τὸ μόνιμον καὶ παρεστηκὸς, ἀνῆγον ὀπίσω, καὶ σκίδνασθαι δοκοῦντες ἅμα καὶ διαλύειν τὴν τάξιν, ἐλάνθανον ἐν κύκλῳ περιβάλλοντες τὸ πλινθίον αὐτῶν. Κράσσου δὲ τοὺς ψιλοὺς ἐκδραμεῖν κελεύσαντος, οὗτοι μὲν οὐ πολὺ προῆλθον, ἀλλὰ, πολλοῖς τοξεύμασιν ἐντυχόντες, καὶ ταχὺ συμπαρέντες, αὖθις ἐνδύοντο τοῖς ὁπλίταις, καὶ παρεῖχον ἀκοσμίας ἀρχὴν καὶ

δέους, ὁρῶσι τὸν τόνον τῶν ὑϊστῶν καὶ τὴν ῥώμην, ὅπλα τε ῥηγνύντων, καὶ διὰ παντὸς φερομένων, ὁμοίως ἀντιτύπου καὶ μαλακοῦ στεγάσματος. Οἱ δὲ Πάρθοι, διαστάντες, ἐκ μήκους ἤρξαντο τοξεύειν ἅμα πανταχόθεν, οὐ τὴν ἀκριβῆ τοξείαν, (ἡ γὰρ συνέχεια καὶ πυκνότης τῶν Ῥωμαίων οὐδὲ τῷ βουλομένῳ διαμαρτάνειν ἀνδρὸς παρεῖχεν) εὐτόνους δὲ τὰς πληγὰς καὶ βιαίους διδόντες ἀπὸ τόξων κραταιῶν καὶ μεγάλων, καὶ τῇ σκολιότητι τῆς καμπῆς ἠναγκασμένον τὸ βέλος ἀποστελλόντων. Ἦν οὖν αὐτόθεν ἤδη μοχθηρὰ τὰ Ῥωμαίων· καὶ γὰρ μένοντες ἐν τάξει, συνετιτρώσκοντο, καὶ χωρεῖν ὁμόσε πειρώμενοι, τοῦ μὲν ποιεῖν ἴσον ἀπεῖχον, ὁμοίως δ' ἔπασχον. Τὸ φεύγον γὰρ ἅμα βάλλοντες οἱ Πάρθοι, καὶ τοῦτο κράτιστα ποιοῦσι μετὰ Σκύθας· καὶ σοφώτατόν ἐστιν, ἀμυνομένους ἔτι σώζεσθαι, καὶ τῆς φυγῆς ἀφαιρεῖν τὸ αἰσχρόν.

XXV. Ἄχρι μὲν οὖν ἤλπιζον αὐτοὺς ἐκχεαμένους τὰ βέλη σχήσεσθαι μάχης, ἢ συνάψειν εἰς χεῖρας, ἐκαρτέρουν. Ὡς δ' ἔγνωσαν, ὅτι πολλαὶ κάμηλοι παρεστῶσι τοξευμάτων πλήρεις, ἀφ' ὧν περιελαύνοντες οἱ πρῶτοι λαμβάνουσιν, οὐδὲν πέρας ὁρῶν ὁ Κράσσος ἠθύμει· καὶ σκοπεῖν ἐκέλευεν, ἀγγέλους πέμψας πρὸς τὸν υἱόν, ὅπως προσμίξαι βιάσεται τοῖς ἐναντίοις, πρὶν ἢ κυκλωθῆναι. Μάλιστα γὰρ ἐκείνῳ προσέπιπτον, καὶ περιίππευον τὸ κέρας, ὡς κατὰ νώτου γενησόμενοι. Λαβὼν οὖν ὁ νεανίας ἱππεῖς τε χιλίους τριακοσίους, ὧν οἱ χίλιοι παρὰ Καίσαρος ἦσαν, καὶ

Digitized by Google

τοξότας πεντακοσίους, καὶ τῶν ἔγγιστα θυρεοφόρων ὀκτὼ σπείρας, περιήγαγεν εἰς ἐμβολήν. Τῶν δὲ Πάρθων οἱ περιελαύνοντες, εἴτε τέλμασιν ἐντυχόντες, ὡς ἔνιοί φασιν, εἴτε λαβεῖν τὸν Κράσσον ἀπωτάτω τοῦ πατρὸς στρατηγοῦντες, ὀπίσω στρέψαντες ἐδίωκον. Ὁ δὲ βοήσας, ὡς οὐ μένουσιν οἱ ἄνδρες, ἤλαυνε, καὶ σὺν αὐτῷ Κηνσωρῖνός τε καὶ Μεγάβακχος, ὁ μὲν εὐψυχίᾳ καὶ ῥώμῃ διαφέρων, Κηνσωρῖνος δὲ βουλευτικὸν ἔχων ἀξίωμα, καὶ δεινὸς εἰπεῖν, ἑταῖροι δὲ Κράσσου, καὶ παραπλήσιοι καθ' ἡλικίαν. Ἐπισπομένων δὲ τῶν ἱππέων, οὐδὲ τὸ πεζὸν ἀπελείπετο προθυμίᾳ καὶ χαρᾷ τῆς ἐλπίδος. Νικᾶν γὰρ ᾤοντο καὶ διώκειν, ἄχρις οὗ πολὺ προελθόντες ᾐσθοντο τὴν ἀπάτην, μεταβαλλομένων ἅμα τῶν φεύγειν δοκούντων, καὶ πλειόνων ἄλλων ἐπιφερομένων. Ἐνταῦθα ἔστησαν, οἰόμενοι συνάψειν αὐτοῖς εἰς χεῖρας, ὀλίγοις οὖσι, τοὺς πολεμίους. Οἱ δὲ, τοὺς καταφράκτους προτάξαντες ἐναντίους τοῖς Ῥωμαίοις, τὴν δ' ἄλλην ἵππον ἄτακτον περὶ αὐτοὺς ἐλαύνοντες, καὶ συνταράττοντες τὸ πεδίον, ἀνίστασαν ἐκ βυθοῦ θῖνας ἄμμου, κονιορτὸν ἐπαγούσας ἄπλετον, ὡς μήτε διορᾶν ῥᾳδίως, μήτε φθέγγεσθαι τοὺς Ῥωμαίους, εἱλουμένους δ' ἐν ὀλίγῳ καὶ συμπίπτοντας ἀλλήλοις, βάλλεσθαι καὶ ἀποθνήσκειν οὐ ῥᾴδιον, οὐδ' ὀξὺν θάνατον, ἀλλ' ὑπὸ σπασμοῦ καὶ ὀδύνης δυσαναπνοοῦντας, καὶ κυλινδομένους περὶ τοῖς ὀϊστοῖς, ἐναποθραύειν τοῖς τραύμασι, βίᾳ τε πειρωμένους ἐξέλκειν ἠγκιστρωμένας ἀκίδας, καὶ δεδυκυίας διὰ

Digitized by Google

φλεβῶν καὶ νεύρων, προσαναῤῥηγνύναι καὶ λυμαίνεσθαι σφᾶς αὐτούς. Οὕτω δὲ πολλῶν ἀποθνησκόντων, ἄπρακτοι καὶ οἱ ζῶντες ἦσαν πρὸς ἀλκήν· καὶ τοῦ Ποπλίου παρακαλοῦντος ἐμβαλεῖν εἰς τὴν κατάφρακτον, ἐπεδείκνυσαν ἑαυτῶν χεῖράς τε θυρεοῖς συμπεπερονημένας, καὶ πόδας διαμπὰξ προσεληλαμένους πρὸς τοὔδαφος, ὥστε καὶ πρὸς φυγὴν ἀμηχάνους εἶναι, καὶ πρὸς ἄμυναν. Αὐτὸς οὖν τοὺς ἱππεῖς παρορμήσας, προσέβαλε μὲν ἐῤῥωμένως, καὶ συνῆψε τοῖς ἀνδράσιν· ἦν δ' ἄνισος ἔν τε ταῖς πληγαῖς, καὶ τῷ φυλάττεσθαι, παίων μὲν ἀσθενέσι καὶ μικροῖς δορατίοις θώρακας ὠμοβύρσους καὶ σιδηροῦς, παιόμενος δὲ κοντοῖς εἰς εὐσταλῆ καὶ γυμνὰ σώματα τῶν Γαλατῶν. Τούτοις γὰρ ἐθάῤῥει μάλιστα, καὶ μετὰ τούτων ἔργα θαυμαστὰ διεπράττετο. Τῶν τε γὰρ κοντῶν ἐπελαμβάνοντο, καὶ συμπλεκόμενοι τοὺς ἄνδρας ἀπὸ τῶν ἵππων ἐώθουν, τῇ βαρύτητι τοῦ ὁπλισμοῦ δυσκινήτους ὄντας. Πολλοὶ δὲ τοὺς ἑαυτῶν ἀπολείποντες ἵππους, καὶ ὑποδυόμενοι τοῖς ἐκείνων, ἔτυπτον εἰς τὰς γαστέρας· οἱ δ' ἀνεσκίρτων ὑπ' ὀδύνης, καὶ συμπατοῦντες ἐν ταὐτῷ τοὺς ἐπιβάτας καὶ τοὺς πολεμίους ἀναπεφυρμένους ἀπέθνησκον. Ἐπίεζε δὲ τοὺς Γαλάτας μάλιστα τό τε θάλπος καὶ τὸ δίψος, ἀμφοτέρων ἀήθεις ὄντας· καὶ τῶν ἵππων ἀπολώλεισαν οἱ πλεῖστοι, πρὸς ἐναντίους ἐλαυνόμενοι τοὺς κοντούς. Ἐβιάσθησαν οὖν ἀναχωρῆσαι πρὸς τοὺς ὁπλίτας, ἔχοντες τὸν Πόπλιον ὑπὸ τραυμάτων ἤδη κακῶς διακείμενον. Ἰδόντες δὲ θῆνα

Digitized by Google

βουνώδη πλησίον, ἐχώρουν ἐπ' αὐτήν, καὶ τοὺς μὲν ἵππους ἐν μέσῳ κατέδησαν, ἔξωθεν δὲ τοῖς θυρεοῖς συγκλείσαντες, ᾤοντο ῥᾴον ἀμυνεῖσθαι τοὺς βαρβάρους. Ἀπέβαινε δὲ τοὐναντίον. Ἐν μὲν γὰρ τῷ ὁμαλῷ τοῖς ὄπισθεν ἀμωσγέπως παρέχουσιν οἱ πρότακτοι ῥᾳστώνην· ἐκεῖ δ' ἄλλον ὑπὲρ ἄλλον διὰ τὴν ἀνωμαλίαν ἀνέχοντος τοῦ χωρίου, καὶ μᾶλλον ἀεὶ τὸν κατόπιν ἐξαίρονιος, οὐκ ἐδύναντο διαφεύγειν, ἀλλ' ἐβάλλοντο πάντες ὁμαλῶς, ὀδυρόμενοι τὴν ἀκλεῆ καὶ ἄπρακτον αὑτῶν τελευτήν. Ἦσαν δὲ περὶ τὸν Πόπλιον ἄνδρες Ἕλληνες δύο τῶν αὐτόθι κατοικούντων ἐν Κάρραις, Ἱερώνυμος καὶ Νικόμαχος· οἳ συνέπειθον αὐτὸν ὑπεξελθεῖν μετ' αὐτῶν, καὶ διαφεύγειν εἰς Ἴχνας, πόλιν ἠρημένην τὰ Ῥωμαίων, καὶ οὐ μακρὰν οὖσαν. Ὁ δὲ φήσας οὐδένα δεινὸν οὕτως ἔσεσθαι θάνατον, ὃν φοβηθεὶς Πόπλιος ἀπολείψει τοὺς ἀπολλυμένους δι' αὐτὸν, ἐκείνους μὲν ἐκέλευσε σώζεσθαι, καὶ δεξιωσάμενος ἀπέλυσεν· αὐτὸς δὲ, τῇ χειρὶ χρήσασθαι μὴ δυνάμενος (διελήλατο γὰρ βέλει), τὸν ὑπασπιστὴν ἐκέλευσε πατάξαι τῷ ξίφει, παρασχὼν τὸ πλευρόν. Ὁμοίως δὲ καὶ Κηνσωρῖνον ἀποθανεῖν λέγουσι. Μεγάβακχος δ' αὐτὸν διεχρήσατο, καὶ τῶν ἄλλων οἱ δοκιμώτατοι. Τοὺς δ' ὑπολελειμμένους ἀναβαίνοντες οἱ Πάρθοι τοῖς κοντοῖς διήλαυνον μαχομένους. Ζῶντας δ' οὐ πλείονας ἁλῶναί φασι πεντακοσίων. Τὰς δὲ κεφαλὰς τῶν περὶ τὸν Πόπλιον ἀποκείραντες, ἤλαυνον. εὐθὺς ἐπὶ τὸν Κράσσον.

Digitized by Google

XXVI. Εἶχε δὲ τὰ κατ' αὐτὸν οὕτως. Ὡς ἐκέλευσε τὸν υἱὸν ἐμβαλεῖν τοῖς Πάρθοις, καί τις ἤγγειλεν αὐτῷ μακρὰν τροπὴν εἶναι καὶ δίωξιν ἰσχυρὰν τῶν πολεμίων, ἑώρα δὲ καὶ τοῖς καθ' αὑτὸν οὐκέτι προσκειμένους ὁμοίως, (ἐκεῖ γὰρ ἐρρύησαν οἱ πλεῖστοι) μικρὸν ἀνεθάρρησε, καὶ συναγαγὼν ὑπέστειλεν ἐν χωρίοις προσάντεσι τὸν στρατὸν, αὐτίκα προσδοκῶν τὸν υἱὸν ἐπανήξειν ἀπὸ τῆς διώξεως. Τῶν δὲ πεμφθέντων ὑπὸ τοῦ Ποπλίου πρὸς αὐτὸν, ὡς ἐκινδύνευεν, οἱ μὲν πρῶτοι διεφθάρησαν, ἐμπεσόντες εἰς τοὺς βαρβάρους, οἱ δ' ὕστεροι, μόγις διαφυγόντες, ἀπήγγελλον οἴχεσθαι τὸν Πόπλιον, εἰ μὴ ταχεῖα καὶ πολλὴ βοήθεια παρ' ἐκείνου γένοιτο. Τὸν δὲ Κράσσον ἅμα πολλὰ πάθη κατέσχε· καὶ λογισμῷ μὲν οὐδὲν ἔτι τῶν πραγμάτων ἑώρα, φόβῳ δὲ περὶ τοῦ σύμπαντος ἅμα, καὶ πόθῳ τοῦ παιδὸς ἑλκόμενος βοηθεῖν, τέλος ὥρμησε προάγειν τὴν δύναμιν. Ἐν τούτῳ δ' οἱ πολέμιοι προσεφέροντο, κλαγγῇ καὶ παιᾶνι φοβερώτεροι, καὶ πολλὰ τῶν τυμπάνων αὖθις περιεμυκᾶτο τοὺς Ῥωμαίους, ἑτέρας μάχης ἀρχὴν προσδοκῶντας. Οἱ δὲ τὴν κεφαλὴν τοῦ Ποπλίου κομίζοντες ὑπὲρ αἰχμῆς ἀναπεπηγυῖαν, ἐγγὺς προσελάσαντες ἀνέδειξαν, ὕβρει πυνθανόμενοι τοκέας αὐτοῦ καὶ γένος. Οὐ γὰρ δὴ πρέπειν γε Κράσσου πατρὸς ἀνανδροτάτου καὶ κακίστου γενναῖον οὕτω παῖδα καὶ λαμπρὸν ἀρετῇ γενέσθαι. Τοῦτο τὸ θέαμα Ῥωμαίων ὑπὲρ ἅπαντα τἄλλα δεινὰ τὰς ψυχὰς κατέκλασε καὶ παρέλυσεν, οὐ θυμοῦ πρὸς ἄμυ-

Digitized by Google

ναν ὥσπερ ἦν εἰκός, ἀλλὰ φρίκης καὶ τρόμου πᾶσιν ἐγγενομένου. Καίτοι τόν γε Κράσσον αὐτοῦ λαμπρότατον ἐν τῷ τότε πάθει φανῆναι λέγουσιν· ἐβόα γὰρ ἐπιὼν τὰς τάξεις· „Ἐμόν, ὦ Ῥωμαῖοι, τοῦτο τὸ πένθος ἴδιόν ἐστιν· ἡ δὲ μεγάλη τύχη καὶ δόξα τῆς Ῥώμης ἐν ὑμῖν ἕστηκε σωζομένοις ἄθραυστος καὶ ἀήττητος. Εἰ δὲ καὶ ἐμοῦ τις οἶκτος ἀφῃρημένου παῖδα πάντων ἄριστον, ἐπιδείξασθε τοῦτ' ὀργῇ πρὸς τοὺς πολεμίους. Ἀφέλεσθε τὴν χαρὰν αὐτῶν· τιμωρήσασθε τὴν ὠμότητα. Μὴ καταπλαγῆτε τοῖς γεγενημένοις, εἰ δεῖ τι καὶ παθεῖν μεγάλων ἐφιεμένους. Οὐδὲ Λούκουλλος Τιγράνην ἀναιμωτὶ καθεῖλεν, οὐδὲ Σκιπίων Ἀντίοχον. Χιλίας δὲ ναῦς οἱ παλαιοὶ περὶ Σικελίαν ἀπώλεσαν, ἐν δ' Ἰταλίᾳ πολλοὺς αὐτοκράτορας καὶ στρατηγούς· ὧν οὐδεὶς προηττηθεὶς ἐκώλυσεν αὐτοὺς κρατῆσαι τῶν νενικηκότων. Οὐ γὰρ εὐτυχίᾳ τὰ Ῥωμαίων, ἀλλὰ τλημοσύνῃ καὶ ἀρετῇ πρὸς τὰ δεινὰ χωραύντων εἰς τοῦτο προῆλθε δυνάμεως."

XXVII. Τοιαῦτα λέγων καὶ παραθαρσύνων ὁ Κράσσος, οὐ πολλοὺς ἑώρα προθύμως ὑπακούοντας, ἀλλὰ καὶ συναλαλάξαι κελεύσας, ἤλεγξε τοῦ στρατοῦ τὴν κατήφειαν. Οὕτως ἀσθενῆ καὶ ὀλίγην καὶ ἀνώμαλον κραυγὴν ἐποιήσαντο· ἡ δὲ παρὰ τῶν βαρβάρων λαμπρὰ καὶ θρασεῖα κατεῖχε. Τραπομένων δὲ πρὸς ἔργον, οἱ μὲν ἱπποτοξόται πλάγιοι περιελαύνοντες ἐτόξευον· αὐτοὶ δὲ τοῖς κοντοῖς οἱ πρότακτοι χρώμενοι συνέστελλον εἰς ὀλίγον τοὺς Ῥωμαίους, πλὴν ὅσοι

Digitized by Google

τὸν ἀπὸ τῶν τοξευμάτων φεύγοντες θάνατον, ἀπετόλμων παραβόλως εἰς αὐτοὺς φέρεσθαι, μικρὰ μὲν βλάπτοντες, ὀξέως δὲ θνήσκοντες ὑπὸ τραυμάτων μεγάλων καὶ καιρίων, παχὺν ἐπωθοῦντων τῷ σιδήρῳ τὸν κοντὸν εἰς τοὺς ἵππεῖς, πολλάκις δὲ καὶ διὰ δυοῖν ἀνδρῶν ὑπὸ ῥύμης διαπορευόμενον. Οὕτω διαγωνισάμενοι, νυκτὸς ἐπιούσης ἀπηλλάγησαν, εἰπόντες, ὅτι Κράσσῳ χαρίζονται νύκτα μίαν ἀποθρηνῆσαι τὸν υἱόν, ἢν ἄρα μὴ, βέλτιον ὑπὲρ ἑαυτοῦ σκεψάμενος, ἐλθεῖν μᾶλλον ἐθελήσῃ πρὸς Ἀρσάκην, ἢ κομισθῆναι. Οὗτοι μὲν οὖν ἐπαυλισάμενοι πλησίον, ἐν ἐλπίσι μεγάλαις ἦσαν· νὺξ δὲ χαλεπὴ τοὺς Ῥωμαίους κατελάμβανεν, οὔτε ταφῆς τῶν κειμένων, οὔτε θεραπείας τῶν τετρωμένων καὶ ψυχορραγούντων ποιουμένους λόγον, ἑκάστου δ' αὑτὸν ἀποκλαίοντος. Ἄφυκτα γὰρ ἐφαίνετο, τήν τε ἡμέραν αὐτοῦ προσμείνασι, καὶ νύκτωρ εἰς πεδίον ἄχανὲς ἐμβαλοῦσιν. Οἵ τε τραυματίαι πολλὴν ἀπορίαν παρεῖχον καὶ κομίζειν, ἐμποδὼν τῷ τάχει τῆς φυγῆς ἐσόμενοι, καὶ ἀπολείπειν, βοῇ τὴν ἀπόδρασιν ἐξαγγελοῦντες. Τοῦ δὲ Κράσσου, καίπερ αἴτιον ἁπάντων νομίζοντες, ἐπόθουν ὅμως τήν τ' ὄψιν καὶ τὴν φωνήν. Ὁ δὲ, καθ' ἑαυτὸν ἐγκεκαλυμμένος, ὑπὸ σκότους ἔκειτο, παράδειγμα τοῖς πολλοῖς τύχης, τοῖς δ' εὖ φρονοῦσιν ἀβουλίας καὶ φιλοτιμίας· δι' ἣν οὐκ ἠγάπα μὴ πρῶτος ὢν καὶ μέγιστος ἐν μυριάσιν ἀνθρώπων τοσαύταις, ἀλλ' ὅτι δυεῖν μόνον ἀνδρῶν ὕστερος ἐκρίνετο, τοῦ παντὸς ἀποδεῖν νομίζων. Τότε δ' οὖν

Digitized by Google

αὐτὸν Ὀκταουιος ὁ πρεσβευτὴς και Κασσιος ἀνίστασαν καὶ παρεθάῤῥυνον. Ὡς δ' ἀπηγορεύκει παντάπασιν, αὐτοὶ συγκαλέσαντες ἑκατοντάρχας καὶ λοχαγοὺς, ὡς ἔδοξε βουλευομένοις μὴ μένειν, ἀνίστασαν τὸν στρατὸν ἄνευ σάλπιγγος, καὶ δι' ἡσυχίας τὸ πρῶτον· εἶτ' αἰσθομένων, ὡς ἀπελείποντο; τῶν ἀδυνάτων, ἀκοσμία δεινὴ καὶ σύγχυσις μετ' οἰμωγῆς καὶ βοῆς τὸ στρατόπεδον κατεῖχεν. Ἐκ τούτου δὲ ταραχὴ καὶ πτοία προϊόντας αὐτοὺς ὑπελάμβανεν, ὡς ἐπιφερομένων τῶν πολεμίων. Καὶ πολλάκις μὲν ἐκτρεπόμενοι, πολλάκις δ' εἰς τάξιν καθιστάμενοι, τῶν δὲ τραυματιῶν ὅσοι παρηκολούθουν, τοὺς μὲν ἀναλαμβάνοντες, τοὺς δ' ἀποτιθέμενοι, διατριβὴν εἶχον, πλὴν τριακοσίων ἱππέων, οὓς Ἰγνάτιος ἔχων προσέμιξε τοῖς Κάῤῥαις περὶ μέσας νύκτας. Φθεγξάμενος δὲ Ῥωμαϊστὶ τοῖς τειχοφυλακοῦσιν, ὡς ὑπήκουσαν, ἐκέλευσε Κοπωνίῳ τῷ ἄρχοντι φράζειν, ὅτι γέγονε μάχη μεγάλη Κράσσῳ πρὸς Πάρθους. Ἄλλο δ' οὐδὲν εἰπὼν, οὐδ' αὐτὸν ὅστις ἦν, ἀπήλαυνεν ἐπὶ τὸ Ζεῦγμα, καὶ διέσωσε μὲν τοὺς σὺν αὐτῷ, κακῶς δ' ἤκουσε, καταλιπὼν τὸν στρατηγόν. Οὐ μὴν ἀλλ' ὤνησέ γε τὸν Κράσσον ἡ προσριφεῖσα τότε τῷ Κοπωνίῳ φωνή· συμφρονήσας γὰρ, ὅτι οὐδὲν χρηστὸν ἀγγέλλειν ἔχοντος ἐστὶ τὸ τάχος καὶ τὸ συγκεχυμένον τοῦ λόγου, παρήγγειλεν εὐθὺς ἐξαπλίζεσθαι τοὺς στρατιώτας· καὶ ἅμα τῷ πρῶτον αἰσθέσθαι τὸν Κράσσον ἐν ὁδῷ γεγενημένον, ἀπαντήσας, ἀνελάμβανε καὶ παρέπεμπε τὴν στρατιὰν εἰς τὴν πόλιν.

Digitized by Google

XXVIII. Οἱ δὲ Πάρθοι, νυκτὸς μὲν αἰσθόμενοι τὴν ἀπόδρασιν, οὐκ ἐδίωκον, ἅμα δ' ἡμέρᾳ, τοὺς μὲν ἐν τῷ στρατοπέδῳ καταλειφθέντας, οὐ μείους τετρακισχιλίων, ἐπελθόντες ἀπέσφαξαν· ἐν δέ τῷ πεδίῳ πλανωμένους πολλοὺς ἱππασάμενοι συνέλαβον. Τέσσαρας δ' ὁμοῦ σπείρας ἔτι νυκτὸς ἀπέρρηξε Βαργοντῖνος ὁ πρεσβευτὴς, ἐκπεσούσας τῆς ὁδοῦ· ἃς περισχόντες ἔν τινι λόφῳ, διέφθειραν ἀμυνομένας, πλὴν ἀνδρῶν εἴκοσι. Τούτους δὲ γυμνοῖς τοῖς ξίφεσιν ὠθουμένους δι' αὐτῶν θαυμάσαντες, εἶξαν, καὶ διέξοδον ἀπιοῦσι βάδην εἰς τὰς Κάρρας ἐδίδοσαν. Τῷ δὲ Σουρήνᾳ προσέπεσε ψευδὴς λόγος, ἐκπεφευγέναι Κράσσον μετὰ τῶν ἀρίστων· τὸν δ' εἰς Κάρρας συνερρυηκότα ὄχλον εἶναι σύμμικτον οὐκ ἀξίων σπουδῆς ἀνθρώπων. Οἰόμενος οὖν ἀποβεβληκέναι τὸ τῆς νίκης τέλος, ἔτι δ' ἀμφιδοξῶν, καὶ μαθεῖν βουλόμενος τἀληθές, ὅπως ἢ προσμένων ἐνταῦθα πολιορκοίη, ἢ Κράσσον διώκοι, χαίρειν ἐάσας Καρρήνους, ὑποπέμπει τινὰ τῶν παρ' αὐτῷ διγλώττων πρὸς τὰ τείχη, κελεύσας ἱέντα Ῥωμαϊκὴν διάλεκτον καλεῖν Κράσσον αὐτὸν, ἢ Κάσσιον, ὡς Σουρήνα διὰ λόγων ἐθέλοντος αὐτοῖς συγγενέσθαι. Ταῦτα τοῦ διγλώττου φράσαντος, ὡς ἀπηγγέλη τοῖς περὶ Κράσσον, ἐδέχοντο τὰς προκλήσεις, καὶ μετὰ μικρὸν ἦκον ἀπὸ τῶν βαρβάρων Ἄραβες, οἳ Κράσσον εὖ καὶ Κάσσιον ἀπ' ὄψεως ἐγνώριζον, ἐν τῷ στρατοπέδῳ πρὸ τῆς μάχης γεγονότες. Οὗτοι τὸν Κάσσιον ἰδόντες ἀπὸ τοῦ τείχους, ἔλεγον, ὅτι Σου

Digitized by Google

ρήνας σπένδεται, καὶ δίδωσιν αὐτοῖς φίλοις οὖσι βασιλέως σώζεσθαι, Μεσοποταμίαν ἐκλιποῦσι· τοῦτο γὰρ ὁρᾶν λυσιτελὲς ἀμφοτέροις πρὸ τῆς ἐσχάτης ἀνάγκης. Δεξαμένου δὲ τοῦ Κασσίου, καὶ τόπον ὁρισθῆναι καὶ χρόνον ἀξιοῦντος, ἐν ᾧ συνίασι Σουρήνας καὶ Κράσσος, οὕτω φάμενοι ποιήσειν, ἀπήλαυνον.

XXIX. Ἡσθεὶς οὖν ὁ Σουρήνας ἐπὶ τῷ τοὺς ἄνδρας ἐνέχεσθαι τῇ πολιορκίᾳ, μεθ' ἡμέραν ἐπῆγε τοὺς Πάρθους, πολλὰ καθυβρίζοντας, καὶ κελεύοντας, εἰ βούλονται τυχεῖν σπονδῶν Ῥωμαῖοι, Κράσσον ἐγχειρίσαι σφίσι καὶ Κάσσιον δεδεμένους. Οἱ δ' ἤχθοντο μὲν ἠπατημένοι, μακρὰς δὲ καὶ κενὰς τὰς ἀπ' Ἀρμενίων ἐλπίδας καταβάλλειν τῷ Κράσσῳ φράσαντες, εἶχοντο δρασμοῦ· καὶ τοῦτ' ἔδει μηδένα πρὸ καιροῦ Καῤῥηνῶν πυθέσθαι. Πυνθάνεται δ' ὁ πάντων ἀπιστότατος Ἀνδρόμαχος, ὑπὸ Κράσσου καὶ τοῦτο πιστευθείς, καὶ τῆς ὁδοῦ τὴν ἡγεμονίαν. Οὐδὲν οὖν ἔλαθε τοὺς Πάρθους, ἐξαγγέλλοντες τοῦ Ἀνδρομάχου καθ' ἕκαστον. Ἐπεὶ δὲ νυκτομαχεῖν οὐ πάτριον αὐτοῖς ἐστιν, οὐδὲ ῥᾴδιον, ἐξῆει δὲ νύκτωρ ὁ Κράσσος, ὅπως μὴ καθυστερήσωσι πολὺ τῇ διώξει, στρατηγῶν ὁ Ἀνδράμαχος, ἄλλοτε ἄλλας ὁδοὺς ὑφηγεῖτο, καὶ τέλος ἐξέτρεψεν εἰς ἕλη βαθέα καὶ χωρία τάφρων μεστὰ τὴν πορείαν, χαλεπὴν καὶ πολυπλανῆ γενομένην τοῖς ἑπισπομένοις. Ἐγένοντο γάρ τινες, οἳ, μηδὲν ὑγιὲς τὸν Ἀνδράμαχον στρέφειν καὶ περιελίττειν εἰκάσαντες, οὐκ ἠκολούθησαν. Ἀλ-

Digitized by Google

λὰ Κάσσιος μὲν ἐπανῆλθεν εἰς Κάρρας πάλιν· καὶ τῶν ὁδηγῶν (Ἄραβες δ' ἦσαν) ἀναμένειν κελευόντων, ἄχρις ἂν ἡ σελήνη παραλλάξῃ τὸν σκορπίον, Ἀλλ' ἔγωγ', εἰπὼν, ἔτι τούτου μᾶλλον φοβοῦμαι τὸν τοξότην, ἀπήλαυνεν εἰς Ἀσσυρίαν μεθ' ἱππέων πεντακοσίων. Ἄλλοι δὲ, χρησάμενοι πιστοῖς ὁδηγοῖς, ἐλάβοντο χωρίων ὀρεινῶν, ἃ καλεῖται Σίννακα, καὶ κατέστησαν ἐν ἀσφαλεῖ πρὸ ἡμέρας. Οὗτοι περὶ πεντακισχιλίους ἦσαν· ἡγεῖτο δ' αὐτῶν ἀνὴρ ἀγαθὸς Ὀκταούϊος. Τὸν δὲ Κράσσον ἡμέρα κατελάμβανεν ἐπιβουλευόμενον ὑπ' Ἀνδρομάχου περὶ τὰς δυσχωρίας καὶ τὸ ἕλος. Ἦσαν δὲ τέσσαρες σπεῖραι σὺν αὐτῷ θυρεοφόρων, ἱππεῖς δὲ παντελῶς ὀλίγοι, καὶ πέντε ῥαβδοῦχοι· μεθ' ὧν ἐπιπόνως εἰς τὴν ὁδὸν καὶ μόλις καταστὰς, ἤδη τῶν πολεμίων ἐπικειμένων, ὅσον δώδεκα σταδίους ἀπολιπὼν τοῦ συμμίξαι τοῖς περὶ τὸν Ὀκταούϊον, ἐπ' ἄλλον ἀναφεύγει λόφον, οὐχ οὕτω μὲν ἄφιππον, οὐδ' ὀχυρὸν, ὑποκείμενον δὲ τοῖς Σιννάκοις καὶ συνηρτημένον αὐχένι μακρῷ διὰ μέσου κατατείνοντι τοῦ πεδίου πρὸς τοῦτον. Ἦν οὖν ἐν ὄψει τοῖς περὶ τὸν Ὀκταούϊον ὁ κίνδυνος αὐτοῦ. Καὶ πρῶτος Ὀκταούϊος ἔθει μετ' ὀλίγων ἄνωθεν ἐπιβοηθῶν· εἶτα οἱ λοιποὶ κακίσαντες ἑαυτοὺς ἐπεφέροντο, καὶ προσπεσόντες καὶ ὠσάμενοι τοὺς πολεμίους ἀπὸ τοῦ λόφου, περιέσχον ἐν μέσῳ τὸν Κράσσον, καὶ προὐβάλλοντο τοὺς θυρεοὺς, μεγαληγοροῦντες, ὡς οὐκ ἔστι Πάρθοις βέλος, ὃ προσπεσεῖται τῷ σώματι τοῦ αὐτοκράτορος, πρὶν ἢ σφᾶς ἅπαντας ὑπὲρ αὐτοῦ μαχομένους ἀποθανεῖν.

Digitized by Google

XXX. Ὁρῶν οὖν ὁ Σουρήνας τούς τε Πάρθους ἀμβλύτερον ἤδη κινδυνεύοντας, καὶ ἣν ἡ τε νὺξ ἐπίσχῃ, καὶ τῶν ὁρῶν οἱ Ῥωμαῖοι λάβωνται, παντάπασιν αὐτοὺς ἐσομένους ἀλήπτους, ἐπῆγε τῷ Κράσσῳ δόλον. Ἀφείθησαν μὲν γὰρ ἔνιοι τῶν αἰχμαλώτων, ἀκηκοότες ἐν τῷ στρατοπέδῳ τῶν βαρβάρων πρὸς ἀλλήλους ἐπίτηδες διαλεγομένων, ὡς οὐ βούλεται βασιλεὺς ἄσπονδον αὐτῷ τὸν πόλεμον εἶναι πρὸς Ῥωμαίους, τὴν δὲ φιλίαν ἀναλαβεῖν χάριτι, Κράσσῳ χρησάμενος φιλανθρώπως. Ἔσχοντο δὴ μάχης οἱ βάρβαροι, Σουρήνας δὲ μετὰ τῶν ἀρίστων προσελάσας ἀτρέμα τῷ λόφῳ, τοῦ μὲν τόξου τὸν τόνον ἀνῆκε, τὴν δὲ δεξιὰν προὔτεινε. Καλεῖ δὲ τὸν Κράσσον ἐπὶ συμβάσεις, εἰπών, ὅτι τῆς μὲν ἀνδρείας καὶ δυνάμεως ἄκοντος πεπείραται βασιλέως, πραότητα δ' αὐτοῖς καὶ φιλοφροσύνην ἐκὼν ἐπιδείκνυται, σπενδόμενος ἀπιοῦσι καὶ παρέχων σώζεσθαι. Ταῦτα τοῦ Συρήνα λέγοντος, οἱ μὲν ἄλλοι προθύμως ἐδέξαντο, καὶ περιχαρεῖς ἦσαν· ὁ δὲ Κράσσος, οὐδὲν ὅ τι μὴ δι' ἀπάτης ἐσφαλμένος ὑπ' αὐτῶν, καὶ τὸ αἰφνίδιον τῆς μεταβολῆς ἄλογον ἡγούμενος, οὐχ ὑπήκουεν, ἀλλ' ἐβουλεύετο. Τῶν δὲ στρατιωτῶν βοώντων καὶ κελευόντων, εἶτα λοιδορούντων καὶ κακιζόντων, ὡς προβάλλοντα μαχουμένους αὐτούς, οἷς αὐτὺς ἀνόπλοις εἰς λόγους οὐ θαρρεῖ συνελθεῖν, πρῶτον μὲν ἐπειρᾶτο δεῖσθαι, καὶ λέγειν, ὅτι τὸ λειπόμενον μέρος τῆς ἡμέρας διακαρτερήσαντες ἐν τοῖς ὀρεινοῖς καὶ τραχέσι δύνανται διὰ νυκτὸς ἰέναι,

Digitized by Google

καὶ τὴν ὁδὸν ἐνδείκυε, καὶ παρεκάλει τὴν ἐλπίδα μὴ προέσθαι τῆς σωτηρίας ἐγγὺς οὔσης. Ὡς δὲ χαλεπαίνοντες αὐτῷ, καὶ τὰ ὅπλα κρούοντες ἠπείλουν, φοβηθεὶς ἐχώρει· καὶ τοσοῦτον εἶπε μεταστραφείς· „Ὀκταούϊε καὶ Πετρώνιε, καὶ ὅσοι πάρεστε Ῥωμαίων ἄρχοντες, ὑμεῖς ὁρᾶτε τῆς ἐμῆς ὁδοῦ τὴν ἀνάγκην, καὶ σύνιστε παρόντες, ὡς αἰσχρὰ πάσχω καὶ βίαια. Τοῖς δ' ἄλλοις ἅπασιν ἀνθρώποις λέγετε σωθέντες, ὡς Κράσσος ἀπατηθεὶς ὑπὸ τῶν πολεμίων, οὐκ ἐκδοθεὶς ὑπὸ τῶν πολιτῶν ἀπώλετο."

XXXI. Οὐ μὴν ἔμειναν οἱ περὶ τὸν Ὀκταούϊον, ἀλλὰ συγκατέβαινον ἀπὸ τοῦ λόφου. Τοὺς δὲ ῥαβδούχους ἑπομένους ὁ Κράσσος ἀπήλλαξε. Πρῶτοι δὲ τῶν βαρβάρων ἀπήντησαν αὐτῷ δύο μιξέλληνες· οἳ καὶ προσεκύνησαν τὸν Κράσσον ἀπὸ τῶν ἵππων ἁλόμενοι, καὶ προσαγορεύσαντες ἑλλάδι φωνῇ, παρεκάλουν προπέμψαι τινὰς, οἷς ἐπιδείξεται Σουρήνας ἑαυτὸν καὶ τοὺς περὶ αὐτὸν ἀνόπλους καὶ ἀσιδήρους προσερχομένους. Ὁ δὲ Κράσσος ἀπεκρίνατο μὲν, ὡς, εἰ καὶ τὸν ἐλάχιστον εἶχε τοῦ ζῆν λόγον, οὐκ ἂν εἰς χεῖρας αὐτοῖς ἦλθε· δύο δὲ Ῥωσκίους ἀδελφοὺς ἔπεμψε πευσομένους, ἐπὶ τίσι καὶ πόσοι συνίασιν. Οὓς εὐθὺς συλλαβὼν ὁ Σουρήνας κατέσχεν, αὐτὸς δὲ μετὰ τῶν ἀρίστων ἱππότης προσῄει, καὶ, Τί τοῦτ', ἔφη, πεζὸς ὁ Ῥωμαίων αὐτοκράτωρ, ἡμεῖς δ' ὀχούμεθα; καὶ προσαγαγεῖν ἐκέλευσεν ἵππον αὐτῷ. Τοῦ δὲ Κράσσου φήσαντος, οὔτ' αὐτὸν ἁμαρτάνειν, οὔτ' ἐκεῖνον, ὡς ἑκατέρῳ πάτριόν ἐστι τοι-

Digitized by Google

ουμένους τὴν σύνοδον· εἶναι μὲν αὐτόθεν ἔφη σπονδὰς καὶ εἰρήνην ὁ Σουρήνας Ῥωμαίοις τε βασιλεῖ καὶ Ῥωμαίοις, δεῖν δὲ γράψασθαι τὰς συνθήκας, ἐπὶ τὸν ποταμὸν προελθόντας. Οὐ γὰρ ὑμεῖς γ', ἔφη, πάνυ μνήμονες ὁμολογιῶν οἱ Ῥωμαῖοι. Καὶ προὔτεινε τὴν δεξιὰν αὐτῷ. Μεταπεμπομένου δὲ ἵππον, οὐδὲν ἔφη δεῖν· βασιλεὺς γάρ σοι δίδωσι τοῦτον. Ἅμα δ' ἵππος τῷ Κράσσῳ παρέστη χρυσοχάλινος, οἵ τ' ἀναβολεῖς αὐτὸν ἁράμενοι περιεβίβασαν, καὶ παρείποντο πληγῇ τὸν ἵππον ἐπιταχύνοντες. Ὀκταούϊος δὲ πρῶτος ἀντιλαμβάνεται τῶν χαλινῶν, καὶ μετ' ἐκεῖνον εἷς τῶν χιλιάρχων, Πετρώνιος, εἶτα οἱ λοιποὶ περιΐσταντο, τόν τε ἵππον ἀνακόπτειν πειρώμενοι, καὶ τοὺς πιέζοῦντας Κράσσον ἐξ ἑκατέρου μέρους ἀφέλκοντες. Ὠθισμοῦ δὲ γενομένου καὶ ταραχῆς, εἶτα πληγῶν, Ὀκταούϊος μέν, ἀνασπάσας τὸ ξίφος ἑνὸς τῶν βαρβάρων, κτείνει τὸν ἱπποκόμον· ἕτερος δὲ τὸν Ὀκταούϊον, ἐκ τῶν ὄπισθεν πατάξας. Πετρώνιος δὲ ὅπλου μὲν οὐκ εὐπόρησεν, εἰς δὲ τὸν θώρακα πληγεὶς, ἀπεπήδησεν ἀπὸ τοῦ ἵππου ἄτρωτος. Τὸν δὲ Κράσσον ὄνομα Πομαξαίθρης Πάρθος ἀπέκτεινεν. Οἱ δ' οὔ φασιν, ἀλλ' ἕτερον μὲν εἶναι τὸν ἀποκτείναντα· τοῦτον δὲ κειμένου τὴν κεφαλὴν ἀποκόψαι καὶ τὴν δεξιάν. Εἰκάζεται δὲ ταῦτα μᾶλλον, ἢ γινώσκεται. Τῶν γὰρ παρόντων οἱ μὲν ἐκεῖ μαχόμενοι περὶ τὸν Κράσσον ἀνῃρέθησαν, οἱ δ' εὐθὺς ἀνεπήδησαν ἐπὶ τὸν λόφον. Ἐπελθόντων δὲ τῶν Πάρθων, καὶ λεγόντων, ὅτι Κράσσος μὲν δίκην ἔδωκε, τοὺς δ' ἄλλους κελεύει Σουρήνας

Digitized by Google

κατιέναι θαῤῥοῦντας, οἱ μὲν ἐνεχείρισαν αὑτοὺς καταβάντες· οἱ δὲ τῆς νυκτὸς ἐσπάρησαν, καὶ τούτων ὀλίγοι παντάπασι διεσώθησαν. Τοὺς δ' ἄλλους ἐκθηρεύοντες οἱ Ἄραβες συνελάμβανον καὶ διέφθειρον. Λέγονται δ' οἱ πάντες, δισμύριοι μὲν ἀποθανεῖν, μύριοι δὲ ἁλῶναι ζῶντες.

XXXII. Ὁ δὲ Σουρήνας τὴν κεφαλὴν τοῦ Κράσσου καὶ τὴν χεῖρα πρὸς Ῥώδην ἔπεμψεν εἰς Ἀρμενίαν· αὐτὸς δὲ διαδοὺς λόγον ὑπ' ἀγγέλων εἰς Σελεύκειαν, ὡς ζῶντα Κράσσον ἄγοιτο, παρεσκευάζετο πομπήν τινα γελοίαν, ὕβρει προσαγορεύων θρίαμβον. Ὁ μὲν γὰρ ἐμφερέστατος Κράσσῳ τῶν αἰχμαλώτων, Γάϊος Πακκιανός, ἐσθῆτα βαρβαρικὴν γυναικὸς ἐνδὺς, καὶ διδαχθεὶς Κράσσος ὑπακούειν καὶ αὐτοκράτωρ τοῖς καλοῦσιν, ἐφ' ἵππου καθήμενος ἤγετο· πρὸ αὐτοῦ δὲ σαλπιγκταὶ καὶ ῥαβδοῦχοί τινες ὀχούμενοι καμήλοις ἤλαυνον. Ἐξήρτητο δὲ τῶν ῥάβδων βαλάντια, καὶ παρὰ τοὺς πελέκεις πρόσφατοι κεφαλαὶ Ῥωμαίων ἀποτετμημέναι. Κατόπιν δ' εἵποντο Σελευκιάδες ἑταῖραι μουσουργοὶ, πολλὰ βωμολόχα καὶ γελοῖα δι' ᾀσμάτων εἰς θηλύτητα καὶ ἀνανδρίαν τοῦ Κράσσου λέγουσαι. Ταῦτα μὲν οὖν πάντες ἐθεῶντο. Τὴν δὲ γερουσίαν τῶν Σελευκέων ἀθροίσας, εἰσήνεγκεν ἀπόλαστα βιβλία τῶν Ἀριστείδου Μιλησιακῶν, οὗτοι ταῦτά γε καταψευσάμενος. Εὑρέθη γὰρ ἐν τοῖς Ῥουστίου σκευοφόροις, καὶ παρέσχε τῷ Σουρήνᾳ καθυβρίσαι πολλὰ καὶ κατασκῶψαι τοὺς Ῥωμαίους, εἰ μηδὲ πολεμοῦντες ἀπέχεσθαι πραγμάτων καὶ γραμμάτων δύνανται τοιούτων. Τοῖς μέντοι

Digitized by Google

Σελευκέσιν ἐδόκει σοφὸς ἀνὴρ Αἴσωπος εἶναι, τὸν Σουρήναν ὁρῶσι τὴν μὲν τῶν Μιλησιακῶν ἀκολαστημάτων πήραν ἐξηρτημένον πρόσωθεν, ὄπισθεν δὲ Παρθικὴν Σύβαριν ἐφελκόμενον ἐν τοσαύταις παλλακίδων ἁμάξαις, τρόπον τινὰ ταῖς λεγομέναις ἐχίδναις καὶ σκυτάλαις ἀντιμόρφως, τὰ μὲν ἐμφανῆ καὶ πρόσθια μέρη, φοβερὰ καὶ θηριώδη, δόρασι καὶ τόξοις καὶ ἵπποις προβαλλομένην, κατ' οὐρὰν δὲ τῆς φάλαγγος εἰς πόρνας καὶ κρόταλα καὶ ψαλμοὺς καὶ παννυχίδας ἀκόλαστους μετὰ γυναικῶν τελευτῶσαν. Ψεκτὸς μὲν γὰρ ὁ Ῥούστιος· ἀναιδεῖς δὲ Πάρθοι τὰ Μιλησιακὰ ψέγοντες, ὧν πολλοὶ βεβασιλεύκασιν ἐκ Μιλησίων καὶ Ἰωνίδων ἑταιρῶν γεγονότες Ἀρσακίδαι.

XXXIII. Τούτων δὲ πραττομένων, Ῥώδης ἐτύγχανεν ἤδη διηλλαγμένος Ἀρταουάσδῃ τῷ Ἀρμενίῳ, καὶ τὴν ἀδελφὴν αὐτοῦ γυναῖκα Πακόρῳ τῷ παιδὶ καθωμολογημένος· ἑστιάσεις τε καὶ πότοι δι' ἀλλήλων ἦσαν αὐτοῖς, καὶ πολλὰ παρεισήγετο τῶν ἀπὸ τῆς Ἑλλάδος ἀκουσμάτων. Ἦν γὰρ οὔτε φωνῆς, οὔτε γραμμάτων Ῥώδης Ἑλληνικῶν ἄπειρος. Ὁ δ' Ἀρταουάσδης καὶ τραγῳδίας ἐποίει, καὶ λόγους ἔγραφε καὶ ἱστορίας, ὧν ἔνιαι διασώζονται. Τῆς δὲ κεφαλῆς τοῦ Κράσσου κομισθείσης ἐπὶ θύρας, ἐπῃρμέναι μὲν ἦσαν αἱ τράπεζαι· τραγῳδιῶν δὲ ὑποκριτὴς, Ἰάσων ὄνομα, Τραλλιανὸς, ἦδεν Εὐριπίδου Βακχῶν τὰ περὶ τὴν Ἀγαύην. Εὐδοκιμοῦντος δ' αὐτοῦ, Σιλλάκης ἐπιστὰς τῷ ἀνδρῶνι, καὶ προσκυνήσας, προὔβαλεν εἰς μέσον τοῦ Κράσσου τὴν κεφαλήν. Κρότου δὲ τῶν Πάρθων μετὰ κραυγῆς καὶ χαρᾶς ἀραμένων, τὸν μὲν Σιλλάκη

Digitized by Google

κατέκλιναν οἱ ὑπηρέται, βασιλέως κελευσαντος· ὁ δ' Ἰάσων, τὰ μὲν τοῦ Πενθέως σκευοποιήματα παρέδωκέ τινι τῶν χορευτῶν, τῆς δὲ τοῦ Κράσσου κεφαλῆς λαβόμενος, καὶ ἀναβακχεύσας, ἐπέραινεν ἐκεῖνα τὰ μέλη μετ' ἐνθουσιασμοῦ καὶ ᾠδῆς·

Φέρομεν ἐξ ὄρεος ἕλικα νεότομον
Ἐπὶ μέλαθρα, μακαρίαν θήραν.

Και ταῦτα μὲν πάντας ἔτερπεν· ᾀδομένων δὲ τῶν ἑφεξῆς ἀμοιβαίων πρὸς τὸν χορόν·

A. Τίς ἐφόνευσεν;

B. Ἐμὸν, ἐμὸν τὸ γέρας

ἀναπηδήσας ὁ Πομαξαίθρης, (ἐτύγχανε δὲ δειπνῶν) ἀντελαμβάνετο τῆς κεφαλῆς, ὡς ἑαυτῷ ταῦτα λέγειν μᾶλλον, ἢ ἐκείνῳ, προσῆκον. Ἡσθεὶς δ' ὁ βασιλεὺς, τὸν μὲν, οἷς πάτριόν ἐστιν, ἐδωρήσατο, τῷ δ' Ἰάσονι τάλαντον ἔδωκεν. Εἰς τοιοῦτό φασιν ἐξόδιον τὴν Κράσσου στρατηγίαν, ὥσπερ τραγῳδίαν, τελευτῆσαι. Δίκη μέντοι καὶ τῆς ὠμότητος Τρῳάδην, καὶ τῆς ἐπιορκίας Σουρήναν ἀξία μετῆλθε. Σουρήναν μὲν γὰρ οὐ μετὰ πολὺν χρόνον Τρῳάδης φθόνῳ τῆς δόξης ἀπέκτεινεν· Τρῳάδῃ δ' ἀποβαλόντι Πάκορον ὑπὸ Ῥωμαίων μάχῃ κρατηθέντα, καὶ νοσήσαντι νόσον εἰς ὕδρωπα τραπεῖσαν, Φραάτης ὁ υἱὸς ἐπιβουλεύων ἀκόνιτον ἔδωκεν. Ἀναδεξαμένης δὲ τῆς νόσου τὸ φάρμακον ἐφ' ἑαυτὴν, ὥστε συνεκκριθῆναι, καὶ τοῦ σώματος ἐκκουφισθέντος, ἐπὶ τὴν ταχίστην τῶν ὁδῶν ἐλθὼν ὁ Φραάτης, ἀπέπνιξεν αὐτόν.

Digitized by Google

COMPARATIO NICIAE CVM CRASSO.

Ἐν δὲ τῇ συγκρίσει, πρῶτον ὁ Νικίου πλοῦτος τῷ Κράσσου παραβαλλόμενος, ἀμεμπτοτέραν ἔχει τὴν κτῆσιν. Ἄλλως μὲν γὰρ οὐκ ἄν τις δοκιμάσειε τὴν ἀπὸ μετάλλων ἐργασίαν, ἧς τὰ πλεῖστα περαίνεται διὰ κακούργων, ἢ βαρβάρων, ἐνίων δεδεμένων καὶ φθειρομένων ἐν τόποις ὑπούλοις καὶ νοσεροῖς· Παραβαλλομένη δὲ πρὸς τὰ Σύλλα δημιόπρατα, καὶ τὰς περὶ τὸ πῦρ ἐργολαβίας, ἐπιεικεστέρα φανεῖται. Ταύταις γὰρ ὁ Κράσσος ἀναφανδὸν ὡς τῷ γεωργεῖν ἐχρῆτο καὶ τῷ δανείζειν. Ἃ δ' ἔξαρνος ἦν ἐλεγχόμενος, ἐπὶ κέρδεσιν ἐν βουλῇ λέγειν, καὶ τοὺς συμμάχους ἀδικεῖν, καὶ γύναια περιῶν κολακεύειν, καὶ συνεπικρύπτειν τοὺς πονηροὺς, τούτων αἰτίαν οὐδὲ ψευδῆ ποτε Νικίας ἔλαβεν. Ἄλλως δὲ διδοὺς καὶ προϊέμενος ἀργύριον ὑπὸ δειλίας τοῖς συκοφάνταις ἐλεύζετο, πρᾶγμα ποιῶν, Περικλεῖ μὲν ἴσως καὶ Ἀριστείδῃ μὴ πρέπον, αὐτῷ δ' ἀναγκαῖον, οὐκ εὖ πε-

Digitized by Google

φυκότι πρὸς τὸ θαῤῥεῖν. Ὡι καὶ Λυκοῦργος ὕστερον ὁ ῥήτωρ ἐπαῤῥησιάσατο πρὸς τὸν δῆμον, αἰτίαν ἔχων ἐξωνήσασθαί τινα τῶν συκοφαντῶν. „Ἥδομαι γὰρ (εἶπεν), εἰ τοσοῦτον χρόνον πεπολιτευμένος παρ' ὑμῖν, διδοὺς πεφώραμαι πρότερον, ἢ λαμβάνων.“ Ἦν δὲ ταῖς δαπάναις πολιτικώτερος μὲν ὁ Νικίας, ἀναθήμασι καὶ γυμνασιαρχίαις καὶ διδασκαλίαις χορῶν φιλοτιμούμενος· ὧν δ' ὁ Κράσσος ἀνάλωσεν, ἑστιάσας ἅμα τοσαύτας μυριάδας ἀνθρώπων, εἶτα θρέψας πάλιν, οὐδὲν ἦν μέρος, ἃ Νικίας ἐκέκτητο σὺν οἷς ἀνάλωσεν· ὥστε θαυμάζειν, εἴ τινα λέληθε τὰ τὴν κακίαν ἀνωμαλίαν εἶναί τινα τρόπον καὶ ἀνομολογίαν, ὁρῶντα τοὺς αἰσχρῶς συλλέγοντας, εἶτα χρηστῶς ἐκχέοντας.

II. Περὶ μὲν οὖν τοῦ πλούτου τοσαῦτα. Τοῖς δὲ πολιτεύμασι, τοῦ μὲν Νικίου πανοῦργον οὐδὲν, οὐδ' ἄδικον, οὐδὲ βίαιον πρόσεστιν, οὐδὲ θρασύτης, ἀλλ' ἐξηπατᾶτο μᾶλλον ὑπ' Ἀλκιβιάδου, καὶ τῷ δήμῳ προσῆει μετ' εὐλαβείας. Τοῦ δὲ Κράσσου πολλὴν μὲν ἐν ταῖς πρὸς ἔχθραν καὶ φιλίαν μεταβολαῖς ἀπιστίαν καὶ ἀνελευθερίαν κατηγοροῦσι· βίᾳ δ' οὐδ' αὐτὸς ἠρεῖτο τὴν ὑπατείαν μετιέναι, μισθωσάμενος ἄνδρας τοὺς Κάτωνι καὶ Δομιτίῳ τὰς χεῖρας προσοίσοντας. Ἐν δὲ τῇ περὶ τῶν ἐπαρχιῶν ψηφοφορίᾳ τοῦ δήμου πολλοὶ μὲν ἐτρώθησαν, ἔπεσον δὲ τέσσαρες, αὐτὸς δ', ὅπερ ἡμῖς ἐν τῇ διηγήσει παρελήλυθε, Λεύκιον Ἀννάλιον, ἄνδρα βουλευτὴν, ἀντιλέγοντα πὺξ πατάξας εἰς τὸ πρόσωπον, ἐξέβαλεν

Digitized by Google

ἡμαγμένον. Ὡς δὲ περὶ ταῦτα βίαιος ὁ Κράσσος καὶ τυραννικός, οὕτως αὖ πάλιν ἐκείνου τὸ ψοφοδεὲς ἐν τῇ πολιτείᾳ καὶ ἄτολμον, καὶ τοῖς κακίστοις ὑφειμένον, τῶν μεγίστων ἐπιλήψεων ἄξιον. Ὁ δὲ Κράσσος, ὑψηλὸς περί γε ταῦτα καὶ μεγαλόφρων, οὐ πρὸς Κλέωνας, οὐδ' Ὑπερβόλους, μὰ Λία, τοῦ ἀγῶνος ὄντος, ἀλλὰ πρὸς τὴν Καίσαρος λαμπρότητα, καὶ τρεῖς τοῦ Πομπηΐου θριάμβους, οὐχ ὑπείξας, ἀλλ' ἀντάρας ἑκατέρῳ τὴν δύναμιν, ἀξιώματι δὲ τῆς τιμητικῆς ἀρχῆς καὶ Πομπήϊον ὑπερβαλόμενος. Λεῖ γὰρ ἐπὶ μεγίστοις οὐ τὸ ἐπίφθονον, ἀλλὰ τὸ λαμπρὸν ἐν πολιτείᾳ λαμβάνειν, μεγέθει δυνάμεως ἐξαμαυροῦντα τὸν φθόνον. Εἰ δ' ἐξ ἅπαντος ἀγαπᾷς ἀσφάλειαν καὶ ἡσυχίαν, καὶ δέδιας Ἀλκιβιάδην μὲν ἐπὶ τοῦ βήματος, ἐν δὲ Πύλῳ Λακεδαιμονίους, Περδίκκαν δ' ἐν Θράκῃ, πυλλὴν εὐρυχωρίαν ἡ πόλις ἔχει σχολῆς, ἐκ μέσου γενόμενον καθῆσθαι πλέκοντα τῆς ἀταραξίας σεαυτῷ στέφανον, ὡς ἔνιοι σοφισταὶ λέγουσιν. Ὁ μὲν γὰρ τῆς εἰρήνης ἔρως θεῖος ἦν ὡς ἀληθῶς, καὶ τὸ λῦσαι τὸν πόλεμον Ἑλληνικώτατον πολίτευμα· καὶ τῆς πράξεως ἕνεκα ταύτης οὐκ ἄξιον Νικίᾳ παραβαλεῖν Κράσσον, σὺδ' εἰ τὸ Κάσπιον φέρων πέλαγος, ἢ τὸν Ἰνδὸν ὠκεανὸν τῇ Ρωμαίων ἡγεμονίᾳ προσώρισε.

III. Πόλει μέντοι χρώμενον ἀρετῆς αἰσθανομένῃ, καὶ κρείττονα ὄντα τῇ δυνάμει, χώραν οὐ δοτέον τοῖς πονηροῖς, οὐδ' ἀρχὴν μὴ ἄρχουσιν, οὐδὲ πίστιν ἀπιστουμένοις. Ὅπερ ἐποίησεν ὁ Νικίας, τὸν

Digitized by Google

Κλέωνα, μηδὲν ὄντα πλέον ἐν τῇ πόλει τῆς ἀπὸ τοῦ βήματος ἀναισχυντίας καὶ κραυγῆς, αὐτὸς εἰς τὸ στρατηγεῖν καταστήσας. Οὐκ ἐπαινῶ μὲν γὰρ ἐγὼ τὸν Κράσσον, ἐν τοῖς Σπαρτακίοις ἐπειχθέντα θᾶσσον ἢ ἀσφαλέστερον διαγωνίσασθαι· καίτοι φιλοτιμίας ἦν τὸ δεῖσαι, μὴ Πομπήϊος ἐλθὼν ἀφέληται τὴν δόξαν αὐτοῦ, καθάπερ ἀφείλετο Μετέλλου Μόμμιος τὴν Κόρινθον. Τὸ δὲ τοῦ Νικίου παντάπασιν ἄτοπον καὶ δεινόν. Οὐ γὰρ ἐλπίδας, οὐδὲ ῥᾳστώνην ἐχούσης ἐξέστη τῷ ἐχθρῷ φιλοτιμίας καὶ ἀρχῆς, ἀλλὰ κίνδυνον ὑφορώμενος ἐν τῇ στρατηγίᾳ μέγαν, ἠγάπησε τὸ καθ' αὑτὸν ἐν ἀσφαλεῖ θέμενος προέσθαι τὸ κοινόν. Καίτοι ὅ γε Θεμιστοκλῆς, ἵνα μὴ φαῦλος ἄνθρωπος, ἐν τοῖς Περσικοῖς, καὶ ἄφρων στατηγήσας ἀπολέσῃ τὴν πόλιν, ἀργυρίῳ τῆς ἀρχῆς ἀπέστησεν αὐτόν· καὶ Κάτων, ὅτε μάλιστα ἑώρα πράγματα καὶ κινδύνους ἔχουσαν, ὑπὲρ τῆς πόλεως τὴν δημαρχίαν μετῆλθεν. Ὁ δ', αὑτὸν ἐπὶ τὴν Μινώαν καὶ Κύθηρα καὶ Μηλίους τοὺς ταλαιπώρους φυλάττων στρατηγὸν, εἰ δὲ δέοι μάχεσθαι Λακεδαιμονίοις, ἀποδυόμενος τὴν χλαμύδα, καὶ τῇ Κλέωνος ἀπειρίᾳ καὶ θρασύτητι ναῦς καὶ ἄνδρας καὶ ὅπλα καὶ στρατηγίαν ἐμπειρίας ἄκρας δεομένην παραδιδοὺς, οὐ τὴν ἑαυτοῦ προΐεται δόξαν, ἀλλὰ τὴν τῆς πατρίδος ἀσφάλειαν καὶ σωτηρίαν. Ὅθεν ὕστερον οὐχ ἑκὼν, οὐδὲ βουλόμενος, Συρακουσίοις πολεμεῖν ἠναγκάζετο, δοκῶν οὐ λογισμῷ τοῦ συμφέροντος, ἀλλὰ ῥᾳστώνῃ καὶ μαλακίᾳ, τὸ παρ' αὑτὸν, ἀποστερεῖν Σικελίας

τὴν πόλιν. Ἐκεῖνο μέντοι μεγάλης ἐπιεικείας σημεῖον, ὅτι δυσχερεῖνοντα τὸ πολεμεῖν ἀεὶ, καὶ φεύγοντα τὸ στρατηγεῖν, οὐκ ἐπαύοντο χειροτονοῦντες, ὡς ἐμπειρότατον καὶ βέλτιστον. Τῷ δὲ Κράσσῳ παρὰ πάντα τὸν χρόνον ἐφειμένῳ στρατηγίας, οὐχ ὑπῆρξε τυχεῖν, πλὴν ἐπὶ τὸν δουλικὸν πόλεμον ἐξ ἀνάγκης. Πομπηΐου καὶ Μετέλλου, καὶ Λευκαύλλων ἀμφοτέρων ἀπόντων, καίτοι τότε τιμωμένῳ μάλιστα καὶ δυναμένῳ πλεῖστον. Ἀλλ', ὡς ἔοικε, καὶ τοῖς σπουδάζουσι περὶ αὐτὸν ἔδοξαι, κατὰ τὸν νομικὸν, ἀνὴρ

Ἄριστος εἶναι πλὴν ἐν ἀσπίδι·

Καὶ τοῦτο Ῥωμαίους οὐδὲν ὤνησεν, ἐκβιασθέντας ὑπὸ τῆς φιλαρχίας αὐτοῦ καὶ φιλοτιμίας. Ἀθηναῖοι μὲν γὰρ ἄκοντα Νικίαν ἐξέπεμψαν ἐπὶ τὸν πόλεμον, Ῥωμαίους δὲ Κράσσος ἄκοντας ἐξήγαγε· καὶ διὰ μὲν τοῦτον ἡ πόλις, ἐκεῖνος δὲ διὰ τὴν πόλιν ἠτύχησεν

IV. Οὐ μὴν ἀλλὰ μᾶλλόν ἐστιν ἐν τούτοις τὸν Νικίαν ἐπαινεῖν, ἢ φεύγειν τὸν Κράσσον. Ὁ μὲν γὰρ, ἐμπειρίᾳ καὶ λογισμῷ χρησάμενος ἡγεμόνος ἔμφρονος, οὐ συνηπατήθη ταῖς ἐλπίσι τῶν πολιτῶν, ἀλλ' ἀπεῖπε καὶ ἀπέγνω λήψεσθαι Σικελίαν· ὁ δ', ὡς ἐπὶ ῥᾴστον ἔργον τὸν Παρθικὸν ὁρμήσας πόλεμον, ἥμαρτεν. Ὡρέχθη δὲ μεγάλων, Καίσαρος τὰ ἑσπέρια, καὶ Κελτοὺς καὶ Γερμανοὺς καταστρεφομένου, καὶ Βρεττανίαν, αὐτὸς ἐπὶ τὴν ἕω καὶ τὴν Ἰνδικὴν ἐλάσαι θάλασσαν, καὶ προσεργάσασθαι τὴν Ἀσίαν, οἷς Πομπήϊος ἐπῆλθε, καὶ Λούκουλλος ἀν-

Digitized by Google

τέσχεν, ἄνδρες εὐμενεῖς καὶ πρὸς πάντας ἀγαθοὶ διαμείναντες, προελόμενοι δ' ὅμοια Κράσσῳ, καὶ τὰς αὐτὰς ὑποθέσεις λαβόντες. Ἐπεὶ καὶ Πομπηΐῳ, τῆς ἀρχῆς διδομένης, ἡ σύγκλητος ἠναντιοῦτο, καὶ Καίσαρα μυριάδας τριάκοντα Γερμανῶν τρεψάμενον συνεβούλευεν ὁ Κάτων ἐκδοῦναι τοῖς ἡττημένοις, καὶ τρέψαι τὸ μήνιμα τοῦ παρασπονδήματος εἰς ἐκεῖνον. Ὁ δὲ δῆμος, ἐρρῶσθαι φράσας Κάτωνι, πεντεκαίδεκα ἡμέρας ἔθυεν ἐπινίκια, καὶ περιχαρὴς ἦν. Πῶς οὖν ἂν διετέθη, καὶ πόσας ἔθυσεν ἡμέρας, εἰ Κράσσος ἐκ Βαβυλῶνος ἔγραψε νικᾶν, εἶτ' ἐπελθὼν Μηδίαν, Περσίδα, Τρκανοὺς, Σοῦσα, Βάκτρα, Ῥωμαίων ἐπαρχίας ἀπέδειξεν; εἴπερ γὰρ ἀδικεῖν χρὴ, κατὰ τὸν Εὐριπίδην, ἡσυχίαν ἄγειν μὴ δυναμένους, μηδὲ χρῆσθαι τοῖς παροῦσιν ἀγαθοῖς εἰδότας, οὐ Σκάνδειαν, οὐ Μύνδην ἐκκοπτέον, οὐδὲ φεύγοντας Αἰγινήτας, ἀπολελοιπότας τὴν ἑαυτῶν, ὥσπερ ὄρνιθας εἰς ἑτέραν χώραν ἀποκεκρυμμένους, ἐκθηρατέον, ἀλλὰ πολλοῦ τιμητέον τὸ ἀδικεῖν, μὴ ῥᾳδίως, μηδ' ἐπὶ τοῖς τυχοῦσιν, ὡς τι φαῦλον, ἢ μικρὸν, προϊεμένους τὸ δίκαιον. Οἱ δὲ τὴν μὲν τῆς Ἀλεξάνδρου στρατείας ὁρμὴν ἐπαινοῦντες, τὴν δὲ Κράσσου ψέγοντες, οὐκ εὖ τὰ πρῶτα κρίνουσιν ἀπὸ τῶν τελευταίων.

V. Ἐν δὲ ταῖς στρατηγίαις αὐταῖς, Νικίου μὲν οὐκ ὀλίγα γενναῖα. Καὶ γὰρ μάχαις πολλαῖς ἐνίκησε τοὺς πολεμίους, καὶ τοῦ λαβεῖν Συρακούσας ὀλίγον ἐδέησε· καὶ πάντα δι' αὑτὸν οὐκ ἔπταισεν, ἀλλὰ

Digitized by Google

καὶ νόσον ἄν τις αἰτιάσαιτο, καὶ φθόνον τῶν οἴκοι πολιτῶν. Κράσσος δὲ, διὰ πλῆθος ἁμαρτημάτων, οὐδὲν τῇ τύχῃ χρηστὸν ἀποδείξασθαι παρῆκεν· ὥστε θαυμάζειν αὐτοῦ τὴν ἀβελτερίαν, οὐ τῆς Πάρθων δυνάμεως ἡττηθεῖσαν, ἀλλὰ τῆς Ῥωμαίων εὐτυχίας περιγενομένην. Ἐπεὶ δ' ὁ μὲν, μηδενὸς τῶν ἀπὸ μαντικῆς καταφρονῶν, ὁ δὲ, πάντα ὑπερορῶν, ὁμοίως ἀπώλοντο, χαλεπὴ μὲν ἐν τούτοις ἡ ἀσάφεια καὶ δύσκριτος, ἐπιεικέστερον δὲ αὐτῆς τοῦ παρανόμου καὶ αὐθάδους, τὸ μετὰ δόξης παλαιᾶς καὶ συνήθους δι' εὐλάβειαν ἁμαρτανόμενον. Περὶ μέντοι τὴν τελευτὴν ἀμεμπτότερος ὁ Κράσσος, οὐ παραδοὺς ἑαυτὸν, οὐδὲ δεθεὶς, οὐδὲ φενακισθεὶς, ἀλλ' εἴξας τοῖς φίλοις δεομένοις, καὶ παρασπονδηθεὶς ὑπὸ τῶν πολεμίων. Ὁ δὲ Νικίας, αἰσχρᾶς καὶ ἀπλοῦς ἐλπίδι σωτηρίας, ὑποπεσὼν τοῖς πολεμίοις, αἰσχίονα ἑαυτῷ τὸν θάνατον ἐποίησεν.

Digitized by Google

ΣΕΡΤΩΡΙΟΣ.

Θαυμαστὸν μὲν ἴσως οὐκ ἔστιν, ἐν ἀπείρῳ τῷ χρόνῳ τῆς τύχης ἄλλοτε ἄλλως ῥεούσης, ἐπὶ ταὐτὰ συμπτώματα πολλάκις καταφέρεσθαι τὸ αὐτόματον. Εἶτα γὰρ οὐκ ἔστι τῶν ὑποκειμένων ὡρισμένον τὸ πλῆθος, ἄφθονον ἔχει τῆς τῶν ἀποτελουμένων ὁμοιότητος χορηγὸν ἡ τύχη τὴν τῆς ὕλης εὐπορίαν· εἶτ' ἔκ τινων ὡρισμένων ἀριθμῷ ἐμπλέκεται τὰ πράγματα, πολλάκις ἀνάγκη ταὐτὰ γίνεσθαι διὰ τῶν αὐτῶν περαινόμενα. Ἐπεὶ δ' ἀγαπῶντες ἔνιοι τὰ τοιαῦτα, συνάγουσιν ἱστορίᾳ καὶ ἀκοῇ τῶν κατὰ τύχην γεγονότων, ὅσα λογισμοῦ καὶ προνοίας ἔργοις ἔοικεν, (οἷον, ὅτι, δυεῖν Ἀττέων γενομένων ἐμφανῶν, τοῦ μὲν Σύρου, τοῦ δὲ Ἀρκάδος, ἑκάτερος ὑπὸ συὸς ἀπώλετο· δυεῖν δὲ Ἀχαιῶνων, ὁ μὲν ὑπὸ τῶν κυνῶν, ὁ δ' ὑπὸ τῶν ἐραστῶν διεσπάσθη· δυεῖν δὲ Σκιπιώνων, ὑφ' οὗ μὲν ἐνικήθησαν Καρχηδόνιοι πρότερον, ὑφ' οὗ δ' ὕστερον ἄρδην ἀνῃρέθησαν· ἑάλω δὲ τὸ Ἴλιον ὑφ' Ἡρακλέους διὰ τὰς Λαομέδοντος ἵππους, καὶ ὑπὸ Ἀγαμέμνονος διὰ τοῦ Δουρείου προσαγορευθέν

Digitized by Google

τος ἵππου, τρίτον δ' ὑπὸ Χαριδήμου, τὰς πύλας, ἵππου τινὸς ἐμπεσόντος, ἀποκλεῖσαι ταχὺ τῶν Ἰλιέων μὴ δυνηθέντων· δυεῖν δὲ ὁμωνύμων τοῖς εὐωδεστάτοις φυτοῖς πόλεων, Ἴου καὶ Σμύρνης, τὸν ποιητὴν Ὅμηρον ἐκ ἧ μὲν γενέσθαι λέγουσιν, ἐν ἧ δὲ ἀποθανεῖν,) φέρε καὶ τοῦτο προσθῶμεν αὐτοῖς, ὅτι καὶ τῶν στρατηγῶν οἱ πολεμικώτατοι, καὶ πλεῖστα δόλῳ κατεργασάμενοι μετὰ δεινότητος, ἑτερόφθαλμοι γεγόνασι, Φίλιππος, Ἀντίγονος, Ἀννίβας, καὶ, περὶ οὗ τόδε τὸ σύγγραμμα, Σερτώριος. Ὃν Φιλίππου μὲν ἄν τις ἀποφαίνοιτο σωφρονέστερον περὶ τὰς γυναῖκας, Ἀντιγόνου δὲ πιστότερον περὶ φίλους, Ἀννίβου δὲ ἡμερώτερον πρὸς πολεμίους, λειπόμενον δὲ συνέσει μὲν οὐδενὸς τούτων, τύχῃ δὲ πάντων. Ἧι πολὺ τῶν ἐμφρενῶν πολεμίων χαλεπωτέρᾳ περὶ πάντα χρησάμενος, ἐπανίσωσεν ἑαυτὸν ἐμπειρίᾳ μὲν τῇ Μετέλλου, τόλμῃ δὲ τῇ Πομπηΐου, τύχῃ δὲ τῇ Σύλλα, δυνάμει δὲ τῇ Ῥωμαίων, φυγὰς καὶ βαρβάρων ἔπηλυς ἄρχων ἀντιταξάμενος. Τούτῳ δὴ μάλιστα τῶν Ἑλλήνων τὸν Καρδιανὸν ὁμοιοῦμεν Εὐμένη. Ἀμφότεροι γὰρ ἀρχικοὶ, καὶ σὺν δόλῳ πολεμικοὶ, καὶ τῆς μὲν αὐτῶν ἀποξενωθέντες, ἡγησάμενοι δ' ἀλλοδαπῶν, τύχῃ δὲ χρησάμενοι βιαίᾳ καὶ ἀδίκῳ περὶ τὴν τελευτήν. Ἐπιβουλευθέντες γὰρ ἀμφότεροι, μεθ' ὧν τοὺς πολεμίους ἐνίκων, ὑπὸ τούτων ἀνῃρέθησαν.

II. Κοΐντῳ Σερτωρίῳ γένος ἦν οὐκ ἀσημότατον ἐν πόλει Νούρσοις τῆς Σαβίνων· τραφεὶς δὲ κοσμίως ὑπὸ μητρὶ χήρᾳ, πατρὸς ὀρφανὸς, ὑπερφυῶς δοκεῖ

φιλομήτωρ γενέσθαι. Ὄνομα τῆς μητρὸς Ῥέαν λέγουσιν. Ἤσκητο μὲν οὖν καὶ περὶ δίκας ἱκανῶς, καί τινα καὶ δύναμιν ἐν τῇ πόλει μειράκιον ὢν ἀπὸ τοῦ λέγειν ἔσχεν. Αἱ δὲ περὶ τὰ στρατιωτικὰ λαμπρότητες αὐτοῦ καὶ κατορθώσεις ἐνταῦθα τὴν φιλοτιμίαν μετέστησαν.

III. Πρῶτον μὲν οὖν, Κίμβρων καὶ Τευτόνων ἐμβεβληκότων εἰς Γαλατίαν, στρατευόμενος ὑπὸ Καιπίωνι, κακῶς ἀγωνισαμένων τῶν Ῥωμαίων, καὶ τροπῆς γενομένης, ἀποβεβληκὼς τὸν ἵππον, καὶ καταστρωμένος τὸ σῶμα, τὸν Ῥοδανὸν διεπέρασεν, αὐτῷ τε τῷ θώρακι καὶ θυρεῷ πρὸς ἐναντίον ῥεῦμα πολὺ νηχόμενος. Οὕτω τὸ σῶμα ῥωμαλέον ἦν αὐτῷ καὶ διάπονον τῇ ἀσκήσει. Δεύτερον δὲ τῶν αὐτῶν ἐπερχομένων μυριάσι πολλαῖς καὶ δειναῖς ἀπειλαῖς, ὥστε καὶ τὸ μένειν ἄνδρα Ῥωμαῖον ἐν τάξει τότε, καὶ τὸ πείθεσθαι τῷ στρατηγῷ, μέγα ἔργον εἶναι, Μάριος μὲν ἡγεῖτο, Σερτώριος δὲ κατασκοπὴν ὑπέστη τῶν πολεμίων. Ἐσθῆτι δὲ Κελτικῇ σκευασάμενος, καὶ τὰ κοινότατα τῆς διαλέκτου πρὸς ἔντευξιν ἐπὶ καιροῦ παραλαβών, ἀναμίγνυται τοῖς βαρβάροις· καὶ τὰ μὲν ἰδὼν, τὰ δ' ἀκοῇ πυθόμενος τῶν ἐπειγόντων, ἐπανῆλθε πρὸς Μάριον. Τότε μὲν οὖν ἀριστείων ἔτυχεν· ἐν δὲ τῇ λοιπῇ στρατείᾳ πολλὰ καὶ συνέσεως ἔργα καὶ τόλμης ἀποδειξάμενος, εἰς ὄνομα καὶ πίστιν ὑπὸ τοῦ στρατηγοῦ προήχθη. Μετὰ δὲ τὸν Κίμβρων καὶ Τευτόνων πόλεμον, ἐκπεμφθεὶς ὑπὸ Δειδίῳ στρατηγῷ χιλίαρχος ἐπ' Ἰβηρίας, ἐν τῇ πόλει Κά-

Digitized by Google

στλωνι παρεχείμαζε τῆς Κελτιβήρων. Ἐπεὶ δὲ τῶν στρατιωτῶν ἐν ἀφθόνοις ὑβριζόντων, καὶ τὰ πολλὰ μεθυόντων, καταφρονήσαντες οἱ βάρβαροι, μετεπέμψαντο νυκτὸς ἐπικουρίαν παρὰ τῶν ἀστυγειτόνων Γυρισοινῶν, καὶ κατ' οἰκίας ἐπιόντες ἔκτεινον αὐτούς, ὑπεκδὺς ὁ Σερτώριος μετ' ὀλίγων, καὶ τοὺς ἐκπίπτοντας συναγαγὼν, κύκλῳ τὴν πόλιν περιῆλθε· καὶ καθ' ἃς οἱ βάρβαροι πύλας ἔλαθον παρεισπεσόντες, ἀνεῳγμένας εὗρων, οὐ ταὐτὸν ἐκείνοις ἔπαθεν, ἀλλὰ φρουρὰς ἐπιστήσας, καὶ καταλαβὼν πανταχόθεν τὴν πόλιν, ἔκτεινε τοὺς ἐν ἡλικίᾳ πάντας. Ὡς δ' ἀνῃρέθησαν, ἐκέλευσε τοὺς στρατιώτας πάντας τὰ μὲν αὐτῶν ὅπλα καὶ τὴν ἐσθῆτα καταθέσθαι, τοῖς δὲ τῶν βαρβάρων ἐνεσκευασμένους ἕπεσθαι πρὸς τὴν πόλιν ἐκείνην, ἐξ ἧς ἀπεστάλησαν οἱ νύκτωρ ἐπιπεσόντες αὐτοῖς. Ψευσάμενος δὲ τῇ τῶν ὅπλων ὄψει τοὺς βαρβάρους, τάς τε πύλας ἀνεῳγμένας εὗρε, καὶ πλῆθος ἀνθρώπων ἔλαβεν, οἰομένων ἁπάντᾳ εὖ πεπραχόσι φίλοις καὶ πολίταις. Διὸ πλεῖστοι μὲν ὑπὸ τῶν Ῥωμαίων ἐσφάττοντο περὶ τὰς πύλας, οἱ δὲ λοιποὶ παραδόντες ἑαυτοὺς ἐπράθησαν.

IV. Ἐκ τούτου Σερτώριος ἐν τῇ Ἰβηρίᾳ διεβοήθη· καὶ ὅτε πρῶτον ἐπανῆκεν εἰς Ῥώμην, ταμίας ἀποδείκνυται τῆς περὶ Πάδον Γαλατίας, ἐν δέοντι. Τοῦ γὰρ Μαρσικοῦ πολέμου συνισταμένου, στρατιώτας τε προσταχθὲν αὐτῷ καταλέγειν, καὶ ὅπλα ποιεῖσθαι, σπουδὴν καὶ τάχος προσθεὶς τῷ ἔργῳ, παρὰ τὴν τῶν ἄλλων νέων βραδύτητα καὶ μαλακίαν,

Digitized by Google

ἀνδρὸς ἐμπράκτως βιωσομένου δόξαν ἔσχεν. Οὐ μὴν ὑφήκατο τῆς στρατιωτικῆς τόλμης, εἰς ἄξίωμα προελήλυθὼς ἡγεμόνος, ἀλλὰ καὶ χειρὸς ἐπιδεικνύμενος ἔργα θαυμαστὰ, καὶ τὸ σῶμα τοῖς ἀγῶσιν ἀφειδῶς ἐπιδιδοὺς, τῶν ὄψεων ἀπέβαλε τὴν ἑτέραν ἐκκοπεῖσαν. Ἐπὶ τούτῳ δὲ καὶ καλλωπιζόμενος ἀεὶ διετέλει· τοὺς μὲν γὰρ ἄλλους οὐκ ἀεὶ τὰ μαρτύρια τῶν ἀριστείων περιφέρειν, ἀλλὰ καὶ ἀποτίθεσθαι, στρεπτὰ καὶ δόρατα καὶ στεφάνους· αὐτῷ δὲ τῆς ἀνδραγαθίας παραμένειν τὰ γνωρίσματα, τοὺς αὐτοὺς ἔχοντι τῆς ἀρετῆς ἅμα καὶ τῆς συμφορᾶς θεατάς. Ἀπέδωκε δὲ καὶ ὁ δῆμος αὐτῷ τιμὴν πρέπουσαν. Εἰσελθόντα γὰρ εἰς θέατρον ἐξεδέξατό τε κρότῳ καὶ κατευφήμησεν· ὧν οὐδὲ τοῖς πάνυ προήκουσιν ἡλικία τε καὶ δόξῃ τυχεῖν ἦν ῥᾴδιον. Δημαρχίαν μέντοι μετιὼν, Σύλλα καταστασιάσαντος αὐτὸν, ἐξέπεσε· διὸ καὶ δοκεῖ γενέσθαι μισοσύλλας. Ἐπεὶ δὲ Μάριος μὲν ὑπὸ Σύλλα κρατηθεὶς ἔφευγε, Σύλλας δὲ Μιθριδάτῃ πολεμήσων ἄπῆρε, τῶν δὲ ὑπάτων Ὀκτάβιος μὲν ἐπὶ τῆς Σύλλα προαιρέσεως ἔμενε, Κίννας δὲ νεωτερίζων ὑποφερομένην ἀνεκαλεῖτο τὴν Μαρίου στάσιν· τούτῳ προσέκειμεν αὐτὸν ὁ Σερτώριος, ἄλλως τε καὶ τὸν Ὀκτάβιον ὁρῶν αὐτὸν μὲν ἀμβλύτερον ὄντα, τοῖς δὲ Μαρίου φίλοις ἀπιστοῦντα. Γενομένης δὲ τοῖς ὑπάτοις ἐν ἀγορᾷ μάχης μεγάλης, Ὀκτάβιος μὲν ἐκράτησε, Κίννας δὲ καὶ Σερτώριος οὐ πολλῷ ἐλάττους τῶν μυρίων ἀποβαλόντες ἔφυγον· καὶ τῶν περὶ τὴν Ἰταλίαν ἔτι διεσπαρμένων στρατοπέδων προσαγό-

Digitized by Google

μενοι τὰ πλεῖστα πειθοῖ, ταχὺ κατεστήσαν ἀξιόμαχοι τοῖς περὶ τὸν Ὀκτάβιον.

V. Μαρίου δὲ καταπλεύσαντος ἐκ Λιβύης, καὶ τῷ Κίννᾳ προστιθέντος ἑαυτὸν, ὡς ἰδιώτην ὑπάτῳ, τοῖς μὲν ἄλλοις ἐδόκει δέχεσθαι, Σερτώριος δ' ἀπηγόρευεν· εἴτε τὸν Κίνναν ἧττον οἰόμενος ἑαυτῷ προσέξειν, ἀνδρὸς ἡγεμονικωτέρου παρόντος, εἴτε τὴν βαρύτητα τοῦ Μαρίου δεδοικὼς, μὴ πάντα τὰ πράγματα συγχέῃ, θυμῷ μέτρον οὐκ ἔχοντι πέρα δίκης ἐν τῷ κρατεῖν προερχόμενος. Ἔλεγεν οὖν μικρὸν εἶναι τὸ ὑπολειπόμενον ἔργον αὐτοῖς ἤδη κρατοῦσι. δεξαμένων δὲ τὸν Μάριον, τὸ σύμπαν οἴεσθαι τῆς δόξης ἐκεῖνον καὶ τῆς δυνάμεως, χαλεπὸν ὄντα πρὸς κοινωνίαν ἀρχῆς καὶ ἄπιστον. Εἰπόντος δὲ τοῦ Κίννα, ταῦτα μὲν ὀρθῶς ὑπολογίζεσθαι τὸν Σερτώριον, αἰδεῖσθαι δὲ καὶ διαπορεῖν, ὅπως ἀπώσεται τὸν Μάριον, αὐτὸς ἐπὶ κοινωνίᾳ πραγμάτων κεκλημένος, ὑπολαβὼν ὁ Σερτώριος εἶπεν· „Ἀλλ' ἐγὼ μὲν αὐτὸν ἀφ' ἑαυτοῦ Μάριον ἥκειν νομίζων εἰς Ἰταλίαν, τὸ συμφέρον ἐσκόπουν· σοὶ δὲ τὴν ἀρχὴν οὐδὲ βουλεύεσθαι καλῶς εἶχεν, ἥκοντος, ὃν αὐτὸς ἐλθεῖν ἠξίωσας, ἀλλὰ χρῆσθαι καὶ δέχεσθαι, τῆς πίστεως μηδενὶ λογισμῷ χώραν διδούσης." Οὕτως μεταπέμπεται τὸν Μάριον Κίννας· καὶ τριχῇ τῆς δυνάμεως διανεμηθείσης, ἦρχον οἱ τρεῖς. Διαπολεμηθέντος δὲ τοῦ πολέμου, καὶ τῶν περὶ τὸν Κίνναν καὶ Μάριον ἐμφορυμένων ὕβρεως τε καὶ πικρίας ἅπασης, ὥστε χρυσὸν ἀποδεῖξαι Ῥωμαίοις τὰ τοῦ πολέμου κακά, Σερτώριος

Digitized by Google

λέγεται μόνος οὔτ' ἀποκτεῖναί τινα πρὸς ὀργὴν, οὔτ' ἐνυβρίσαι κρατῶν, ἀλλὰ καὶ τῷ Μαρίῳ δυσχεραίνειν, καὶ τὸν Κίνναν ἐντυγχάνων ἰδίᾳ καὶ δεόμενος μετριώτερον ποιεῖν. Τέλος δὲ τῶν δούλων, οὓς Μάριος, συμμάχους μὲν ἐν τῷ πολέμῳ, δορυφόρους δὲ τῆς τυραννίδος ἔχων, ἰσχυροὺς καὶ πλουσίους ἐποίησε, τὰ μὲν ἐκείνου διδόντος καὶ κελεύοντος, τὰ δὲ καὶ βίᾳ παρανομούντων εἰς τοὺς δεσπότας, σφαττόντων μὲν αὐτοὺς, ταῖς δὲ δεσποίναις πλησιαζόντων, καὶ βιαζομένων τοὺς παῖδας, οὐκ ἀνασχετὰ ποιούμενος ὁ Σερτώριος, ἅπαντας ἐν ταὐτῷ σιρατοπεδεύοντας κατηκόντισεν, οὐκ ἐλάττους τετρακισχιλίων ὄντας.

VI. Ἐπεὶ δὲ Μάριος μὲν ἐτελεύτησε, καὶ Κίνναι ἀνηρέθη μικρὸν ὕστερον, ὁ δὲ νεωνίας Μάριος, ἄκοντος αὐτοῦ, παρὰ τοὺς νόμους ὑπατείαν ἔλαβε, Κάρβωνες δὲ καὶ Νωρβανοὶ καὶ Σκιπίωνες ἐπιόντι Σύλλᾳ κακῶς ἐπολέμουν· καὶ τὰ μὲν ἀνανδρίᾳ καὶ μαλακίᾳ τῶν στρατηγῶν ἐφθείρετο, τὰ δ' οἱ προδιδόντες ἀπώλλυσαν· ἔργον δ' οὐδὲν ἦν αὐτοῦ παρόντος τοῖς πράγμασι μοχθηρῶς ὑποφερομένοις, διὰ τὸ χεῖρον φρονεῖν τοὺς μᾶλλον δυναμένους· τέλος δὲ Σύλλας, Σκιπίωνι παρατρατοπεδεύσας, καὶ φιλοφρονούμενος, ὡς εἰρήνης ἐσομένης, διέφθειρε τὸ στράτευμα, καὶ ταῦτα προλέγων Σκιπίωνι καὶ διδάσκων Σερτώριος οὐκ ἔπειθε· παντάπασιν ἀπογνοὺς τὴν πόλιν, ὥρμησεν εἰς Ἰβηρίαν, ὡς, εἰ φθάσει τὴν ἐκεῖ κρατυνάμενος ἀρχὴν, καταφυγὴ τοῖς πταίουσιν ἐνταῦθα τῶν φίλων ἐσόμενος. Χειμῶσι δὲ χαλεποῖς χρησάμε-

Digitized by Google

νος ἐν χωρίοις ὀρεινοῖς, ὑπὸ βαρβάρων ἐπράττετο τέλη καὶ μισθοὺς τοῦ παρελθεῖν τὴν ὁδόν. Ἀγανακτούντων δὲ τῶν σὺν αὐτῷ, καὶ δεινολογουμένων, εἰ Ῥωμαίων ἀνθύπατος τέλη καταβαλεῖ βαρβάροις ὀλέθροις, μικρὰ φροντίσας τοῦ δοκοῦντος αἰσχροῦ, καὶ καιρὸν ὠνεῖσθαι φήσας, οὗ σπανιώτερον οὐδὲν ἀνδρὶ μεγάλων ἐφιεμένῳ, τοὺς μὲν βαρβάρους ἐθεράπευσε χρήμασι, τὴν δ' Ἰβηρίαν ἐπειχθεὶς κατέσχε. Παραλαβὼν δ' ἔθνη πλήθει μὲν καὶ ἡλικίᾳ ἀκμάζοντα, πλεονεξίᾳ δὲ καὶ ὕβρει τῶν πεμπομένων ἑκάστοτε στρατηγῶν πρὸς ὕλην κακῶς διακείμενα τὴν ἡγεμονίαν, ἀνελάμβανεν ὁμιλίᾳ τε τοὺς δυνατοὺς, καὶ φόρων ἀνέσει τοὺς πολλούς· μάλιστα δὲ τῶν ἐπισταθμιῶν ἀπαλλάξας ἠγαπήθη. Τοὺς γὰρ στρατιώτας ἠνάγκαζεν ἐν τοῖς προαστείοις χειμάδια πήγνυσθαι, πρῶτος αὐτὸς οὕτω κατασκηνῶν. Οὐ μὴν ἐπὶ τῇ τῶν βαρβάρων εὐνοίᾳ τὰ πᾶν ἐποιήσατο, Ῥωμαίων δὲ τῶν αὐτόθι μετοικούντων τοὺς ἐν ἡλικίᾳ καθοπλίσας, μηχανάς τε παντοδαπὰς καὶ ναυπηγίας τριηρῶν ὑποβαλόμενος, διὰ χειρῶν εἶχε τὰς πόλεις· ἥμερος μὲν ὢν ἐν ταῖς εἰρηνικαῖς χρείαις, φοβερὸς δὲ τῇ παρασκευῇ κατὰ τῶν πολεμίων φαινόμενος.

VII. Ὡς δὲ Σύλλαν μὲν ἐπυνθάνετο τῆς Ῥώμης κρατεῖν, ἔρξειν δὲ τὴν Μαρίου καὶ Κάρβωνος στάσιν, αὐτίκα προσδοκῶν στρατιὰν διαπολεμήσουσαν αὐτῷ μεθ' ἡγεμόνος ἀφίξεσθαι, φράγνυται τὰ Πυρηναῖα ὄρη διὰ Ἰουλίου Σαλινάτωρος ἑξακισχιλίους ὁπλίτας ἔχοντος. Καὶ μετ' οὐ πολὺ Γάϊος Ἄννιος

Digitized by Google

ἐκπεμφθεὶς ὑπὸ Σύλλα, καὶ τὸν Ἰούλιον ἀπρόσμαχον ὁρῶν, ἐν ἀπόρῳ καθῆστο παρὰ ταῖς ὑπωρείαις. Καλπουρνίου δέ τινος, ἐπίκλησιν Λαναρίου, δολοφονήσαντος τὸν Ἰούλιον, καὶ τῶν στρατιωτῶν τὰ ἄκρα τῆς Πυρήνης ἐκλιπόντων, ὑπερβαλὼν Ἄννιος ἐπῄει χειρὶ μεγάλῃ τοὺς ἐμποδὼν ἀνιστάς. Σερτώριος δ', οὐκ ὢν ἀξιόμαχος, μετὰ τρισχιλίων εἰς Καρχηδόνα τὴν νέαν καταφυγὼν, κἀκεῖθεν ἐπιβὰς τῶν νεῶν, καὶ διαπεράσας τὸ πέλαγος, Λιβύῃ κατὰ τὴν Μαυρουσίαν προσέσχεν. Ἀφυλάκτοις δὲ τοῖς στρατιώταις ὑδρευομένοις τῶν βαρβάρων ἐπιπεσόντων, συχνοὺς ἀποβαλὼν, αὖθις εἰς Ἰβηρίαν ἀπέπλει· καὶ ταύτης μὲν ἀποκρούεται, Κιλισσῶν δὲ λῃστρίδων αὐτῷ προσγενομένων, Πιτυούσσῃ νήσῳ προσέβαλε, καὶ ἀπέβη τὴν παρ' Ἄννίου φρουρὰν βιασάμενος. Ἄννιος δέ μετ' οὐ πολὺ παρῆν ναυσί τε πολλαῖς καὶ πεντακισχιλίοις ὁπλίταις. Πρὸς ὃν ἐπεχείρησε μὲν διαναυμαχεῖν, καίπερ ἐλαφροῖς, καὶ πρὸς τάχος, οὐ πρὸς ἀλκὴν, πεποιημένοις σκάφεσι χρώμενος· ζεφύρῳ δὲ λαμπρῷ τοῦ πελάγους ἀνισταμένου, καὶ τὰ πολλὰ τῶν τοῦ Σερτωρίου πλοίων ὑπὸ κουφότητος πλάγια ταῖς ῥαχίαις περιβάλλοντος, αὐτὸς ὀλίγαις ναυσὶ τῆς μὲν θαλάσσης ὑπὸ τοῦ χειμῶνος εἰργόμενος, τῆς δὲ γῆς ὑπὸ τῶν πολεμίων, ἡμέρας δέκα σταλεὺς πρὸς ἐναντίον κῦμα καὶ κλύδωνα τραχὺν, ἐπιπόνως διεκράτησεν.

VIII. Ἐνδόντος δὲ τοῦ πνεύματος, φερόμενος νηΐοις τισὶν ἐναυλίζεται σποράσιν, ἀνύδροις· κἀκεῖ-

Digitized by Google

θεν ἄρας καὶ διεκβαλὼν τὸν Γαδειραῖον πορθμον, ἐν δεξιᾷ τοῖς ἐντὸς ἐπιβάλλει τῆς Ἰβηρίας, μικρὸν ὑπὲρ τῶν τοῦ Βαίτιος ἐκβολῶν, ὃς εἰς τὴν Ἀτλαντικὴν ἐκφερόμενος θάλατταν, ὄνομα τῇ περὶ αὐτὸν Ἰβηρίᾳ παρέσχεν. Ἐνταῦθα ναῦταί τινες ἐντυγχάνουσιν αὐτῷ, νέον ἐκ τῶν Ἀτλαντικῶν νήσων ἀναπεπλευκότες, αἳ δύο μὲν εἰσὶ, λεπτῇ παντάπασι πορθμῷ διαιρούμεναι, μυρίους δ' ἀπέχουσαι Λιβύης σταδίους, καὶ ὀνομάζονται Μακάρων. Ὄμβροις δὲ χρώμεναι μετρίοις σπανίως, τὰ δὲ πλεῖστα πνεύμασι μαλακοῖς καὶ δροσοβόλοις, οὐ μόνον ἀροῦν καὶ φυτεύειν παρέχουσιν ἀγαθὴν καὶ πίονα χώραν, ἀλλὰ καὶ καρπὸν αὐτοφυῆ φέρουσιν, ἀποχρῶντα πλήθει καὶ γλυκύτητι βόσκειν ἄνευ πόνων καὶ πραγματείας σχολάζοντα δῆμον. Ἀὴρ δ' ἄλυπος ὡρῶν τε κράσει καὶ μεταβολῆς μετριότητι, κατέχει τὰς νήσους. Οἳ μὲν γὰρ ἐνθένδε τῆς γῆς ἀποπνέοντες ἔξω βορέαι καὶ ἀπηλιῶται, διὰ μῆκος ἐκπεσόντες εἰς τόπον ἀχανῆ διασπείροντα καὶ προαπολείπουσι· πελάγιοι δὲ περιῤῥέοντες ἀργέσται καὶ ζέφυροι, βληχροὺς μὲν ὑετοὺς καὶ σποράδας ἐκ θαλάττης ἐπάγοντες, τὰ δὲ πολλὰ νοτεραῖς αἰθρίαις ἐπιψύχοντες ἡσυχῇ τρέφουσιν· ὥστε μέχρι τῶν βαρβάρων δεῖχθαι πίστιν ἰσχυρὰν, αὐτόθι τὸ Ἠλύσιον εἶναι πεδίον, καὶ τὴν τῶν εὐδαιμόνων οἴκησιν, ἣν Ὅμηρος ὕμνησε.

IX. Ταῦθ' ὁ Σερτώριος ἀκούσας, ἔρωτα θαυμαστὸν ἔσχεν οἰκῆσαι τὰς νήσους, καὶ ζῆν ἐν ἡσυχίᾳ, τυραννίδος ἀπαλλαγεὶς καὶ πολέμων ἁπάντων

Digitized by Google

Αἰσθόμενοι δὲ οἱ Κίλικες, οὐδὲν εἰρήνης δεόμενοι καὶ σχολῆς, ἀλλὰ πλούτου καὶ λαφύρων, εἰς Λιβύην ἀπέπλευσαν, Ἄσκαλιν τὸν Ἴφθα κατάξοντες ἐπὶ τὴν Μαυρουσίων βασιλείαν. Οὐ μὴν ἀπήκαμεν ὁ Σερτώριος, ἀλλὰ τοῖς πρὸς τὸν Ἄσκαλιν διαπολεμοῦσιν ἔγνω βοηθεῖν, ὡς οἱ σὺν αὐτῷ καινήν τινα λαβόντες ἐλπίδων ἀρχὴν καὶ πράξεων ἑτέρων ὑπόθεσιν, μὴ διαλυθεῖεν ὑπὸ τῆς ἀπορίας. Ἀσμένοις δὲ τοῖς Μαυρουσίοις ἀφικόμενος εἶχετο ἔργου, καὶ κατακυκλωσάμενος τὸν Ἄσκαλιν ἐπολιόρκει. Σύλλα δὲ Πακκιανὸν ἐκπέμψαντος βοηθῆσαι τοῖς περὶ τὸν Ἄσκαλιν μετὰ δυνάμεως, συμβαλὼν ὁ Σερτώριος, τὸν μὲν Πακκιανὸν ἀπέκτεινεν, τὴν δὲ στρατιὰν κρατήσας προσηγάγετο· καὶ τὴν Τιγέννην, εἰς ἣν ὁ Ἄσκαλις συνέφυγε μετὰ τῶν ἀδελφῶν, ἐξεπολιόρκησεν. Ἐνταῦθα τὸν Ἀνταῖον οἱ Λίβυες ἱστοροῦσι κεῖσθαι· καὶ τὸν τάφον αὐτοῦ Σερτώριος διέσκαψε, τοῖς βαρβάροις ἀπίστων διὰ μέγεθος. Ἐντυχὼν δὲ τῷ σώματι πηχῶν ἑξήκοντα μῆκος, ὡς φασι, κατεπλάγη, καὶ σφάγιον ἐντεμών, συνέχωσε τὸ μνῆμα, καὶ τὴν περὶ αὐτοῦ τιμήν τε καὶ φήμην συνηύξησε. Τιγεννῖται δὲ μυθολογοῦσιν, Ἀνταίου τελευτήσαντος, τὴν γυναῖκα, Τίγγην, Ἡρακλεῖ συνελθεῖν· Σόφακα δ' ἐξ αὐτῶν γενόμενον, βασιλεῦσαι τῆς χώρας καὶ πόλιν ἐπώνυμον τῆς μητρὸς ἀποδεῖξαι· Σόφακος δὲ παῖδα γενέσθαι Διόδωρον, ᾧ πολλὰ τῶν Λιβυκῶν ἐθνῶν ὑπήκουσεν, Ἑλληνικὸν ἔχοντι στράτευμα τῶν αὐτόθι κατῳκισμένων ὑφ' Ἡρακλέους Ὀλβιανῶν καὶ

Digitized by Google

Μυκηναίων. Ἀλλὰ ταῦτα μὲν ἀνακείσθω τῇ Ἰόβα χάριτι, τοῦ πάντων ἱστορικωτάτου βασιλέων. Ἐκείνου γὰρ ἱστοροῦσι τοὺς προγόνους Διοδώρου καὶ Σόφακος ἀπογόνους εἶναι. Σερτώριος δὲ, πάντων ἐγκρατὴς γενόμενος, τοὺς δεηθέντας αὐτοῦ καὶ πιστεύσαντας οὐκ ἠδίκησεν, ἀλλὰ καὶ χρήματα καὶ πόλεις καὶ τὴν ἀρχὴν ἀπέδωκεν αὐτοῖς, ὅσα καλῶς εἶχε δεξάμενος διδόντων.

X. Ἐντεῦθεν, ὅποι χρὴ τραπέσθαι, βουλευόμενον ἐκάλουν Λυσιτανοὶ, πρέσβεις πέμψαντες ἐφ' ἡγεμονίᾳ· πάντως μὲν ἄρχοντος ἀξίωμα μέγα καὶ ἐμπειρίαν ἔχοντος δεόμενοι πρὸς τὸν ἀπὸ Ῥωμαίων φόβον, ἐκείνῳ δὲ πιστεύοντες αὐτοὺς μόνῳ, καὶ πυνθανόμενοι παρὰ τῶν συγγεγονότων τὸ ἦθος αὐτοῦ. Λέγεται γὰρ ὁ Σερτώριος, οὔτε ὑφ' ἡδονῆς, οὔτε ὑπὸ δέους, εὐάλωτος γενέσθαι, φύσει τ' ἀνέκπληκτος εἶναι παρὰ τὰ δεινὰ, καὶ μέτριος εὐτυχίαν ἐνεγκεῖν· καὶ πρὸς μὲν εὐθυμαχίαν οὐδενὸς ἀτολμότερος τῶν καθ' ἑαυτὸν ἡγεμόνων, ὅσα δὲ κλωπείας ἐν πολέμοις ἔργα καὶ πλεονεξίας, περὶ τόπους ὀχυροὺς καὶ διαβάσεις τάχους δεομένας, ἀπάτης τε καὶ ψευδῶν ἐν δέοντι σοφιστὴς δεινότατος. Ἐν δὲ ταῖς τιμαῖς τῶν ἀνδραγαθημάτων δαψιλὴς φαινόμενος, περὶ τὰς τιμωρίας ἐμετρίαζε τῶν ἁμαρτημάτων. Καίτοι δοκεῖ περὶ τὸν ἔσχατον αὐτοῦ βίον ὠμότητος καὶ βαρυθυμίας τὸ περὶ τοὺς ὁμήρους πραχθὲν ἔργον ἐπιδεῖξαι τὴν φύσιν οὐκ οὖσαν ἥμερον, ἀλλ' ἐπαμπεχομένην λογισμῷ διὰ τὴν ἀνάγκην. Ἐμοὶ δ' ἀρετὴν μὲν ἐν

Digitized by Google

λικρινῆ καὶ κατὰ λόγον συνεστῶσαν οὐκ ἄν ποτε δοκεῖ τύχη τις ἐκστῆσαι πρὸς τοὐναντίον· ἄλλως δὲ προαιρέσεις καὶ φύσεις χρηστὰς, ὑπὸ συμφορῶν μεγάλων παρ' ἀξίαν κακωθείσας, οὐκ ἀδύνατον τῷ δαίμονι συμμεταβαλεῖν τὸ ἦθος. Ὃ καὶ Σερτώριον οἶμαι παθεῖν, ἤδη τῆς τύχης αὐτὸν ἐπιλειπούσης, ἐκτραχυνόμενον ὑπὸ τῶν πραγμάτων, γινομένων πονηρῶν, πρὸς τοὺς ἀδικοῦντας.

XI. Οὐ μὴν ἀλλὰ τότε γε, Λυσιτανῶν καλούντων, ἀπῆρεν ἐκ Λιβύης. Καὶ τούτους συνέταττεν εὐθὺς αὐτοκράτωρ στρατηγὸς, καὶ τὴν ἐγγὺς Ἰβηρίαν ὑπήκοον ἐποιεῖτο, τῶν πλείστων ἑκουσίως προστιθεμένων, μάλιστα μὲν διὰ τὸ πρᾷον αὐτοῦ καὶ θρασυτήριον· ἔστι δὲ ἃ καὶ σοφιστικῶς αὐτὸς εἰς ἀπάτην καὶ κήλησιν ἐμηχανᾶτο. Καὶ πρῶτόν γε πάντων, τὸ περὶ τὴν ἔλαφον. Ἦν δὲ τοιόνδε· Σπάνος, ἀνὴρ δημότης, τῶν ἐπὶ χώρας βιούντων, ἐλάφῳ νεοτόκῳ φευγούσῃ κυνηγέτας ἐπιτυχὼν, αὐτῆς μὲν ἀπελείφθη, τὴν δὲ νεβρὸν, ἐκπλαγεὶς τῇ καινότητι τῆς χρόας (λευκὴ γὰρ ἦν πᾶσα), λαμβάνει διώξας. Κατὰ τύχην δὲ Σερτωρίου τοῖς τόποις ἐνσυλισαμένου, καὶ πᾶν, ὅ τις ἐξ ἄγρας, ἢ γεωργίας, ἥκοι κομίζων δῶρον, ἀσμένως δεχόμενον, καὶ φιλοφρόνως ἀμειβομένου τοὺς θεραπεύοντας, ἐγχειρίζει φέρων αὐτῷ τὴν νεβρόν. Ὁ δὲ, δεξάμενος, αὐτίκα μὲν ἥσθη μετρίως· χρόνῳ δὲ ποιησάμενος τιθασὸν οὕτω καὶ φιλάνθρωπον, ὥστε καὶ καλοῦντος ἀκούειν, καὶ βαδίζοντί οἱ παρακολουθεῖν, ὄχλου τε καὶ θορύβου

Digitized by Google

παντὸς ἀνέχεσθαι στρατιωτικοῦ, κατὰ μικρὸν ἐξεθείαζε, φάσκων, Ἀρτέμιδος δῶρον τὴν ἔλαφον εἶναι· καὶ πολλὰ τῶν ἀδήλων ἐπεφήμιζεν αὐτῷ δηλοῦν, γινώσκων, εὐάλωτον εἰς δεισιδαιμονίαν εἶναι φύσει τὸ βαρβαρικόν. Ὁ δὲ καὶ προσετεχνᾶτο τοιάδε· γνοὺς γὰρ ἂν κρύφα τοὺς πολεμίους ἐμβεβληκόταφ ποι τῆς ὑπ' αὐτὸν χώρας, ἢ πόλιν ἀφιστάντας, προσεποιεῖτο τὴν ἔλαφον αὐτῷ κατὰ τοὺς ὕπνους διειλέχθαι, κελεύουσαν ἐν ἑτοίμῳ τὰς δυνάμεις ἔχειν. Αὖθις δὲ νίκην τινὰ τῶν ἑαυτοῦ στρατηγῶν ἀκούσας, τὸν μὲν ἄγγελον ἔκρυπτε, τὴν δ' ἔλαφον ἐστεφανωμένην ἐπ' εὐαγγελίοις προῆγεν, εὐθυμεῖσθαι παρακαλῶν, καὶ τοῖς θεοῖς θύειν, ὡς ἀγαθόν τι πευσομένους.

XII. Οὕτω δὲ χειροήθεις ποιησάμενος αὐτούς, ἐχρῆτο πρὸς ἅπαντα μετριωτέροις, οὐχ ὑπ' ἀνδρὸς ἀλλοδαποῦ λογισμῶν, ἀλλ' ὑπὸ θεοῦ στρατηγεῖσθαι πειθομένοις· ἅμα καὶ τῶν πραγμάτων ἐπιμαρτυρούντων τῷ παρὰ λόγον τὴν δύναμιν αὐξάνεσθαι. Δισχιλίοις γὰρ ἑξακοσίοις, οὓς ὠνόμαζε Ῥωμαίους, συμμίκτοις δὲ ἑπτακοσίοις Λιβύων εἰς Λυσιτανίαν αὐτῷ συνδιαβᾶσι, πελταστὰς τετρακισχιλίους Λυσιτανῶν καὶ ἱππεῖς ἑπτακοσίους προσλαβών, ἐπολέμει τέτταρσι Ῥωμαίων στρατηγοῖς· ὑφ' οἷς ἦσαν πεζῶν μὲν δώδεκα μυριάδες, ἱππεῖς δὲ ἑξακισχίλιοι, τοξόται δὲ καὶ σφενδονῆται δισχίλιοι, πύλεις δ' ἀναρίθμητοι τὸ πλῆθος, αὐτὸς εἴκοσι τὰς πάσας ἐν ἀρχῇ κεκτημένος. Ἀλλ' ὅμως ἀσθενὴς οὕτω καὶ μικρὸς ἄρξάμενος, οὐ μόνον ἐθνῶν ἐκράτησε μεγάλων, καὶ

Digitized by Google

πόλεις εἶλε πολλὰς, ἀλλὰ καὶ τῶν ἀντιστρατηγων, Κότταν μὲν ἐν τῷ περὶ τὴν Μελλαρίαν πορθμῷ κατεναυμάχησέ που· Φίδιον δὲ, τὸν ἄρχοντα τῆς Βαιτικῆς, περὶ τὸν Βαῖτιν ἐτρέψατο, δισχιλίους ἀποκτείνας Ῥωμαίων. Δομίτιον δὲ καὶ Λούσιον, ἀνθύπατον ὄντα τῆς ἑτέρας Ἰβηρίας, διὰ τοῦ ταμίου καταγωνισάμενος, καὶ Θωράνιον, ἄλλον ἡγεμόνα τῶν ὑπὸ Μετέλλου πεμφθέντων μετὰ δυνάμεως ἀνεῖλεν. Αὐτόν τε τὸν Μέτελλον, ἄνδρα Ῥωμαίων ἐν τοῖς τότε μέγιστον καὶ δοκιμώτατον, οὐκ ὀλίγοις σφάλμασι περιβαλὼν, εἰς τοσαύτην ἀπορίαν κατέστησεν, ὥστε Λεύκιον μὲν Λόλλιον ἐκ τῆς περὶ Ναρβῶνα Γαλατίας ἐλθεῖν αὐτῷ βοηθὸν, Πομπήϊον δὲ Μάγνον ἐκ Ῥώμης κατὰ τάχος ἀποσταλῆναι μετὰ δυνάμεως. Οὐ γὰρ εἶχεν ὁ Μέτελλος, ὅ τι χρήσαιτο προσπολεμῶν ἀνδρὶ τολμητῇ, πάσης ἐξαναδυομένῳ φανερᾶς μάχης, πᾶσαν δὲ μεταβαλλομένῳ μεταβολὴν εὐσταλίᾳ καὶ κουφότητι τῆς Ἰβηρικῆς στρατιᾶς, αὐτὸς ὁπλιτικῶν καὶ νομίμων ἀσκητὴς γεγονὼς ἀγώνων, καὶ στρατηγὸς ἐμβριθοῦς καὶ μονίμου φάλαγγος, ὥσασθαι μὲν εἰς χεῖρας ἐλθόντας πολεμίους καὶ καταβαλεῖν ἄριστα γεγυμνασμένης, ὀρειβατεῖν δὲ καὶ συνηρτῆσθαι διώξεσι καὶ φυγαῖς ἀπαύστοις ἀνθρώπων ὑπηνεμίων, καὶ λιμὸν ἀνέχεσθαι καὶ δίαιταν ἄπυρον καὶ ἄσκηνον, ὥσπερ ἐκεῖνοι, μὴ δυναμένης.

XIII. Ἔτι δ' αὐτὸς μὲν ἤδη πρεσβύτερος ἦν, καί τι καὶ πρὸς ἀνειμένην ἤδη καὶ τρυφερὰν δίαιταν ἐκ πολλῶν ἀγώνων καὶ μεγάλων ἐνδεδωκώς· τῷ δὲ

Digitized by Google

Σερτωρίῳ συνειστήκει, πνεύματος ἀκμαίου γέμοντι, καὶ κατεσκευασμένον ἔχοντι θαυμασίως τὸ σῶμα ῥώμῃ καὶ τάχει καὶ λιτότητι. Μέθης μὲν γὰρ οὐδὲ ῥᾳθυμῶν ἥπτετο· πόνους δὲ μεγάλους καὶ μακρὰς ὁδοιπορίας καὶ συνεχεῖς ἀγρυπνίας ὀλίγοις εἰθίστο καὶ φαύλοις ἀρκούμενος σιτίοις διαφέρειν. Πλάνοις δὲ χρώμενος ἀεὶ καὶ κυνηγεσίοις, ὁπότε σχολάζοι, πάσης διεκδύσεως φεύγοντι, καὶ διώκοντι κυκλώσεως, ἀβάτων τε καὶ βασίμων τόπων ἐμπειρίαν προσειλήφει. Διὸ τῷ μὲν εἰργομένῳ μάχης, ὅσα νικώμενοι πάσχουσιν ἄνθρωποι, βλάπτεσθαι συνέβαινεν· ὁ δὲ τῷ φεύγειν εἶχε τὰ τῶν διωκόντων. Καὶ γὰρ ὑδρείας ἀπέκοπτε, καὶ σιτολογίας εἶργε, καὶ προϊόντι μὲν ἐμποδὼν ἦν, ἐκίνει δὲ ἱδρυνθέντα, πολιορκοῦντι δ' ἄλλους ἐπιφαινόμενος, ἀντεπολιόρκει ταῖς τῶν ἀναγκαίων ἀπορίαις· ὥστε τοὺς στρατιώτας ἀπαγορεύειν, καὶ, τοῦ Σερτωρίου μονομαχῆσαι προκαλουμένου τὸν Μέτελλον, βοᾶν καὶ κελεύειν μάχεσθαι στρατηγὸν στρατηγῷ, καὶ Ῥωμαῖον Ῥωμαίῳ, ἀναθυόμενον δὲ χλευάζειν. Ὁ δὲ τούτων μὲν, εὖ ποιῶν, κατεγέλα· στρατηγοῦ γὰρ, ὡς ἔφη Θεόφραστος, δεῖ θάνατον ἀποθνήσκειν τὸν στρατηγὸν, οὐ πελταστοῦ τοῦ τυχόντος. Ὁρῶν δὲ τοὺς Λαγγοβρίτας οὐ μικρὰ τῷ Σερτωρίῳ συλλαμβανομένους, δίψῃ δ' ὄντας εὐαλώτους, (ἦν γὰρ ἦν αὐτοῖς φρέαρ ἐν τῇ πόλει, τῶν δ' ἐν τοῖς προαστείοις καὶ παρὰ τὰ τείχη ναμάτων ὁ πολιορκῶν ἐπικρατεῖν ἔμελλεν) ἦκεν ἐπὶ τὴν πόλιν, ὡς ἡμέραις δυσὶ συναιρήσων τὴν πολιορκίαν,

Digitized by Google

ὕδατος οὐκ ὄντος. Διὸ καὶ πέντε ἡμερῶν ἐπιφέρεσθαι σιτία μόνον προείρητο τοῖς στρατιώταις. Ὁ Σερτώριος δ' ὀξέως βοηθήσας, ἐκέλευσε δισχιλίους ἀσκοὺς ὕδατος ἐμπλῆσαι, καθ' ἕκαστον ἀσκὸν ἀργύριον συχνὸν τάξας. Καὶ πολλῶν μὲν Ἰβήρων, πολλῶν δὲ Μαυρουσίων ὑφισταμένων τὸ ἔργον, ἐπιλεξάμενος ἄνδρας εὐρώστους ἅμα καὶ ποδώκεις, ἔπεμψε διὰ τῆς ὀρεινῆς, κελεύσας, ὅταν παραδῶσι τοὺς ἀσκοὺς τοῖς ἐν τῇ πόλει, τὸν ἄχρηστον ὑπεξαγαγεῖν ὄχλον, ὅπως ἐξαρκῇ τοῖς ἀμυνομένοις τὸ ποτόν. Ἐκπύστου δὲ τούτου γενομένου πρὸς τὸν Μέτελλον, ἦχθετο μὲν, ἤδη τὰ ἐπιτήδεια τῶν στρατιωτῶν ὑπαναλωκότων· ἐξέπεμψε δ' ἐπὶ σιτολογίαν Ἀκύϊνον ἑξακισχιλίων ἡγούμενον. Αἰσθόμενος δ' ὁ Σερτώριος, καὶ προλοχίσας τὴν ὁδὸν, ἐπανερχομένῳ τῷ Ἀκυΐνῳ τρισχιλίους ἄνδρας ἔκ τινος συσκίου χαράδρας ἐπανίστησιν. Αὐτὸς δὲ κατὰ στόμα προσβαλὼν τρέπεται, καὶ τοὺς μὲν διαφθείρει, τοὺς δὲ λαμβάνει ζῶντας. Ἀκύϊνον δὲ μετὰ τῶν ὅπλων καὶ τὸν ἵππον ἀποβεβληκότα δεξάμενος Μέτελλος, αἰσχρῶς ἀπῆει, πολλὰ χλευαζόμενος ὑπὸ τῶν Ἰβήρων.

XIV. Ἔκ τε δὴ τούτων θαυμαζόμενος ἠγαπᾶτο παρὰ τοῖς βαρβάροις ὁ Σερτώριος, καὶ ὅτι Ῥωμαϊκοῖς ὁπλισμοῖς καὶ τάξεσι καὶ συνθήμασιν ἀφαιρῶν τὸ μανικὸν καὶ θηριῶδες αὐτῶν τῆς ἀλκῆς, ἀντὶ λῃστηρίου μεγάλου στρατὸν ἐποιεῖτο τὴν δύναμιν. Ἔτι δ' ἀργύρῳ χρώμενος ἀφειδῶς καὶ χρυσῷ κράνη τε κατεκόσμει, καὶ θυρεοὺς αὐτῶν διεποίκιλλε, καὶ

Digitized by Google

χλαμύσιν ἀνθιναῖς καὶ χιτῶσι χρῆσθαι διδάσκων, καὶ χορηγῶν εἰς ταῦτα καὶ συμφιλοκαλῶν ἐδημαγώγει. Μάλιστα δὲ εἶλεν αὐτοὺς τὰ τῶν παίδων. Τοὺς γὰρ εὐγενεστάτους ἀπὸ τῶν ἐθνῶν συναγαγὼν εἰς Ὄσκαν, πόλιν μεγάλην, διδασκάλους ἐπιστήσας Ἑλληνικῶν τε καὶ Ῥωμαϊκῶν μαθημάτων, ἔργῳ μὲν ἐξωμηρεύσατο, λόγῳ δ' ἐπαίδευεν, ὡς ἀνδράσι γενομένοις πολιτείας τε μεταδώσων καὶ ἀρχῆς. Οἱ δὲ πατέρες ἥδοντο θαυμαστῶς, τοὺς παῖδας ἐν περιπορφύροις ὁρῶντες μάλα κοσμίως φοιτῶντας εἰς τὰ διδασκαλεῖα, καὶ τὸν Σερτώριον ὑπὲρ αὐτῶν μισθοὺς τελοῦντα, καὶ πολλάκις ἐπιδείξεις λαμβάνοντα, καὶ γέρα τοῖς ἀξίοις νέμοντα, καὶ τὰ χρυσᾶ περιδέραια δωρούμενον, ἃ Ῥωμαῖοι βούλλας καλοῦσιν. Ἔθους δ' ὄντος Ἰβηρικοῦ, τοὺς περὶ τὸν ἄρχοντα τεταγμένους συναποθνήσκειν αὐτῷ πεσόντι, καὶ τοῦτο τῶν ἐκεῖ βαρβάρων κατάσπεισιν ὀνομαζόντων, τοῖς μὲν ἄλλοις ἡγεμόσιν ὀλίγοι τῶν ὑπασπιστῶν καὶ τῶν ἑταίρων, Σερτωρίῳ δὲ πολλαὶ μυριάδες ἀνθρώπων κατεσπεικότων ἑαυτοὺς ἠκολούθουν. Λέγεται δὲ, πρός τινι πύλει τροπῆς γενομένης, καὶ τῶν πολεμίων ἐπικειμένων, τοὺς Ἴβηρας ἀμελήσαντας αὐτῶν, τὸν Σερτώριον σώζειν, καὶ τοῖς ὤμοις ἐπαραμένους, ἄλλους πρὸ ἄλλων, ἀνακουφίσαι πρὸς τὰ τείχη· γενομένου δ' ἐν ἀσφαλεῖ τοῦ ἄρχοντος, οὕτω τρέπεσθαι πρὸς φυγὴν ἕκαστον αὐτῶν.

XV. Οὐ μόνον δὲ τοῖς Ἴβηρσιν ἦν ποθεινός, ἀλλὰ καὶ τοῖς ἐξ Ἰταλίας στρατευομένοις. Περπέννα

Digitized by Google

γοῦν Οὐέντωνος, ἀπὸ τῆς αὐτῆς Σερτωρίῳ στάσεως εἰς Ἰβηρίαν παραγενομένου μετὰ χρημάτων πολλῶν καὶ μεγάλης δυνάμεως, ἰδίᾳ δὲ καθ' ἑαυτὸν ἐγνωκότος πολεμεῖν πρὸς τὸν Μέτελλον, ἐδυσχέραινον οἱ στρατιῶται, καὶ πολὺς ἦν τοῦ Σερτωρίου λόγος ἐν τῷ στρατοπέδῳ, τὸν Περπένναν ἀνιῶν, εὐγενείᾳ καὶ πλούτῳ τετυφωμένον. Οὐ μὴν ἀλλ' ἐπεὶ Πομπήϊος ἠγγέλλετο τὴν Πυρήνην ὑπερβάλλων, ἀναλαβόντες οἱ στρατιῶται τὰ ὅπλα, καὶ τὰ σημεῖα τῶν τάξεων ἁναρπάσαντες, κατεβόησαν τοῦ Περπέννα, κελεύοντες ὡς τὸν Σερτώριον ἄγειν αὐτούς· εἰ δὲ μὴ, καταλιπόντες ἐκεῖνον ἠπείλουν αὐτοὶ βαδιεῖσθαι πρὸς ἄνδρα σώζεσθαι καὶ σώζειν δυνάμενον. Συγχωρήσας δ' ὁ Περπέννας ἦγαγεν αὐτοὺς, καὶ συνέμιξε τῷ Σερτωρίῳ, πεντήκοντα καὶ τρεῖς ἔχων σπείρας.

XVI. Σερτώριος δὲ, τῶν ἐντὸς Ἴβηρος αὐτῷ ποταμοῦ πάντων δμοῦ τι προστιθεμένων, πλήθει μὲν ἦν μέγας· ἐπέῤῥεον γὰρ ἀεὶ καὶ συνεφέροντο παντα-χόθεν πρὸς αὐτόν· ἀταξίᾳ δὲ βαρβαρικῇ καὶ θρασύτητι ταραττόμενος, ἐπιχειρεῖν τοῖς πολεμίοις βοώντων, καὶ τὴν τριβὴν δυσανασχετούντων, ἐπειρᾶτο παραμυθεῖσθαι διὰ λόγων. Ὡς δ' ὥρα χαλεπαίνοντας καὶ βιαζομένους ἀκαίρως, προήκατο καὶ περιεῖδε συμπλεκομένους τοῖς πολεμίοις· ἐν οἷς οὐ παντελῶς συντριβέντας, ἀλλὰ πληγὰς λαβόντας, ἤλπιζε πρὸς τὰ λοιπὰ κατηκόους μᾶλλον ἕξειν. Ὧν δ' εἴκαζε γενομένων, ἐπιβοηθήσας, ἀνέλαβέ τε φεύγοντας αὐτούς, καὶ κατέστησεν ἀσφαλῶς εἰς τὸ στρα

τύπεδον. Βουλόμενος δὲ καὶ τὴν ἀθυμίαν ἀφελεῖν, μεθ' ἡμέρας ὀλίγας πάνδημον ἐκκλησίαν ἀθροισας, ἵππους εἰσήγαγε δύο, τὸν μὲν ἀσθενῆ τελέως, καὶ πρεσβύτερον ἤδη, τὸν δ' ἕτερον εὐμεγέθη μὲν αὐτὸν καὶ ἰσχυρὸν, θαυμαστὴν δὲ πυκνότητι καὶ κάλλει τριχῶν οὐρὰν ἔχοντα. Παρειστήκει δὲ τῷ μὲν ἀσθενεῖ μέγας ἀνὴρ καὶ ῥωμαλέος, τῷ δ' ἰσχυρῷ μικρὸς ἕτερος, καὶ τὴν ὄψιν εὐκαταφρόνητος. Σημείου δὲ δοθέντος αὐτοῖς, ὁ μὲν ἰσχυρὸς ἀμφοτέραις ταῖς χερσὶ τοῦ ἵππου τὴν κέρκον, ὡς ἀποῤῥήξων, εἵλκε βίᾳ πρὸς αὑτόν· ὁ δ' ἀσθενὴς τοῦ ἰσχυροῦ κατὰ μίαν τῶν τριχῶν ἐξέτιλλεν. Ἐπεὶ δ' ὁ μὲν, οὐκ ὀλίγα πράγματα μάτην ἑαυτῷ καὶ πολὺν γέλωτα τοῖς θεωμένοις παρασχὼν, ἀπεῖπεν, ὁ δ' ἀσθενὴς ἐν ἀκαρεῖ καὶ σὺν οὐδενὶ πόνῳ ψιλὴν τριχῶν ἀπέδειξε τὴν οὐρὰν, ἀναστὰς ὁ Σερτώριος· Ὁρᾶτε, εἶπεν, ἄνδρες σύμμαχοι, τὴν ἐπιμονὴν ἀνυσιμωτέραν τῆς βίας οὖσαν, καὶ πολλὰ τῶν ἀθρόως ἁλήπτων ἐνδιδόντα τῷ κατὰ μικρόν. Ἄμαχον γὰρ τὸ ἐνδελεχὲς, ᾧ πᾶσαν ἐπιὼν ὁ χρόνος αἱρεῖ καὶ κατεργάζεται δύναμιν, εὐμενὴς ὢν σύμμαχος τοῖς δεχομένοις λογισμῷ τὸν καιρὸν αὐτοῦ, τοῖς δ' ἀκαίρως ἐπειγομένοις πολεμιώτατος. Τοιαῦτα μὲν ὁ Σερτώριος ἑκάστοτε πλέκων παραμύθια τοῖς βαρβάροις, διεπαιδαγώγει τὸν καιρόν.

XVII. Οὐδενὸς δὲ ἧττον αὐτοῦ τῶν πολεμικῶν ἔργων ἐθαυμάσθη τὸ περὶ τοὺς λεγομένους Χαρακιτανούς. Εἰσὶ δὲ δῆμος ὑπὲρ τὸν Ταγώνιον ποταμὸν, οὐκ ἄστεσιν, οὐδὲ κώμαις ἐνοικοῦντες, ἀλλὰ λόφοις

Digitized by Google

ἐστὶν εὐμεγέθης καὶ ὑψηλὸς, ἄντρα καὶ κοιλώματα πετρῶν βλέποντα πρὸς βορέαν περιέχων. Ἡ δ' ὑποκειμένη πᾶσα χώρα πηλὸν ἀργιλώδη καὶ γῆν ὑπὸ γαυνότητος εὔθρυπτον ἀναδίδωσιν, οὔτε τοὺς ἐπιβαίνοντας ἀνέχεσθαι καρτερὰν, καὶ μικρὸν ἁψαμένων, ὥσπερ ἄσβεστον, ἢ τέφραν, ἐπὶ πολὺ διαχεομένην. Τῶν οὖν βαρβάρων, ὁσάκις φόβῳ πολέμου καταδύντες εἰς τὰ σπήλαια, καὶ τὴν λείαν εἴσω συναγαγόντες ἀτρεμοῖεν, ὄντων ἀλήπτων ὑπὸ βίας, τὸν δὲ Σερτώριον, τότε διακεκριμένον ἀπὸ τοῦ Μετέλλου, καὶ καταστρατοπεδεύσαντα παρὰ τὸν λόφον, ὑπερφρονούντων, ὡς κεκρατημένον, εἴτε ὑπ' ὀργῆς ἐκεῖνος, εἴτε καὶ μὴ δοκεῖν φεύγειν βουλόμενος, ἅμ' ἡμέρᾳ προσελάσας, κατεσκέπτετο τὸν τόπον. Οὐδαμόθεν δὲ προσβολὴν ἔχοντος, ἄλλως ἀλύων, καὶ κεναῖς χρώμενος ἀπειλαῖς, ὁρᾷ τῆς γῆς ἐκείνης κονιορτὸν ἄνω πολὺν ὑπὸ πνεύματος ἐπ' αὐτοὺς φερόμενον. Τέτραπται μὲν γὰρ, ὡς ἔφην, τὰ σπήλαια πρὸς βορέαν. Ὁ δ' ἀπὸ τῆς ἄρκτου ῥέων ἄνεμος, ὃν Καικίαν ἔνιοι καλοῦσιν, ἐπέχει μάλιστα, καὶ πλεῖστός ἐστι τῶν ἐκεῖ πνευμάτων, ἐξ ὑγρῶν πεδίων καὶ νιφοβόλων συμφυσώμενος ὀρῶν. Τότε δὲ καὶ, θέρους ἀκμάζοντος, ἰσχύων καὶ τρεφόμενος τῇ τῶν ὑπαρκτίων ἀνέσει πάγων, ἥδιστος ἐπέπνει, καὶ κατεῖχεν αὐτούς τε καὶ βοτὰ δι' ἡμέρας ἀναψύχων. Ταῦτα δὴ συλλογιζόμενος ὁ Σερτώριος, καὶ παρὰ τῶν ἐγχωρίων ἀκούων, ἐκέλευσε τοὺς στρατιώτας, τῆς ἀραιᾶς καὶ τεφρώδους γῆς ἐκείνης ἀπο-

Digitized by Google

στῶντας καὶ παραφέροντας καταντικρὺ τοῦ λόφου θῖνα ποιεῖν. ἣν οἱ βάρβαροι χώματος ἐπ' αὐτοὺς εἶναι κατασκευὴν ὑπονοοῦντες, ἐχλεύαζον. Τότε μὲν οὖν ἐργασαμένους τοὺς στρατιώτας ἄχρι νυκτὸς ἀπήγαγεν· ἅμα δ' ἡμέρᾳ πρῶτον μὲν αὖρα μαλακὴ προεπέπνει, διακινοῦσα τῆς συμπεφορημένης γῆς τὸ λειότατον, ὥσπερ ἄχνην, σκιδνάμενον· ἔπειτα σοβαροῦ τοῦ Καικίου πρὸς τὸν ἥλιον ἐκχεομένου, καὶ τῶν λόφων κονιωμένων, ἐπιστάντες οἱ στρατιῶται τόν τε χοῦν ἀνέτρεπον διὰ βάθους, καὶ τὸν πηλὸν ἔκοπτον. Ἔνιοι δὲ καὶ τοὺς ἵππους ἄνω καὶ κάτω διεξήλασαν, ἀνιστάντες τὸ χαύνωμα, καὶ τῇ πνοῇ μετέωρον παραδιδόντες. Ἡ δέ, ὑπολαμβάνουσα πᾶν τὸ θρυπτόμενον καὶ κινούμενον, ἄνω προσέβαλλε τοῖς οἰκήμασι τῶν βαρβάρων, κατὰ θύρας δεχομένοις τὸν Καικίαν. Οἱ δ' ἅτε δὴ τῶν σπηλαίων μίαν ἐκείνην ἀναπνοὴν ἐχόντων, ᾗ τὸ πνεῦμα προσέπιπτε, ταχὺ μὲν ἀπεσκοτοῦντο τὰς ὄψεις, ταχὺ δ' ἀνεπίμπλαντο πνιγώδους ἄσθματος, τραχὺν ἀέρα καὶ πολλῇ κόνει συμπεφυρμένον ἕλκοντες. Ὅθεν ἡμέρας δύο μόλις ἀνασχόμενοι, τῇ τρίτῃ παρέδωκαν ἑαυτούς, οὐ τοσοῦτον Σερτωρίῳ δυνάμεως, ὅσον δόξης, προσθέντες, ὡς τὰ δι' ὅπλων ἀνάλωτα σοφίᾳ κατεργασαμένῳ.

XVIII. Μέχρι μὲν οὖν τοῖς περὶ Μέτελλον ἐπολέμει, τὰ πλεῖστα κατευτυχεῖν ἐδόκει, γήρᾳ καὶ φυσικῇ βραδυτῆτι τοῦ Μετέλλου πρὸς ἄνδρα τολμητην, καὶ λῃστρικῆς μᾶλλον, ἢ στρατιωτικῆς, ἡγούμενον

Digitized by Google

δυνάμεως, οὐκ ἀναφέροντος· ἐπεὶ δὲ καὶ Πομπηΐῳ τὴν Πυρήνην ὑπερβαλόντι παραστρατοπεδεύσας, καὶ πᾶσαν ἅμα μὲν διδοὺς, ἅμα δὲ λαμβάνων στρατηγικῶν παλαισμάτων πεῖραν, ἀντιτεχνώμενός τε καὶ φυλαττόμενος πλεῖον εἶχε κομιδῇ διεβοήθη μέχρι Ῥώμης, ὡς δεινότατος ὢν πόλεμον μεταχειρίσασθαι τῶν τότε στρατηγῶν. Οὐ γάρ τι μικρὸν ἦν τὸ Πομπηΐου κλέος, ἀλλ' ἤνθει τότε μάλιστα πρὸς δόξαν ἐκ τῶν περὶ Σύλλαν ἀνδραγαθημάτων· ἐφ' οἷς καὶ Μάγνος ὑπ' αὐτοῦ, τουτέστι μέγας, ἐπωνομάσθη, τιμῶν τε θριαμβικῶν οὔπω γενειῶν ἔτυχεν. Ὅθεν καὶ πολλαὶ τῶν ὑπὸ Σερτωρίῳ πόλεων ἀποβλέψασαι πρὸς αὐτὸν, ὁρμὴν μεταβολῆς ἔσχον, εἶτ' ἐπαύσαντο, τοῦ περὶ Λαύρωνα πάθους παρὰ πᾶσαν ἐλπίδα συμβάντος. Σερτωρίου γὰρ πολιορκοῦντος αὐτοὺς, ἦκε Πομπήϊος παυστρατιᾷ βοηθήσων, εἶτα ὁ μὲν λόφον εὖ δοκοῦντα πεφυκέναι κατὰ τῆς πόλεως προληψόμενος, ὁ δὲ τοῦτο κωλύσων ἠπείγετο. Τοῦ δὲ Σερτωρίου φθάσαντος, ἐπιστήσας τὸν στρατὸν ὁ Πομπήϊος, ἔχαιρε τῇ συντυχίᾳ, νομίζων ἐν μέσῳ τῆς πόλεως καὶ τῆς αὐτοῦ στρατιᾶς ἀπειλῆφθαι τὸν Σερτώριον· καὶ πρὸς τοὺς Λαυρωνίτας εἰσέπεμψε, θαῤῥεῖν κελεύων, καὶ καθῆσθαι περὶ τὰ τείχη θεωμένους πολιορκούμενον Σερτώριον. Ἐκεῖνος δ' ἀκούσας ἐγέλασε, καὶ τὸν Σύλλα μαθητὴν (οὕτω γὰρ τὸν Πομπήϊον ἐπισκώπτων προσηγόρευεν) αὐτὸς ἔφη διδάξειν, ὅτι δεῖ τὸν στρατηγὸν κατόπιν μᾶλλον, ἢ κατὰ πρόσωπον, βλέπειν. Ταῦτα δὲ λέγων. ἅμα

Digitized by Google

τοῖς πολιορκουμένοις ἐπεδείκνυεν ἑξακισχιλίους ὁπλίτας ὑπ' αὐτοῦ καταλελειμμένους ἐπὶ τοῦ προτέρου χάρακος, ὅθεν ὁρμηθεὶς κατειλήφει τὸν λόφον· ὅπως ἐπὶ σφᾶς τρεπομένῳ τῷ Πομπηΐῳ κατὰ νώτου προσπέσοιεν. Ὁ δὴ καὶ Πομπήϊος ὀψὲ μάλα συμφρονήσας, ἐπιχειρεῖν μὲν οὐκ ἐθάῤῥει, κύκλωσιν δεδοικὼς, ἀπολιπεῖν δ' ἠσχύνετο κινδυνεύοντας ἀνθρώπους· παρὼν δὲ καὶ καθήμενος ἠναγκάζετο ὁρᾶν ἀπολλυμένους. Ἀπέγνωσαν γὰρ αὐτοὺς οἱ βάρβαροι, καὶ τῷ Σερτωρίῳ παρέδωκαν. Ὁ δὲ τῶν μὲν σωμάτων ἐφείσατο, καὶ πάντας ἀφῆκε, τὴν δὲ πόλιν κατέπρησεν, οὐχ ὑπ' ὀργῆς, οὐδ' ὠμότητος, (ἐλάχιστα γὰρ δοκεῖ θυμῷ χαρίσασθαι τῶν στρατηγῶν οὗτος ἀνὴρ) ἀλλ' ἐπ' αἰσχύνῃ καὶ κατηφείᾳ τῶν τεθαυμακότων Πομπήϊον· ἵνα ᾖ λόγος ἐν τοῖς βαρβάροις, ὅτι παρὼν ἐγγὺς καὶ μονονοὺ θερμαινόμενος τῷ πυρὶ τῶν συμμάχων οὐ προσήμυνεν.

XIX. Ἧτται μὲν οὖν τῷ Σερτωρίῳ πλείονες συνέβαινον, αὐτὸν μὲν ἀήττητον ἀεὶ φυλάττοντι, καὶ τοὺς καθ' αὑτὸν, θρασυομένῳ δὲ περὶ τοὺς ἄλλους ἡγεμόνας. Ἐκ δὲ ὧν ἐπηνωρθοῦτο τὰς ἥττας, μᾶλλον ἐθαυμάζετο νικώντων τῶν ἀντιστρατήγων, οἷον ἐν τῇ περὶ Σούκρωνα μάχῃ πρὸς Πομπήϊον, καὶ πάλιν ἐν τῇ περὶ Τουττίαν, πρός τε τοῦτον ὁμοῦ καὶ Μέτελλον. Ἡ μὲν οὖν περὶ Σούκρωνα μάχη λέγεται γενέσθαι τοῦ Πομπηΐου κατεπείξαντος, ὡς μὴ μετάσχοι τῆς νίκης Μέτελλος. Ὁ δὲ Σερτώριος ἐβούλετο μὲν τῷ Πομπηΐῳ, πρὶν ἐπελθεῖν τὸν Μέ-

Digitized by Google

τελλον, διαγωνίσασθαι· ἐπαγαγὼν δ' ἑσπέρας ἤδη συνέβαλεν, οἰόμενος, ξένοις οὖσι καὶ ἀπείροις τῶν χωρίων τοῖς πολεμίοις τὸ σκότος ἔσεσθαι καὶ φεύγουσιν ἐμπόδιον καὶ διώκουσι. Γενομένης δὲ τῆς μάχης ἐν χερσὶν, ἔτυχε μὲν οὐ πρὸς Πομπήϊον αὐτὸς, ἀλλὰ πρὸς Ἀφράνιον ἐν ἀρχῇ συνεστηκὼς, ἔχοντα τὸ ἀριστερὸν, αὐτὸς ἐπὶ τοῦ δεξιοῦ τεταγμένος. Ἀκούσας δὲ, τῷ Πομπηΐῳ τοὺς συνεστῶτας ὑποχωρεῖν ἐγκειμένῳ καὶ κρατεῖσθαι, τὸ μὲν δεξιὸν ἐπ' ἄλλοις ἐποιήσατο στρατηγοῖς, πρὸς δ' ἐκεῖνο τὸ νικώμενον αὐτὸς ἐβοηδρόμει. Καὶ τοὺς μὲν ἤδη τρεπομένους, τοὺς δ' ἔτι μένοντας ἐν τάξει, συναγαγὼν καὶ ἀναθαῤῥύνας, ἐξ ὑπαρχῆς ἐνέβαλε τῷ Πομπηΐῳ διώκοντι, καὶ φυγὴν ἐποιήσατο πολλήν· ὅτε καὶ Πομπήϊος, ἐγγὺς ἐλθὼν ἀποθανεῖν, καὶ τραυματισθεὶς, παραλόγως διέφυγεν. Οἱ γὰρ μετὰ Σερτωρίου Λίβυες, ὡς ἔλαβον αὐτοῦ τὸν ἵππον χρυσῷ κεκοσμημένον, καὶ φαλάρων ἀνάπλεων πολυτελῶν, ἐν τῷ διανέμεσθαι καὶ διαφέρεσθαι πρὸς ἀλλήλους, προήκαντο τὴν δίωξιν. Ἀφράνιος δὲ τοὺς ἀνθεστῶτας πρὸς αὐτὸν, ἅμα τῷ Σερτώριον ἀπελθεῖν ἐπὶ θάτερα βοηθοῦντα, τρεψάμενος εἰς τὸ στρατόπεδον κατήῤῥαξε· καὶ συνεισπεσὼν, ἐπόρθει σκότους ἤδη ὄντος, μήτε τὴν Πομπηΐου φυγὴν εἰδὼς, μήτε τοὺς στρατιώτας τῆς ἁρπαγῆς ἐπισχεῖν δυνάμενος. Ἐν τούτῳ δὲ Σερτώριος ἀνέστρεφε, τὸ καθ' αὑτὸν νενικηκώς· καὶ τοῖς Ἀφρανίου δι' ἀταξίαν ταρασσομένοις ἐπιπεσὼν, πολλοὺς διέφθειρε. Πρωῒ δ' αὖθις ἐξοπλισθεὶς ἐπὶ

Digitized by Google

μάχην κατέβαινεν· εἶτα Μέτελλον αἰσθόμενος ἐγγὺς εἶναι, λύσας τὴν τάξιν, ἀνέζευξεν, εἰπών· „Ἀλλ' ἔγωγε τὸν παῖδα τοῦτον, εἰ μὴ παρῆν ἡ γραῦς ἐκείνη, πληγαῖς ἂν νουθετήσας εἰς Ῥώμην ἀπεστάλκειν."

XX. Ἠθύμει δὲ δεινῶς διὰ τὸ μηδαμοῦ φανερὰν τὴν ἔλαφον ἐκείνην εἶναι. Μηχανῆς γὰρ ἐπὶ τοὺς βαρβάρους ἐστέρητο θαυμαστῆς, τότε δὴ μάλιστα παραμυθίας δεομένους. Εἶτα μέντοι νυκτὸς ἄλλως πλανώμενοί τινες ἐπιτυγχάνουσιν αὐτῇ, καὶ γνωρίσαντες ἀπὸ τῆς χρόας λαμβάνουσιν. Ἀκούσας δ' ὁ Σερτώριος, ἐκείνοις μὲν ὡμολόγησεν, ἂν μηδενὶ φράσωσι, χρήματα πολλὰ δώσειν· ἀποκρύψας δὲ τὴν ἔλαφον, καὶ διαλιπὼν ὀλίγας ἡμέρας, προῆει μάλα φαιδρὸς ἀπ' ὄψεως ἐπὶ τὸ βῆμα, διηγούμενος τοῖς ἡγεμόσι τῶν βαρβάρων, ὡς ἀγαθόν τι μέγα τοῦ θεοῦ προμηνύοντος αὐτῷ κατὰ τοὺς ὕπνους· εἶτ' ἀναβὰς ἐπὶ τὸ βῆμα, τοῖς ἐντυγχάνουσιν ἐχρημάτιζεν. Ἡ δ' ἔλαφος, ὑπὸ τῶν φυλαττόντων αὐτὴν ἐγγὺς ἀφεθεῖσα, καὶ κατιδοῦσα τὸν Σερτώριον, ἐχώρει δρόμῳ περιχαρὴς πρὸς τὸ βῆμα, καὶ παραστᾶσα τὴν κεφαλὴν ἐπέθηκε τοῖς γόνασιν αὐτοῦ, καὶ τῷ στόματι τῆς δεξιᾶς ἔψαυεν, εἰθισμένη καὶ πρότερον τοῦτο ποιεῖν. Ἀντιφιλοφρονουμένου δὲ τοῦ Σερτωρίου πιθανῶς, καί τι καὶ δακρύσαντος, ἔκπληξις εἶχε τοὺς παρόντας τὸ πρῶτον· εἶτα κρότῳ καὶ βοῇ τὸν Σερτώριον, ὡς δαιμόνιον ἄνδρα καὶ θεοῖς φίλον, οἴκαδε προπέμψαντες, ἐν εὐθυμίαις καὶ χρηστοῖς ἐλπίσιν ἦσαν.

Digitized by Google

XXI. Ἐν δὲ τοῖς τῶν Σαγουντίνων πεδίοις εἰς τὰς ἐσχάτας ἀπορίας κατακεκλεικὼς τοὺς πολεμίους, ἠναγκάσθη συμβαλεῖν αὐτοῖς καταβαίνουσιν ἐφ' ἁρπαγὴν καὶ σιτολογίαν. Ἠγωνίσθη δὲ λαμπρῶς παρ' ἀμφοτέρων. Καὶ Μέμμιος μὲν, ὁ τῶν ὑπὸ Πομπηΐῳ στρατηγῶν ἡγεμονικώτατος, ἐν τῷ καρτερωτάτῳ τῆς μάχης ἔπεσεν· ἐκράτει δὲ Σερτώριος, καὶ φόνῳ πολλῷ τῶν ἔτι συνεστώτων ἐωθεῖτο πρὸς αὐτὸν τὸν Μέτελλον. Ὁ δὲ, καὶ παρ' ἡλικίαν ὑποστὰς καὶ περιφανῶς ἀγωνιζόμενος, παίεται δόρατι. Τοῦτο τοὺς μὲν ἰδόντας τῶν Ῥωμαίων, τοὺς δ' ἀκούσαντας αἰδὼς ἔσχεν ἐγκαταλιπεῖν τὸν ἡγεμόνα, καὶ θυμὸς ἅμα πρὸς τοὺς πολεμίους παρέστη. Προθέμενοι δὲ τοὺς θυρεοὺς, καὶ συνεξενεγκόντες εὐρώστως, ἐξωθοῦσι τοὺς Ἴβηρας· καὶ γενομένης οὕτω παλιντρόπου τῆς νίκης, ὁ Σερτώριος ἐκείνοις τε φυγὰς ἀδεεῖς μηχανώμενος, καὶ τεχνάζων ἑτέραν αὐτῷ δύναμιν συνελθεῖν ἐφ' ἡσυχίας, εἰς πόλιν ὀρεινὴν καὶ καρτερὰν ἀναφυγὼν, ἐφράγνυτο τὰ τείχη, καὶ τὰς πύλας ὠχυροῦτο, πάντα μᾶλλον, ἢ πολιορκίαν, ὑπομένειν διανοούμενος, ἀλλ' ἐξηπάτα τοὺς πολεμίους. Ἐκείνῳ γὰρ προσκαθεζόμενοι, καὶ τὸ χωρίον οὐ χαλεπῶς λήψεσθαι προσδοκῶντες, τούς τε φεύγοντας τῶν βαρβάρων προΐεντο, καὶ τῆς ἀθροιζομένης αὖθις τῷ Σερτωρίῳ δυνάμεως ἠμέλησαν. Ἠθροίζετο δὲ, πέμψαντος ἡγεμόνας ἐπὶ τὰς πόλεις αὐτοῦ, καὶ κελεύοντος, ὅταν ἤδη πολλοὺς ἔχωσιν, ἄγγελον ἀποστεῖλαι πρὸς αὐτόν. Ἐπεὶ δ' ἀπέστειλαν, σὺν οὐδενὶ πόνῳ διεκπαισάμενος τοὺς

Digitized by Google

πολεμίους, συνέμιξε τοῖς ἑαυτοῦ· καὶ πάλιν ἐπῆλθε πολὺς γεγονὼς, καὶ περιέκοπτεν αὐτῶν τὴν μὲν ἀπὸ τῆς γῆς εὐπορίαν, ἐνέδραις καὶ κυκλώσεσι, καὶ τῷ πανταχόσε φοιτᾷν, ὀξὺς ἐπιὼν· τὰ δ' ἐκ θαλάττης, λῃστρικοῖς σκάφεσι κατέχων τὴν παραλίαν. Ὥστ' ἠναγκάσθησαν οἱ στρατηγοὶ διαλυθέντες, ὁ μὲν εἰς Γαλατίαν ἀπελθεῖν, Πομπήϊος δὲ περὶ Βακκαίους διαχειμάσαι μοχθηρῶς ὑπ' ἀχρηματίας, γράφων πρὸς τὴν σύγκλητον, ὡς ἀπάξει τὸν στρατὸν, εἰ μὴ πέμποιεν ἀργύριον αὐτῷ· καταναλωκέναι γὰρ ἤδη τὰ αὑτοῦ, προπολεμῶν τῆς Ἰταλίας. Καὶ πολὺς ἦν οὗτος ἐν Ῥώμῃ λόγος, ὡς Πομπηΐου πρότερος εἰς Ἰταλίαν ἀφίξοιτο Σερτώριος. Εἰς τοσοῦτον τοὺς πρώτους καὶ δυνατωτάτους τῶν τότε στρατηγῶν ἡ Σερτωρίου δεινότης κατέστησεν.

XXII. Ἐδήλωσε δὲ καὶ Μέτελλος, ἐκπεπληγμένος τὸν ἄνδρα καὶ μέγαν ἡγούμενος. Ἐπεκήρυξε γὰρ, εἴ τις αὐτὸν ἀνέλοι Ῥωμαῖος, ἑκατὸν ἀργυρίου τάλαντα δώσειν, καὶ πλέθρα δισμύρια γῆς· εἰ δὲ φυγὰς, κάθοδον εἰς Ῥώμην· ὡς ἀπογνώσει φανερᾶς ἀμύνης ὠνούμενος τὸν ἄνδρα διὰ προδοσίας. Ἔτι δὲ νικήσας ποτὲ μάχῃ τὸν Σερτώριον, οὕτως ἐπήρθη, καὶ τὴν εὐτυχίαν ἠγάπησεν, ὥστ' αὐτοκράτωρ ἀναγορευθῆναι· θυσίαις δ' αὐτὸν αἱ πόλεις ἐπιφοιτῶντα καὶ βωμοῖς ἐδέχοντο. Λέγεται δὲ καὶ στεφάνων ἀναδέσεις προσίεσθαι, καὶ δείπνων σοβαρωτέρων ὑποδοχὰς, ἐν οἷς ἐσθῆτα θριαμβικὴν ἔχων ἔπινε, καὶ νῖκαι πεποιημέναι δι' ὀργάνων ἐπιδρόμων χρυ-

Digitized by Google

σια τρόπαια καὶ στεφάνους διαφέρουσαι κατήγοντο, καὶ χοροὶ παίδων καὶ γυναικῶν ἐπινικίους ὕμνους ᾖδον εἰς αὐτόν. Ἐφ' οἷς εἰκότως ἦν καταγέλαστος, εἰ δραπέτην Σύλλα, καὶ λείψανον τῆς Κάρβωνος φυγῆς ἀποκαλῶν τὸν Σερτώριον, οὕτω κεχαύνωται καὶ περιχαρὴς γέγονεν, ὑποχωρήσαντος αὐτοῦ περιγενόμενος. Μεγαλοφροσύνης δὲ τοῦ Σερτωρίου πρῶτον μέν, τὸ τοὺς φεύγοντας ἀπὸ Ῥώμης βουλευτὰς καὶ παρ' αὐτῷ διατρίβοντας σύγκλητον ἀναγορεῦσαι, ταμίας τε καὶ στρατηγοὺς ἐξ ἐκείνων ἀποδεικνύναι, καὶ πάντα τοῖς πατρίοις νόμοις τὰ τοιαῦτα κοσμεῖν· ἔπειτα, τὸ χρώμενον ὅπλοις, καὶ χρήμασι, καὶ πόλεσι ταῖς Ἰβήρων, μηδ' ἄχρι λόγου τῆς ἄκρας ἐξουσίας ὑφίεσθαι πρὸς αὐτούς, Ῥωμαίους δὲ καθιστάναι στρατηγοὺς καὶ ἄρχοντας αὐτῶν, ὡς Ῥωμαίοις ἀνακτώμενον τὴν ἐλευθερίαν, οὐκ ἐκείνους αὔξοντα κατὰ Ῥωμαίων. Καὶ γὰρ ἦν ἀνὴρ φιλόπατρις, καὶ πολὺν ἔχων ἵμερον τοῦ κατελθεῖν· ἀλλὰ δυσπραγῶν μὲν ἠνδραγάθει, καὶ ταπεινὸν οὐδὲν ἔπραττε πρὸς τοὺς πολεμίους· ἐν δὲ ταῖς νίκαις διεπέμπετο πρὸς Μέτελλον καὶ πρὸς Πομπήϊον, ἕτοιμος ὢν τὰ ὅπλα καταθέσθαι, καὶ βιοῦν ἰδιώτης καθόδου τυχών· μᾶλλον γὰρ ἐθέλειν ἀσημότατος ἐν Ῥώμῃ πολίτης, ἢ φεύγων τὴν ἑαυτοῦ, πάντων ὁμοῦ τῶν ἄλλων αὐτοκράτωρ ἀναγορεύεσθαι. Λέγεται δ' οὐχ ἥκιστα τῆς πατρίδος ἐπιθυμεῖν διὰ τὴν μητέρα, τραφεὶς ὀρφανὸς ὑπ' αὐτῇ, καὶ τὸ σύμπαν ἀνακείμενος ἐκείνῃ. Καλούντων δὲ τῶν περὶ τὴν Ἰβηρίαν φίλων

Digitized by Google

αὐτὸν ἐφ' ἡγεμονίᾳ, πυθόμενος τὴν τελευτὴν τῆς μητρὸς, ὀλίγον ἐδέησεν ὑπὸ λύπης προέσθαι τὸν βίον. Ἑπτὰ γὰρ ἡμέρας οὔτε σύνθημα δοὺς, οὔτ' ὀφθείς τινι τῶν φίλων ἔκειτο· καὶ μόλις οἱ συστράτηγοι καὶ δημότιμοι τὴν σκηνὴν περιστάντες ἠνάγκασαν αὐτὸν προελθόντα, τοῖς στρατιώταις ἐντυχεῖν, καὶ τῶν πραγμάτων εὖ φερομένων ἀντιλαμβάνεσθαι. Διὸ καὶ πολλοῖς ἔδοξεν, ἥμερος ἀνὴρ φύσει γεγονὼς, καὶ πρὸς ἡσυχίαν ἔχων ἐπιεικῶς, δι' αἰτίας παρὰ γνώμην ταῖς στρατηγικαῖς ἀρχαῖς χρῆσθαι, καὶ μὴ τυγχάνων ἀδείας, ἀλλὰ συνελαυνόμενος ὑπὸ τῶν ἐχθρῶν εἰς τὰ ὅπλα, φρουρὰν ἀναγκαίαν τοῦ σώματος περιβαλέσθαι τὸν πόλεμον.

XXIII. Ἦν δὲ καὶ τὰ πρὸς Μιθριδάτην αὐτοῦ πολιτεύματα μεγαλοφροσύνης. Ἐπεὶ γὰρ ἐκ τοῦ κατὰ Σύλλαν σφάλματος ὁ Μιθριδάτης ὥσπερ εἰς πάλαισμα δεύτερον ἀνιστάμενος, αὖθις ἐπεχείρησε τῇ Ἀσίᾳ, μέγα δ' ἤδη τὸ Σερτωρίου κλέος ἐφοίτα πανταχόσε, καὶ τῶν περὶ αὐτοῦ λόγων, ὥσπερ φορτίων ξενικῶν, οἱ πλέοντες ἀπὸ τῆς ἑσπέρας ἀναπεπλήκεσαν τὸν Πόντον· ὥρμητο διαπρεσβεύσασθαι πρὸς αὐτὸν, ἐπῃρμένος μάλιστα ταῖς τῶν κολάκων ἀλαζονείαις, οἳ τὸν μὲν Σερτώριον Ἀννίβᾳ, τὸν δὲ Μιθριδάτην Πύρρῳ παρεικάζοντες, οὐκ ἂν ἔφασαν Ῥωμαίους πρὸς τηλικαύτας δμοῦ φύσεις τε καὶ δυνάμεις, ἐπιχειρουμένους διχόθεν, ἀντισχεῖν, τοῦ δεινοτάτου στρατηγοῦ τῷ μεγίστῳ τῶν βασιλέων προσγενομένου. Πέμπει δὴ πρέσβεις ὁ Μιθριδάτης εἰς

Digitized by Google

Ἰβηρίαν, γράμματα Σερτωρίῳ καὶ λόγους κομίζοντας, δι' ὧν αὐτὸς μὲν ἐπηγγέλλετο χρήματα καὶ ναῦς παρέξειν εἰς τὸν πόλεμον, ὑπ' ἐκείνου δ' ἠξίου τὴν Ἀσίαν αὐτῷ βεβαιοῦσθαι πᾶσαν, ἧς ὑπεχώρησε Ῥωμαίοις κατὰ τὰς πρὸς Σύλλαν γενομένας συνθήκας. Ἀθροίσαντος δὲ Σερτωρίου βουλὴν, ἣν σύγκλητον ὠνόμαζε, καὶ τῶν ἄλλων δέχεσθαι τὰς προκλήσεις καὶ ἀγαπᾶν κελευόντων, (ὄνομα γὰρ καὶ γράμμα κενὸν αἰτουμένους περὶ τῶν οὐκ ὄντων ἐπ' αὐτοῖς, ἀντὶ τούτων λαμβάνειν, ὧν μάλιστα δεόμενοι τυγχάνουσιν) οὐκ ἠνέσχετο ὁ Σερτώριος, ἀλλὰ Βιθυνίαν μὲν ἔφη καὶ Καππαδοκίαν λαμβάνοντι Μιθριδάτῃ μὴ φθονεῖν, ἔθνη βασιλευόμενα καὶ μηδὲν προσήκοντα Ῥωμαίοις· ἣν δὲ τῷ δικαιοτάτῳ τρόπῳ Ῥωμαίων κεκτημένων ἐπαρχίαν, ἀφελόμενος καὶ κατασχὼν, πολεμῶν μὲν ἐξέπεσεν ὑπὸ Φιμβρίου, σπενδόμενος δὲ πρὸς Σύλλαν ἀφῆκε, ταύτην οὐκ ἔφη περιόψεσθαι πάλιν ὑπ' ἐκείνῳ γενομένην· δεῖν γὰρ μὴ ξεσθαι τὴν πόλιν ὑπ' αὐτοῦ κρατοῦντος, οὐκ ἐλαττώσει τῶν ἐκείνης κρατεῖν αὐτόν. Γενναίῳ γὰρ ἀνδρὶ μετὰ τοῦ καλοῦ νικᾶν αἱρετόν· αἰσχρῶς δ' οὐδὲ σώζεσθαι.

XXIV. Ταῦτ' ἀπαγγελθέντα Μιθριδάτης διὰ θάμβους ἐποιεῖτο· καὶ λέγεται μὲν εἰπεῖν πρὸς τοὺς φίλους· „Τί δῆτα προστάξει Σερτώριος ἐν Παλατίῳ καθεζόμενος, εἰ νῦν εἰς τὴν Ἀτλαντικὴν ἐξεωσμένος θάλασσαν, ὅρους ἡμῶν τῇ βασιλείᾳ τίθησι, καὶ πειρωμένοις Ἀσίας ἀπειλεῖ πόλεμον;" Οὐ μὴν ἀλλὰ γίνονταί γε συνθῆκαι καὶ ὅρκοι, Καππαδοκίαν καὶ

Digitized by Google

Βιθυνίαν ἔχειν Μιθριδάτην, Σερτωρίου στρατηγὸν αὐτῷ καὶ στρατιώτας πέμποντος. Σερτώριον δὲ παρὰ Μιθριδάτου λαβεῖν τρισχίλια τάλαντα καὶ τεσσαράκοντα ναῦς. Πέμπεται δὲ καὶ στρατηγὸς εἰς Ἀσίαν ὑπὸ Σερτωρίου τῶν ἀπὸ βουλῆς πεφευγότων πρὸς αὐτὸν, Μάρκος Μάριος· ᾧ συνεξελὼν τινὰς πόλεις τῶν Ἀσιάδων ὁ Μιθριδάτης, εἰσελαύνοντι μετὰ ῥάβδων καὶ πελέκεων αὐτὸς εἵπετο, δευτέραν τάξιν καὶ σχῆμα θεραπεύοντος ἑκουσίως ἀνειληφώς. Ὁ δὲ τὰς μὲν ἠλευθέρου, ταῖς δ' ἀτέλειαν γράφων χάριτι Σερτωρίου κατήγγελλεν· ὥστε τὴν Ἀσίαν αὖθις, ἐνοχλουμένην μὲν ὑπὸ τῶν τελωνῶν, βαρυνομένην δὲ ταῖς πλεονεξίαις καὶ ὑπερηφανίαις τῶν ἐπισκήνων, ἀναπτερωθῆναι πρὸς τὴν ἐλπίδα, καὶ ποθεῖν τὴν προσδοκωμένην μεταβολὴν τῆς ἡγεμονίας.

XXV. Ἐν δ' Ἰβηρίᾳ τῶν περὶ Σερτώριον συγκλητικῶν καὶ ἰσοτίμων, ὡς πρῶτον εἰς ἀντίπαλον ἐλπίδα κατέστησαν, ἐπανέντος τοῦ φόβου, φθόνος ἥπτετο καὶ ζῆλος ἀνόητος τῆς ἐκείνου δυνάμεως. Ἐνῆγε δὲ Περπέννας, δι' εὐγένειαν ἐπαιρόμενος φρονήματι κενῷ πρὸς τὴν ἡγεμονίαν, καὶ λόγους μοχθηροὺς διεδίδου κρύφα ταῖς ἐπιτηδείοις· „Τίς ἄρα πονηρὸς ἡμᾶς ὑπολαβὼν ἐκ κακῶν εἰς χείρονα φέρει δαίμων, οἳ Σύλλᾳ μὲν, ὁμοῦ τι συμπάσης ἄρχοντι γῆς καὶ θαλάττης, προιεῖν τὸ προσταττόμενον οὐκ ἠξιοῦμεν, οἴκοι μένοντες, δεῦρο δὲ φθαρέντες, ὡς ἐλεύθεροι βιωσόμενοι, δουλεύομεν ἑκουσίως, τὴν Σερτωρίου δορυφοροῦντες φυγὴν, ὄνομα χλευαζόμενον ὑπὸ τῶν ἀκουόντων,

Digitized by Google

σύγκλητος ὄντες, ὕβρεις δὲ καὶ προστάγματα καὶ πόνους οὐκ ἐλάττονας Ἰβήρων καὶ Λυσιτανῶν ὑπομένοντες;" Τοιούτων ἀναπιμπλάμενοι λύγων οἱ πολλοὶ, φανερῶς μὲν οὐκ ἀφίσταντο, δεδοικότες αὐτοῦ τὴν δύναμιν· κρύφα δὲ τάς τε πρίξεις ἐλυμαίνοντο, καὶ τοὺς βαρβάρους ἐκάκουν, κολάζοντες πικρῶς καὶ δασμολογοῦντες, ὡς Σερτωρίου κελεύοντος. Ἐξ ὧν ἀποστάσεις ἐγίνοντο καὶ ταραχαὶ περὶ τὰς πόλεις. Οἱ δὲ πεμπόμενοι ταῦτα θεραπεύειν καὶ ἀποπραΰνειν ἐπανήρχοντο πλείονας ἐξειργασμένοι πολέμους, καὶ τὰς ὑπαρχούσας ηὐξηκότες ἀπειθείας· ὥστε τὸν Σερτώριον ἐκ τῆς προτέρας ἐπιεικείας καὶ πραότητος μεταβαλόντα, περὶ τοὺς ἐν Ὄσκῃ τρεφομένους παρανομῆσαι παῖδας τῶν Ἰβήρων, τοὺς μὲν ἀνελόντα, τοὺς δ' ἀποδόμενον.

XXVI. Ὁ δὲ Περπέννας, πλείονας ἀνωμότους ἔχων πρὸς τὴν ἐπίθεσιν, προσάγεται καὶ Μάλλιον, ἕνα τῶν ἐφ' ἡγεμονίας. Οὗτος ἐρῶν τινος τῶν ἐν ὥρᾳ μειρακίου, καὶ φιλοφρονούμενος πρὸς αὐτὸ φράζει τὴν ἐπιβουλὴν, κελεύων, ἀμελήσαντα τῶν ἄλλων ἐραστῶν, αὐτῷ μόνῳ προσέχειν, ὡς ἐντὸς ἡμερῶν ὀλίγων μεγάλῳ γενησομένῳ. Τὸ δὲ μειράκιον ἑτέρῳ τινὶ τῶν ἐραστῶν, Αὐφιδίῳ, μᾶλλον προσπεπονθὸς, ἐκφέρει τὸν λόγον. Ἀκούσας δ' ὁ Αὐφίδιος ἐξεπλάγη· καὶ γὰρ αὐτὸς μετεῖχε τῆς ἐπὶ Σερτώριον συνωμοσίας, οὐ μέντοι τὸν Μάλλιον ἐγίνωσκε μετέχοντα. Περπένναν δὲ καὶ Γρακῖνον καί τινας ἄλλους, ὧν αὐτὸς ᾔδει συνωμοτῶν, ὀνομάζοντος τοῦ μειρακίου,

Digitized by Google

διαταραχθεὶς, πρὸς ἐκεῖνον μὲν ἐξεφλαύριζε τὸν λόγον, καὶ παρεκάλει τοῦ Μαλλίου καταφρονεῖν, ὡς κενοῦ καὶ ἀλαζόνος· αὐτὸς δὲ πρὸς τὸν Περπένναν πορευθεὶς, καὶ φράσας τὴν ἀξύτητα τοῦ καιροῦ καὶ τὸν κίνδυνον, ἐκέλευσεν ἐπιχειρεῖν. Οἱ δ' ἐπείθοντο, καὶ παρασκευάσαντες ἄνθρωπον γράμματα κομίζοντα τῷ Σερτωρίῳ προσήγαγον. Ἐδήλου δὲ τὰ γράμματα νίκην τινὸς τῶν ὑπ' αὐτῷ στρατηγῶν, καὶ φόνον πολὺν τῶν πολεμίων. Ἐφ' οἷς τοῦ Σερτωρίου περιχαροῦς ὄντος, καὶ θύοντος εὐαγγέλια, Περπέννας ἑστίασιν αὐτῷ καὶ τοῖς παροῦσι φίλοις (οὗτοι δ' ἦσαν ἐκ τῆς συνωμοσίας) ἐπηγγέλλετο, καὶ πολλὰ λιπαρήσας, ἔπεισεν ἐλθεῖν. Ἀεὶ μὲν οὖν τὰ μετὰ Σερτωρίου δεῖπνα πολλὴν εἶχεν αἰδῶ καὶ κόσμον, οὔτε ὁρᾷν τι τῶν αἰσχρῶν, οὔτ' ἀκούειν, ὑπομένοντος, ἀλλὰ καὶ τοὺς συνόντας εὐτάκτοις καὶ ἀνυβρίστοις παιδιαῖς χρῆσθαι καὶ φιλοφροσύνης ἐθίζοντος. Τότε δὲ, τοῦ πότου μεσοῦντος, ἀρχὴν ἁψιμαχίας ζητοῦντες, ἀναφανδὸν ἀκολάστοις ἐχρῶντο ῥήμασι· καὶ πολλὰ προσποιούμενοι μεθύειν ἠσέλγαινον, ὡς παροξυνοῦντες ἐκεῖνον. Ὁ δ', εἴτε δυσχεραίνων τὴν ἀκοσμίαν, εἴτε τὴν διάνοιαν αὐτῶν τῇ βραδυτῆτι τῆς λαλιᾶς καὶ τῇ παρὰ τὸ εἰωθὸς ὀλιγωρίᾳ συμφρονήσας, μετέβαλε τὸ σχῆμα τῆς κλισίας, ὕπτιον ἀνεὶς ἑαυτὸν, ὡς οὐδὲ προσέχων, οὔτε κατακούων. Ἐπεὶ δ' ὁ Περπέννας, φιάλην τινὰ λαβὼν ἀκράτου, καὶ μεταξὺ πίνων ἀφῆκεν ἐκ τῶν χειρῶν, καὶ ψόφον ἐποίησεν, ὅπερ ἦν αὐτοῖς σύμβολον, Ἀντώνιος ὑπερ-

Digitized by Google

καταλειμένος παλεῖ τῷ ξίφει τὸν Σερτώριον. Ἀναστρέψαντος δὲ πρὸς τὴν πληγὴν ἐκείνου καὶ συνεξαναστάντος, περιπεσὼν εἰς τὸ στῆθος, κατέλαβε τὰς χεῖρας ἀμφοτέρας, ὥστε μηδ' ἀμυνόμενον, πολλῶν παιόντων, ἀποθανεῖν.

XXVII. Οἱ μὲν οὖν πλεῖστοι τῶν Ἰβήρων εὐθὺς ᾤχοντο, καὶ παρέδωκαν ἑαυτοὺς ἐπιπρεσβευσάμενοι τοῖς περὶ Πομπήϊον καὶ Μέτελλον· τοὺς δὲ συμμείναντας ὁ Περπέννας ἀναλαβὼν ἐπεχείρει τι πράττειν. Χρησάμενος δὲ ταῖς Σερτωρίου παρασκευαῖς, ὅσον ἐνασχημονῆσαι καὶ φανερὸς γενέσθαι μήτ' ἄρχειν, μήτ' ἄρχεσθαι πεφυκὼς, Πομπηΐῳ προσέβαλε· καὶ ταχὺ συντριβεὶς ὑπ' αὐτοῦ, καὶ γενόμενος αἰχμάλωτος, οὐδὲ τὴν ἐσχάτην ὑπέμεινε συμφορὰν ἡγεμονικῶς, ἀλλὰ τῶν Σερτωρίου γραμμάτων κύριος γεγονὼς, ὑπισχνεῖτο Πομπηΐῳ δείξειν ὑπατικῶν ἀνδρῶν καὶ μέγιστον ἐν Ῥώμῃ δυναμένων αὐτογράφους ἐπιστολὰς, καλούντων Σερτώριον εἰς Ἰταλίαν, ὡς πολλῶν ποθούντων τὰ παρόντα κινῆσαι, καὶ μεταβαλεῖν τὴν πολιτείαν. Ἔργον οὖν ὁ Πομπήϊος οὐ νέας φρενὸς, ἀλλ' εὖ μάλα βεβηκυίας καὶ κατηρτυμένης, ἐργασάμενος, μεγάλων ἀπήλλαξε τὴν Ῥώμην φόβων καὶ νεωτερισμῶν. Τὰς μὲν γὰρ ἐπιστολὰς ἐκείνας, καὶ τὰ γράμματα τοῦ Σερτωρίου συναγαγὼν ἅπαντα κατέκαυσεν, οὔτ' ἀναγνοὺς, οὔτ' ἐάσας ἕτερον· αὐτὸν δὲ τὸν Περπένναν κατὰ τάχος ἀνεῖλε, φοβηθεὶς, μὴ, τῶν ὀνομάτων ἐξενεχθέντων πρός τινας, ἀποστάσεις καὶ ταραχαὶ γένωνται. Τῶν δὲ τῷ Περ-

Digitized by Google

πέννᾳ συνομοσαμένων οἱ μὲν ἐπὶ Πομπήϊον ἀναχθέντες διεφθάρησαν, οἱ δὲ φεύγοντες εἰς Λιβύην ὑπὸ Μαυρουσίων κατηκοντίσθησαν. Διέφυγε δ' οὐδεὶς, πλὴν Αὐφίδιος, ὁ τοῦ Μαλλίου ἀντεραστής. Οὗτος δ' ἢ λαθὼν, ἢ παραμεληθεὶς, ἔν τινι βαρβάρῳ κώμῃ πενόμενος καὶ μισούμενος κατεγήρασεν.

ΕΥΜΕΝΗΣ.

Εὐμένη δὲ τὸν Καρδιανὸν ἱστορεῖ Δοῦρις πατρὸς μὲν ἁμαξεύοντος ἐν Χερρονήσῳ διὰ πενίαν γενέσθαι, τραφῆναι δ' ἐλευθερίως ἐν γράμμασι καὶ περὶ παλαίστραν· ἔτι δὲ παιδὸς ὄντος αὐτοῦ, Φίλιππον παρεπιδημοῦντα, καὶ σχολὴν ἄγοντα, τὰ τῶν Καρδιανῶν θεάσασθαι παγκρατίια μειρακίων, καὶ παλαίσματα παίδων· ἐν οἷς εὐημερήσαντα τὸν Εὐμένη, καὶ φανέντα συνετὸν καὶ ἀνδρεῖον, ἀρέσαι τῷ Φιλίππῳ καὶ ἀναληφθῆναι. Δοκοῦσι δ' εἰκότα λέγειν μᾶλλον οἱ διὰ ξενίαν καὶ φιλίαν πατρῴαν τὸν Εὐμένη λέγοντες ὑπὸ τοῦ Φιλίππου προαχθῆναι. Μετὰ δὲ τὴν ἐκείνου τελευτήν, οὔτε συνέσει τινός, οὔτε πίστει, λείπεσθαι δοκῶν τῶν περὶ Ἀλέξανδρον, ἐκαλεῖτο μὲν ἀρχιγραμματεύς, τιμῆς δὲ, ὥσπερ οἱ μάλιστα φίλοι καὶ συνήθεις, ἐτύγχανεν, ὥστε καὶ στρατηγὸς ἀποσταλῆναι κατὰ τὴν Ἰνδικὴν ἐφ' ἑαυτοῦ μετὰ δυνάμεως, καὶ τὴν Περδίκκου παραλαβεῖν ἵππαρχίαν, ὅτε Περδίκκας, ἀποθανόντος Ἡφαιστίωνος,

Digitized by Google

εἰς τὴν ἐκείνου προῆλθε τάξιν. Διὸ καὶ Νεοπτολέμου τοῦ ἀρχιυπασπιστοῦ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν λέγοντος, ὡς αὐτὸς μὲν ἀσπίδα καὶ λόγχην, Εὐμένης δὲ γραφεῖον ἔχων καὶ πινακίδιον ἠκολούθει, κατεγέλων οἱ Μακεδόνες, μετὰ τῶν ἄλλων καλῶν τὸν Εὐμένη καὶ τῆς κατὰ τὸν γάμον οἰκειότητος ὑπὸ τοῦ βασιλέως εἰδότες ἀξιωθέντα. Βαρσίνην γὰρ τὴν Ἀρταβάζου πρώτην ἐν Ἀσίᾳ γνοὺς ὁ Ἀλέξανδρος, ἐξ ἧς υἱὸν ἔσχεν Ἡρακλέα, τῶν ταύτης ἀδελφῶν, Πτολεμαίῳ μὲν Ἀπάμαν, Εὐμένει δὲ Βαρσίνην ἐξέδωκεν, ὅτε καὶ τὰς ἄλλας Περσίδας διένειμε καὶ συνῴκισε τοῖς ἑταίροις.

II. Οὐ μὴν ἀλλὰ καὶ προσέκρουσε πολλάκις Ἀλεξάνδρῳ, καὶ παρεκινδύνευσε δι' Ἡφαιστίωνα. Πρῶτον μὲν γὰρ, Εὐΐῳ τῷ αὐλητῇ τοῦ Ἡφαιστίωνος οἰκίαν κατανείματος, ἣν οἱ παῖδες ἔτυχον τῷ Εὐμένει προκατειληφότες, ἐλθὼν ὑπ' ὀργῆς πρὸς τὸν Ἀλέξανδρον ὁ Εὐμένης, ἐβόα μετὰ Μέντορος, ὡς αὐλεῖν εἴη κράτιστον, ἢ τραγῳδεῖν, τὰ ὅπλα ῥίψαντας ἐκ τῶν χειρῶν· ὥστ' Ἀλέξανδρον αὐτῷ συναγανακτεῖν καὶ λοιδορεῖσθαι τῷ Ἡφαιστίωνι. Ταχὺ μέντοι μεταπεσών, αὖθις εἶχε τὸν Εὐμένη δι' ὀργῆς, ὡς ὕβρει μᾶλλον πρὸς ἑαυτὸν, ἢ παῤῥησίᾳ πρὸς Ἡφαιστίωνα, χρησάμενον. Ἔπειτα Νέαρχον ἐκπέμπων μετὰ νεῶν ἐπὶ τὴν ἔξω θάλασσαν, ᾔτει χρήματα τοὺς φίλους· οὐ γὰρ ἦν ἐν τῷ βασιλείῳ. Τοῦ δ' Εὐμένους αἰτηθέντος μὲν τριακόσια τάλαντα, δόντος δὲ ἑκατὸν μόνα, καὶ ταῦτα γλίσχρως καὶ μόλις αὐτῷ συνειλέ-

Digitized by Google

χθαι διὰ τῶν ἐπιτρόπων φάσκοντος, οὐδὲν ἐγκαλέσας, οὐδὲ δεξάμενος, ἐκέλευσε τοὺς παῖδας κρύφα τῇ σκηνῇ τοῦ Εὐμένους πῦρ ἐνεῖναι, βουλόμενος, ἐκκομιζομένων τῶν χρημάτων, λαβεῖν ἐπ' αὐτοφώρῳ ψευδόμενον. Ἔφθη δὲ ἡ σκηνὴ καταφλεχθεῖσα, καὶ μετενόησε τῶν γραμμάτων διαφθαρέντων ὁ Ἀλέξανδρος. Τὸ δὲ συγχυθὲν χρυσίον, ἢ ἀργύριον, ὑπὸ τοῦ πυρὸς ἀνευρέθη πλεῖον, ἢ χιλίων ταλάντων. Ἔλαβε δὲ οὐδὲν, ἀλλὰ καὶ γράψας τοῖς πανταχοῦ σατράπαις καὶ στρατηγοῖς ἀντίγραφα τῶν διεφθαρμένων ἀποστέλλειν, πάντα παραλαμβάνειν ἐκέλευσε τὸν Εὐμένη. Πάλιν δὲ περὶ δωρεᾶς τινος εἰς διαφορὰν καταστὰς πρὸς τὸν Ἡφαιστίωνα, καὶ πολλὰ μὲν ἀκούσας κακῶς, πολλὰ δ' εἰπὼν, τότε μὲν οὐκ ἔλαττον ἔσχε· μετ' ὀλίγον δὲ, τελευτήσαντος Ἡφαιστίωνος, περιπαθῶν ὁ βασιλεὺς, καὶ πᾶσιν, οἷς ἐδόκει ζῶντι μὲν ἐκείνῳ φθονεῖν, ἐπιχαίρειν δὲ τεθνηκότι, τραχέως ὁμιλῶν καὶ χαλεπὸς ὤν, μάλιστα τὸν Εὐμένη δι' ὑποψίας εἶχε, καὶ προὔφερε πολλάκις τὰς διαφορὰς καὶ λοιδορίας ἐκείνας. Ὁ δὲ, πανοῦργος ὢν καὶ πιθανὸς, ἐπεχείρησεν, οἷς ἀπώλλυτο, σώζειν ἑαυτόν. Κατέφυγε γὰρ εἰς τὴν πρὸς Ἡφαιστίωνα φιλοτιμίαν Ἀλεξάνδρου καὶ χάριν, ὑφηγούμενός τε τιμὰς, οἷ μάλιστα κοσμεῖν ἔμελλον τὸν τεθνηκότα, καὶ χρήματα τελῶν εἰς τὴν τοῦ τάφου κατασκευὴν ἀφειδῶς καὶ προθύμως.

III. Ἀποθανόντος δ' Ἀλεξάνδρου, καὶ τῆς φάλαγγος διεστώσης πρὸς τοὺς ἑταίρους, τῇ μὲν γνώμῃ

Digitized by Google

τούτοις προσένειμεν ἑαυτὸν ὁ Εὐμένης, τῷ δὲ λόγῳ κοινός τις ἦν πρὸς ἀμφοτέρους καὶ ἰδιώτης, ὡς οὐδὲν αὐτῷ προσῆκον, ξένῳ ὄντι, πολυπραγμονεῖν ταῖς Μακεδόνων διαφοραῖς. Καὶ τῶν ἄλλων ἑταίρων ἐκ Βαβυλῶνος ἀνασκευασαμένων, αὐτὸς ὑπολειφθεὶς ἐν τῇ πόλει κατεπράϋνε πολλοὺς τῶν πεζῶν, καὶ πρὸς τὰς διαλύσεις ἡδίους ἐποίησεν. Ἐπεὶ δ' ἀναμιχθέντες ἀλλήλοις οἱ στρατηγοὶ, καὶ καταστάντες ἐκ τῶν πρώτων ταραχῶν, διενέμοντο σατραπείας καὶ στρατηγίας, Εὐμένης λαμβάνει Καππαδοκίαν καὶ Παφλαγονίαν, καὶ τὴν ὑποκειμένην τῇ Ποντικῇ θαλάττῃ, μέχρι Τραπεζοῦντος, οὔπω τότε Μακεδόνων οὖσαν· Ἀριαράθης γὰρ αὐτῆς ἐβασίλευεν. Ἀλλ' ἔδει Λεοννάτου καὶ Ἀντίγονον χειρὶ μεγάλῃ τὸν Εὐμένη κατάγοντας ἀποδεῖξαι τῆς χώρας σατράπην. Ἀντίγονος μὲν οὖν οὐ προσέσχε τοῖς γραφεῖσιν ὑπὸ Περδίκκου, μετέωρος ὢν ἤδη καὶ περιφρονῶν ἁπάντων· Λεοννάτος δὲ κατέβη μὲν ἄνωθεν εἰς Φρυγίαν, ἀναδεξύμενος Εὐμένει τὴν στρατείαν· Ἑκαταίου δὲ, τοῦ Καρδιανῶν τυράννου, συμμίξαντος αὐτῷ, καὶ δεομένου βοηθεῖν μᾶλλον Ἀντιπάτρῳ καὶ Μακεδόνων τοῖς ἐν Λαμίᾳ πολιορκουμένοις, ὥρμητο διαβαίνειν, καὶ τὸν Εὐμένη παρεκάλει, καὶ διήλαττε πρὸς Ἑκαταῖον. Ἦν γὰρ αὐτοῖς πατρική τις ἐκ πολιτικῶν διαφορῶν ὑποψία πρὸς ἀλλήλους· καὶ πολλάκις ὁ Εὐμένης ἐγεγόνει φανερὸς κατηγορῶν τοῦ Ἑκαταίου τυραννοῦντος, καὶ παρακαλῶν Ἀλέξανδρον ἀποδοῦναι τοῖς Καρδιανοῖς τὴν ἐλευθερίαν. Διὸ καὶ τότε,

Digitized by Google

τοῦ Εὐμένους παραιτουμένου τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν, καὶ δεδιέναι φάσκοντος Ἀντίπατρον, μήπως Ἑκαταίῳ χαριζόμενος, καὶ πάλαι μισῶν, αὐτὸν ἀνέλῃ, πιστεύσας ὁ Λεοννάτος, οὐδὲν, ὧν ἐφρόνει, πρὸς αὐτὸν ἀπεκρύψατο. Λόγος μὲν γὰρ ἦν ἡ βοήθεια καὶ πρόφασις, ἐγνώκει δὲ διαβὰς εὐθὺς ἀντιποτεῖσθαι Μακεδονίας. Καί τινας ἐπιστολὰς ἔδειξε Κλεοπάτρας, μεταπεμπομένης αὐτὸν εἰς Πέλλαν, ὡς γαμησομένης. Ὁ δ' Εὐμένης, εἴτε τὸν Ἀντίπατρον δεδοικὼς, εἴτε τὸν Λεοννάτον, ἔμπληκτον ὄντα καὶ φορᾶς μεστὸν ἀβεβαίου καὶ ὀξείας, ἀπογνοὺς, νύκτωρ ἀνέζευξε τὴν ἑαυτοῦ λαβὼν ἀποσκευήν. Εἶχε δὲ τριακοσίους μὲν ἱππεῖς, διακοσίους δὲ τῶν παίδων ὁπλοφόρους, ἐν δὲ χρυσοῖς εἰς ἀργυρίου λόγον τάλαντα πεντακισχίλια. Φυγὼν δ' οὕτω πρὸς Περδίκκαν, καὶ τὰ Λεοννάτου βουλεύματα κατειπὼν, εὐθὺς μὲν ἴσχυε μέγα παρ' αὐτῷ, καὶ τοῦ συνεδρίου μετεῖχεν. Ὀλίγον δ' ὕστερον εἰς Καππαδοκίαν κατήχθη μετὰ δυνάμεως, αὐτοῦ Περδίκκου παρόντος καὶ στρατηγοῦντος. Ἀριαράθου δὲ ληφθέντος αἰχμαλώτου, καὶ τῆς χώρας ὑποχειρίου γενομένης, ἀποδείκνυται σατράπης. Καὶ τὰς μὲν πόλεις τοῖς ἑαυτοῦ φίλοις παρέδωκε, καὶ φρουράρχους ἐγκατέστησε, καὶ δικαστὰς ἀπέλιπε, καὶ διοικητὰς, οὓς ἐβούλετο, τοῦ Περδίκκου μηδὲν ἐν τούτοις πολυπραγμονοῦντος. Αὐτὸς δὲ συνανέζευξεν, ἐκεῖνόν τε θεραπεύων, καὶ τῶν βασιλέων ἀπολείπεσθαι μὴ βουλόμενος.

IV. Οὐ μὴν ἀλλ' ὁ Περδίκκας, ἐφ' ἃ μὲν ἦρ-

Digitized by Google

μητο, πιστεύων δὲ αὐτοῦ προσάξεσθαι, τὰ δὲ ὑπολειπόμενα δεῖσθαι δραστηρίου τε καὶ πιστοῦ φύλακος οἰόμενος, ἀπέπεμψεν ἐκ Κιλικίας τὸν Εὐμένη, λόγῳ μὲν ἐπὶ τὴν ἑαυτοῦ σατραπείαν, ἔργῳ δὲ τὴν ὅμορον Ἀρμενίαν, τεταραγμένην ὑπὸ Νεοπτολέμου, διὰ χειρὸς ἔξοντα. Τοῦτον μὲν οὖν ὁ Εὐμένης, καίπερ ὄγκῳ τινὶ καὶ φρονήματι κενῷ διεφθαρμένον, ἐπειρᾶτο ταῖς ὁμιλίαις κατέχειν· αὐτὸς δὲ τὴν φάλαγγα τῶν Μακεδόνων ἐπῃρμένην καὶ θρασεῖαν εὑρὼν, ὥσπερ ἀντίταγμα παρεσκεύαζεν αὐτῇ δύναμιν ἱππικήν, τῶν μὲν ἐγχωρίων τοῖς ἱππεύειν δυναμένοις ἀνεισφορίας διδοὺς καὶ ἀτελείας, τῶν δὲ περὶ αὐτὸν οἷς μάλιστα ἐπίστευεν, ὠνητοὺς διανέμων ἵππους, φιλοτιμίαις τε καὶ δωρεαῖς τά τε φρονήματα παροξύνων, καὶ τὰ σώματα κινήσεσι καὶ μελέταις διαπονῶν· ὥστε τοὺς μὲν ἐκπλαγῆναι, τοὺς δὲ θαῤῥῆσαι τῶν Μακεδόνων, ὁρῶντας ὀλίγῳ χρόνῳ περὶ αὐτὸν ἠθροισμένους ἱππεῖς οὐκ ἐλάττους ἑξακισχιλίων καὶ τριακοσίων.

V. Ἐπεὶ δὲ Κρατερὸς καὶ Ἀντίπατρος, τῶν Ἑλλήνων περιγενόμενοι, διέβαινον εἰς Ἀσίαν, τὴν Περδίκκου καταλύσοντες ἀρχὴν, καὶ προσηγγέλλοντο μέλλοντες ἐμβαλεῖν εἰς Καππαδοκίαν, ὁ Περδίκκας, αὐτὸς ἐπὶ Πτολεμαῖον στρατεύων, ἀπέδειξε τὸν Εὐμένη τῶν ἐν Ἀρμενίᾳ καὶ Καππαδοκίᾳ δυνάμεων αὐτοκράτορα στρατηγόν. Καὶ περὶ τούτων ἐπιστολὰς ἔπεμψεν, Ἀλκέταν μὲν καὶ Νεοπτόλεμον Εὐμένει προσέχειν κελεύσας, Εὐμένη δὲ χρῆσθαι τοῖς πράγμασιν, ὅπως

Digitized by Google

σύγκλητος ὄντες, ὕβρεις δὲ καὶ προστάγματα καὶ πόνους οὐκ ἐλάττονας Ἰβήρων καὶ Λυσιτανῶν ὑπομένοντες;" Τοιούτων ἀναπιμπλάμενοι λύγων οἱ πολλοὶ, φανερῶς μὲν οὐκ ἀφίσταντο, δεδοικότες αὐτοῦ τὴν δύναμιν· κρύφα δὲ τάς τε πρίξεις ἐλυμαίνοντο, καὶ τοὺς βαρβάρους ἐκάκουν, κολάζοντες πικρῶς καὶ δασμολογοῦντες, ὡς Σερτωρίου κελεύοντος. Ἐξ ὧν ἀποστάσεις ἐγίνοντο καὶ ταραχαὶ περὶ τὰς πόλεις. Οἱ δὲ πεμπόμενοι ταῦτα θεραπεύειν καὶ ἀποπραΰνειν ἐπανήρχοντο πλείονας ἐξειργασμένοι πολέμους, καὶ τὰς ὑπαρχούσας ηὐξηκότες ἀπειθείας· ὥστε τὸν Σερτώριον ἐκ τῆς προτέρας ἐπιεικείας καὶ πραότητος μεταβαλόντα, περὶ τοὺς ἐν Ὄσκῃ τρεφομένους παρανομῆσαι παῖδας τῶν Ἰβήρων, τοὺς μὲν ἀνελόντα, τοὺς δ' ἀποδόμενον.

XXVI. Ὁ δὲ Περπέννας, πλείονας ἐνωμότους ἔχων πρὸς τὴν ἐπίθεσιν, προσάγεται καὶ Μάλλιον, ἕνα τῶν ἐφ' ἡγεμονίας. Οὗτος ἐρῶν τινος τῶν ἐν ὥρᾳ μειρακίου, καὶ φιλοφρονούμενος πρὸς αὐτὸ φράζει τὴν ἐπιβουλὴν, κελεύων, ἀμελήσαντα τῶν ἄλλων ἐραστῶν, αὐτῷ μόνῳ προσέχειν, ὡς ἐντὸς ἡμερῶν ὀλίγων μεγάλῳ γενησομένῳ. Τὸ δὲ μειράκιον ἑτέρῳ τινὶ τῶν ἐραστῶν, Αὐφιδίῳ, μᾶλλον προσπεπονθὸς, ἐκφέρει τὸν λόγον. Ἀκούσας δ' ὁ Αὐφίδιος ἐξεπλάγη· καὶ γὰρ αὐτὸς μετεῖχε τῆς ἐπὶ Σερτώριον συνωμοσίας, οὐ μέντοι τὸν Μάλλιον ἐγίνωσκε μετέχοντα. Περπένναν δὲ καὶ Γρακῖνον καί τινας ἄλλους, ὧν αὐτὸς ᾔδει συνωμοτῶν, ὀνομάζοντος τοῦ μειρακίου,

Digitized by Google

διαταραχθεὶς, πρὸς ἐκεῖνον μὲν ἐξεφλαύριζε τὸν λόγον, καὶ παρεκάλει τοῦ Μαλλίου καταφρονεῖν, ὡς κενοῦ καὶ ἀλαζόνος· αὐτὸς δὲ πρὸς τὸν Περπένναν πορευθεὶς, καὶ φράσας τὴν ἀξύτητα τοῦ καιροῦ καὶ τὸν κίνδυνον, ἐκέλευσεν ἐπιχειρεῖν. Οἱ δ' ἐπείθοντο, καὶ παρασκευάσαντες ἄνθρωπον γράμματα κομίζοντα τῷ Σερτωρίῳ προσήγαγον. Ἐδήλου δὲ τὰ γράμματα νίκην τινὸς τῶν ὑπ' αὐτῷ στρατηγῶν, καὶ φόνον πολὺν τῶν πολεμίων. Ἐφ' οἷς τοῦ Σερτωρίου περιχαροῦς ὄντος, καὶ θύοντος εὐαγγέλια, Περπέννας ἑστίασιν αὐτῷ καὶ τοῖς παροῦσι φίλοις (οὗτοι δ' ἦσαν ἐκ τῆς συνωμοσίας) ἐπηγγέλλετο, καὶ πολλὰ λιπαρήσας, ἔπεισεν ἐλθεῖν. Ἀεὶ μὲν οὖν τὰ μετὰ Σερτωρίου δεῖπνα πολλὴν εἶχεν αἰδῶ καὶ κόσμον, οὔτε ὁρᾶν τι τῶν αἰσχρῶν, οὔτ' ἀκούειν, ὑπομένοντος, ἀλλὰ καὶ τοὺς συνόντας εὐτάκτοις καὶ ἀνυβρίστοις παιδιαῖς χρῆσθαι καὶ φιλοφροσύνης ἐθίζοντος. Τότε δὲ, τοῦ πότου μεσοῦντος, ἀρχὴν ἔψιμαχίας ζητοῦντες, ἀναφανδὸν ἀκολάστοις ἐχρῶντο ῥήμασι· καὶ πολλὰ προσποιούμενοι μεθύειν ἠσέλγαινον, ὡς παροξυνοῦντες ἐκεῖνον. Ὁ δ', εἴτε δυσχεραίνων τὴν ἀκοσμίαν, εἴτε τὴν διάνοιαν αὐτῶν τῇ βραδυτῆτι τῆς λαλιᾶς καὶ τῇ παρὰ τὸ εἰωθὸς ὀλιγωρίᾳ συμφρονήσας, μετέβαλε τὸ σχῆμα τῆς κλισίας, ὕπτιον ἀνεὶς ἑαυτὸν, ὡς οὐδὲ προσέχων, οὔτε κατακούων. Ἐπεὶ δ' ὁ Περπέννας, φιάλην τινὰ λαβὼν ἀκράτου, καὶ μεταξὺ πίνων ἀφῆκεν ἐκ τῶν χειρῶν, καὶ ψόφον ἐποίησεν, ὅπερ ἦν αὐτοῖς σύμβολον, Ἀντώνιος ὑπερ-

Digitized by Google

καταλειμένος παίει τῷ ξίφει τὸν Σερτώριον. Ἀναστρέψαντος δὲ πρὸς τὴν πληγὴν ἐκείνου καὶ συνεξαναστάντος, περιπεσὼν εἰς τὸ στῆθος, κατέλαβε τὰς χεῖρας ἀμφοτέρας, ὥστε μηδ' ἀμυνόμενον, πολλῶν παιόντων, ἀποθανεῖν.

XXVII. Οἱ μὲν οὖν πλεῖστοι τῶν Ἰβήρων εὐθὺς ᾤχοντο, καὶ παρέδωκαν ἑαυτοὺς ἐπιπρεσβευσάμενοι τοῖς περὶ Πομπήϊον καὶ Μέτελλον· τοὺς δὲ συμμείναντας ὁ Περπέννας ἀναλαβὼν ἐπεχείρει τι πράττειν. Χρησάμενος δὲ ταῖς Σερτωρίου παρασκευαῖς, ὅσον ἐνασχημονῆσαι καὶ φανερὸς γενέσθαι μήτ' ἄρχειν, μήτ' ἄρχεσθαι πεφυκὼς, Πομπηΐῳ προσέβαλε· καὶ ταχὺ συντριβεὶς ὑπ' αὐτοῦ, καὶ γενόμενος αἰχμάλωτος, οὐδὲ τὴν ἐσχάτην ὑπέμεινε συμφορὰν ἡγεμονικῶς, ἀλλὰ τῶν Σερτωρίου γραμμάτων κύριος γεγονὼς, ὑπισχνεῖτο Πομπηΐῳ δείξειν ὑπατικῶν ἀνδρῶν καὶ μέγιστον ἐν Ῥώμῃ δυναμένων αὐτογράφους ἐπιστολὰς, καλούντων Σερτώριον εἰς Ἰταλίαν, ὡς πολλῶν ποθούντων τὰ παρόντα κινῆσαι, καὶ μεταβαλεῖν τὴν πολιτείαν. Ἔργον οὖν ὁ Πομπήϊος οὐ νέας φρενὸς, ἀλλ' εὖ μάλα βεβηκυίας καὶ κατηρτυμένης, ἐργασάμενος, μεγάλων ἀπήλλαξε τὴν Ῥώμην φόβων καὶ νεωτερισμῶν. Τὰς μὲν γὰρ ἐπιστολὰς ἐκείνας, καὶ τὰ γράμματα τοῦ Σερτωρίου συναγαγὼν ἅπαντα κατέκαυσεν, οὔτ' ἀναγνοὺς, οὔτ' ἐάσας ἕτερον· αὐτὸν δὲ τὸν Περπένναν κατὰ τάχος ἀνεῖλε, φοβηθεὶς, μὴ, τῶν ὀνομάτων ἐξενεχθέντων πρός τινας, ἀποστάσεις καὶ ταραχαὶ γένωνται. Τῶν δὲ τῷ Περ-

Digitized by Google

πέννᾳ συνομοσαμένων οἱ μὲν ἐπὶ Πομπήϊον ἀναχθέντες διεφθάρησαν, οἱ δὲ φεύγοντες εἰς Λιβύην ὑπὸ Μαυρουσίων κατηκοντίσθησαν. Διέφυγε δ' οὐδεὶς, πλὴν Αὐφίδιος, ὁ τοῦ Μαλλίου ἀντεραστής. Οὗτος δ' ἢ λαθὼν, ἢ παραμεληθεὶς, ἔν τινι βαρβάρῳ κώμῃ πενόμενος καὶ μισούμενος κατεγήρασεν.

Digitized by Google

ΕΥΜΕΝΗΣ.

Εὐμένη δὲ τὸν Καρδιανὸν ἱστορεῖ Δοῦρις πατρὸς μὲν ἁμαξεύοντος ἐν Χερρονήσῳ διὰ πενίαν γενέσθαι, τραφῆναι δ' ἐλευθερίως ἐν γράμμασι καὶ περὶ παλαίστραν· ἔτι δὲ παιδὸς ὄντος αὐτοῦ, Φίλιππον παρεπιδημοῦντα, καὶ σχολὴν ἄγοντα, τὰ τῶν Καρδιανῶν θεάσασθαι παγκράτια μειρακίων, καὶ παλαίσματα παίδων· ἐν οἷς εὐημερήσαντα τὸν Εὐμένη, καὶ φανέντα συνετὸν καὶ ἀνδρεῖον, ἀρέσαι τῷ Φιλίππῳ καὶ ἀναληφθῆναι. Δοκοῦσι δ' εἰκότα λέγειν μᾶλλον οἱ διὰ ξενίαν καὶ φιλίαν πατρῴαν τὸν Εὐμένη λέγοντες ὑπὸ τοῦ Φιλίππου προαχθῆναι. Μετὰ δὲ τὴν ἐκείνου τελευτὴν, οὔτε συνέσει τινὸς, οὔτε πίστει, λείπεσθαι δοκῶν τῶν περὶ Ἀλέξανδρον, ἐκαλεῖτο μὲν ἀρχιγραμματεὺς, τιμῆς δὲ, ὥσπερ οἱ μάλιστα φίλοι καὶ συνήθεις, ἐτύγχανεν, ὥστε καὶ στρατηγὸς ἀποσταλῆναι κατὰ τὴν Ἰνδικὴν ἐφ' ἑαυτοῦ μετὰ δυνάμεως, καὶ τὴν Περδίκκου παραλαβεῖν ἱππαρχίαν, ὅτε Περδίκκας, ἀποθανόντος Ἡφαιστίωνος,

Digitized by Google

εἰς τὴν ἐκείνου προῆλθε τάξιν. Διὸ καὶ Νεοπτολέμου τοῦ ἀρχιυπασπιστοῦ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν λέγοντος, ὡς αὐτὸς μὲν ἀσπίδα καὶ λόγχην, Εὐμένης δὲ γραφεῖον ἔχων καὶ πινακίδιον ἠκολούθει, κατεγέλων οἱ Μακεδόνες, μετὰ τῶν ἄλλων καλῶν τὸν Εὐμένη καὶ τῆς κατὰ τὸν γάμον οἰκειότητος ὑπὸ τοῦ βασιλέως εἰδότες ἀξιωθέντα. Βαρσίνην γὰρ τὴν Ἀρταβάζου πρώτην ἐν Ἀσίᾳ γνοὺς ὁ Ἀλέξανδρος, ἐξ ἧς υἱὸν ἔσχεν Ἡρακλέα, τῶν ταύτης ἀδελφῶν, Πτολεμαίῳ μὲν Ἀπάμαν, Εὐμένει δὲ Βαρσίνην ἐξέδωκεν, ὅτε καὶ τὰς ἄλλας Περσίδας διένειμε καὶ συνῴκισε τοῖς ἑταίροις.

II. Οὐ μὴν ἀλλὰ καὶ προσέκρουσε πολλάκις Ἀλεξάνδρῳ, καὶ παρεκινδύνευσε δι' Ἡφαιστίωνα. Πρῶτον μὲν γάρ, Εὐΐῳ τῷ αὐλητῇ τοῦ Ἡφαιστίωνος οἰκίαν κατανείματος, ἣν οἱ παῖδες ἔτυχον τῷ Εὐμένει προκατειληφότες, ἐλθὼν ὑπ' ὀργῆς πρὸς τὸν Ἀλέξανδρον ὁ Εὐμένης, ἐβόα μετὰ Μέντορος, ὡς αὐλεῖν εἴη κράτιστον, ἢ τραγῳδεῖν, τὰ ὅπλα ῥίψαντας ἐκ τῶν χειρῶν· ὥστ' Ἀλέξανδρον αὐτῷ συναγανακτεῖν καὶ λοιδορεῖσθαι τῷ Ἡφαιστίωνι. Ταχὺ μέντοι μεταπεσών, αὖθις εἶχε τὸν Εὐμένη δι' ὀργῆς, ὡς ὕβρει μᾶλλον πρὸς ἑαυτὸν, ἢ παῤῥησίᾳ πρὸς Ἡφαιστίωνα, χρησάμενον. Ἔπειτα Νέαρχον ἐκπέμπων μετὰ νεῶν ἐπὶ τὴν ἔξω θάλασσαν, ᾔτει χρήματα τοὺς φίλους· οὐ γὰρ ἦν ἐν τῷ βασιλείῳ. Τοῦ δ' Εὐμένους αἰτηθέντος μὲν τριακόσια τάλαντα, δόντος δὲ ἑκατὸν μόνα, καὶ ταῦτα γλίσχρως καὶ μόλις αὐτῷ συνειλέ-

Digitized by Google

χθαι διὰ τῶν ἐπιτρόπων φάσκοντος, οὐδὲν ἐγκαλέσας, οὐδὲ δεξάμενος, ἐκέλευσε τοὺς παῖδας κρύφα τῇ σκηνῇ τοῦ Εὐμένους πῦρ ἐνεῖναι, βουλόμενος, ἐκκομιζομένων τῶν χρημάτων, λαβεῖν ἐπ' αὐτοφώρῳ ψευδόμενον. Ἔφθη δὲ ἡ σκηνὴ καταφλεχθεῖσα, καὶ μετενόησε τῶν γραμμάτων διαφθαρέντων ὁ Ἀλέξανδρος. Τὸ δὲ συγχυθὲν χρυσίον, ἢ ἀργύριον, ὑπὸ τοῦ πυρὸς ἀνευρέθη πλεῖον, ἢ χιλίων ταλάντων. Ἔλαβε δὲ οὐδὲν, ἀλλὰ καὶ γράψας τοῖς πανταχοῦ σατράπαις καὶ στρατηγοῖς ἀντίγραφα τῶν διεφθαρμένων ἀποστέλλειν, πάντα παραλαμβάνειν ἐκέλευσε τὸν Εὐμένη. Πάλιν δὲ περὶ δωρεᾶς τινος εἰς διαφορὰν καταστὰς πρὸς τὸν Ἡφαιστίωνα, καὶ πολλὰ μὲν ἀκούσας κακῶς, πολλὰ δ' εἰπὼν, τότε μὲν οὐκ ἔλαττον ἔσχε· μετ' ὀλίγον δὲ, τελευτήσαντος Ἡφαιστίωνος, περιπαθῶν ὁ βασιλεὺς, καὶ πᾶσιν, οἷς ἐδόκει ζῶντι μὲν ἐκείνῳ φθονεῖν, ἐπιχαίρειν δὲ τεθνηκότι, τραχέως ὁμιλῶν καὶ χαλεπὸς ὤν, μάλιστα τὸν Εὐμένη δι' ὑποψίας εἶχε, καὶ προὔφερε πολλάκις τὰς διαφορὰς καὶ λοιδορίας ἐκείνας. Ὁ δὲ, πανοῦργος ὢν καὶ πιθανὸς, ἐπεχείρησεν, οἷς ἀπώλυτο, σώζειν ἑαυτόν. Κατέφυγε γὰρ εἰς τὴν πρὸς Ἡφαιστίωνα φιλοτιμίαν Ἀλεξάνδρου καὶ χάριν, ὑφηγούμενός τε τιμὰς, οἷ μάλιστα κοσμεῖν ἔμελλον τὸν τεθνηκότα, καὶ χρήματα τελῶν εἰς τὴν τοῦ τάφου κατασκευὴν ἀφειδῶς καὶ προθύμως.

III. Ἀποθανόντος δ' Ἀλεξάνδρου, καὶ τῆς φάλαγγος διεστώσης πρὸς τοὺς ἑταίρους, τῇ μὲν γνώμῃ

τούτοις προσένειμεν ἑαυτὸν ὁ Εὐμένης, τῷ δὲ λόγῳ κοινός τις ἦν πρὸς ἀμφοτέρους καὶ ἰδιώτης, ὡς οὐδὲν αὐτῷ προσῆκον, ξένῳ ὄντι, πολυπραγμονεῖν ταῖς Μακεδόνων διαφοραῖς. Καὶ τῶν ἄλλων ἑταίρων ἐκ Βαβυλῶνος ἀνασκευασαμένων, αὐτὸς ὑπολειφθεὶς ἐν τῇ πόλει κατεπράϋνε πολλοὺς τῶν πεζῶν, καὶ πρὸς τὰς διαλύσεις ἡδίους ἐποίησεν. Ἐπεὶ δ' ἀναμιχθέντες ἀλλήλοις οἱ στρατηγοὶ, καὶ καταστάντες ἐκ τῶν πρώτων ταραχῶν, διενέμοντο σατραπείας καὶ στρατηγίας, Εὐμένης λαμβάνει Καππαδοκίαν καὶ Παφλαγονίαν, καὶ τὴν ὑποκειμένην τῇ Ποντικῇ θαλάττῃ, μέχρι Τραπεζοῦντος, οὔπω τότε Μακεδόνων οὖσαν· Ἀριαράθης γὰρ αὐτῆς ἐβασίλευεν. Ἀλλ' ἔδει Λεοννάτον καὶ Ἀντίγονον χειρὶ μεγάλῃ τὸν Εὐμένη κατάγοντας ἀποδεῖξαι τῆς χώρας σατράπην. Ἀντίγονος μὲν οὖν οὐ προσέσχε τοῖς γραφεῖσιν ὑπὸ Περδίκκου, μετέωρος ὢν ἤδη καὶ περιφρονῶν ἁπάντων· Λεοννάτος δὲ κατέβη μὲν ἄνωθεν εἰς Φρυγίαν, ἀναδεξύμενος Εὐμένει τὴν στρατείαν· Ἑκαταίου δὲ, τοῦ Καρδιανῶν τυράννου, συμμίξαντος αὐτῷ, καὶ δεομένου βοηθεῖν μᾶλλον Ἀντιπάτρῳ καὶ Μακεδόνων τοῖς ἐν Λαμίᾳ πολιορκουμένοις, ὥρμητο διαβαίνειν, καὶ τὸν Εὐμένη παρεκάλει, καὶ διήλαττε πρὸς Ἑκαταῖον. Ἦν γὰρ αὐτοῖς πατρική τις ἐκ πολιτικῶν διαφορῶν ὑποψία πρὸς ἀλλήλους· καὶ πολλάκις ὁ Εὐμένης ἐγεγόνει φανερὸς κατηγορῶν τοῦ Ἑκαταίου τυραννοῦντος, καὶ παρακαλῶν Ἀλέξανδρον ἀποδοῦναι τοῖς Καρδιανοῖς τὴν ἐλευθερίαν. Διὸ καὶ τότε,

Digitized by Google

τοῦ Εὐμένους παραιτουμένου τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν, καὶ δεδιέναι φάσκοντος Ἀντίπατρον, μήπως Ἑκαταίῳ χαριζόμενος, καὶ πάλαι μισῶν, αὐτὸν ἀνέλῃ, πιστεύσας ὁ Λεοννάτος, οὐδὲν, ὧν ἐφρόνει, πρὸς αὐτὸν ἀπεκρύψατο. Λόγος μὲν γὰρ ἦν ἡ βοήθεια καὶ πρόφασις, ἐγνώκει δὲ διαβὰς εὐθὺς ἀντιποτεῖσθαι Μακεδονίας. Καί τινας ἐπιστολὰς ἔδειξε Κλεοπάτρας, μεταπεμπομένης αὐτὸν εἰς Πέλλαν, ὡς γαμησομένης. Ὁ δ' Εὐμένης, εἴτε τὸν Ἀντίπατρον δεδοικὼς, εἴτε τὸν Λεοννάτον, ἔμπληκτον ὄντα καὶ φορᾶς μεστὸν ἀβεβαίου καὶ ὀξείας, ἀπογνοὺς, νύκτωρ ἀνέζευξε τὴν ἑαυτοῦ λαβὼν ἀποσκευήν. Εἶχε δὲ τριακοσίους μὲν ἱππεῖς, διακοσίους δὲ τῶν παίδων ὁπλοφόρους, ἐν δὲ χρυσοῖς εἰς ἀργυρίου λόγον τάλαντα πεντακισχίλια. Φυγὼν δ' οὕτω πρὸς Περδίκκαν, καὶ τὰ Λεοννάτου βουλεύματα κατειπὼν, εὐθὺς μὲν ἴσχυε μέγα παρ' αὐτῷ, καὶ τοῦ συνεδρίου μετεῖχεν. Ὀλίγον δ' ὕστερον εἰς Καππαδοκίαν κατήχθη μετὰ δυνάμεως, αὐτοῦ Περδίκκου παρόντος καὶ στρατηγοῦντος. Ἀριαράθου δὲ ληφθέντος αἰχμαλώτου, καὶ τῆς χώρας ὑποχειρίου γενομένης, ἀποδείκνυται σατράπης. Καὶ τὰς μὲν πόλεις τοῖς ἑαυτοῦ φίλοις παρέδωκε, καὶ φρουράρχους ἐγκατέστησε, καὶ δικαστὰς ἀπέλιπε, καὶ διοικητὰς, οὓς ἐβούλετο, τοῦ Περδίκκου μηδὲν ἐν τούτοις πολυπραγμονοῦντος. Αὐτὸς δὲ συνανέζευξεν, ἐκεῖνόν τε θεραπεύων, καὶ τῶν βασιλέων ἀπολείπεσθαι μὴ βουλόμενος.

IV. Οὐ μὴν ἀλλ' ὁ Περδίκκας, ἐφ' ἃ μὲν ἦρ-

μητο, πιστεύων δι' αὐτοῦ προσάξεσθαι, τὰ δὲ ὑπολειπόμενα δεῖσθαι δραστηρίου τε καὶ πιστοῦ φύλακος οἰόμενος, ἀπέπεμψεν ἐκ Κιλικίας τὸν Εὐμένη, λόγῳ μὲν ἐπὶ τὴν ἑαυτοῦ σατραπείαν, ἔργῳ δὲ τὴν ὅμορον Ἀρμενίαν, τεταραγμένην ὑπὸ Νεοπτολέμου, διὰ χειρὸς ἔξοντα. Τοῦτον μὲν οὖν ὁ Εὐμένης, καίπερ ὄγκῳ τινὶ καὶ φρονήματι κενῷ διεφθαρμένον, ἐπειρᾶτο ταῖς ὁμιλίαις κατέχειν· αὐτὸς δὲ τὴν φάλαγγα τῶν Μακεδόνων ἐπηρμένην καὶ θρασεῖαν εὗρών, ὥσπερ ἀντίταγμα παρεσκεύαζεν αὐτῇ δύναμιν ἱππικήν, τῶν μὲν ἐγχωρίων τοῖς ἱππεύειν δυναμένοις ἀνεισφορίας διδοὺς καὶ ἀτελείας, τῶν δὲ περὶ αὐτὸν οἷς μάλιστα ἐπίστευεν, ὠνητοὺς διανέμων ἵππους, φιλοτιμίαις τε καὶ δωρεαῖς τὰ τε φρονήματα παροξύνων, καὶ τὰ σώματα κινήσεσι καὶ μελέταις διαπονῶν· ὥστε τοὺς μὲν ἐκπλαγῆναι, τοὺς δὲ θαρρῆσαι τῶν Μακεδόνων, ὁρῶντας ὀλίγῳ χρόνῳ περὶ αὐτὸν ἠθροισμένους ἱππεῖς οὐκ ἐλάττους ἑξακισχιλίων καὶ τριακοσίων.

V. Ἐπεὶ δὲ Κρατερὸς καὶ Ἀντίπατρος, τῶν Ἑλλήνων περιγενόμενοι, διέβαινον εἰς Ἀσίαν, τὴν Περδίκκου καταλύσοντες ἀρχήν, καὶ προσηγγέλλοντο μέλλοντες ἐμβαλεῖν εἰς Καππαδοκίαν, ὁ Περδίκκας, αὐτὸς ἐπὶ Πτολεμαῖον στρατεύων, ἀπέδειξε τὸν Εὐμένη τῶν ἐν Ἀρμενίᾳ καὶ Καππαδοκίᾳ δυνάμεων αὐτοκράτορα στρατηγόν. Καὶ περὶ τούτων ἐπιστολὰς ἔπεμψεν, Ἀλκέταν μὲν καὶ Νεοπτόλεμον Εὐμένει προσέχειν κελεύσας, Εὐμένη δὲ χρῆσθαι τοῖς πράγμασιν, ὅπως

Digitized by Google

αὐτὸς ἔγνωκεν. Ἀλκέτας μὲν οὖν ἄντικρυς ἀπείπατο τὴν στρατείαν, ὡς τῶν ὑπ' αὐτῷ Μακεδόνων Ἀντιπάτρῳ μὲν αἰδουμένων μάχεσθαι, Κρατερὸν δὲ καὶ δέχεσθαι δι' εὔνοιαν ἑτοίμων ὄντων. Νεοπτόλεμος δὲ, βουλεύων μὲν ἐπ' Εὐμένει προδοσίαν οὐκ ἔλαθε, καλούμενος δ' οὐχ ὑπήκουσεν, ἀλλὰ παρέταττε τὴν δύναμιν. Ἔνθα πρῶτον ὁ Εὐμένης ἀπέλαυσε τῆς ἑαυτοῦ προνοίας καὶ παρασκευῆς· ἡττώμενος γὰρ ἤδη κατὰ τὸ πεζὸν, ἐτρέψατο τοῖς ἵπποις τὸν Νεοπτόλεμον, καὶ τὴν ἀποσκευὴν ἔλαβεν αὐτοῦ, καὶ τῇ φάλαγγι διεσπαρμένῃ περὶ τὴν δίωξιν ἄθρους ἐπελάσας, ἠνάγκασε τὰ ὅπλα θέσθαι, καὶ λαβόντας ὅρκους αὐτῷ συστρατεύειν. Ὁ μὲν οὖν Νεοπτόλεμος, ὀλίγους τινὰς συναγαγὼν ἐκ τῆς τροπῆς, ἔφυγε πρὸς Κρατερὸν καὶ Ἀντίπατρον. Παρ' ἐκείνων δ' ἀπέσταλτο πρεσβεία πρὸς Εὐμένη, παρακαλοῦσα μεταθέσθαι πρὸς αὐτοὺς, καρπούμενον μὲν, ὅσας εἶχε, σατραπείας, προσλαβόντα δὲ στρατιὰν καὶ χώραν παρ' αὐτῶν, Ἀντιπάτρῳ μὲν ἀντ' ἐχθροῦ φίλον γενόμενον, Κρατερῷ δὲ μὴ γενόμενον ἐκ φίλου πολέμιον. Ταῦτα ὁ Εὐμένης ἀκούσας, Ἀντιπάτρῳ μὲν οὐκ ἂν ἔφη, παλαιὸς ὢν ἐχθρὸς, νῦν γενέσθαι φίλος, ὅτε αὐτὸν ὁρᾷ τοῖς φίλοις ὡς ἐχθροῖς χρώμενον· Κρατερὸν δὲ Περδίκκᾳ διαλλάττειν ἕτοιμος εἶναι, καὶ συνάγειν ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις· ἄρχοντος δὲ πλεονεξίας, τῷ ἀδικουμένῳ βοηθήσειν, μέχρις ἂν ἐμπνέῃ, καὶ μᾶλλον τὸ σῶμα καὶ τὸν βίον, ἢ τὴν πίστιν, προήσεσθαι.

Digitized by Google

VI. Οἱ μὲν οὖν περὶ τὸν Ἀντίπατρον, πυθόμενοι ταῦτα, κατὰ σχολὴν ἐβουλεύοντο περὶ τῶν ὅλων· ὁ Νεοπτόλεμος δὲ μετὰ τὴν φυγὴν ἀφικόμενος πρὸς αὐτοὺς, τήν τε μάχην ἀπήγγελλε καὶ παρεκάλει βοηθεῖν, μάλιστα μὲν ἀμφοτέρους, πάντως δὲ Κρατερόν· ποθεῖσθαι γὰρ ὑπερφυῶς ἐκεῖνον ὑπὸ τῶν Μακεδόνων, κἂν μόνον ἴδωσι τὴν καυσίαν αὐτοῦ καὶ τὴν φωνὴν ἀκούσωσι, μετὰ τῶν ὅπλων ἧξιν φερομένους. Καὶ γὰρ ἦν ὄντως ὄνομα τοῦ Κρατεροῦ μέγα, καὶ μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν τοῦτον ἐπόθησαν οἱ πολλοὶ, μνημονεύοντες, ὅτι καὶ πρὸς Ἀλέξανδρον ὑπὲρ αὐτῶν ἀνεδέξατο πολλάκις ἀπειθείας πολλὰς, ὑποφερομένου πρὸς τὸν Περσικὸν ζῆλον ἀντιλαμβανόμενος, καὶ τοῖς πατρίοις ἀμύνων, διὰ τρυφὴν καὶ ὄγκον ἤδη περιυβριζομένοις. Τότε δ' οὖν ὁ Κρατερὸς τὸν μὲν Ἀντίπατρον εἰς Κιλικίαν ἀπέστελλεν, αὐτὸς δὲ, τῆς δυνάμεως ἀναλαβὼν πολὺ μέρος, ἐπὶ τὸν Εὐμένη μετὰ τοῦ Νεοπτολέμου προσῆγεν, οἰόμενος οὐ προσδεχομένῳ, καὶ μετὰ πρόσφατον νίκην ἐν ἀταξίᾳ καὶ περὶ πότους ἔχοντι τὴν δύναμιν, ἐπιπεσεῖσθαι. Τὸ μὲν οὖν προαισθέσθαι τὴν ἔφοδον αὐτοῦ τὸν Εὐμένη, καὶ προπαρασκευάσασθαι, νηφούσης ἄν τις ἡγεμονίας, οὐ μὴν ἄκρας θείη δεινότητος· τὸ δὲ μὴ μόνον τοὺς πολεμίους, ἃ μὴ καλῶς εἶχεν αἰσθέσθαι, διαφυγεῖν, ἀλλὰ καὶ τοὺς μετ' αὐτοῦ στρατευομένους, ἀγνοοῦντας, ᾧ μαχοῦνται, προενσεῖσαι τῷ Κρατερῷ, καὶ ἀποκρύψαι τὸν ἀντιστράτηγον, ἴδιον δοκεῖ τοῦτο τοῦ ἡγεμόνος ἔργον γε-

Digitized by Google

νέσθαι. Διέδωκε μὲν οὖν λόγον, ὡς Νεοπτόλεμος αὖθις ἐπῖοι καὶ Πίγρης, ἔχοντες ἵππεῖς Καππαδοκῶν καὶ Παφλαγόνων. Νυκτὸς δ' ἀναζεῦξαι βουλόμενος, εἶτα καταδαρθὼν, ὄψιν εἶδεν ἀλλόκοτον. Ἐδόκει γὰρ ὁρᾶν Ἀλεξάνδρους δύο παρασκευαζομένους ἀλλήλοις μάχεσθαι, μιᾶς ἑκάτερον ἡγούμενον φάλαγγος· εἶτα, τῷ μὲν τὴν Ἀθηνᾶν, τῷ δὲ τὴν Δήμητρα βοηθοῦσαν ἐλθεῖν. Γενομένου δ' ἀγῶνος ἰσχυροῦ, κρατηθῆναι τὸν μετὰ τῆς Ἀθηνᾶς· τῷ δὲ νικῶντι σταχύων δρεπομένην τὴν Δήμητρα συμπλέκειν στέφανον. Αὐτόθεν μὲν οὖν τὴν ὄψιν εἴκαζεν εἶναι πρὸς αὑτοῦ, μαχομένου περὶ γῆς ἀρίστης καὶ τότε πολὺν καὶ καλὸν ἐχούσης ἐν κάλυκι στάχυν. Ἅπασα γὰρ κατέσπαρτο, καὶ παρεῖχεν εἰρήνῃ πρέπουσαν ὄψιν, ἀμφιλαφῶς τῶν πεδίων κομώντων. Μᾶλλον δ' ἐπερρώσθη, πυθόμενος σύνθημα τοῖς πολεμίοις Ἀθηνᾶν καὶ Ἀλέξανδρον εἶναι. Δήμητρα δὲ δὴ καὶ αὐτὸς ἐδίδου σύνθημα καὶ Ἀλέξανδρον, ἀναδεῖσθαί τε πάντας ἐκέλευε, καὶ καταστέφειν τὰ ὅπλα τῶν σταχύων λαμβάνοντας. Ὁρμήσας δὲ πολλάκις ἐξαγορεῦσαι καὶ φράσαι τοῖς περὶ αὐτὸν ἡγεμόσι καὶ στρατηγοῖς, πρὸς ὃν ἔμελλεν ὁ ἀγὼν ἔσεσθαι, καὶ μὴ μόνος ἐν αὑτῷ θέμενος ἀποκρύψαι καὶ κατασχεῖν ἀπόῤῥητον οὕτως ἀναγκαῖον, ὅμως ἐνέμεινε τοῖς λογισμοῖς, καὶ διεπίστευσε τῇ γνώμῃ τὸν κίνδυνον.

VII. Ἀντέταξε δὲ Κρατερῷ Μακεδόνων μὲν οὐδένα, δύο δὲ ἱππαρχίας ξενικὰς, ὧν Φαρνάβαζος ὁ

Digitized by Google

Ἀρταβάζου καὶ Φοίνιξ ὁ Τενέδιος ἡγοῦντο, διακελευσάμενος, ὀφθέντων τῶν πολεμίων, ἐλαύνειν κατὰ τάχος καὶ συμπλέκεσθαι, μὴ διδόντας ἀναστροφὴν, μηδὲ φωνὴν, μηδὲ κήρυκα πεμπόμενον προσιεμένους. Ἐδεδίει γὰρ ἰσχυρῶς τοὺς Μακεδόνας, μὴ, γνωρίσαντες τὸν Κρατερὸν, οἴχωνται μεταβαλόμενοι πρὸς ἐκεῖνον. Αὐτὸς δὲ, τοὺς ἐρρωμενεστάτους ἱππεῖς τριακοσίους εἰς ἄγημα συντάξας, καὶ παρελάσας ἐπὶ τὸ δεξιὸν, ἔμελλε τοῖς περὶ Νεοπτόλεμον ἐπιχειρεῖν. Ὡς δὲ τὸν ἐν μέσῳ λόφον ὑπερβαλόντες ἄφθησαν ὀξεῖαν καὶ μεθ' ὁρμῆς σφοδροτέρας ποιούμενοι τὴν ἔφοδον, ἐκπλαγεὶς ὁ Κρατερὸς, καὶ πολλὰ λοιδορήσας τὸν Νεοπτόλεμον, ὡς ἐξηπατημένος ὑπ' αὐτοῦ περὶ τῆς τῶν Μακεδόνων μεταβολῆς, ἐγκελευσάμενος ἀνδραγαθεῖν τοῖς περὶ αὐτὸν ἡγεμόσιν, ἀντεξήλασε. Γενομένης δὲ τῆς πρώτης συρράξεως βαρείας, καὶ τῶν δοράτων ταχὺ συντριβέντων, τοῦ δ' ἀγῶνος ἐν τοῖς ξίφεσιν ὄντος, οὐ καταισχύνας ὁ Κρατερὸς τὸν Ἀλέξανδρον, ἀλλὰ πολλοὺς μὲν καταβαλὼν, πολλάκις δὲ τρεψάμενος τοὺς ἀντιτεταγμένους, τέλος δὴ πληγεὶς ὑπὸ Θρᾳκὸς ἐκ πλαγίων προσελάσαντος, ἀπερρύη τοῦ ἵππου. Πεσόντα δ' αὐτὸν οἱ μὲν ἄλλοι παρήλασαν ἀγνοοῦντες· Γοργίας δὲ, τῶν Εὐμένους στρατηγῶν, ἔγνω τε, καὶ καταβὰς περιέστησε φρουρὰν τῷ σώματι, κακῶς ἤδη διακειμένου καὶ δυσθανατοῦντος. Ἐν τούτῳ δὲ καὶ Νεοπτόλεμος Εὐμένει συνήρχετο. Μισοῦντες γὰρ ἀλλήλους πάλαι καὶ δι' ὀργῆς ἔχοντες, ἐν μὲν δυσὶν

Digitized by Google

ἀναστροφαῖς οὐ κατεῖδον, ἐν δὲ τῇ τρίτῃ γνωρίσαντες εὐθὺς ἤλαυνον, σπασάμενοι τὰ ἐγχειρίδια καὶ βοῶντες. Τῶν δ' ἵππων ἐξ ἐναντίας βίᾳ συμπεσόντων, ὥσπερ τριηρῶν, τὰς ἡνίας ἀφέντες, ἀλλήλων ἐπελάβοντο ταῖς χερσὶ, τά τε κράνη περισπῶντες, καὶ περιῤῥηγνύντες ἐκ τῶν ἐπωμίδων τοὺς θώρακας. Πρὸς δὲ τὸν σπαραγμὸν ὑπεκδραμόντων ἅμα τῶν ἵππων, ἀποῤῥυέντες εἰς γῆν, καὶ περιπεσόντες ἀλλήλοις, ἐν λαβαῖς ἦσαν καὶ διεπάλαιον. Εἶτα ὁ μὲν Εὐμένης τοῦ Νεοπτολέμου προεξανισταμένου τὴν ἰγνύαν ὑπέκοψεν, αὐτὸς εἰς ὀρθὸν φθάσας καταστῆναι· ὁ δὲ Νεοπτόλεμος εἰς θάτερον ἐρεισάμενος γόνυ, θάτερον δὲ πεπηρωμένος, ἠμύνετο μὲν εὐρώστως κάτωθεν, οὐ θανασίμους δὲ πληγὰς ὑποφέρων· πληγεὶς δὲ παρὰ τὸν τράχηλον, ἔπεσε καὶ παρείθη. Τοῦ δ' Εὐμένους δι' ὀργὴν καὶ μῖσος παλαιὸν τά τε ὅπλα περισπῶντος αὐτοῦ, καὶ κακῶς λέγοντος, ἔτι τὸ ξίφος ἔχων, ἔλαθεν ὑπὸ τὸν θώρακα τρώσας, ἢ παρέψαυσε τοῦ βουβῶνος ἀποβάς. Ἡ δὲ πληγὴ μᾶλλον ἐφόβησεν, ἢ ἔβλαψε τὸν Εὐμένη, δι' ἀθένειαν ἀμυδρὰ γενομένη. Σκυλεύσας δὲ τὸν νεκρὸν, εἶχε μὲν χαλεπῶς ὑπὸ τραυμάτων, μηροὺς καὶ βραχίονας διακεκομμένος· ὅμως δ' ἀναβληθεὶς ἐπὶ τὸν ἵππον, ἐδίωκε πρὸς θάτερον κέρας, ὡς ἔτι συνεστώτων τῶν πολεμίων. Πυθόμενος δὲ τὴν Κρατεροῦ τελευτὴν, καὶ προσελάσας, ὡς εἶδεν ἐμπνέοντα καὶ συνιέντα, καταβὰς ἐπεδάκρυσε, καὶ τὴν δεξιὰν ἐνέβαλε, καὶ πολλὰ μὲν ἐλοιδόρησε τὸν Νεοπτόλεμον, πολλὰ δ' ἐκεῖνον μὲν ὠκτίσατο

Digitized by Google

τῆς τύχης, αὐτὸν δὲ τῆς ἀνάγκης, δι' ἣν ἀνδρὶ φίλῳ καὶ συνήθει, ταῦτα πεισόμενος, ἢ δράσων, συνηνέχθη.

VIII. Ταύτην τὴν μάχην Εὐμένης ἡμέραις δέκα σχεδόν τι μετὰ τὴν προτέραν ἐνίκησε· καὶ δόξῃ μὲν ἦρθη μέγας ἀπ' αὐτῆς, ὡς τὰ μὲν σοφίᾳ, τὰ δ' ἀνδρείᾳ κατειργασμένος, φθόνον δὲ πολὺν ἔσχε καὶ μῖσος ὁμαλῶς παρά τε τοῖς συμμάχοις καὶ τοῖς πολεμίοις, ὡς ἔπηλυς ἀνὴρ καὶ ξένος ὅπλοις καὶ χερσὶ τῶν Μακεδόνων τὸν πρῶτον αὐτῶν καὶ δοκιμώτατον ἀνῃρηκώς. Ἀλλ' εἰ μὲν ἔφθη Περδίκκας πυθόμενος τὴν Κρατεροῦ τελευτήν, οὐκ ἂν ἄλλος ἐπρώτευσε Μακεδόνων· νυνὶ δ', ἀνῃρημένου Περδίκκου κατὰ στάσιν ἐν Αἰγύπτῳ δυσὶν ἡμέραις πρότερον, ἦκεν οὗτος ὁ περὶ τῆς μάχης λόγος εἰς τὸ στρατόπεδον· καὶ πρὸς ὀργὴν εὐθὺς οἱ Μακεδόνες θάνατον τοῦ Εὐμένους κατέγνωσαν. Ἀπεδείχθη δὲ τοῦ πολέμου τοῦ πρὸς αὐτὸν Ἀντίγονος μετ' Ἀντιπάτρου στρατηγός. Ἐπεὶ δ' Εὐμένης, τοῖς βασιλικοῖς ἱπποφορβίοις περὶ τὴν Ἴδην νεμομένοις ἐπιτυχών, καὶ λαβὼν ἵππους, ὅσων ἔχρῃζε, τοῖς ἐπιμεληταῖς τὴν γραφὴν ἔπεμψε, λέγεται γελάσαι τὸν Ἀντίπατρον, καὶ εἰπεῖν, ὅτι θαυμάζει τὸν Εὐμένη τῆς προνοίας, ἐλπίζοντα λόγον αὐτοῖς ἀποδώσειν τῶν βασιλικῶν, ἢ λήψεσθαι παρ' αὐτῶν. Περὶ δὲ τὰς Σάρδεις ἐβούλετο μὲν ἱπποκρατῶν ὁ Εὐμένης τοῖς Λυδοῖς ἐναγωνίσασθαι πεδίοις, ἅμα καὶ τῇ Κλεοπάτρᾳ τὴν δύναμιν ἐπιδεῖξαι φιλοτιμούμενος. Αὐτῆς δ' ἐκείνης δεηθείσης, (ἐφοβεῖτο γὰρ αἰτίαν τινὰ λαβεῖν ὑπὸ τῶν περὶ

Digitized by Google

τὸν Ἀντίπατρον) ἐξήλασεν εἰς τὴν ἄνω Φρυγίαν, καὶ διεχείμαζεν ἐν Κελαιναῖς· ὅπου τῶν μὲν περὶ τὸν Ἀλκέταν καὶ Πολέμωνα καὶ Δόκιμον ὑπὲρ ἡγεμονίας διαφιλοτιμουμένων πρὸς αὐτόν· Τοῦτ' ἦν, ἔφη, τὸ λεγόμενον, Ὀλέθρου δ' οὐθεὶς λόγος. Τοῖς δὲ στρατιώταις ὑποσχόμενος ἐν τρισὶν ἡμέραις τὸν μισθὸν ἀποδώσειν, ἐπίπρασκεν αὐτοῖς τὰς κατὰ τὴν χώραν ἐπαύλεις καὶ τετραπυργίας σωμάτων καὶ βοσκημάτων γεμούσας. Ὁ δὲ πριάμενος ἡγεμὼν τάγματος, ἢ ξεναγός, ὄργανα καὶ μηχανὰς λαβών, τοῦ Εὐμένους παρέχοντος, ἐξεπολιόρκει, καὶ πρὸς τὸν ὀφειλόμενον μισθὸν οἱ στρατιῶται διενέμοντο τῶν ἁλισκομένων ἕκαστον. Ἐκ δὴ τούτου πάλιν ὁ Εὐμένης ἠγαπᾶτο, καί ποτε γραμμάτων ἐν τῷ στρατοπέδῳ φανέντων, ἃ διέῤῥιψαν οἱ τῶν πολεμίων ἡγεμόνες, ἑκατὸν τάλαντα καὶ τιμὰς διδόντες τῷ κτείναντι τὸν Εὐμένη, σφόδρα παρωξύνθησαν οἱ Μακεδόνες· καὶ δόγμα ποιοῦνται, χιλίους τῶν ἡγεμονικῶν περὶ αὐτὸν ἀεὶ δορυφοροῦντας εἶναι, καὶ φυλάττειν ἐν περιόδῳ καὶ παρανυκτερεύειν. Οἱ δ' ἐπείθοντο, καὶ τιμὰς ἠγάπων παρ' αὐτοῦ λαμβάνοντες, ἃς οἱ φίλοι παρὰ τῶν βασιλέων. Ἔξῆν γὰρ Εὐμένει καὶ καυσίας ἁλουργεῖς καὶ χλαμύδας διανέμειν, ἥτις ἦν δωρεὰ βασιλικωτάτη παρὰ Μακεδόσι.

IX. Τὸ μὲν οὖν εὐτυχεῖν καὶ τοὺς φύσει μικροὺς συνεπικουφίζει τοῖς φρονήμασιν, ὥστε φαίνεσθαί τι μέγεθος περὶ αὐτοὺς καὶ ὄγκον, ἐκ πραγμάτων ὑπερεχόντων ἀποβλεπομένους. Ὁ δὲ ἀληθῶς μεγαλόφρων

Digitized by Google

καὶ βέβαιος, ἐν τοῖς σφάλμασι μᾶλλον καὶ ταῖς δυσημερίαις ἀναφέρων, γίνεται κατάδηλος, ὥσπερ Εὐμένης. Πρῶτον μὲν γὰρ ἐν Ὀρκυνίοις τῆς Καππαδοκίας ἡττηθεὶς ὑπ' Ἀντιγόνου διὰ προδοσίαν, καὶ διωκόμενος, οὐ παρῆκε τὸν προδότην ἐκ τῆς φυγῆς διαπεσεῖν πρὸς τοὺς πολεμίους, ἀλλὰ συλλαβὼν ἐκρέμασε. Φεύγων δὲ, τὴν ἐναντίαν ὁδὸν τοῖς διώκουσι μετέβαλε λαθών, καὶ παραλλάξας, ὡς ἦλθεν ἐπὶ τὸν τόπον, οὗ τὴν μάχην συνέβη γενέσθαι, κατεστρατοπέδευσε, καὶ συναγαγὼν τοὺς νεκροὺς, τῶν ἐν κύκλῳ κωμῶν τὰ θυρώματα κατασχίσας, ἔκαυσεν, ἰδίᾳ μὲν ἡγεμόνας, ἰδίᾳ δὲ τοὺς πολλοὺς, καὶ πολυάνδρια χώσας ἀπῆλθεν· ὥστε καὶ τὸν Ἀντίγονον ὕστερον ἐπελθόντα θαυμάζειν τὸ θάρσος αὐτοῦ καὶ τὴν εὐστάθειαν. Ἔπειτα ταῖς ἀποσκευαῖς τοῦ Ἀντιγόνου περιπεσὼν, καὶ λαβεῖν ῥᾳδίως δυνάμενος πολλὰ μὲν ἐλεύθερα σώματα, πολλὴν δὲ θεραπείαν, καὶ πλοῦτον ἐκ πολέμων τοσούτων καὶ λεηλασιῶν ἠθροισμένον, ἔδεισε, μὴ καταπλησθέντες ὠφελείας καὶ λαφύρων οἱ σὺν αὐτῷ βαρεῖς γένωνται πρὸς τὴν φυγὴν, καὶ μαλακώτεροι τὰς πλάνας ὑπομένειν, καὶ τὸν χρόνον, ἐν ᾧ μάλιστα τοῦ πολέμου τὰς ἐλπίδας εἶχεν, ὡς ἀποστρέψων τὸν Ἀντίγονον. Ἐπεὶ δ' ἄντικρυς χαλεπὸν ἦν ἀποτρέπειν Μακεδόνας χρημάτων ἐν ἐφικτῷ παρόντων, ἐκέλευσε θεραπεύσαντας αὐτοὺς καὶ τοῖς ἵπποις χιλὸν ἐμβαλόντας, οὕτω βαδίζειν ἐπὶ τοὺς πολεμίους. Αὐτὸς δὲ πέμπει κρύφα πρὸς τὸν ἐπὶ τῆς ἀποσκευῆς τῶν πολεμίων Μένανδρον, ὡς κηδό-

Digitized by Google

μενος αὐτοῦ, φίλου γεγονότος καὶ συνήθους, φυλάξασθαι παραινῶν, καὶ ἀναχωρῆσαι τὴν ταχίστην ἐκ τῶν ἐπιδρόμων καὶ πεδινῶν πρὸς τὴν ἐγγὺς ὑπώρειαν, ἄφιππον οὖσαν καὶ κυκλώσεις οὐκ ἔχουσαν. Τοῦ δὲ Μενάνδρου ταχὺ συμφρονήσαντος τὸν κίνδυνον καὶ ἀνασκευασαμένου, κατασκόπους ἔπεμπεν ὁ Εὐμένης φανερῶς, καὶ παρήγγειλε τοῖς στρατιώταις ὁπλίζεσθαι, καὶ τοὺς ἵππους ἐγχαλινοῦν, ὡς προσάξων τοῖς πολεμίοις. Τῶν δὲ κατασκόπων ἀπαγγειλάντων, ὅτι παντάπασαν ὁ Μένανδρος ἄληπτος εἴη, καταπεφευγὼς εἰς τόπους χαλεπούς, ἄχθεσθαι προσποιούμενος ὁ Εὐμένης ἀπῆγε τὴν στρατιάν. Λέγεται δὲ, τοῦ Μενάνδρου ταῦτα μαρτυρήσαντος πρὸς τὸν Ἀντίγονον, καὶ τῶν Μακεδόνων ἐπαινούντων τὸν Εὐμένη, καὶ φιλανθρωπότερον διατεθέντων, ὅτι καὶ παῖδας αὐτῶν ἀνδραποδίσασθαι καὶ γυναῖκας αἰσχῦναι παρὸν, ἐφείσατο καὶ παρῆκεν· Ἀλλ' ἐκεῖνος, φάναι τὸν Ἀντίγονον, οὐχ ὑμῶν, ὦ μακάριοι, κηδόμενος παρῆκεν, ἀλλ' αὐτῷ φεύγοντι δεδιὼς περιθεῖναι πέδας τοσαύτας.

X. Ἐκ τούτου πλανώμενος ὁ Εὐμένης καὶ ὑποφεύγων, ἔπεισε τοὺς πολλοὺς τῶν στρατιωτῶν ἀπελθεῖν, εἴτε κηδόμενος αὐτῶν, εἴτ' ἐφέλκεσθαι μὴ βουλόμενος ἐλάττονας μὲν τοῦ μάχεσθαι, πλείονας δὲ τοῦ λανθάνειν ὄντας. Καταφυγὼν δ' εἰς Νῶρα, χωρίον ἐν μεθορίῳ Λυκαονίας καὶ Καππαδοκίας, μετὰ πεντακοσίων ἱππέων καὶ διακοσίων ὁπλιτῶν· κἀντεῦθεν αὖθις, ὅσοι τῶν φίλων ἐδεήθησαν ἀφεθῆναι,

Digitized by Google

τοῦ χωρίου τὴν χαλεπότητα καὶ τῆς διαίτης τὴν ἀνάγκην οὐ φέροντες, πάντας, ἀσπασάμενος καὶ φιλοφρονηθεὶς ἀπέπεμψεν. Ὡς δ' ἐπελθὼν ὁ Ἀντίγονος εἰς λόγους αὐτὸν ἐκάλει πρὸ τῆς πολιορκίας, ἀπεκρίνατο, πολλοὺς εἶναι τοὺς Ἀντιγόνου φίλους, καὶ μετ' Ἀντίγονον ἡγεμόνας· ὧν δ' αὐτὸς προπολεμεῖ, μηδένα λείπεσθαι μετ' αὐτόν. Ὁμήρους δὲ πέμπειν ἐκέλευσεν, εἰ χρήζει διὰ λόγων αὐτῷ γενέσθαι. Τοῦ δ' Ἀντιγόνου κελεύοντες, ὡς κρείττονι λαλεῖν· Οὐδένα, εἶπεν, ἐμαυτοῦ κρείττονα νομίζω, μέχρις ἂν ὦ τοῦ ξίφους κύριος. Ὅμως δὲ, πέμψαντος τοῦ Ἀντιγόνου τὸν ἀδελφιδοῦν Πτολεμαῖον εἰς τὸ χωρίον, ὥσπερ ἠξίωσεν ὁ Εὐμένης, κατέβη, καὶ περιβαλόντες ἀλλήλους ἠσπάσαντο φιλικῶς καὶ οἰκείως, ἅτε δὴ ἀλλήλοις κεχρημένοι πολλὰ, καὶ συνήθεις γεγονότες. Λόγων δὲ γενομένων πολλῶν, καὶ τοῦ Εὐμένους οὐχ ὑπὲρ ἀσφαλείας μεμνημένου καὶ διαλύσεως, ἀλλὰ καὶ τὰς σατραπείας ἀξιοῦντος αὐτῷ βεβαιοῦσθαι, καὶ τὰς δωρεὰς ἀποδίδοσθαι, θαῦμα τοὺς παρόντας εἶχε, τὸ φρόνημα καὶ τὴν εὐτολμίαν ἀγαμένους. Ἅμα δὲ πολλοὶ συνέτρεχον τῶν Μακεδόνων, ἰδεῖν, ὅστις ἐστὶ, τὸν Εὐμένη ποθοῦντες. Οὐ γὰρ ἑτέρου λόγος ἦν τοσοῦτος ἐν τῷ στρατῷ μετὰ τὴν τοῦ Κρατεροῦ τελευτήν. Δείσας δ' ὁ Ἀντίγονος ὑπὲρ αὐτοῦ, μή τι πάθῃ βίαιον, πρῶτον μὲν ἀπηγόρευε μὴ προσιέναι βοῶν, καὶ τοῖς λίθοις ἔβαλλε τοὺς ἐπιφερομένους· τέλος δὲ, ταῖς χερσὶ τὸν Εὐμένη περιβαλὼν, καὶ τὸν ὄχλον ἀπερύκων τοῖς δορυφόροις, μόλις εἰς τὸ ἀσφαλὲς ἀπεκατέστησεν.

Digitized by Google

XI. Τοὐντεῦθεν ὁ μὲν περιτειχίσας τὰ Νῶρα, καὶ φρουρὰν καταλιπών, ἀνέζευξεν· Εὐμένης δὲ πολιορκούμενος, ἐγκρατὴς τοῦ χωρίου γεγονὼς, σῖτον καὶ ὕδωρ ἄφθονον καὶ ἅλας, ἄλλο δὲ μηδὲν ἔχοντος ἐδώδιμον, μηδ' ἡδυσμα πρὸς τὸν σῖτον, ἐκ τῶν παρόντων ὅμως κατεσκεύαζε τοῖς συνοῦσιν ἱλαρὰν τὴν δίαιταν, ἐν μέρει τε παραλαμβάνων πάντας ἐπὶ τὴν αὐτοῦ τράπεζαν, καὶ τὸ συσσίτιον ὁμιλίᾳ, χάριν ἐχούσῃ καὶ φιλοφροσύνην, ἐφηδύνων. Ἦν δὲ καὶ τὸ εἶδος ἡδὺς, οὐ πολεμικῷ καὶ τετριμμένῳ δι' ὅπλων ἐοικὼς, ἀλλὰ γλαφυρὸς καὶ νεοπρεπὴς, καὶ πῶν τὸ σῶμα διηρθρωμένος, ὡς ὑπὸ τέχνης ἀκριβῶς, τοῖς μέλεσι θαυμαστὴν συμμετρίαν ἔχουσιν. Εἰπεῖν δ' οὐ δεινὸς, αἱμύλος δὲ καὶ πιθανὸς, ὡς ἐκ τῶν ἐπιστολῶν συμβάλλειν ἐστίν. Ἐπεὶ δὲ τοὺς σὺν αὐτῷ πολιορκουμένους ἡ στενοχωρία μάλιστα πάντων ἔβλαπτεν, ἐν οἰκήμασι μικροῖς, καὶ τόπῳ δυοῖν σταδίοιν ἔχοντι τὴν περίμετρον, ἀναστρεφομένους, τροφὴν δ' ἀγυμνάστους μὲν αὐτοὺς λαμβάνοντας, ἀργοῖς δὲ τοῖς ἵπποις προσφέροντας· οὐ μόνον τὸν ἅλυν αὐτῶν, ὑπὸ τῆς ἀπραξίας μαραινομένων, ἀπαλλάξαι βουλόμενος, ἀλλὰ καὶ πρὸς φυγὴν, εἰ παραπέσοι καιρὸς, ἀμωσγέπως ἠσκημένοις χρήσασθαι, τοῖς μὲν ἀνθρώποις οἶκον, ὃς ἦν μέγιστος ἐν τῷ χωρίῳ, δεκατεσσάρων πηχῶν τὸ μῆκος, ἀπέδειξε περίπατον, κατὰ μικρὸν ἐπιτείνειν τὴν κίνησιν κελεύων· τῶν δ' ἵππων ἕκαστον ῥυτῆρσι μεγάλοις εἰς τὴν ὀροφὴν ἀναδεμένοις, ὑποζώσας ἐκ τῶν περὶ τὸν αὐχένα μερῶν, ἐμετεώριζε,

Digitized by Google

καὶ παρήγειρε διὰ τροχιλίας, ὥστε τοῖς μὲν ὀπισθίοις σκέλεσιν ἐπὶ τῆς γῆς ἐρείδεσθαι, τοῖς δ' ἐμπροσθίοις ποσὶν ἀκρωνύχους ἐπιψαύειν. Οὕτω δὴ ἀνηρτημένους οἱ ἱπποκόμοι παραστῶτες, ἅμα ταῖς τε κραυγαῖς καὶ ταῖς μάστιξιν ἐπηρέθιζον· οἱ δὲ, πιμπλάμενοι θυμοῦ καὶ ὀργῆς, τοῖς μὲν ὀπισθίοις ἐνήλλοντο καὶ διεσκίρτων σκέλεσι, τοῖς δὲ μετεώροις ἐφιέμενοι στηρίξασθαι, καὶ κροτοῦντες τὸ ἔδαφος, κατετείνοντο πᾶν τὸ σῶμα, καὶ πολὺν ἠφίεσαν ἱδρῶτα καὶ στεναγμὸν, οὔτε πρὸς τάχος, οὔτε πρὸς ῥώμην, γυμναζόμενοι κακῶς. Τὰς δὲ κριθὰς ἐνέβαλλον αὐτοῖς ἐπτισμένας, ἵνα κατεργάζωνται θᾶττον καὶ πέττωσι βέλτιον.

XII. Ἤδη δὲ τῆς πολιορκίας χρόνον λαμβανούσης, Ἀντίγονος τεθνηκέναι πυνθανόμενος Ἀντίπατρον ἐν Μακεδονίᾳ, καὶ τεταράχθαι τὰ πράγματα, Κασάνδρου καὶ Πολυπέρχοντος διαφερομένων, οὐδὲν ἔτι μικρὸν ἐλπίζων, ἀλλὰ τῇ γνώμῃ τὴν ὅλην περιβαλλόμενος ἡγεμονίαν, ἐβούλετο τὸν Εὐμένη φίλον ἔχειν καὶ συνεργὸν ἐπὶ τὰς πράξεις. Διὸ πέμψας Ἱερώνυμον, ἐσπένδετο τῷ Εὐμένει, προτείνας ὅρκον, ὃν ὁ Εὐμένης διορθώσας, ἐπέτρεψεν ἐπικρῖναι τοῖς πολιορκοῦσιν αὐτὸν Μακεδόσι, πότερος εἴη δικαιότερος. Ἀντίγονος μὲν γὰρ ἀφοσιώσεως ἕνεκεν ἐν ἀρχῇ τῶν βασιλέων ἐπιμνησθεὶς, τὸν λοιπὸν ὅρκον εἰς ἑαυτὸν ὤμνυε· Εὐμένης δὲ πρώτην μὲν ἐνέγραψε τοῖς ὅρκοις Ὀλυμπιάδα μετὰ τῶν βασιλέων· ἔπειτα ὤμνυεν, οὐκ Ἀντιγόνῳ μόνον εὐνοή-

Digitized by Google

σειν, οὐδ' ἐκείνῳ τὸν αὐτὸν ἐχθρὸν ἔξειν καὶ φίλον, ἀλλὰ καὶ Ὀλυμπιάδι καὶ τοῖς βασιλεῦσιν. Ὧν δικαιοτέρων φανέντων, οἱ Μακεδόνες, ταῦτα ὀρκίσαντες τὸν Εὐμένη, τὴν πολιορκίαν ἔλυσαν, καὶ πρὸς τὸν Ἀντίγονον ἀπέστελλον, ὅπως καὶ αὐτὸς ἀποδῷ τῷ Εὐμένει τὸν ὅρκον. Ἐν τούτῳ δ' Εὐμένης ὅσους εἶχεν ἐν Νώροις τῶν Καππαδοκῶν ὁμήρους ἀπεδίδου, λαμβάνων ἵππους καὶ ὑποζύγια καὶ σκηνὰς παρὰ τῶν κομιζομένων, καὶ συνῆγε τῶν στρατιωτῶν ὅσοι διασπαρέντες ἀπὸ τῆς φυγῆς ἐπλανῶντο κατὰ τὴν χώραν· ὥστε περὶ αὐτὸν ἱππεῖς ὀλίγῳ τῶν χιλίων ἀποδέοντας γενέσθαι. Μεθ' ὧν ἐξελάσας ἔφυγεν, ὀρθῶς φοβηθεὶς τὸν Ἀντίγονον. Οὐ γὰρ μόνον ἐκεῖναν ἐκέλευσε πολιορκεῖν αὖθις περιτειχίσαντας, ἀλλὰ καὶ τοῖς Μακεδόσι πικρῶς ἀντέγραψε, δεξαμένοις τοῦ ὅρκου τὴν διόρθωσιν.

XIII. Φεύγοντι δ' Εὐμένει γράμματα κομίζεται παρὰ τῶν ἐν Μακεδονίᾳ τὴν Ἀντιγόνου δεδοικότων αὔξησιν, Ὀλυμπιάδος μὲν παρακαλούσης ἐλθόντα τὸ Ἀλεξάνδρου παιδίον παραλαβεῖν καὶ τρέφειν, ὡς ἐπιβουλευόμενον, Πολυπέρχοντος δὲ καὶ Φιλίππου τοῦ βασιλέως κελευόντων Ἀντιγόνῳ πολεμεῖν, τῆς ἐν Καππαδοκίᾳ δυνάμεως ἄρχοντα, καὶ τῶν ἐν Κουϊνδοις χρημάτων πεντακόσια μὲν τάλαντα λαβεῖν εἰς τὴν τῶν ἰδίων ἐπανόρθωσιν, εἰς δὲ τὸν πόλεμον ὁπόσοις βούλεται χρῆσθαι. Περὶ δὲ τούτων καὶ Ἀντιγένει καὶ Τευτάμῳ, τοῖς τῶν ἀργυρασπίδων ἡγουμένοις, ἐγεγράφεισαν. Ἐπὶ δὲ λαβόν-

Digitized by Google

τες ἐκεῖνοι τὰ γράμματα, τῷ μὲν λόγῳ φιλανθρώπως ἐδέξαντο τὸν Εὐμένη, φθόνου δὲ καὶ φιλονεικίας ἐφαίνοντο μεστοὶ, δευτερεύειν ἀπαξιοῦντες ἐκείνῳ· τὸν μὲν φθόνον ὁ Εὐμένης ἐθεράπευε τῷ τὰ χρήματα μὴ λαβεῖν, ὡς οὐδὲν δεόμενος, ταῖς δὲ φιλονεικίαις καὶ φιλαρχίαις αὐτῶν, μήθ' ἡγεῖσθαι δυναμένων, μήθ' ἕπεσθαι βουλομένων, ἐπῆγε δεισιδαιμονίαν. Ἔφη γὰρ, Ἀλέξανδρον αὐτῷ κατὰ τοὺς ὕπνους φανῆναι, καὶ δεῖξαί τινα σκηνὴν κατεσκευασμένην βασιλικῶς, καὶ θρόνον ἐν αὐτῇ κείμενον· εἶτ' εἰπεῖν, ὡς ἐνταῦθα συνεδρεύουσιν αὐτοῖς καὶ χρηματίζουσιν αὐτὸς παρέσται, καὶ συνεφάψεται βουλῆς τε πάσης καὶ πράξεως ἀρχομένοις ἀπ' αὐτοῦ. Ταῦτα ῥᾳδίως ἔπεισε τὸν Ἀντιγένη καὶ τὸν Τεύταμον, οὔτ' ἐκείνων βαδίζειν βουλομένων πρὸς αὐτὸν, οὔτε αὐτὸς ἀξιῶν ἐπὶ θύραις ἑτέρων δρᾶσθαι. Καὶ τιθέντες οὕτω σκηνὴν βασιλικὴν καὶ θρόνον Ἀλεξάνδρῳ καταπεφημισμένον, ἐκεῖ συνεπορεύοντο βουλευόμενοι περὶ τῶν μεγίστων. Ἐπεὶ δὲ προϊοῦσιν αὐτοῖς εἰς τὴν ἄνω χώραν ὁ Πευκέστας μετὰ τῶν ἄλλων σατραπῶν ἀπήντησε, φίλος ὢν, καὶ συνεμίξαντο τὰς δυνάμεις, πλήθει μὲν ὅπλων καὶ λαμπρότητι παρασκευῆς ἐπέῤῥωσαν τοὺς Μακεδόνας, αὐτοὶ δ', ἀνάγωγοι ταῖς ἐξουσίαις, καὶ μαλακοὶ ταῖς διαίταις γεγονότες μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν, καὶ φρονήματα τυραννικὰ καὶ τεθραμμένα βαρβαρικαῖς ἁλιζωνίαις ἐπὶ ταὐτὸ συνενεγκάμενοι, πρὸς μὲν ἀλλήλους βαρεῖς ἦσαν καὶ δυσάρμοστοι, τοὺς δὲ Μακεδόνας κολακεύοντες ἐκκεχυμένως, καὶ

Digitized by Google

καταχορηγοῦντες εἰς δεῖπνα καὶ θυσίας, ὀλίγου χρόνου τὸ στρατόπεδον ἀσωτίας πανηγυριζούσης κατα-γώγιον ἐποίησαν, καὶ δημαγωγούμενον ἐπὶ αἱρέσει στρατηγῶν ὄχλον, ὥσπερ ἐν ταῖς δημοκρατίαις. Αἰσθόμενος δ' ὁ Εὐμένης αὐτοὺς ἀλλήλων μὲν καταφρονοῦντας, αὐτὸν δὲ φοβουμένους, καὶ παραφυλάττοντας ἀνελεῖν, εἰ γένοιτο καιρὸς, ἐσκήψατο χρημάτων δεῖσθαι· καὶ συνεδανείσατο τάλαντα πολλὰ παρὰ τῶν μάλιστα μισούντων αὐτὸν, ἵνα καὶ πιστεύωσι, καὶ ἀπέχωνται περὶ τῶν δανείων ἀγωνιῶντες. Ὥστε συνέβη τὸν ἀλλότριον πλοῦτον αὐτῷ φύλακα τοῦ σώματος ἔχειν, καὶ τῶν ἄλλων ἐπὶ σωτηρίᾳ διδόντων, μόνον ἐκ τοῦ λαβεῖν κτήσασθαι τὴν ἀσφάλειαν.

XIV. Οὐ μὴν ἀλλ' οἱ Μακεδόνες, ἀδείας μὲν οὔσης, ἐφθείροντο πρὸς τοὺς διδόντας, καὶ τὰς ἐκείνων θύρας ἐθεράπευον, δορυφορουμένων καὶ στρατηγιώντων· ἐπεὶ δ' Ἀντίγονος αὐτοῖς παρεστρατοπέδευσε μετὰ πολλῆς δυνάμεως, καὶ τὰ πράγματα φωνὴν ἀφιέντα τὸν ἀληθινὸν ἐκάλει στρατηγόν, οὐ μόνον οἱ στρατευόμενοι τῷ Εὐμένει προσεῖχον, ἀλλὰ καὶ τῶν ἐν εἰρήνῃ καὶ τρυφῇ μεγάλων ἐκείνων ἕκαστος ἐνέδωκε, καὶ παρεῖχεν ἑαυτὸν σιωπῇ τὴν δοθεῖσαν φυλάττοντα τάξιν. Καὶ γάρ τοι περὶ τὸν Πασιτίγριν ποταμὸν ἐπιχειρήσαντα διαβαίνειν τὸν Ἀντίγονον, οἱ μὲν ἄλλοι παραφυλάττοντες οὐδ' ἤσθοντο, μόνος δ' Εὐμένης ὑπέστη, καὶ συνάψας μάχην, πολλοὺς μὲν κατέβαλε, καὶ νεκρῶν ἐνέπλησε τὸ ῥεῖ-

Digitized by Google

θρον, ἔλαβε δὲ τετρακισχιλίους αἰχμαλώτους. Μάλιστα δ' οἱ Μακεδόνες περὶ τὴν συμβᾶσαν ἀῤῥωστίαν αὐτῷ καταφανεῖς ἐγένοντο, τοὺς μὲν ἄλλους ἑστιᾶν λαμπρῶς καὶ πανηγυρίζειν, ἄρχειν δὲ καὶ πολεμεῖν δυνατὸν ἡγούμενοι μόνον ἐκεῖνον. Ὁ μὲν γὰρ Πευκέστας ἐν τῇ Περσικῇ λαμπρῶς αὐτοὺς ἑστιάσας, καὶ κατ' ἄνδρα διαδοὺς ἱερεῖον εἰς θυσίαν, ἤλπιζεν εἶναι μέγιστος· ὀλίγαις δ' ὕστερον ἡμέραις τῶν στρατιωτῶν ἐπὶ τοὺς πολεμίους βαδιζόντων, ἐτύγχανεν ὁ Εὐμένης, ἐκ νόσου τινὸς ἐπισφαλοῦς, ἐν φορείῳ κομιζόμενος ἔξω τοῦ στρατεύματος ἐν ἡσυχίᾳ διὰ τὰς ἀγρυπνίας. Μικρὸν προελθοῦσιν αὐτοῖς ἄφνω λόφους τινὰς ὑπερβαλόντες ἐξεφάνησαν οἱ πολέμιοι, καταβαίνοντες εἰς τὸ πεδίον. Ὡς οὖν αἵ τε τῶν χρυσῶν ὅπλων αὐγαὶ πρὸς τὸν ἥλιον ἐξελέλαμψαν ἀπὸ τῶν ἄκρων τοῦ ἀγήματος ἐν τάξει πορευομένων, καὶ τῶν θηρίων τοὺς πύργους ἄνω καὶ τὰς πορφύρας εἶδον, ὅσπερ ἦν αὐτοῖς κόσμος εἰς μάχην ἀγομένοις, ἐπιστήσαντες οἱ πρῶτοι τὴν πορείαν, ἐβόων Εὐμένη καλεῖν αὐτοῖς· οὐ γὰρ ἂν προελθεῖν, ἐκείνου μὴ στρατηγοῦντος. Καὶ τὰ ὅπλα πρὸς τὴν γῆν ἐρείσαντες, ἀλλήλοις μένειν διεκελεύοντο, καὶ τοῖς ἡγεμόσιν ἡσυχίαν ἔχειν, καὶ χωρὶς Εὐμένους μὴ μάχεσθαι, μηδὲ κινδυνεύειν πρὸς τοὺς πολεμίους. Ἀκούσας δ' ὁ Εὐμένης, ἦκε πρὸς αὐτοὺς δρόμῳ, τοὺς κομίζοντας ἐπιταχύνας, καὶ τοῦ φορείου τὰς ἑκατέρωθεν αὐλαίας ἀνακαλύψας, προὔτεινε τὴν δεξιὰν γεγηθώς. Οἱ δ', ὡς εἶδον εὐθὺς ἀσπασάμενοι Μακε-

Digitized by Google

δονιστὶ τῇ φωνῇ, τάς τ' ἀσπίδας ἀνείλοντο, καὶ ταῖς σαρίσσαις ἐπιδουπήσαντες, ἠλάλαξαν, προκαλούμενοι τοὺς πολεμίους, ὡς τοῦ ἡγεμόνος αὐτοῖς παρόντος.

XV Ἀντιγονος δὲ, παρὰ τῶν ἁλισκομένων ἀκούων τὸν Εὐμένη νοσεῖν καὶ κομίζεσθαι κακῶς διακείμενον, οὐ μέγα ἔργον ἡγεῖτο συντρίψαι τοὺς ἄλλους, ἐκείνου νοσοῦντος. Διὸ καὶ σπεύδων ἐπὶ τὴν μάχην προσῆγεν. Ὡς δὲ τῶν πολεμίων εἰς τάξιν καθισταμένων παρελάσας κατεῖδε τὸ σχῆμα καὶ τὴν διακόσμησιν, ἐκπλαγεὶς ἐπέστη πλείω χρόνον· εἶτ' ὤφθη τὸ φορεῖον ἀπὸ θατέρου κέρως ἐπὶ θάτερον διαφερόμενον. Ἐλάσας οὖν ὁ Ἀντίγονος, ὥσπερ εἰώθει, μέγα, καὶ πρὸς τοὺς φίλους εἰπών· Τοῦτ' ἦν τὸ φορεῖον, ὡς ἔοικε, τὸ ἀντιπαρατατόμενον ἡμῖν, εὐθὺς ἀπῆγε τὴν δύναμιν ὀπίσω, καὶ κατεστρατοπέδευσεν. Οἱ δὲ, μικρὸν ἀναπνεύσαντες, αὖθις ἐδημαγωγοῦντο, καὶ τοῖς ἡγεμόσιν ἐντριφῶντες, σχεδὸν ὅλην εἰς τὰ χειμάδια κατενείμαντο τὴν Γαβηνῶν· ὥστε τοὺς ἐσχάτους τῶν πρώτων ἀποσκηνοῦν ὁμοῦ τι χιλίους σταδίους. Ταῦτα γνοὺς ὁ Ἀντίγονος, ὥρμησεν ἐξαίφνης ἐπ' αὐτοὺς ὑποστρέψας. χαλεπὴν ὁδὸν καὶ ἄνυδρον, σύντομον δὲ καὶ βραχεῖαν, ἐλπίζων, εἰ διεσπαρμένοις ἐπιπέσοι περὶ τὰ χειμάδια, μηδ' ἂν συνελθεῖν ἔτι τὸ πλῆθος ῥᾳδίως εἰς ταὐτὸ τοῖς στρατηγοῖς. Ἐμβαλόντι δ' εἰς γῆν ἀοίκητον αὐτῷ, πνεύματά τε δεινὰ καὶ κρύη μεγάλα διελυμαίνετο τὴν πορείαν, ἐνοχλουμένου τοῦ στρατεύματος. Ἦν οὖν ἀναγκαία βοήθεια,

Digitized by Google

πυρὰ πολλὰ καίειν. Ὅθεν οὐκ ἔλαθε τοὺς πολεμίους, ἀλλὰ τῶν βαρβάρων οἱ τὰ βλέποντα πρὸς τὴν ἀοίκητον ὄρη νεμόμενοι, θαυμάσαντες τὸ τῶν πυρῶν πλῆθος, ἔπεμψαν ἱππαστρίαις καμήλοις ἀγγέλους πρὸς Πευκέσταν. Ὁ δ' ὡς ἤκουσεν αὐτός τε παντάπασιν ἔκφρων ὑπὸ δέους γενόμενος, καὶ τοὺς ἄλλους ὁρῶν ὁμοίως ἔχοντας, ὥρμητο φεύγειν, ἀναστήσας τοὺς καθ' ὁδὸν ὄντας αὐτοῖς μάλιστα τῶν στρατιωτῶν. Εὐμένης δὲ τὴν ταραχὴν ἀφῄρει καὶ τὸν φόβον, ὑπισχνούμενος ἐπιστήσειν τῶν πολεμίων τὸ τάχος, ὥστε τρισὶν ὕστερον ἡμέραις, ἢ προσδοκῶνται, παραγενέσθαι. Πεισθέντων δ' αὐτῶν, ἅμα μὲν ἀγγέλους περιέπεμπε, τὰς δυνάμεις ἐκ τῶν χειμαδίων καὶ τοὺς ἄλλους ἀθροίζεσθαι κατὰ τάχος κελεύων· ἅμα δ' αὐτὸς ἐξιππασάμενος μετὰ τῶν ἄλλων ἡγεμόνων, καὶ τόπον ἐξ ἀπόπτου καταφανῆ τοῖς ὁδεύουσι τὴν ἔρημον περιβαλόμενος, καὶ διαμετρήσας, ἐκέλευε πυρὰ πολλὰ καίειν ἐν διαστήμασιν, ὥσπερ οἱ στρατοπεδεύοντες. Γενομένου δὲ τούτου, καὶ τῶν πυρῶν τοῖς περὶ Ἀντίγονον ἐκ τῆς ὀρεινῆς καταφανέντων, ἄχος ἔσχε καὶ δυσθυμία τὸν Ἀντίγονον, οἰόμενον ἠσθημένους ἔκπαλαι τοὺς πολεμίους ἀπαντᾶν. Ἵν' οὖν μὴ κατάκοπος καὶ τετρυμένος ἐκ πορείας ἀναγκάσηται μάχεσθαι πρὸς ἀνθρώπους ἑτοίμους καὶ καλῶς κεχειμακότας, προέμενος τὴν σύντομον, ἦγε διὰ κωμῶν καὶ πόλεων, καθ' ἡσυχίαν ἀναλαμβάνων τὸ στράτευμα. Μηδενὸς δ' ἐμποδὼν ὄντος, ὥσπερ εἰώθει, ἀντιλαθημένων πολεμίων, τῶν δὲ περιχώρων

Digitized by Google

λεγόντων, στράτευμα μηδὲν ὤφθαι, πυρῶν δὲ κεκαυμένων μεστὸν εἶναι τὸν τόπον, ἥσθετο κατεστρατηγημένος ὑπ᾽ Εὐμένους, καὶ βαρέως φέρων προσῆγεν, ὡς φανερᾷ μάχῃ κριθησόμενος.

XVI. Ἐν τούτῳ δὲ τῆς δυνάμεως περὶ τὸν Εὐμένη τὸ πλεῖστον ἠθροισμένον ἐθαύμαζε τὴν σύνεσιν αὐτοῦ, καὶ μόνον ἐκέλευεν ἄρχειν. ἐφ᾽ ᾧ λυπούμενοι καὶ φθονοῦντες οἱ τῶν ἀργυρασπίδων ἡγεμόνες, Ἀντιγένης καὶ Τεύταμος, ἐπεβούλευον αὐτῷ· καὶ τοὺς πλείστους τῶν τε σατραπῶν καὶ τῶν στρατηγῶν συναγαγόντες, ἐβουλεύοντο, πότε χρὴ καὶ πῶς τὸν Εὐμένη διαφθεῖραι. Συνδόξαν δὲ πᾶσιν ἀποχρήσασθαι πρὸς τὴν μάχην αὐτῷ, μετὰ δὲ τὴν μάχην εὐθὺς ἀνελεῖν, Εὔδαμος, ὁ τῶν ἐλεφάντων ἡγεμών, καὶ Φαίδιμος ἐξαγγέλλουσι κρύφα τῷ Εὐμένει τὰ δεδογμένα, δι᾽ εὔνοιαν μὲν οὐδεμίαν, ἢ χάριν, εὐλαβούμενοι δὲ, μὴ τῶν χρημάτων, ἃ δεδανείκεσαν αὐτῷ, στερηθῶσιν. Εὐμένης δὲ τούτους μὲν ἐπῄνεσεν, εἰς δὲ τὴν σκηνὴν ἀπελθὼν, καὶ πρὸς τοὺς φίλους εἰπὼν, ὡς ἐν πανηγύρει θηρίων ἀναστρέφοιτο, διαθήκας ἔγραψε· καὶ τὰ γραμματεῖα κατέσχισε καὶ διέφθειρεν, οὐ βουλόμενος, αὐτοῦ τελευτήσαντος, ἐκ τῶν ἀπορρήτων αἰτίας καὶ συκοφαντήματα τοῖς γράψασι γενέσθαι. Ταῦτα διοικησάμενος, ἐβουλεύετο τὴν νίκην παρεῖναι τοῖς ἐναντίοις, ἢ φυγὼν διὰ Μηδίας καὶ Ἀρμενίας ἐμβαλεῖν εἰς Καππαδοκίαν. Οὐδὲν δὲ κυρώσας, τῶν φίλων παρόντων, ἀλλ᾽ ἐπὶ πολλὰ τῇ γνώμῃ, πολυτρόπῳ παρὰ τὰς τύχας οὔσῃ,

Digitized by Google

κινήσας αὐτὸν, ἐξέταττε τὴν δύναμιν, τοὺς μὲν Ἕλληνας καὶ τοὺς βαρβάρους παρορμῶν, ὑπὸ δὲ τῆς φάλαγγος καὶ τῶν ἀργυρασπίδων αὐτὸς παρακαλούμενος θαῤῥεῖν, ὡς οὐ δεξομένων τῶν πολεμίων. Καὶ γὰρ ἦσαν οἱ πρεσβύτατοι τῶν περὶ Φίλιππον καὶ Ἀλέξανδρον, ὥσπερ ἀθληταὶ πολέμων ἀήττητοι καὶ ἀπτῶτες εἰς ἐκεῖνο χρόνου, πολλοὶ μὲν ἑβδομήκοντα ἔτη γεγονότες, νεώτερος δ' οὐδεὶς ἑξηκονταετοῦς. Διὸ καὶ τοῖς περὶ τὸν Ἀντίγονον ἐπιόντες ἐβόων· „Ἐπὶ τοὺς πατέρας ἁμαρτάνετε, ὦ κακαὶ κεφαλαί;" Καὶ μετ' ὀργῆς ἐμπεσόντες ὅλην δμοῦ τὴν φάλαγγα συνέτριψαν, οὐδενὸς ὑποστάντος αὐτοὺς, τῶν δὲ πλείστων ἐν χερσὶ διαφθαρέντων. Ταύτῃ μὲν οὖν ὁ Ἀντίγονος ἡττᾶτο κατὰ κράτος· τοῖς δ' ἱππεῦσιν ἐπεκράτει, τοῦ Πευκέστου παντάπασιν ἐκλελυμένος καὶ ἀγεννῶς ἀγωνισαμένου· καὶ τὴν ἀποσκευὴν ἔλαβε πᾶσαν, αὐτῷ τε νήφοντι χρησάμενος παρὰ τὰ δεινὰ, καὶ τοῦ τόπου συνεργοῦντος. Ἀχανὲς γὰρ ἦν τὸ πεδίον, οὔτε βαθύτερον, οὔτ' ἀπόκροτον καὶ στερεὸν, ἀλλὰ θινῶδες, καὶ μεστὸν ἁλμυρίδος αὐχμηρᾶς, ἥ, τοσούτων μὲν ἵππων, τοσούτων δ' ἀνθρώπων, ξαινομένη δρόμοις ὑπὸ τὸν τῆς μάχης καιρὸν, ἐξήνθει κόνιν, ὥσπερ ἄσβεστον, ἀπολευκαίνουσαν τὸν ἀέρα καὶ τὰς ὄψεις διαθολοῦσαν. Ἧι καὶ ῥᾴδιον λαθὼν ὁ Ἀντίγονος τῆς ἀποσκευῆς τῶν πολεμίων ἐκράτησεν.

XVII. Παυσαμένης δὲ τῆς μάχης, εὐθὺς οἱ περὶ τὸν Τεύταμον ἐπρεσβεύοντο περὶ τῆς ἀποσκευῆς.

Digitized by Google

Ἀντιγόνου δὲ καὶ ταύτην ἀντιδώσειν ὑπισχνουμένου τοῖς ἀργυράσπισι, καὶ τἄλλα χρήσεσθαι φιλανθρώπως, εἰ παραλάβοι τὸν Εὐμένη, βούλευμα δεινὸν οἱ ἀργυράσπιδες ἐβουλεύσαντο, ἐγχειρίσαι ζῶντα τοῖς πολεμίοις τὸν ἄνδρα. Καὶ πρῶτον μὲν ἀνυπόπτως προσεπέλαζον αὐτῷ, καὶ παρεφύλαττον, οἱ μὲν ἀποδυρόμενοι περὶ τῆς ἀποσκευῆς, οἱ δὲ θαρρεῖν, ὡς νενικηκότα, κελεύοντες, οἱ δὲ τῶν ἄλλων ἡγεμόνων κατηγοροῦντες. Ἔπειτα προσπεσόντες ἐξήρπασαν τὸ ἐγχειρίδιον αὐτοῦ, καὶ τῇ ζωνῇ τὰς χεῖρας ἀποστρέψαντες ἔδησαν. Ἐπεὶ δ' ὑπ' Ἀντιγόνου Νικάνωρ ἐπέμφθη παραληψόμενος αὐτὸν, ἐδεῖτο λόγου τυχεῖν ἀγόμενος διὰ τῶν Μακεδόνων, οὐκ εἰς δέησιν, ἢ παραίτησιν, ἀλλ' ὡς περὶ τῶν ἐκείνοις συμφερόντων διαλεξόμενος. Γενομένης δὲ σιωπῆς, ἐν ὑψηλῷ τινι καταστὰς, καὶ τὰς χεῖρας δεδεμένας προτείνας· ,,Ποῖον (εἶπεν), ὦ κάκιστοι Μακεδόνων, τρόπαιον Ἀντίγονος ἐθελήσας ἂν ἔστησε καθ' ὑμῶν, οἷον ὑμεῖς καθ' αὑτῶν ἀνίστατε, τὸν στρατηγὸν αἰχμάλωτον ἐκδιδόντες; Οὐκ ἄρα δεινὸν ἦν, κρατοῦντας ὑμᾶς ἧττων ἐξομολογεῖσθαι διὰ τὰς ἀποσκευὰς, ὡς ἐν τοῖς χρήμασιν, οὐκ ἐν τοῖς ὅπλοις τοῦ κρατεῖν ὄντος· ἀλλὰ καὶ τὸν ἡγεμόνα πέμπετε λύτρον τῆς ἀποσκευῆς; Ἐγὼ μὲν οὖν ἀήττητος ἄγομαι, νικῶν τοὺς πολεμίους, ὑπὸ τῶν συμμάχων ἀπολλύμενος· ὑμεῖς δὲ, πρὸς Διὸς στρατίου καὶ θεῶν ὁρκίων, ἐνταῦθά με δι' αὑτῶν κτείνατε. Πάντως κἀκεῖ κτεινόμενος, ὑμέτερον ἔργον εἰμί. Μέμψεται

Digitized by Google

δ' οὐδὲν Ἀντίγονος· νεκροῦ γὰρ Εὐμένους δεῖται, καὶ οὐ ζῶντος. Εἰ δὲ φείδεσθε τῶν χειρῶν, ἀρκέσει τῶν ἐμῶν ἡ ἑτέρα λυθεῖσα πρᾶξαι τὸ ἔργον. Εἰ δ' οὐ πιστεύετέ μοι ξίφος, ὑποβρίψατε τοῖς θηρίοις δεδεμένον. Καὶ ταῦτα πράξαντας ὑμᾶς ἀφίημι τῆς ἐπ' ἐμοὶ δίκης, ὡς ἄνδρας ὁσιωτάτους καὶ δικαιοτάτους περὶ τὸν αὐτῶν στρατηγὸν γενομένους."

XVIII. Ταῦτα τοῦ Εὐμένους λέγοντος, τὸ μὲν ἄλλο πλῆθος ἄχει κατείχετο, καὶ κλαυθμὸς ἦν· οἱ δ' ἀργυράσπιδες ἄγειν ἐβόων, καὶ μὴ φλυαροῦντι προσέχειν· οὐ γὰρ εἶναι δεινόν, εἰ Χερρόνησίτης ὄλεθρος οἰμώξεται μυρίοις γυμνάσας πολέμοις Μακεδόνας, ἀλλ' εἰ τῶν Ἀλεξάνδρου καὶ Φιλίππου στρατιωτῶν οἱ κράτιστοι, τοσαῦτα καμόντες, ἐν γήρᾳ στέρονται τῶν ἐπάθλων, καὶ τροφὴν παρ' ἑτέρων λαμβάνουσιν, αἱ δὲ γυναῖκες αὐτῶν ἤδη τρίτην νύκτα τοῖς πολεμίοις συγκαθεύδουσιν. Ἅμα δ' ἦγον αὐτὸν ἐπιταχύνοντες. Ἀντίγονος δὲ, δείσας τὸν ὄχλον, (ἀπελείφθη γὰρ οὐδεὶς ἐν τῷ στρατοπέδῳ) δέκα τοὺς κρατιστεύοντας ἐλεφάντας ἐξέπεμψε, καὶ λογχοφόρους συχνοὺς, Μήδους καὶ Παρθυαίους, διακρουσομένους τὸ πλῆθος. Εἶτ' αὐτὸς μὲν ἰδεῖν οὐχ ὑπέμεινε τὸν Εὐμένη διὰ τὴν προγεγενημένην φιλίαν καὶ συνήθειαν· τυνθανομένων δὲ τῶν παρειληφότων τὸ σῶμα, πῶς φυλάξουσιν· Οὕτως, εἶπεν, ὡς ἐλέφαντα, ἢ ὡς λέοντα. Μετὰ μικρὸν δὲ, συμπαθὴς γενόμενος, τῶν τε δεσμῶν τοὺς βαρεῖς ἐκέλευσεν ἀφελεῖν, καὶ παῖδα παραδέξασθαι τῶν συνήθων, ὅπως ἀλείψαιτο· καὶ

Digitized by Google

τῶν φίλων ἐφῆκε τῷ βουλομένῳ συνδιημερεύειν, καὶ κομίζειν τὰ ἐπιτήδεια. Βουλευόμενος δὲ περὶ αὐτοῦ πλείονας ἡμέρας, προσήγετο καὶ λόγους καὶ ὑποσχέσεις Νεάρχου τε τοῦ Κρητὸς καὶ Δημητρίου τοῦ υἱοῦ, φιλοτιμουμένων τὸν Εὐμένη σῶσαι, τῶν δ' ἄλλων ὁμοῦ τι πάντων ἐνισταμένων καὶ κελευόντων ἀναιρεῖν. Λέγεται δὲ, τὸν Εὐμένη τοῦ φυλάσσοντος αὐτὸν, Ὀνομάρχου, πυθέσθαι, τί δήποτ' Ἀντίγονος ἐχθρὸν ἄνδρα καὶ πολέμιον λαβὼν ὑποχείριον, οὔτ' ἀποκτίννυσι ταχέως, οὔτ' εὐγενῶς ἀφίησι· τοῦ δ' Ὀνομάρχου πρὸς ὕβριν εἰπόντος, ὡς οὐ νῦν, ἀλλ' ἐπὶ τῆς μάχης, ἔδει πρὸς θάνατον ἔχειν εὐθαρσῶς· Καὶ μὰ τὸν Δία, φάναι τὸν Εὐμένη, καὶ τότ' εἶχον. Ἑροῦ δὲ τοὺς εἰς χεῖρας ἐλθόντας· ἀλλ' οὐδενὶ κρείττονι προστυχὼν οἶδα. Καὶ τὸν Ὀνόμαρχον. Οὐκοῦν ἐπεὶ νῦν, φάναι, τὸν κρείττονα εὗρηκας, τί οὐκ ἀναμένεις τὸν ἐκείνου καιρόν;

XIX. Ὡς δ' οὖν ἔδοξε τῷ Ἀντιγόνῳ τὸν Εὐμένη κτείνειν, ἐκέλευσεν αὐτοῦ τὴν τροφὴν ἀφελεῖν. Καὶ δύο μὲν ἡμέρας, ἢ τρεῖς, ἄσιτος οὕτω προσήγετο πρὸς τὴν τελευτήν. Αἰφνίδιον δ' ἀναζυγῆς γενομένης, εἰσπέμψαντες ἄνθρωπον, ἀποσφάττουσιν αὐτόν. Τὸ δὲ σῶμα τοῖς φίλοις παραδοὺς ὁ Ἀντίγονος, ἐπέτρεψε καῦσαι, καὶ τὰ λείψανα συνθέντας εἰς ἀργυρᾶν ὑδρίαν, κομίζειν ἀποδοθησόμενα τῇ γυναικὶ καὶ τοῖς παισίν. Οὕτω δ' ἀποθανόντος Εὐμένους, οὐκ ἐπ' ἄλλῳ τινὶ τὴν τιμωρίαν

Digitized by Google

ἐποιησατο τῶν προδόντων αὐτὸν ἡγεμόνων καὶ στρατιωτῶν τὸ δαιμόνιον, ἀλλ' αὐτὸς Ἀντίγονος προβαλλόμενος ὡς ἀσεβεῖς καὶ θηριώδεις τοὺς ἀργυράσπιδας, παρέδωκεν Ἰβυρτίῳ, τῷ διοικοῦντι τὴν Ἀραχωσίαν, πάντα πρόπον ἐκτρίψαι καὶ καταφθεῖραι κελεύσας, ὅπως μηδεὶς αὐτῶν εἰς Μακεδονίαν ἄπεισι, μηδ' ὄψεται τὴν Ἑλληνικὴν θάλατταν.

Digitized by Google

COMPARATIO SERTORII CVM EVMENE.

Ταῦτ' ἔστιν, ἃ περὶ Εὐμένους καὶ Σερτωρίου μνήμης ἄξια παρειλήφαμεν. Ἐν δὲ τῇ συγκρίσει κοινὸν μὲν ἀμφοτέροις ὑπάρχει τὸ ξένους καὶ ἀλλοδαποὺς καὶ φυγάδας ὄντας, ἐθνῶν τε παντοδαπῶν, καὶ στρατευμάτων μαχίμων τε καὶ μεγάλων δυνάμεων ἡγουμένους διατελεῖν. Ἴδιον δὲ Σερτωρίῳ μὲν τὸ παρὰ πάντων τῶν συμμάχων δεδομένην ἔχειν διὰ τὸ ἀξίωμα τὴν ἀρχήν· Εὐμένει δὲ τὸ, πολλῶν διαφερομένων περὶ τῆς ἡγεμονίας πρὸς αὐτὸν, ἐκ τῶν πράξεων λαμβάνειν τὸ πρωτεῖον· καὶ τῷ μὲν, ἄρχεσθαι βουλόμενοι, δικαίως εἵποντο, τῷ δ', ἄρχειν μὴ δυνάμενοι, πρὸς τὸ συμφέρον ὑπήκουον. Καὶ γὰρ ὁ μὲν Ἰβήρων καὶ Λυσιτανῶν, Ῥωμαῖος, ὁ δὲ, Χερρονησίτης, Μακεδόνων ἦρχεν· ὧν οἱ μὲν ἔκπαλαι Ῥωμαίοις ἐδούλευον. οἱ δὲ τότε πάντας ἀνθρώπους ἐδουλοῦντο. Καὶ Σερτώριος μὲν ἀπὸ βουλῆς καὶ στρατηγίας θαυμαζόμενος, Εὐμένης δὲ διὰ τὴν γραμ-

Digitized by Google

ματείαν καταφρονούμενος ἐφ' ἡγεμονίαν προῆλθεν. Οὐ μόνον τοίνυν ἐλάττοσι πρὸς τὴν ἀρχὴν ἀφορμαῖς, ἀλλὰ καὶ μείζοσι πρὸς τὴν αὔξησιν ἐχρήσατο κωλύμασιν Εὐμένης. Καὶ γὰρ ἄντικρυς τοὺς ἐνισταμένους, καὶ κρύφα τοὺς ἐπιβουλεύοντας εἶχε πολλούς· οὐχ ὥσπερ τῷ ἑτέρῳ φανερῶς μὲν οὐδεὶς, λάθρα δὲ ὕστερον καὶ ὀλίγοι τῶν συμμάχων ἐπανέστησαν. Διὸ τῷ μὲν ἦν πέρας τοῦ κινδυνεύειν τὸ νικᾶν τοὺς πολεμίους· τῷ δ' ἐκ τοῦ νικᾶν ὁ κίνδυνος ὑπὸ τῶν φθονούντων.

II. Τὰ μὲν οὖν κατὰ τὴν στρατηγίαν ἐφάμιλλα καὶ παράλληλα· τῷ δ' ἄλλῳ τρόπῳ, φιλοπόλεμος μὲν ὁ Εὐμένης καὶ φιλόνεικος, ἡσυχίας δὲ καὶ πραότητος οἰκεῖος ὁ Σερτώριος. Ὁ μὲν γὰρ, ἀσφαλῶς καὶ μετὰ τιμῆς βιοῦν ἔξὸν, ἐκποδὼν γενομένῳ, τοῖς πρώτοις μαχόμενος καὶ κινδυνεύων διετέλεσε· τῷ δ', οὐδὲν δεομένῳ πραγμάτων, ὑπὲρ αὐτῆς τῆς τοῦ σώματος ἀσφαλείας πρὸς οὐκ ἐῶντας εἰρήνην ἄγειν ἦν ὁ πόλεμος. Εὐμένει μὲν γὰρ Ἀντίγονος, ἑκστάντι τῶν ὑπὲρ τοῦ πρωτεύειν ἀγώνων, ἡδέως ἂν ἐχρῆτο τὴν μετ' αὐτὸν ἀγαπῶντι τάξιν· Σερτωρίῳ δὲ οἱ περὶ Πομπήϊον οὐδὲ ζῆν ἀπραγμόνως ἐπέτρεπον. Διὸ τῷ μὲν ἑκοντὶ συνέβαινε πολεμεῖν ἐπ' ἀρχῇ, τῷ δ' ἀκουσίως ἄρχειν διὰ τὸ πολεμεῖσθαι. Φιλοπόλεμος μὲν οὖν ὁ τῆς ἀσφαλείας τὴν πλεονεξίαν προτιμῶν· πολεμικὸς δὲ ὁ τῷ πολέμῳ κτώμενος τὴν ἀσφάλειαν. Καὶ μὴν ἀποθανεῖν γε συνέβη τῷ μὲν οὐ προαισθομένῳ· τῷ δὲ καὶ προσδεχομένῳ τὴν τελευ-

Digitized by Google

τήν. Ὧν τὸ μὲν ἐπιεικείας· φίλοις γὰρ ἐδόκει πιστεύειν· τὸ δ' ἀσθενείας· βουλόμενος γὰρ φυγεῖν, συνελήφθη. Καὶ τοῦ μὲν οὐ κατῄσχυνε τὸν βίαν ὁ θάνατος, πάσχοντος ὑπὸ τῶν συμμάχων, ἃ τῶν πολεμίων αὐτὸν οὐδεὶς ἐποίησεν· ὁ δὲ, φεύγειν μὲν πρὸ αἰχμαλωσίας μὴ δυνηθεὶς, ζῆν δὲ μετ' αἰχμαλωσίαν βουληθεὶς, οὔτ' ἐφυλάξατο καλῶς τὴν τελευτὴν, οὔθ' ὑπέμεινεν, ἀλλὰ προσλιπαρῶν καὶ δεόμενος, τοῦ σώματος μόνου κρατεῖν δοκοῦντα τὸν πολέμιον, καὶ τῆς ψυχῆς κύριον ἐποίησεν.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

PLVTARCHI

VITAE PARALLELAE.

AD

OPTIMORVM LIBRORVM FIDEM

ACCVRATE EDITAE.

EDITIO STEREOTYPA.

TOMVS VI.

Insunt: *Agesilaus*, *Pompeius*, *Alexander M.*

LIPSIAE

EX OFFICINA CAR. TAVCHNITII

1821.

Digitized by Google

Ef 86.158



John S. Tebbets -

Digitized by Google

ΠΛΟΥΤΑΡΧΟΥ

ΒΙΟΙ ΠΑΡΑΛΛΗΛΟΙ.

ΣΥΝ ΠΛΕΙΣΤΗ ΑΚΡΙΒΕΙΑ

ΣΤΕΡΕΟΤΥΠΩΣ

ΕΚΔΟΘΕΝΤΕΣ.

ΤΟΜΟΣ ς'.

ΕΝ ΛΕΙΨΙΑ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΚΑΡ. ΤΟΥ ΤΑΥΧΝΙΖΙΟΥ.

1821.

Digitized by Google

Digitized by Google

ΑΓΗΣΙΛΑΟΣ.

Ἀρχίδαμος ὁ Ζευξιδάμου, βασιλεύσας ἐπιφανῶς Λακεδαιμονίων, κατέλιπεν υἱὸν ἐκ γυναικὸς εὐδοκίμου, Λαμπιδοῦς, Ἄγιν, καὶ πολὺ νεώτερον ἐξ Εὐπωλίας, τῆς Μελισιππίδα θυγατρὸς, Ἀγησίλαον. Ἐπεὶ δὲ, τῆς βασιλείας Ἄγιδι προσηκούσης κατὰ τὸν νόμον, ἰδιώτης ἐδόκει βιοτεύειν ὁ Ἀγησίλαος, ἦχθη τὴν λεγομένην ἀγωγὴν ἐν Λακεδαίμονι, σκληρὰν μὲν οὖσαν τῇ διαίτῃ καὶ πολύπονον, παιδεύουσαν δὲ τοὺς νέους ἄρχεσθαι. Διὸ καί φασιν ὑπὸ τοῦ Σιμωνίδου τὴν Σπάρτην προσηγορεῦσθαι δαμασίμβροτον, ὡς μάλιστα διὰ τῶν ἐθῶν τοὺς πολίτας τοῖς νόμοις πειθηνίους καὶ χειροήθεις ποιοῦσαν, ὥσπερ ἵππους εὐθὺς ἐξ ἀρχῆς δαμαζομένους. Ταύτης ἀφίησιν ὁ νόμος τῆς ἀνάγκης τοὺς ἐπὶ βασιλείᾳ τρεφομένους παῖδας. Ἀγησιλάῳ δὲ καὶ τοῦτο ὑπῆρξεν ἴδιον, ἐλθεῖν ἐπὶ τὸ ἄρχειν μὴ ἀπαίδευτον τοῦ ἄρχεσθαι. Διὸ καὶ πολὺ τῶν βασιλέων εὐαρμοστότατον αὐτὸν τοῖς ὑπηκόοις παρέσχε, τῷ φύσει ἡγεμονικῷ καὶ βασιλικῷ προσκτησάμενος ἀπὸ τῆς ἀγωγῆς τὸ δημοτικὸν καὶ φιλάνθρωπον.

Digitized by Google

II. Ἐν δὲ ταῖς καλουμέναις ἀγέλαις τῶν συντρεφομένων παίδων Λύσανδρον ἔσχεν ἐραστὴν, ἐκπλαγέντα μάλιστα τῷ κοσμίῳ τῆς φύσεως αὐτοῦ. Φιλονεικότατος γὰρ ὢν καὶ θυμοειδέστατος ἐν τοῖς νεοις, καὶ πάντα πρωτεύειν βουλόμενος, καὶ τὸ σφοδρὸν ἔχων καὶ ῥαγδαῖον ἄμαχον καὶ δυσεκβίαστον, εὐπειθείᾳ πάλιν αὖ καὶ πραότητι τοιοῦτος ἦν, οἷος φόβῳ μηδὲν, αἰσχύνῃ δὲ πάντα ποιεῖν τὰ προσταττόμενα, καὶ τοῖς ψόγοις ἁλγύνεσθαι μᾶλλον, ἢ τοὺς πόνους βαρύνεσθαι. Τήν τε τοῦ σκέλους πήρωσιν ἣ τε ὥρα τοῦ σώματος ἀνθοῦντος ἀπέκρυπτε, καὶ τὸ ῥᾳδίως φέρειν καὶ ἱλαρῶς τὸ τοιοῦτο, παίζοντα καὶ σκώπτοντα πρῶτον ἑαυτὸν, οὐ μικρὸν ἦν ἐπανόρθωμα τοῦ πάθους· ἀλλὰ καὶ τὴν φιλοτιμίαν ἐνδηλοτέραν ἐποίει, πρὸς μηδένα πόνον, μηδὲ πρᾶξιν ἀπαγορεύοντος αὐτοῦ διὰ τὴν χωλότητα. Τῆς δὲ μορφῆς εἰκόνα μὲν οὐκ ἔχομεν· αὐτὸς γὰρ οὐκ ἠθέλησεν, ἀλλὰ καὶ ἀποθνήσκων ἀπεῖπε μήτε πλαστὰν, μήτε μιμηλάν τινα ποιήσασθαι τοῦ σώματος εἰκόνα. Λέγεται δὲ μικρός τε γενέσθαι καὶ τὴν ὄψιν εὐκαταφρόνητος· ἡ δὲ ἱλαρότης καὶ τὸ εὔθυμον ἐν ἅπαντι καιρῷ καὶ παιγνιῶδες, ἀχθεινὸν δὲ καὶ τραχὺ μηδέποτε, μήτε φωνῇ, μήτ' ὄψει, τῶν καλῶν καὶ ὡραίων ἐρασμιώτερον αὐτὸν ἄχρι γήρως παρέσχεν. Ὡς δὲ Θεόφραστος ἱστορεῖ, τὸν Ἀρχίδαμον ἐζημίωσαν οἱ ἔφοροι γήμαντα γυναῖκα μικράν· Οὐ γὰρ βασιλεῖς, ἔφασαν, ἄμμιν, ἀλλὰ βασιλείδια γεννάσει.

III. Βασιλεύοντος δ' Ἄγιδος, ἦκεν ἐκ Σικελίας

Digitized by Google

Ἀλκιβιάδης φυγὰς εἰς Λακεδαίμονα. καὶ χρόνον οὔπω πολὺν ἐν τῇ πόλει διάγων, αἰτίαν ἔσχε τῇ γυναικὶ τοῦ βασιλέως, Τιμαίᾳ, συνεῖναι. Καὶ τὸ γεννηθὲν ἐξ αὐτῆς παιδίον οὐκ ἔφη γινώσκειν ὁ Ἄγις, ἀλλ' ἐξ Ἀλκιβιάδου γεγονέναι. Τοῦτο δ' οὐ πάνυ δυσκόλως τὴν Τιμαίαν ἐνεγκεῖν φησὶ Δοῦρις, ἀλλὰ καὶ ψιθυρίζουσαν οἴκοι πρὸς τὰς εἰλωτίδας, Ἀλκιβιάδην τὸ παιδίον, οὐ Λεωτυχίδην, καλεῖν. Καὶ μέντοι καὶ τὸν Ἀλκιβιάδην αὐτὸν οὐ πρὸς ὕβριν τῇ Τιμαίᾳ φάναι πλησιάζειν, ἀλλὰ φιλοτιμούμενον βασιλεύεσθαι Σπαρτιάτας ὑπὸ τῶν ἐξ ἑαυτοῦ γεγονότων. Διὰ ταῦτα μὲν δὴ τῆς Λακεδαίμονος Ἀλκιβιάδης ὑπεξῆλθε, φοβηθεὶς τὸν Ἄγιν. Ὁ δὲ παῖς τὸν μὲν ἄλλον χρόνον ὕποπτος ἦν τῷ Ἄγιδι, καὶ γνησίου τιμὴν οὐκ εἶχε παρ' αὐτῷ· νοσοῦντι δὲ προσπεσὼν καὶ δακρύων, ἔπεισεν υἱὸν ἀποφῆναι πολλῶν ἐναντίον. Οὐ μὴν ἀλλὰ τελευτήσαντος τοῦ Ἄγιδος, ὁ Λύσανδρος, ἤδη κατανεναυμαχηκὼς Ἀθηναίους, καὶ μέγιστον ἐν Σπάρτῃ δυνάμενος, τὸν Ἀγησίλαον ἐπὶ τὴν βασιλείαν προῆγεν, ὡς οὐ προσήκουσαν ὄντι νόθῳ τῷ Λεωτυχίδῃ. Πολλοὶ δὲ καὶ τῶν ἄλλων πολιτῶν [διὰ] τὴν ἀρετὴν τοῦ Ἀγησιλάου, καὶ τὸ συντετράφθαι καὶ μετεσχηκέναι τῆς ἀγωγῆς, ἐφιλοτιμοῦντο καὶ συνέπραττον αὐτῷ προθύμως. Ἦν δὲ Μοπείθης ἀνὴρ χρησμολόγος ἐν Σπάρτῃ, μαντείων τε παλαιῶν ὑπόπλεως, καὶ δοκῶν περὶ τὰ θεῖα σοφὸς εἶναι καὶ περιττός. Οὗτος οὐκ ἔφη θεμιτὸν εἶναι χωλὸν γενέσθαι τῆς Λακεδαίμονος βασιλέα· καὶ χρησμὸν ἐν τῇ δίκῃ τοιοῦτον ἀνεγίνωσκε

Digitized by Google

Ἡράζεο δὴ, Σπάρτη, καίπερ μεγάλαυχος ἐοῦσα,
Μὴ σέθεν ἀρτίποδος βλάψῃ κοίλη βασιλεία.
Δηρὸν γὰρ νοῦσοί σε κατασχήσουσιν ἄελπτοι.
Πηδερσίχροτόν τ' ἐπὶ κῦμα κυλινδόμενον πολέμοιο.

Πρὸς ταῦτα Λύσανδρος ἔλεγεν, ὡς, εἰ πάνυ φοβοῖντο τὸν χρησμὸν οἱ Σπαρτιᾶται, φυλακτέον αὐτοῖς εἴη τὸν Λεωτυχίδην, οὐ γὰρ, εἰ προσπταίσας τις τὸν πόδα βασιλεύει, τῷ θεῷ διαφέρειν· ἀλλ' εἰ μὴ γνήσιος ὢν, μηδὲ Ἡρακλείδης, τοῦτο τὴν χωλὴν εἶναι βασιλείαν. Ὁ δ' Ἀγησίλαος ἔφη καὶ τὸν Ποσειδῶνα καταμαρτυρεῖν τοῦ Λεωτυχίδου τὴν νοθείαν, ἐκβαλόντα σεισμῷ τοῦ θαλάμου τὸν Ἄγιν ἀπ' ἐκείνου δὲ πλέον, ἢ δέκα μηνῶν διελθόντων γενέσθαι τὸν Λεωτυχίδην.

IV. Οὕτω δὲ καὶ διὰ ταῦτα βασιλεὺς ἀποδειχθεὶς ὁ Ἀγησίλαος, εὐθὺς εἶχε καὶ τὰ χρήματα τοῦ Ἄγιδος, ὡς νόθον ἀπελάσας τὸν Λεωτυχίδην. Ὁρῶν δὲ τοὺς ἀπὸ μητρὸς οἰκείους, ἐπιεικεῖς μὲν ὄντας, ἰσχυροῖς δὲ πενομένους, ἀπένειμεν αὐτοῖς τὰ ἡμίσεα τῶν χρημάτων, εὔνοιαν ἑαυτῷ καὶ δόξαν ἀντὶ φθόνου καὶ δυσμενείας ἐπὶ τῇ κληρονομίᾳ κατασκευαζόμενος. Ὃ δὲ φησὶν ὁ Ξενοφῶν, ὅτι, πάντα τῇ πατρίδι πειθόμενος, ἴσχυε πλεῖστον, ὥστε ποιεῖν, ὃ βούλοιτο, τοιοῦτόν ἐστι. Τῶν ἐφόρων ἦν τότε καὶ τῶν γερόντων τὸ μέγιστον ἐν τῇ πολιτείᾳ κράτος, ὧν οἱ μὲν ἐνιαυτὸν ἄρχουσι μόνον, οἱ δὲ γέροντες διὰ βίου ταύτην ἔχουσι τὴν τιμὴν, ἐπὶ τῷ μὴ πάντα τοῖς βασιλεῦσιν ἐξεῖναι, συνταχθέντες, ὡς ἐν τῷ περὶ Λυκούρ-

Digitized by Google

γου γέγραπται. Διὸ καὶ πατρικήν τινα πρὸς αὐτοὺς ἀπὸ τοῦ παλαιοῦ διετέλουν εὐθὺς οἱ βασιλεῖς φιλονεικίαν καὶ διαφορὰν παραλαμβάνοντες. Ὁ δ' Ἀγησίλαος ἐπὶ τὴν ἐναντίαν ὁδὸν ἦλθε· καὶ τὸ πολεμεῖν καὶ τὸ προσκρούειν αὐτοῖς ἐάσας, ἐθεράπευε, πάσης μὲν ἀπ' ἐκείνων πράξεως ἀρχόμενος, εἰ δὲ κληθείη, θᾶττον, ἢ βάδην, ἐπειγόμενος· ὁσάκις δὲ τύχοι καθήμενος ἐν τῷ βασιλικῷ θώκῳ, καὶ χρηματίζων, ἐπιοῦσι τοῖς ἐφόροις ὑπεξανίστατο. Τῶν δ' εἰς τὴν γερουσίαν ἀεὶ καταταττομένων ἑκάστῳ χλαῖναν ἔπεμπε καὶ βοῦν ἀριστεῖον. Ἐκ δὲ τούτων, τιμᾶν δοκῶν καὶ μεγαλύνειν τὸ ἀξίωμα τῆς ἐκείνων ἀρχῆς, ἐλάνθανεν αὔξων τὴν ἑαυτοῦ δύναμιν; καὶ τῇ βασιλείᾳ προστιθέμενος μέγεθος, ἐκ τῆς πρὸς αὐτὸν εὐνοίας συγχωρούμενον.

V. Ἐν δὲ ταῖς πρὸς τοὺς ἄλλους πολίτας ὁμιλίαις ἐχθρὸς ἦν ἀμεμπτότερος, ἢ φίλος. Τοὺς μὲν γὰρ ἐχθροὺς ἀδίκως οὐκ ἔβλαπτε, τοῖς δὲ φίλοις καὶ τὰ μὴ δίκαια συνέπραττε. Καὶ τοὺς μὲν ἐχθροὺς ἠσχύνετο μὴ τιμᾶν κατορθοῦντας, τοὺς δὲ φίλους οὐκ ἐδύνατο ψέγειν ἁμαρτάνοντας, ἀλλὰ καὶ βοηθῶν ἠγάλλετο καὶ συνεξαμαρτάνων αὐτοῖς. Οὐδὲν γὰρ ᾤετο τῶν φιλικῶν ὑπουργημάτων αἰσχρὸν εἶναι. Τοῖς δ' αὖ διαφόροις καὶ πταίσασι πρῶτος συναχθόμενος; καὶ δεηθεῖσι συμπράττων προθύμως, ἐδημαγώγει καὶ προσήγετο πάντας. Ὁρῶντες οὖν οἱ ἔφοροι ταῦτα, καὶ φοβούμενοι τὴν δύναμιν, ἐζημίωσαν αὐτὸν, αἰτίαν ὑπειπόντες, ὅτι τοὺς κοινοὺς πολίτας,

Digitized by Google

ἰδίους κτᾶται. Καθάπερ γὰρ οἱ φυσικοὶ τὸ νεῖκος οἴονται καὶ τὴν ἔριν, εἰ τῶν ὅλων ἐξαιρεθείη, στῆναι μὲν ἂν τὰ οὐράνια, παύσασθαι δὲ πάντως τὴν γένεσιν καὶ κίνησιν ὑπὸ τῆς πρὸς πάντα πάντων ἁρμονίας· οὕτως ἔοικεν ὁ Λακωνικὸς νομοθέτης ὑπέχαυμα τῆς ἀρετῆς ἐμβαλεῖν εἰς τὴν πολιτείαν τὸ φιλότιμον καὶ φιλόνεικον, ἀεί τινα τοῖς ἀγαθοῖς διαφορὰν καὶ ἅμιλλαν εἶναι πρὸς ἀλλήλους βουλόμενος· τὴν δ' ἀνθυπείκουσαν τῷ ἀνελέγκτῳ χάριν, ἀργὴν καὶ ἀναγώνιστον οὖσαν, οὐκ ὀρθῶς ὁμόνοιαν λέγεσθαι. Τοῦτο δ' ἀμέλει συνεωρακέναι καὶ τὸν Ὅμηρον οἴονταί τινες. Οὐ γὰρ ἂν τὸν Ἀγαμέμνονα ποιῆσαι χαίροντα, τοῦ Ὀδυσσέως καὶ τοῦ Ἀχιλλέως εἰς λοιδορίαν προαχθέντων ἐκπάγλοις ἐπέεσσιν, εἰ μὴ μέγα τοῖς κοινοῖς ἀγαθὸν ἐνόμιζεν εἶναι τὸν πρὸς ἀλλήλους ζῆλον, καὶ τὴν διαφορὰν τῶν ἀρίστων. Ταῦτα μὲν οὖν οὐκ ἄν οὕτως τις ἁπλῶς συγχωρήσειεν· αἱ γὰρ ὑπερβολαὶ τῶν φιλονεικιῶν χαλεπαὶ ταῖς πόλεσι, καὶ μεγάλους κινδύνους ἔχουσι.

VI. Τοῦ δ' Ἀγησιλάου τὴν βασιλείαν νεωστὶ παρειληφότος, ἀπήγγελλόν τινες ἐξ Ἀσίας ἥκοντες, ὡς ὁ Περσῶν βασιλεὺς παρασκευάζοιτο μεγάλῳ στόλῳ Λακεδαιμονίους ἐκβαλεῖν τῆς θαλάσσης. Ὁ δὲ Λύσανδρος, ἐπιθυμῶν αὖθις εἰς Ἀσίαν ἀποσταλῆναι καὶ βοηθῆσαι τοῖς φίλοις, οὓς αὐτὸς μὲν ἄρχοντας καὶ κυρίους τῶν πόλεων ἀπέλιπε, κακῶς δὲ χρώμενοι καὶ βιαίως τοῖς πράγμασιν, ἐξέπιπτον ὑπὸ τῶν πολιτῶν καὶ ἀπέθνησκον, ἀνέπεισε τὸν Ἀγησίλαον ἐπι-

Digitized by Google

θέσθαι τῇ στρατείᾳ, καὶ πολεμῆσαι, τῆς Ἑλλάδος ἀπωτάτω διαβάντα, καὶ φθάσαντα τὴν τοῦ βαρβάρου παρασκευήν. Ἅμα δὲ τοῖς ἐν Ἀσίᾳ φίλοις ἐπέστελλε πέμπειν εἰς Λακεδαίμονα, καὶ στρατηγὸν Ἀγησίλαον αἰτεῖσθαι. Παρελθὼν οὖν εἰς τὸ πλῆθος Ἀγησίλαος, ἀνεδέξατο τὸν πόλεμον, εἰ δοῖεν αὐτῷ τριάκοντα μὲν ἡγεμόνας καὶ συμβούλους Σπαρτιάτας, νεοδαμώδεις δὲ λοχάδας δισχιλίους, τὴν δὲ συμμαχικὴν εἰς ἑξακισχιλίους δύναμιν. Συμπράττοντος δὲ τοῦ Λυσάνδρου, πάντα προθύμως ἐψηφίσαντο, καὶ τὸν Ἀγησίλαον ἐξέπεμπον εὐθύς, ἔχοντα τοὺς τριάκοντα Σπαρτιάτας, ὧν ὁ Λύσανδρος ἦν [εὐθὺς] πρῶτος, οὐ διὰ τὴν ἑαυτοῦ δόξαν καὶ δύναμιν μόνον, ἀλλὰ καὶ διὰ τὴν Ἀγησιλάου φιλίαν, ᾧ μεῖζον ἐδόκει τῆς βασιλείας διαπεπρᾶχθαι ἀγαθὸν τὴν στρατηγίαν ἐκείνην. Ἀθροιζομένης δὲ τῆς δυνάμεως εἰς Γεραιστὸν, αὐτὸς εἰς Αὐλίδα κατελθὼν μετὰ τῶν φίλων καὶ νυκτερεύσας, ἔδοξε κατὰ τοὺς ὕπνους εἰπεῖν τινα πρὸς αὐτόν· „Ὦ βασιλεῦ Λακεδαιμονίων, ὅτι μὲν οὐδεὶς τῆς Ἑλλάδος δμοῦ συμπάσης ἀπεδείχθη στρατηγὸς, ἢ πρότερον Ἀγαμεμνων, καὶ σὺ νῦν μετ ἐκεῖνον, ἐννοεῖς δήπουθεν. Ἐπεὶ δὲ τῶν αὐτῶν ἄρχεις ἐκείνῳ, τοῖς δ' αὐτοῖς πολεμεῖς, ἀπὸ δὲ τῶν αὐτῶν τόπων ὁρμᾷς ἐπὶ τὸν πόλεμον, εἰκός ἐστι καὶ θῦσαί σε τῇ θεῷ θυσίαν, ἣ ἐκεῖνος ἐνταῦθα θύσας ἐξέπλευσεν.“ Ἅμα δέ πως ὑπῆλθε τὸν Ἀγησίλαον ὁ τῆς κόρης σφαγιασμὸς, ἣν ὁ πατὴρ ἔσφαξε πεισθεὶς ταῖς μάντεσιν. Οὐ μὴν διετάραξεν αὐτὸν, ἀλλ' ἀναστὰς καὶ

Digitized by Google

διηγησάμενος τοῖς φίλοις τὰ φαινόμενα, τὴν μὲν θεὸν ἔφη τιμήσειν, οἷς εἰκὸς ἐστι χαίρειν, θεὸν οὖσαν, οὐ μιμήσεσθαι δὲ τὴν ἀμαθίαν τοῦ τότε στρατηγοῦ. Καὶ καταστέψας ἔλαφον, ἐκέλευσεν ἀπάρξασθαι τὸν ἑαυτοῦ μάντιν, οὐχ ὅσπερ εἰώθει τοῦτο ποιεῖν ὑπὸ τῶν Βοιωτῶν τεταγμένος. Ἀκούσαντες οὖν οἱ Βοιωτάρχαι, πρὸς ὀργὴν κινηθέντες, ἔπεμψαν ὑπηρέτας, ἀπαγορεύοντες τῷ Ἀγησιλάῳ μὴ θύειν παρὰ τοὺς νόμους καὶ τὰ πάτρια Βοιωτῶν. Οἱ δὲ καὶ ταῦτ' ἀπήγγειλαν, καὶ τὰ μηρία διέῤῥιψαν ἀπὸ τοῦ βωμοῦ. Χαλεπῶς οὖν ἔχων ὁ Ἀγησίλαος, ἀπέπλει τοῖς τε Θηβαίοις διωργισμένος, καὶ γεγονὼς δύσελπις διὰ τὸν οἰωνόν, ὡς ἀτελῶν αὐτῷ τῶν πράξεων γενησομένων, καὶ τῆς στρατείας ἐπὶ τὸ προσῆκον οὐκ ἀφιξομένης.

VII. Ἐπεὶ δ' ἦκεν εἰς Ἔφεσον, εὐθὺς ἀξίωμα μέγα καὶ δύναμις ἦν ἐπαχθὴς καὶ βαρεῖα περὶ τὸν Λύσανδρον, ὄχλου φοιτῶντος ἐπὶ τὰς θύρας ἑκάστοτε, καὶ πάντων παρακολουθούντων καὶ θεραπευόντων ἐκεῖνον, ὡς ὄνομα μὲν καὶ σχῆμα τῆς στρατηγίας τὸν Ἀγησίλαον ἔχοντα, διὰ τὸν νόμον, ἔργῳ δὲ κύριον ἁπάντων καὶ δυνάμενον καὶ πράττοντα πάντα τὸν Λύσανδρον. Οὐδεὶς γὰρ δεινότερος, οὐδὲ φοβερώτερος ἐκείνου τῶν εἰς τὴν Ἀσίαν ἀποσταλέντων ἐγένετο στρατηγῶν, οὐδὲ μείζονα τοὺς φίλους ἀνὴρ ἄλλος εὐεργέτησεν, οὐδὲ κακὰ τηλικαῦτα τοὺς ἐχθροὺς ἐποίησεν. Ὧν ἔτι προσφάτων ὄντων οἱ ἄνθρωποι ἀνημονεύοντες, ἄλλως δὲ τὸν μὲν Ἀγησίλαον ἀφελῆ

Digitized by Google

καὶ λιτὸν ἐν ταῖς ὁμιλίαις καὶ δημοτικὸν ὁρῶντες, ἐκείνῳ δὲ τὴν αὐτὴν ὁμοίως σφοδρότητα καὶ τραχύτητα καὶ βραχυλογίαν παροῦσαν, ὑπέπιπτον αὐτῷ παντάπασι καὶ μόνῳ προσεῖχον. Ἐκ δὲ τούτου πρῶτον μὲν οἱ λοιποὶ Σπαρτιᾶται χαλεπῶς ἔφερον, ὑπηρέται μᾶλλον Λυσάνδρου, ἢ σύμβουλοι βασιλέως, ὄντες. Ἔπειτα δ' αὐτὸς ὁ Ἀγησίλαος, εἰ καὶ μὴ φθονερὸς ἦν μηδ' ἤχθετο τοῖς τιμωμένοις, ἀλλὰ φιλότιμος ὢν σφόδρα καὶ φιλόνεικος, ἐφοβεῖτο, μὴ, κἂν ἐνέγκωσί τι λαμπρὸν αἱ πράξεις, τοῦτο Λυσάνδρου γένηται διὰ τὴν δόξαν. Οὕτως οὖν ἐποίει· πρῶτον ἀντέκρουε ταῖς συμβουλίαις αὐτοῦ, καὶ πρὸς ἃς ἐκεῖνος ἐσπουδάκει μάλιστα πράξεις, ἐῶν χαίρειν καὶ παραμελῶν, ἕτερα πρὸ ἐκείνων ἔπραττεν. Ἔπειτα τῶν ἐντυγχανόντων καὶ δεομένων, οὓς αἴσθοιτο Λυσάνδρῳ μάλιστα πεποιθότας, ἀπράκτους ἀπέπεμπε· καὶ περὶ τὰς κρίσεις ὁμοίως οἷς ἐκεῖνος ἐπηρεάζοι, τούτους ἔδει πλέον ἔχοντας ἀπελθεῖν, καὶ τοὐναντίον, οὓς φανερὸς γένοιτο προθυμούμενος ὠφελεῖν, χαλεπὰν ἦν μὴ καὶ ζημιωθῆναι. Γινομένων δὲ τούτων οὐ κατὰ τύχην, ἀλλ' οἷον ἐκ παρασκευῆς καὶ ὁμαλῶς, αἰσθόμενος τὴν αἰτίαν ὁ Λύσανδρος, οὐκ ἀπεκρύπτετο πρὸς τοὺς φίλους ἀλλ' ἔλεγεν, ὡς δι' αὐτὸν ἀτιμάζοιντο, καὶ παρεκάλει θεραπεύειν ἰόντας τὸν βασιλέα, καὶ τοὺς μᾶλλον αὐτοῦ δυναμένους.

VIII. Ὡς οὖν ταῦτα πράττειν καὶ λέγειν ἐδόκει φθόνον ἐκείνῳ μηχανώμενος, ἔτι μᾶλλον αὐτοῦ καταψασθῆναι βουλόμενος Ἀγησίλαος, ἀπέδειξε κρεω-

Digitized by Google

δαίτην, καὶ προσέπεσεν, ὡς λέγεται, πολλῶν ἀκουόντων „Νῦν οὖν θεραπευέτωσαν οὗτοι ἀποδύντες τὸν ἐμὸν κρευδαίτην.“ Ἀχθόμενος οὖν ὁ Λύσανδρος, λέγει πρὸς αὐτόν· Ἤιδεις ἄρα σαφῶς, Ἀγησίλαε, φίλους ἑλαττοῦν. Ἤιδειν, ἔφη, τοὺς ἐμοῦ μεῖζον δύνασθαι βουλομένους. Καὶ ὁ Λύσανδρος· Ἀλλ' ἴσως, ἔφη, ταῦτα σοὶ λέλεκται βέλτιον, ἢ ἐμοὶ πέπρακται. Δὸς δέ μοι τινὰ τάξιν καὶ χώραν, ἔνθα μὴ λυπῶν, ἔσομαί σοι χρήσιμος. Ἐκ τούτου πέμπεται μέν φησι Ἑλλήσποντον, καὶ Σπιθριδάτην, ἄνδρα Πέρσην, ἀπὸ τῆς Φαρναβάζου χώρας, μετὰ χρημάτων συχνῶν καὶ διακοσίων ἱππέων, ἤγαγε πρὸς τὸν Ἀγησίλαον. Οὐκ ἔληγε δὲ τῆς ὀργῆς, ἀλλὰ βαρέως φέρων ἤδη τὸν λοιπὸν χρόνον, ἐβούλευεν, ὅπως τῶν δυεῖν οἴκων τὴν βασιλείαν ἀφελόμενος, εἰς μέσον ἅπασιν ἀποδοίη Σπαρτιάταις. Καὶ ἐδύκει μεγάλην ἂν ἀπεργάσασθαι κίνησιν ἐκ ταύτης τῆς διαφορᾶς, εἰ μὴ πρότερον ἐτελεύτησεν, εἰς Βοιωτίαν στρατεύσας. Οὕτως αἱ φιλότιμοι φύσεις ἐν ταῖς πολιτείαις τὸ ἄγαν μὴ φυλαξάμεναι, τοῦ ἀγαθοῦ μεῖζον τὸ κακὸν ἔχουσι. Καὶ γὰρ, εἰ Λύσανδρος φορτικὸς ἦν, ὥσπερ ἦν, ὑπερβάλλων τῇ φιλοτιμίᾳ τὸν καιρὸν, οὐκ ἠγνόει δήπουθεν Ἀγησίλαος ἑτέραν ἀμεμπτοτέραν ἐπανόρθωσιν οὖσαν ἀνδρὸς ἐνδόξου καὶ φιλοτίμου πλημμελοῦντος. Ἀλλ' ἔοικε ταὐτῷ πάθει μήτ' ἐκεῖνος ἄρχοντος ἐξουσίαν γνῶναι, μήτε οὗτος ἄγνοιαν ἐνεγκεῖν συνήθους.

IX. Ἐπεὶ δὲ Τισαφέρνης ἐν ἀρχῇ μὲν, φοβηθεὶς τὸν Ἀγησίλαον, ἐποιήσατο σπονδὰς, ὡς τὰς πόλεις

Digitized by Google

αὐτῷ τὰς Ἑλληνικὰς ἀφησοντος αὐτονόμους βασιλέως, ὕστερον δὲ πεισθεὶς ἔχειν δύναμιν ἱκανὴν, ἐξήνεγκε τὸν πόλεμον, ἄσμενος ὁ Ἀγησίλαος ἐδέξατο Προσδοκία γὰρ ἦν μεγάλη τῆς στρατείας· καὶ δεινὸν ἡγεῖτο, τοὺς μὲν σὺν Ξενοφῶντι μυρίους ἥκειν ἐπὶ θάλατταν, ὁσάκις ἐβουλήθησαν αὐτοὶ, τοσαυτάκις βασιλέα νενικηκότας· αὐτοῦ δὲ Λακεδαιμονίων ἄρχοντος, ἡγουμένων γῆς καὶ θαλάσσης, μηδὲν ἔργον ἄξιον μνήμης φανῆναι πρὸς τοὺς Ἕλληνας. Εὐθὺς οὖν ἀμυνόμενος ἀπάτῃ δικαίᾳ τὴν Τισαφέρνους ἐπιορκίαν, ἐπέδειξεν, ὡς ἐπὶ Κᾶρίαν προάξων. Ἐκεῖ δὲ τοῦ βαρβάρου τὴν δύναμιν συναθροίσαντος, ἄρας εἰς Φρυγίαν ἐνέβαλε. Καὶ πόλεις μὲν εἶλε συχνὰς, καὶ χρημάτων ἀφθόνων ἐκυρίευσεν, ἐπιδεικνύμενος τοῖς φίλοις, ὅτι τὸ μὲν σπεισάμενον ἀδικεῖν τῶν θεῶν ἐστι καταφρονεῖν. ἐν δὲ τῷ παραλογίζεσθαι τοὺς πολεμίους οὐ μόνον τὸ δίκαιον, ἀλλὰ καὶ δόξα πόλλη καὶ τὸ μεθ' ἡδονῆς κερδαίνειν ἔνεστι. Τοῖς δ' ἱππεῦσιν ἐλαττωθεὶς, καὶ τῶν ἱερῶν ἀλόβων φανέντων, ἀναχωρήσας εἰς Ἔφεσον, ἱππικὸν συνῆγε, τοῖς εὐπόροις προεἰπὼν, εἰ μὴ βούλονται στρατεύεσθαι, παρασχεῖν ἕκαστον ἵππον ἀνθ' ἑαυτοῦ, καὶ ἄνδρα. Πολλοὶ δ' ἦσαν οὗτοι, καὶ συνέβαινε τῷ Ἀγησιλάῳ ταχὺ πολλοὺς καὶ πελεμικοὺς ἔχειν ἱππεῖς ἀντὶ δειλῶν καὶ πλουσίων. Ἐμισθοῦντο γὰρ οἱ μὴ βουλόμενοι στρατεύεσθαι τοὺς βουλομένους στρατεύεσθαι· οἱ δὲ μὴ βουλόμενοι ἱππεύειν τοὺς βουλομένους ἱππεύειν. Καὶ γὰρ τὸν Ἀγαμέμνονα ποιῆ-

Digitized by Google

σαι καλῶς, ὅτι θήλειαν ἵππον ἀγαθὴν λαβὼν, κακὸν ἄνδρα καὶ πλούσιον ἀπήλλαξε τῆς στρατείας. Ἐπεὶ δὲ, κελεύσαντος αὐταῦ, τοὺς αἰχμαλώτους ἀποδύοντες ἐπίπρασκον οἱ λαφυροπῶλαι, καὶ τῆς μὲν ἐσθῆτος ἦσαν ὠνηταὶ πολλοὶ, τῶν δὲ σωμάτων, λευκῶν καὶ ἁπαλῶν παντάπασι διὰ τὰς σκιατροφίας, γυμνουμένων κατεγέλων, ὡς ἀχρήστων καὶ μηδενὸς ἀξίων, ἐπιστὰς ὁ Ἀγησίλαος· Οὗτοι μὲν, εἶπεν, οἷς μάχεσθε· ταῦτα δὲ, ὑπὲρ ὧν μάχεσθε.

X. Καιροῦ δ' ὄντος αὖθις ἐμβαλεῖν εἰς τὴν πολεμίαν, προεῖπεν, εἰς Λυδίαν ἁπάξειν, οὐκέτι ψευδόμενος ἐνταῦθα τὸν Τισαφέρνην· ἀλλ' ἐκεῖνος ἑαυτὸν ἐξηπάτησε, διὰ τὴν ἔμπροσθεν ἀπάτην ἀπιστῶν τῷ Ἀγησιλάῳ, καὶ νῦν γοῦν αὐτὸν ἅψεσθαι τῆς Καρίας νομίζων, οὔσης δυσίππου, πολὺ τῷ ἱππικῷ λειπόμενον. Ἐπεὶ δ', ὡς προεῖπεν, ὁ Ἀγησίλαος ἦκεν εἰς τὸ περὶ Σάρδεις πεδίον, ἠναγκάζετο κατὰ σπουδὴν ἐκεῖθεν αὖ βοηθεῖν ὁ Τισαφέρνης· καὶ τῇ ἵππῳ διεξελαύνων διέφθειρε πολλοὺς τῶν ἀτάκτως τὸ πεδίον πορθούντων. Ἐννοήσας οὖν ὁ Ἀγησίλαος, ὅτι τοῖς πολεμίοις οὔπω πάρεστι τὸ πεζὸν, αὐτῷ δὲ τῆς δυνάμεως οὐδὲν ἄπεστιν, ἔσπευσε διαγωνίσασθαι. Καὶ τοῖς μὲν ἱππεῦσιν ἀναμίξας τὸ πελταστικὸν, ἐλαύνειν ἐκέλευσεν ὡς τάχιστα καὶ προσβάλλειν τοῖς ἐναντίοις, αὐτὸς δ' εὐθὺς τοὺς ὁπλίτας ἐπῆγε. Γενομένης δὲ τροπῆς τῶν βαρβάρων, ἐπακολουθήσαντες οἱ Ἕλληνες ἔλαβον τὸ στρατόπεδον, καὶ πολλοὺς ἀνεῖλον. Ἐκ ταύτης τῆς μάχης οὐ μόνον ὑπῆρξεν αὐτοῖς ἄγειν καὶ

Digitized by Google

φέρειν ἀβδῶς τὴν βασιλέως χώραν, ἀλλὰ καὶ δίκην ἐπιδεῖν Τισαφέρνην διδόντα, μοχθηρὸν ἄνδρα καὶ τῷ γένει τῶν Ἑλλήνων ἀπεχθέστατον. Ἔπεμψε γὰρ εὐθέως ὁ βασιλεὺς Τιθραύστην ἐπ' αὐτὸν, ὃς ἐκείνου μὲν τὴν κεφαλὴν ἀπέτεμε, τὸν δ' Ἀγησίλαον ἠξίου διαλυσάμενον ἀποπλεῖν οἴκαδε, καὶ χρήματα διδοὺς αὐτῷ προυέπεμψεν. Ὁ δὲ τῆς μὲν εἰρήνης ἔφη τὴν πόλιν εἶναι κυρίαν, αὐτὸς δὲ πλουτίζων τοὺς στρατιώτας ἥδεσθαι μᾶλλον, ἢ πλουτῶν αὐτός. καὶ ἄλλως γε μέντοι νομίζειν Ἕλληνας καλὸν, οὐ δῶρα λαμβάνειν, ἀλλὰ λάφυρα παρὰ τῶν πολεμίων. Ὅμως δὲ, τῷ Τιθραύστῃ χαρίζεσθαι βουλόμενος, ὅτι τὸν κοινὸν ἐχθρὸν Ἑλλήνων ἐτετιμώρητο, Τισαφέρνην, ἀπήγαγεν εἰς Φρυγίαν τὸ στράτευμα, λαβὼν ἐφόδιον παρ' αὐτοῦ τριάκοντα τάλαντα. Καὶ καθ' ὁδὸν ὢν σκυτάλην δέχεται παρὰ τῶν οἴκοι τελῶν, κελεύουσαν αὐτὸν ἄρχειν ἅμα καὶ τοῦ ναυτικοῦ. Τοῦτο μόνῳ πάντων ὑπῆρξεν Ἀγησιλάῳ. Καὶ μέγιστος μὲν ἦν ὁμολογουμένως, καὶ τῶν τότε ζώντων ἐπιφανέστατος, ὡς εἴρηκέ που καὶ Θεόπομπος· ἑαυτῷ γε μὴν ἐδίδου δι' ἀρετὴν φρονεῖν μεῖζον, ἢ διά τὴν ἡγεμονίαν. Τότε δὲ τοῦ ναυτικοῦ καταστήσας ἄρχοντα Πείσανδρον, ἥμαρτεῖν ἔδοξεν, ὅτι, πρεσβυτέρων καὶ φρονιμωτέρων παρόντων, οὐ σκεψάμενος τὸ τῆς πατρίδος, ἀλλὰ τὴν οἰκειότητα τιμῶν, καὶ τῇ γυναικὶ χαριζόμενος, ἧς ἀδελφὸς ἦν ὁ Πείσανδρος, ἐκείνῳ παρέδωκε τὴν ναυαρχίαν.

XI. Αὐτὸς δὲ τὸν στρατὸν καταστήσας εἰς τὴν ὑπὸ

Digitized by Google

Φαρναβάζῳ τεταγμένην χώραν, οὐ μόνον ἐν ἀφθόνοις διῆγε πῶσιν, ἀλλὰ καὶ χρήματα συνῆγε πολλά· καὶ προελθὼν ἄχρι Παφλαγονίας, προσηγάγετο τὸν βασιλέα τῶν Παφλαγόνων, Κότυν, ἐπιθυμήσαντα τῆς φιλίας αὐτοῦ δι' ἀρετὴν καὶ πίστιν. Ὁ δὲ Σπιθριδάτης, ὡς ἀποστὰς τοῦ Φαρναβάζου τὸ πρῶτον ἦλθε πρὸς τὸν Ἀγησίλαον, ἀεὶ συναπεδήμει καὶ συνεστράτευεν αὐτῷ, κάλλιστον μὲν υἱὸν ἔχων, Μεγαβάτην, οὗ παιδὸς ὄντος ἦρα σφοδρῶς Ἀγησίλαος· καλὴν δὲ καὶ θυγατέρα, παρθένον ἐν ἡλικίᾳ γάμου. Ταύτην μὲν ἔπεισε γῆμαι τὸν Κότυν ὁ Ἀγησίλαος, καὶ λαβὼν παρ' αὐτοῦ χιλίους ἱππεῖς καὶ δισχιλίους πελταστάς, αὖθις ἀνεχώρησεν εἰς Φρυγίαν, καὶ κακῶς ἐποίει τὴν Φαρναβάζου χώραν, οὐχ ὑπομένοντος, οὐδὲ πιστεύοντος τοῖς ἐρύμασιν· ἀλλ' ἔχων ἀεὶ τὰ πλεῖστα σὺν ἑαυτῷ τῶν τιμίων καὶ ἀγαπητῶν, ἐξεχώρει καὶ ὑπέφευγεν ἄλλοθεν ἀλλαχόσε τῆς χώρας μεθιδρυμένος, μέχρις οὗ παραφυλάξας αὐτὸν ὁ Σπιθριδάτης, καὶ παραλαβὼν Ἡριππίδαν τὸν Σπαρτιάτην, ἔλαβε τὸ στρατόπεδον, καὶ τῶν χρημάτων ἁπάντων ἐκράτησεν. Ἔνθα δὴ πικρὸς ὢν Ἡριππίδας ἐξεταστὴς τῶν κλαπέντων, καὶ τοὺς βαρβάρους ἀναγκάζων ἀποτίθεσθαι, καὶ πάντα φωρῶν καὶ διερευνώμενος, παρώξυνε τὸν Σπιθριδάτην, ὥστ' ἀπελθεῖν εὐθὺς εἰς Σάρδεις μετὰ τῶν Παφλαγόνων. Τοῦτο λέγεται τῷ Ἀγησιλάῳ γενέσθαι πάντων ἀνιαρότατον. Ἦιχθετο μὲν γὰρ ἄνδρα γενναῖον ἀποβεβληκὼς, τὸν Σπιθριδάτην, καὶ σὺν αὐτῷ δύναμιν οὐκ ὀλίγην

Digitized by Google

ἠσχύντετο δὲ τῇ διαβολῇ τῆς μικρολογίας καὶ ἀνελευθερίας, ἧς οὐ μόνον αὐτὸν, ἀλλὰ καὶ τὴν πατρίδα καθαρεύουσαν ἀεὶ παρέχειν ἐφιλοτιμεῖτο. Χωρὶς δὲ τῶν ἐμφανῶν τούτων ἔκνιζεν αὐτὸν οὐ μετρίως ὁ τοῦ παίδὸς ἔρως ἐνεστηγμένος, εἰ καὶ πάνυ, παρόντος αὐτοῦ, τῷ φιλονείκῳ χρώμενος; ἐπειρᾶτο νεανικῶς ἀπομάχεσθαι πρὸς τὴν ἐπιθυμίαν. Καί ποτε τοῦ Μεγαβάτου προσιόντος, ὡς ἀσπασομένου καὶ φιλήσοντος, ἐξέκλινεν. Ἐπεὶ δ' ἐκεῖνος αἰσχυνθεὶς ἐπαύσατο, καὶ τὸ λοιπὸν ἄπωθεν ἤδη προσηγόρευεν· ἀχθόμενος αὖ πάλιν καὶ μεταμελόμενος τῇ φυγῇ τοῦ φιλήματος ὁ Ἀγησίλαος, προσεποιεῖτο θαυμάζειν, ὅ τι δὴ παθὼν αὐτὸν ὁ Μεγαβάτης ἀπὸ στόματος οὐ φιλοφρονοῖτο. Σὺ γὰρ αἴτιος, οἱ συνήθεις ἔφασαν, οὐχ ὑποστὰς, ἀλλὰ τρέσας τὸ φίλημα τοῦ καλοῦ, καὶ φοβηθείς. ἐπεὶ καὶ νῦν ἂν ἔλθοι σοι πεισθεὶς ἐκεῖνος ἐντὸς φιλήματος· ἀλλ' ὅπως αὖθις οὐκ ἀποδειλιάσεις. Χρόνον οὖν τινα πρὸς ἑαυτῷ γενόμενος ὁ Ἀγησίλαος καὶ διασιωπήσας· Οὐδὲν, ἔφη, δεῖ πείθειν ὑμᾶς ἐκεῖνον· ἐγὼ γὰρ μοι δοκῶ τὴναν τὰν μάχαν τὰν περὶ τοῦ φιλάματος ἆδιον ἂν μάχεσθαι πάλιν, ἢ πάντα ὅσα τεθέαμαι χρυσία μοι γενέσθαι. Τοιοῦτος μὲν ἦν, τοῦ Μεγαβάτου παρόντος· ἀπελθόντος γε μὴν, οὕτω περικαὼς ἔσχεν, ὡς χαλεπὸν εἰπεῖν, εἰ, πάλιν αὖ μεταβαλομένου καὶ φανέντος, ἐνεκαρτέρησε μὴ φιληθῆναι.

XII. Μετὰ ταῦτα Φαρνάβαζος εἰς λόγους αὐτῷ συνελθεῖν ἠθέλησε, καὶ συνῆγεν ἀμφοτέροις ὢν ξένος

Digitized by Google

ὁ Κυζικηνὸς Ἀπολλοφάνης. Πρότερος δὲ μετὰ τῶν φίλων ὁ Ἀγησίλαος ἐλθὼν εἰς τὸ χωρίον, ὑπὸ σκιᾷ τινι, πόας οὔσης βαθείας, καταβαλὼν ἑαυτὸν, ἐνταῦθα παρέμενε τὸν Φαρνάβαζον. Ὁ δ', ὡς ἐπῆλθεν, ὑποβεβλημένων αὐτῷ κωδίων τε μαλακῶν καὶ ποικίλων δαπίδων, αἰδεσθεὶς τὸν Ἀγησίλαον οὕτω κατακείμενον, κατεκλίνη καὶ αὐτὸς, ὡς ἔτυχεν, ἐπὶ τῆς πόας χαμᾶζε, καίπερ ὢν θᾶττα θαυμαστὴν λεπτότητι καὶ βαφαῖς ἐνδεδυκώς. Ἀσπασάμενοι δ' ἀλλήλους, ὁ μὲν Φαρνάβαζος οὐκ ἠπόρει λόγων δικαίων, ἅτε δὴ πολλὰ καὶ μεγάλα Λακεδαιμονίοις χρήσιμος γεγονὼς ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ, νῦν δὲ πορθούμενος ὑπ' αὐτῶν. Ὁ δ' Ἀγησίλαος, ὁρῶν τοὺς σὺν αὐτῷ Σπαρτιάτας ὑπ' αἰσχύνης κύπτοντας εἰς τὴν γῆν καὶ διαποροῦντας (ἀδικούμενον γὰρ ἑώρων τὸν Φαρνάβαζον)· „Ἡμεῖς, (εἶπεν), ὦ Φαρνάβαζε, καὶ φίλοι ὄντες πρότερον βασιλέως, ἐχρώμεθα τοῖς ἐκείνου πράγμασι φιλικῶς· καὶ νῦν πολέμιοι γεγονότες, πολεμικῶς. Ἐν οὖν καὶ σὲ τῶν βασιλέως κτημάτων ὁρῶντες εἶναι βουλόμενον, εἰκότως διά σοῦ βλάπτομεν ἐκεῖνον. Ἀφ' ἧς δ' ἂν ἡμέρας σεαυτὸν ἀξιώσῃς Ἑλλήνων φίλον καὶ σύμμαχον μᾶλλον, ἢ δοῦλον λέγεσθαι βασιλέως, ταύτην νόμιζε τὴν φάλαγγα καὶ τὰ ὅπλα καὶ τὰς ναῦς καὶ πάντας ἡμᾶς τῶν σῶν κτημάτων φύλακας εἶναι, καὶ τῆς ἐλευθερίας, ἧς ἄνευ καλὸν ἀνθρώποις οὐδέν, οὐδὲ ζηλωτόν ἐστιν." Ἐκ τούτου λέγει πρὸς αὐτὸν ὁ Φαρνάβαζος ἣν εἶχε διάνοιαν. „Ἐγὼ γὰρ (εἶπεν), ἐὰν μὲν ἄλλον ἐκπέμψῃ βα-

Digitized by Google

σιλεὺς στρατηγὸν, ἔσομαι μεθ' ὑμῶν· ἐὰν δ' ἐμοὶ παραδιδῷ τὴν ἡγεμονίαν, οὐδὲν ἐλλείψω προθυμίας ἀμυνόμενος ὑμᾶς καὶ κακῶς ποιῶν ὑπὲρ ἐκείνου." Ταῦτα δ' ἀκούσας ὁ Ἀγησίλαος ἥσθη, καὶ τῆς δεξιᾶς αὐτοῦ λαβόμενος καὶ συνεξαναστάς· „Εἴθ' εἶπεν), Φαρνάβαζε, τοιοῦτος ὢν, φίλος ἡμῖν γένοιο μᾶλλον, ἢ πολέμιος."

XIII. Ἀπιόντος δὲ τοῦ Φαρναβάζου μετὰ τῶν φίλων, ὁ υἱὸς ὑπολειφθεὶς προσέδραμε τῷ Ἀγησιλάῳ, καὶ μειδιῶν εἶπεν· Ἐγὼ σὲ ξένον, ὦ Ἀγησίλαε, ποιοῦμαι. καὶ παλτὸν ἔχων ἐν τῇ χειρὶ δίδωσιν αὐτῷ. Δεξάμενος οὖν Ἀγησίλαος, καὶ ἡσθεὶς τῇ τ' ὄψει καὶ τῇ φιλοφροσύνῃ τοῦ παιδὸς, ἐπεσκόπει τοὺς παρόντας, εἴ τις ἔχοι τι τοιοῦτον, οἷον ἀντιδοῦναι καλῷ καὶ γενναίῳ δῶρον. Ἰδὼν δ' ἵππον Ἀδαίου τοῦ γραφέως κεκοσμημένον φαλάροις, ταχὺ ταῦτα περισπάσας τῷ μειρακιῷ δίδωσι. Καὶ τὸ λοιπὸν οὐκ ἐπαύετο μεμνημένος, ἀλλὰ καὶ χρόνῳ περιϊόντι τὸν οἶκον ἀποστερηθέντος αὐτοῦ καὶ φυγόντος ὑπὸ τῶν ἀδελφῶν εἰς Πελοπόννησον, ἰσχυρῶς ἐπεμελεῖτο· καί τι καὶ τῶν ἐρωτικῶν αὐτῷ συνέπραξεν. Ἠράσθη γὰρ ἀθλητοῦ παιδὸς ἐξ Ἀθηνῶν. Ἐπεὶ δὲ μέγας ὢν καὶ σκληρὸς Ὀλυμπιάσιν ἐκινδύνευσεν ἐκκριθῆναι, καταφεύγει πρὸς τὸν Ἀγησίλαον ὁ Πέρσης, δεόμενος ὑπὲρ τοῦ παιδός. Ὁ δὲ, καὶ τοῦτο βουλόμενος αὐτῷ χαρίζεσθαι, μάλα μόλις διεπράξατο σὺν πολλῇ πραγματείᾳ. Τἄλλα μὲν γὰρ ἦν ἀκριβὴς καὶ νόμιμος, ἐν δὲ τοῖς φιλικοῖς πρόφασιν ἐνόμιζεν εἶναι τὸ λίαν

Digitized by Google

δίκαιον. Ἀναφέρεται γοῦν ἐπιστόλιον αὐτοῦ πρὸς Ἠδριέα τὸν Κᾶρα τοιοῦτο· „Νικίαν, εἰ μὲν μὴ ἀδικεῖ, ἄφες· εἰ δ' ἀδικεῖ, ἡμῖν ἄφες· πάντως δ' ἄφες." Ἦν μὲν οὖν [ἐν] τοῖς πλείστοις τοιοῦτος ὑπὲρ τῶν φίλων ὁ Ἀγησίλαος. Ἔστι δ' ὅπου πρὸς τὸ συμφέρον ἐχρῆτο τῷ καιρῷ καὶ μᾶλλον· ὡς ἐδήλωσεν, ἀναζυγῆς αὐτῷ θορυβωδεστέρας γενομένης, ἀσθενοῦντα καταλιπὼν τὸν ἐρώμενον. Ἐκείνου γὰρ δεομένου καὶ καλοῦντος αὐτὸν ἀπιόντα, ἐπιστραφεὶς εἶπεν, ὡς χαλεπὸν ἐλεεῖν ἅμα καὶ φρονεῖν. Τοῦτὶ μὲν Ἱερώνυμος ὁ φιλόσοφος ἱστόρηκεν.

XIV. Ἤδη δὲ περιόντος ἐνιαυτοῦ δευτέρου τῇ στρατηγίᾳ, πολὺς ἄνω λόγος ἐχώρει τοῦ Ἀγησιλάου, καὶ δόξα θαυμαστὴ κατεῖχε τῆς τε σωφροσύνης καὶ ἀφελείας καὶ μετριότητος. Ἐσκήνου μὲν γὰρ ἀποδημῶν καθ' αὑτὸν ἐν τοῖς ἁγιωτάτοις ἱεροῖς, ἃ μὴ πολλοὶ καθορῶσιν ἄνθρωποι πράττοντας ἡμᾶς, τούτων τοὺς θεοὺς ποιούμενος ἐπόπτας καὶ μάρτυρας. Ἦν δὲ χιλιάσι στρατιωτῶν τοσαύταις οὐ ῥᾳδίως ἄν τις εἶδε φαυλοτέραν στιβάδα τῆς Ἀγησιλάου. Πρός τε θάλπος οὕτω καὶ ψύχος εἶχεν, ὥσπερ μόνος ἀεὶ χρῆσθαι ταῖς ὑπὸ τοῦ θεοῦ κεκραμέναις ὥραις πεφυκώς. Ἥδιστον δὲ θέαμα τοῖς κατοικοῦσι τὴν Ἀσίαν Ἕλλησιν ἦσαν οἱ πάλαι βαρεῖς καὶ ἀφόρητοι καὶ διαῤῥέοντες ὑπὸ πλούτου καὶ τρυφῆς ὕπαρχοι καὶ στρατηγοί, δεδιότες καὶ θεραπεύοντες ἄνθρωπον ἐν τρίβωνι περιόντα λιτῷ καὶ πρὸς ἓν ῥῆμα βραχὺ καὶ Λακωνικὸν ἁρμόζοντες ἑαυτοὺς καὶ μετα-

Digitized by Google

σχηματίζοντες Ὥστε πολλοῖς ἐπῄει τὰ τοῦ Τιμοθέου λέγειν· „Ἄρης τύραννος· χρυσὸν δὲ Ἑλλὰς οὐ δέδοικε.“

XV. Κινουμένης δὲ τῆς Ἀσίας, καὶ πολλαχοῦ πρὸς ἀπόστασιν ὑπεικούσης, ἁρμοσάμενος τὰς αὐτόθι πόλεις, καὶ ταῖς πολιτείαις δίχα φόνου καὶ φυγῆς ἀνθρώπων ἀποδοὺς τὸν προσήκοντα κόσμον, ἐγνώκει πρόσω χωρεῖν, καὶ τὸν πόλεμον διάρας ἀπὸ τῆς Ἑλληνικῆς θαλάττης, περὶ τοῦ σώματος βασιλεῖ καὶ τῆς ἐν Ἐκβατάνοις καὶ Σούσοις εὐδαιμονίας διαμάχεσθαι, καὶ περισπάσαι πρῶτον αὐτοῦ τὴν σχολὴν, ὡς μὴ καθέζοιτο τοὺς πολέμους βραβεύων τοῖς Ἕλλησι, καὶ διαφθείρων τοὺς δημαγωγούς. Ἐν τούτῳ δ' ἀφικνεῖται πρὸς αὐτὸν Ἐπικυδίδας ὁ Σπαρτιάτης, ἀπαγγέλλων, ὅτι πολὺς περιέστηκε τὴν Σπάρτην πόλεμος Ἑλληνικὸς, καὶ καλοῦσιν ἐκεῖνον οἱ ἔφοροι, καὶ κελεύουσι τοῖς οἴκοι βοηθεῖν.

Ὦ βάρβαρ' ἐξευρόντες Ἕλληνες κακά.

Τί γὰρ ἄν τις ἄλλο τὸν φθόνον ἐκεῖνον προσείποι, καὶ τὴν τότε σύστασιν καὶ σύνταξιν ἐφ' ἑαυτοὺς τῶν Ἑλλήνων; οἳ τῆς τύχης ἄνω φερομένης ἐπελάβοντο, καὶ τὰ ὅπλα πρὸς τοὺς βαρβάρους βλέποντα, καὶ τὸν πόλεμον τῆς Ἑλλάδος ἤδη ἐξῳκισμένον αὖθις εἰς ἑαυτοὺς ἔτρεψαν. Οὐ γὰρ ἔγωγε συμφέρομαι τῷ Κορινθίῳ Δημαράτῳ μεγάλης ἡδονῆς ἀπολελεῖφθαι φήσαντι τοὺς μὴ θεασαμένους Ἕλληνας Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον· ἀλλ' εἰκότως ἂν

Digitized by Google

οἶμαι δακρῦσαι συννοήσαντας, ὅτι τοῦτ' Ἀλεξάνδρῳ καὶ Μακεδόσιν ἀπέλιπον, οἳ τότε τοὺς τῶν Ἑλλήνων στρατηγοὺς περὶ Λεῦκτρα, καὶ Κορώνειαν, καὶ Κόρινθον, καὶ Ἀρκαδίαν κατηγάλωσαν. Ἀγησιλάῳ μέντοι οὐδὲν κρεῖσσον, ἢ μεῖζόν ἐστι τῆς ἀναχωρήσεως ἐκείνης διεπεπραγμένον, οὐδὲ γέγονε παράδειγμα πειθαρχίας καὶ δικαιοσύνης ἕτερον κάλλιον. Ὅπου γὰρ Ἀννίβας, ἤδη κακῶς πράττων καὶ παρευθούμενος ἐκ τῆς Ἰταλίας, μόλα μόλις ὑπήκουσε τοῖς ἐπὶ τὸν οἶκοι πόλεμον καλοῦσιν· Ἀλέξανδρος δὲ καὶ προσεπέσκωψε, πυθόμενος τὴν πρὸς Ἄγιν Ἀντιπάτρου μάχην, εἰπών· „Ἔοικεν, ὦ ἄνδρες, ὅτε Δαρεῖον ἡμεῖς ἐνικῶμεν ἐνταῦθα, ἐκεῖ τις ἐν Ἀρκαδίᾳ γεγονέναι μυομαχία.“ πῶς οὐκ ἦν ἄξιον τὴν Σπάρτην μακαρίσαι τῆς Ἀγησιλάου τιμῆς πρὸς ταύτην, καὶ πρὸς τοὺς νόμους τῆς εὐλαβείας, οὓς, ἅμα τῇ τὴν σκυτάλην ἐλθεῖν, εὐτυχίαν τοσαύτην καὶ δύναμιν παροῦσαν καὶ τηλικαύτας ἐλπίδας ὑφηγουμένας ἀφεὶς καὶ προέμενος, εὐθὺς ἀπέπλευσεν ἀτελευτήτῳ ἐπὶ ἔργῳ, πολὺν ἑαυτοῦ πόθον τοῖς συμμάχοις ἀπολιπών, καὶ μάλιστα Δημοστράτου τοῦ Φαίακος ἐλέγξας λόγον, εἰπόντος, ὡς εἰσὶ δημοσίᾳ μὲν Λακεδαιμόνιοι βελτίονες, ἰδίᾳ δ' Ἀθηναῖοι. Βασιλέα γὰρ αὐτὸν καὶ στρατηγὸν ἄριστον ἐπιδειξάμενος, ἔτι βελτίονα καὶ ἥδιονα τοῖς χρωμένοις ἰδίᾳ φίλον καὶ συνήθη παρέσχε. Τοῦ δὲ Περσικοῦ νομίσματος χάραγμα τοξότην ἔχοντος, ἀναζευγνύων ἔφη μυρίοις τοξόταις ὑπὸ βασιλέως ἐξελαύνεσθαι τῆς

Digitized by Google

Ἀσίας. Τοσούτων γὰρ εἰς Ἀθήνας καὶ Θήβας κομισθέντων καὶ διαδοθέντων τοῖς δημαγωγοῖς, ἐξεπολεμώθησαν οἱ δῆμοι πρὸς τοὺς Σπαρτιάτας.

XVI. Ὡς δὲ διαβὰς τὸν Ἑλλήσποντον ἐβάδιζε διὰ τῆς Θρᾴκης, ἐδεήθη μὲν οὐδενὸς τῶν βαρβάρων· πέμπων δὲ πρὸς ἑκάστους, ἐπυνθάνετο, πότερον ὡς φιλίαν, ἢ ὡς πολεμίαν, διαπορεύηται τὴν χώραν. Οἱ μὲν οὖν ἄλλοι πάντες φιλικῶς ἐδέχοντο καὶ παρέπεμπον, ὡς ἕκαστος δυνάμεως εἶχεν· οἱ δὲ καλούμενοι Τρᾴλλεις, οἷς καὶ Ξέρξης ἔδωκεν, ὥς λέγεται, θώρα τῆς διόδου, μισθὸν ᾔτουν τὸν Ἀγησίλαον, ἑκατὸν ἀργυρίου τάλαντα, καὶ τοσαύτας γυναῖκας. Ὁ δὲ, κατειρωνευσάμενος αὐτοὺς, καὶ φήσας· „Τί οὖν οὐκ εὐθὺς ἦλθον ληψόμενοι;“ προῆγε; καὶ συμβαλὼν αὐτοῖς παρατεταγμένοις, ἐτρέψατο, καὶ διέφθειρε πολλούς. Τὸ δ' αὐτὸ καὶ τῷ βασιλεῖ τῶν Μακεδόνων ἐρώτημα προσέπεμψε· φήσαντος δὲ βουλεύσεσθαι· „Βουλευέσθω τοίνυν ἐκεῖνος (εἶπεν), ἡμεῖς δ' ἤδη πορευώμεθα.“ Θαυμάσας οὖν τὴν τόλμαν αὐτοῦ καὶ δείσας ὁ βασιλεὺς, ἐκέλευσεν ὡς φίλον προάγειν. Τῶν δὲ Θετταλῶν, τοῖς πολεμίοις συμμαχούντων, ἐπόρθει τὴν χώραν. Εἰς δὲ Λάρισσαν ἔπεμψε Ξενοκλέα καὶ Σκύθην περὶ φιλίας· συλληφθέντων δὲ τούτων καὶ παραφυλασσομένων, οἱ μὲν ἄλλοι βαρέως φέροντες, ᾤοντο δεῖν τὸν Ἀγησίλαον παραστρατοπεδεύσαντα πολιορκεῖν τὴν Λάρισσαν. Ὁ δὲ φήσας οὐκ ἂν ἐθελῆσαι Θεσσαλίαν ὅλην λαβεῖν, ἀπολέσας τῶν ἀνδρῶν τὸν ἔτε-

Digitized by Google

ρον, ὑποσπένδους αὐτοὺς ἀπέλαβε. Καὶ τουτ, ἴσως ἐπ' Ἀγησιλάῳ θαυμαστὸν οὐκ ἦν, ὃς πυθόμενος μάχην μεγάλην γεγονέναι περὶ Κόρινθον, καὶ ἄνδρας τῶν πάνυ ἐνδόξων ὡς ἔνι μάλιστα ἀφνείδιον ἀπολωλέναι, καὶ Σπαρτιατῶν μὲν ὀλίγους παντάπασι τεθνηκέναι, παμπόλλους δὲ τῶν πολεμίων, οὐκ ἄφθη περιχαρὴς, οὐδ' ἐπῃρμένος· ἀλλὰ καὶ πάνυ βαρὺ στενάξας· „Φεῦ τῆς Ἑλλάδος, ἔφη, τοσούτους ἄνδρας ἀπολωλεκυίας ὑφ' αὑτῆς, ὅσοι ζῶντες ἐδύναντο νικᾶν ὁμοῦ σύμπαντας τοὺς βαρβάρους μαχόμενοι." Τῶν δὲ Φαρσαλίων προσκειμένων αὐτῷ, καὶ κακούντων τὸ στράτευμα, πεντακοσίοις ἱππεῦσιν ἐμβαλεῖν κελεύσας σὺν αὐτῷ, καὶ τρεψάμενος, ἔστησε τρόπαιον ὑπὸ τῷ Ναφθακίῳ. Καὶ τὴν νίκην ὑπερηγάπησεν ἐκείνην, ὅτι συστησάμενος ἱππικὸν αὐτὸς δι' ἑαυτοῦ, τούτῳ μόνῳ τοὺς μέγιστον ἐφ' ἱππικῇ φρονοῦντας ἐκράτησεν.

XVII. Ἐνταῦθα Διφρίδας οἴκοθεν ἔφορος ὢν ἀτήντησεν αὐτῷ, κελεύων εὐθὺς ἐμβαλεῖν εἰς τὴν Βοιωτίαν. Ὁ δὲ, καίπερ ἀπὸ μείζονος παρασκευῆς ὕστερον τοῦτο ποιῆσαι διανοούμενος, οὐδὲν ᾤετο δεῖν ἀπειθεῖν τοῖς ἄρχουσιν, ἀλλὰ τοῖς τε μεθ' ἑαυτοῦ προεῖπεν ἐγγὺς εἶναι τὴν ἡμέραν, ἐφ' ἣν ἐξ Ἀσίας ἥκουσι, καὶ δύο μόρας μετεπέμψατο τῶν περὶ Κόρινθον στρατευομένων. Οἱ δ' ἐν τῇ πόλει Λακεδαιμόνιοι, τιμῶντες αὐτὸν, ἐκήρυξαν τῶν νέων ἀπογράφεσθαι τὸν βουλόμενον τῷ βασιλεῖ βοηθεῖν. Ἀπογραψαμένων δὲ πάντων προθύμως, οἱ ἄρχοντες

Digitized by Google

πεντήκοντα τοὺς ἀκμαιοτάτους καὶ ῥωμαλεωτάτους ἐκλεξάμενοι ἀπέστειλαν. Ὁ δ' Ἀγησίλαος, εἴσω Πυλῶν παρελθών, καὶ διοδεύσας τὴν φωκίδα φίλην οὖσαν, ἐπεὶ τῆς Βοιωτίας πρῶτον ἐπέβη, καὶ περὶ τὴν Χαιρώνειαν κατεστρατοπέδευσεν, ἅμα μὲν τὸν ἥλιον ἐκλείποντα καὶ γενόμενον μηνοειδῆ κατεῖδεν, ἅμα δ' ἤκουσε τεθνάναι Πείσανδρον, ἡττημένον ναυμαχίᾳ περὶ Κνίδον ὑπὸ Φαρναβάζου καὶ Κόνωνος. Καὶ ἠχθέσθη μὲν, ὡς εἰκὸς, ἐπὶ τούτοις, καὶ διὰ τὸν ἄνδρα, καὶ διὰ τὴν πόλιν· ὅπως δὲ μὴ τοῖς στρατιώταις ἐπὶ μάχην βαδίζουσιν ἀθυμία καὶ φόβος ἐμπέσῃ, τἀναντία λέγειν ἐκέλευσε τοὺς ἀπὸ θαλάττης ἥκοντας, ὅτι νικῷεν τὴν ναυμαχίαν· καὶ προελθὼν αὐτὸς ἐστεφανωμένος ἔθυσεν εὐαγγέλια, καὶ διέπεμπε μερίδας τοῖς φίλοις ἀπὸ τῶν τεθυμένων.

XVIII. Ἐπεὶ δὲ προϊὼν καὶ γενόμενος ἐν Κορωνείᾳ κατεῖδε τοὺς πολεμίους καὶ κατώρθη, παρετάξατο, δοὺς Ὀρχομενίοις τὸ εὐώνυμον κέρας· αὐτὸς δὲ τὸ δεξιὸν ἐπῆγεν. Οἱ δὲ Θηβαῖοι τὸ μὲν δεξιὸν εἶχον αὐτοὶ, τὸ δ' εὐώνυμον Ἀργεῖοι. Λέγει δὲ τὴν μάχην ὁ Ξενοφῶν ἐκείνην, οἵαν οὐκ ἄλλην τῶν πώποτε, γενέσθαι· καὶ παρῆν αὐτὸς τῷ Ἀγησιλάῳ συναγωνιζόμενος, ἐξ Ἀσίας διαβεβηκώς. Ἡ μὲν οὖν πρώτη συῤῥαξις οὐκ ἔσχεν ὠθισμὸν, οὐδ' ἀγῶνα πολὺν, ἀλλ' οἵ τε Θηβαῖοι ταχὺ τοὺς Ὀρχομενίους ἐτρέψαντο, καὶ τοὺς Ἀργείους ὁ Ἀγησίλαος. Ἐπεὶ δ' ἀκούσαντες ἀμφότεροι τὰ εὐώνυμα πιέζεσθαι καὶ φεύγειν, ἀνέστρεψαν, ἐνταῦθα τῆς νίκης ἀκινδύ-

Digitized by Google

νου παρούσης, εἰ τῆς κατὰ στόμα μάχης ὑφέσθαι τοῖς Θηβαίοις ἠθέλησε, καὶ παίειν ἑπόμενος παραλλάξαντας, ὑπὸ θυμοῦ καὶ φιλονεικίας ἐναντίος ἐχώρει τοῖς ἀνδράσιν, ὥσασθαι κατὰ κράτος βουλόμενος. Οἱ δ' οὐχ ἧττον ἐρρωμένως ἐδέξαντο, καὶ μάχη γίνεται δι' ὅλου μὲν ἰσχυρά τοῦ στρατεύματος, ἰσχυροτάτη δὲ κατ' ἐκεῖνον αὐτὸν, ἐν τοῖς πεντήκοντα τεταγμένον· ὧν εἰς καιρὸν ἔοικεν ἡ φιλοτιμία τῷ βασιλεῖ γενέσθαι καὶ σωτήριος. Ἀγωνιζόμενοι γὰρ ἐκθύμως, καὶ προκινδυνεύοντες, ἄτρωτον μὲν οὐκ ἐδυνήθησαν αὐτὸν φυλάξαι, πολλὰς δὲ διὰ τῶν ὅπλων δεξάμενον εἰς τὸ σῶμα πληγὰς δόρασι καὶ ξίφεσι, μόλις ἀνῄρπασαν ζῶντα· καὶ συμφράξαντες πρὸ αὐτοῦ, πολλοὺς τὲν ἀνῄρουν, πολλοὶ δ' ἔπιπτον. Ὡς δὲ μέγα ἔργον ἦν ὥσασθαι προτροπάδην τοὺς Θηβαίους, ἠναγκάσθησαν ὅπερ ἐξ ἀρχῆς οὐκ ἐβούλοντο ποιῆσαι. Διέστησαν γὰρ αὐτοῖς τὴν φάλαγγα καὶ διέσχον, εἶτα ἀτακτότερον ἤδη πορευομένους, ὡς διεξέπεσον, ἀκολουθοῦντες καὶ παραθέοντες ἐκ πλαγίων ἔπαιον. Οὐ μὴν ἐτρέψαντο, ἀλλ' ἀπεχώρησαν οἱ Θηβαῖοι πρὸς τὸν Ἑλικῶνα, μέγα τῇ μάχῃ φρονοῦντες, ὡς ἀήττητοι καθ' αὑτοὺς γεγονότες.

XIX. Ἀγησίλαος δὲ, καίπερ ὑπὸ τραυμάτων πολλῶν κακῶς τὸ σῶμα διακείμενος, οὐ πρότερον ἐπὶ σκηνὴν ἀπῆλθεν, ἢ φοράδην ἐνεχθῆναι πρὸς τὴν φάλαγγα, καὶ τοὺς νεκροὺς ἰδεῖν ἐντὸς τῶν ὅπλων συγκεκομισμένους. Ὅσοι μέντοι τῶν πολεμίων εἰς

Digitized by Google

τὸ ἱερὸν καταφύγον, πάντας ἐκέλευσεν ἀφεθῆναι. Πλησίον γὰρ ὁ νεώς ἐστιν ὁ τῆς Ἰτωνίας Ἀθηνᾶς· καὶ πρὸ αὐτοῦ τρόπαιον ἔστηκεν, ὃ πάλαι Βοιωτοὶ, Σπάρτωνος στρατηγοῦντος, ἐνταῦθα νικήσαντες Ἀθηναίους, καὶ Τολμίδην ἀποκτείναντες, ἔστησαν. Ἅμα δ' ἡμέρᾳ βουλόμενος ἐξελέγξαι τοὺς Θηβαίους ὁ Ἀγησίλαος, εἰ διαμαχοῦνται, στεφανοῦσθαι μὲν ἐκέλευσε τοὺς στρατιώτας, αὐλεῖν δὲ τοὺς αὐλητὰς, ἱστάναι δὲ καὶ κοσμεῖν τρόπαιον, ὡς νενικηκότας. Ὡς δ' ἔπεμψαν οἱ πολέμιοι νεκρῶν ἀναίρεσιν αἰτοῦντες, ἐσπείσατο, καὶ τὴν νίκην οὕτως ἐκβεβαιωσάμενος, εἰς Δελφοὺς ἀπεκομίσθη, Πυθίων ἀγομένων. Καὶ τήν τε πομπὴν ἐπετέλει τῷ θεῷ, καὶ τὴν δεκάτην ἀπέθυε τῶν ἐκ τῆς Ἀσίας λαφύρων, ἑκατὸν ταλάντων γενομένην. Ἐπεὶ δ' ἀπενόστησεν οἴκαδε, προσφιλὴς μὲν ἦν εὐθὺς τοῖς πολίταις καὶ περίβλεπτος ἀπὸ τοῦ βίου καὶ τῆς διαίτης. Οὐ γὰρ, ὥσπερ οἱ πλεῖστοι τῶν στρατηγῶν, καινὸς ἐπανῆλθεν ἀπὸ τῆς ξένης, καὶ κεκινημένος ὑπ' ἀλλοτρίων ἐθῶν, δυσκολαίνων πρὸς τὰ οἰκοι καὶ ζυγομαχῶν· ἀλλ' ὁμοίως τοῖς μηδεπώποτε τὸν Εὐρώταν διαβεβηκόσι τὰ παρόντα τιμῶν καὶ στέργων, οὐ δεῖπνον ἤλλαξεν, οὐ λουτρὸν οὐ θεραπείαν γυναικὸς, οὐχ ὅπλων κόσμον, οὐκ οἰκίας κατασκευὴν, ἀλλὰ καὶ τὰς θύρας ἀφῆκεν οὕτως, οὔσας σφόδρα παλαιὰς, ὡς δοκεῖν εἶναι ταύτας ἐκείνας, ἃς ἐπέθηκεν Ἀριστόδημος. Καὶ τὸ κάναθρον φησὶν ὁ Ξενοφῶν οὐδέν τι σεμνότερον εἶναι τῆς ἐκείνου θυγατρὸς, ἢ τῶν

Digitized by Google

ἄλλων. Κάναθρα δὲ καλοῦσιν εἴδωλα γρυπῶν ξύλινα καὶ τραγελάφων, ἐν οἷς νομίζουσι τὰς παῖδας ἐν ταῖς πομπαῖς. Ὁ μὲν οὖν Ξενοφῶν ὄνομα τῆς Ἀγησιλάου θυγατρὸς οὐ γέγραφε· καὶ ὁ Δικαίαρχος ἐπηγανάκτησεν, ὡς μήτε τὴν Ἀγησιλάου θυγατέρα, μήτε τὴν Ἐπαμινώνδου μητέρα, ἔτι γινωσκόντων ἡμῶν. Ἡμεῖς δ' εὕρομεν ἐν ταῖς Λακωνικαῖς ἀναγραφαῖς ὀνομαζομένην, γυναῖκα μὲν Ἀγησιλάου Κλεόραν· θυγατέρας δ' Εὐπολίαν καὶ Προλύταν· Ἔστι δὲ καὶ λόγχην ἰδεῖν αὐτοῦ κειμένην ἄχρι νῦν ἐν Λακεδαίμονι, μηδὲν τῶν ἄλλων διαφέρουσαν.

XX. Οὐ μὴν ἀλλ' ὁρῶν ἐνίους τῶν πολιτῶν ἀπὸ ἱπποτροφίας δοκοῦντας εἶναί τινας, καὶ μεγάλα φρονοῦντας, ἔπεισε τὴν ἀδελφὴν Κυνίσκαν ἅρμα καθεῖσαν Ὀλυμπιάσιν ἀγωνίσασθαι, βουλόμενος ἐνδείξασθαι τοῖς Ἕλλησιν, ὡς οὐδεμιᾶς ἐστιν ἀρετῆς, ἀλλὰ πλούτου καὶ δαπάνης ἡ νίκη. Ξενοφῶντα δὲ τὸν σοφὸν ἔχων μεθ' ἑαυτοῦ σπουδαζόμενον, ἐκέλευσε τοὺς παῖδας ἐν Λακεδαίμονι τρέφειν μεταπεμψάμενον, ὡς μαθησομένους τῶν μαθημάτων τὸ πλείστον, ἄρχεσθαι καὶ ἄρχειν. Τοῦ δὲ Λυσάνδρου τετελευτηκότος, εὑρὼν ἑταιρίαν πολλὴν συνεστῶσαν, ἣν ἐκεῖνος εὐθὺς ἐπανελθὼν ἀπὸ τῆς Ἀσίας συνέστησεν ἐπὶ τὸν Ἀγησίλαον, ὥρμησεν αὐτὸν ἐξελέγχειν, οἷος ἦν ζῶν πολίτης· καὶ λόγον ἀναγνοὺς ἐν βιβλίῳ ἀπολελειμμένον, ὃν ἔγραψε μὲν Κλέων ὁ Ἁλικαρνασσεύς, ἔμελλε δὲ λέγειν ἀναλαβὼν ὁ Λύσανδρος ἐν τῷ δήμῳ περὶ πραγμάτων καινῶν καὶ μεταστάσεως

Digitized by Google

τοῦ πολιτεύματος, ἠθέλησεν εἰς μέσον ἐξενεγκεῖν, Ἐπεὶ δέ τις τῶν γερόντων τὸν λόγον ἀναγνοὺς, καὶ φοβηθεὶς τὴν δεινότητα, συνεβούλευσε μὴ τὸν Λύσανδρον ἀνορύττειν, ἀλλὰ τὸν λόγον μᾶλλον αὐτῷ συγκατορύττειν, ἐπείσθη καὶ καθησύχασε. Τοὺς δ' ὑπεναντιουμένους αὐτῷ φανερῶς μὲν οὐκ ἔβλαπτε, διαπραττόμενος δὲ πέμπεσθαι τινὰς ἀεὶ στρατηγοὺς καὶ ἄρχοντας ἐξ αὐτῶν, ἐπεδείκνυε γινομένους ἐν ταῖς ἐξουσίαις πονηροὺς καὶ πλεονέκτας, εἶτα κρινομένοις πάλιν αὖ βοηθῶν, καὶ συναγωνιζόμενος, οἰκείους ἐκ διαφόρων ἐποιεῖτο, καὶ μεθίστη πρὸς αὑτόν· ὥστε μηθένα ἀντίπαλον εἶναι. Ὁ γὰρ ἕτερος βασιλεὺς, Ἀγησίπολις, ἅτε δὴ πατρὸς μὲν ὢν φυγάδος, ἡλικίᾳ δὲ παντάπασι μειράκιον, φύσει δὲ πρᾷος καὶ κόσμιος, οὐ πολλὰ τῶν πολιτικῶν ἔπραττεν. Οὐ μὴν ἀλλὰ καὶ τοῦτον ἐποιεῖτο χειρόηθη. Συσσιτοῦσι γὰρ οἱ βασιλεῖς εἰς τὸ αὐτὸ φοιτῶντες φιδίτιον, ὅταν ἐπιδημῶσιν. Εἰδὼς οὖν ἔνοχον ὄντα τοῖς ἐρωτικοῖς τὸν Ἀγησίπολιν, ὥσπερ ἦν αὐτὸς, ἀεί τινος ὑπῆρχε λόγου περὶ τῶν ἐν ὥρᾳ· καὶ προῆγε τὸν νεανίσκον εἰς ταὐτὸ, καὶ συνήρα καὶ συνέπραττε, τῶν Λακωνικῶν ἐρώτων οὐδὲν αἰσχρὸν, αἰδῶ δὲ πολλὴν καὶ φιλοτιμίαν καὶ ζῆλον ἀρετῆς ἐχόντων, ὡς ἐν τοῖς περὶ Λυκούργου γέγραπται.

XXI. Μέγιστον οὖν δυνάμενος ἐν τῇ πόλει, διαπράττεται Τελευτίαν, τὸν ὁμομήτριον ἀδελφὸν, ἐπὶ τοῦ ναυτικοῦ γενέσθαι. Καὶ στρατευσάμενος εἰς Κόρινθον, αὐτὸς μὲν ἦρει κατὰ γῆν τὶ μακρὰ τεί-

Digitized by Google

χη, ταῖς δὲ ναυσὶν ὁ Τελευτίας. Ἀργείων δὲ τὴν Κόρινθον ἐχόντων τότε, καὶ τὰ Ἴσθμια συντελούντων, ἐπιφανεὶς ἐκείνους μὲν ἐξήλασεν ἄρτι τῷ θεῷ τεθυκότας, τὴν παρασκευὴν ἅπασαν ἀπολιπόντας· ἐπεὶ δὲ τῶν Κορινθίων ὅσοι φυγάδες ἔτυχον παρόντες, ἐδεήθησαν αὐτοῦ τὸν ἀγῶνα διαθεῖναι, τοῦτο μὲν οὐκ ἐποίησεν, αὐτῶν δ' ἐκείνων διατιθέντων καὶ συντελούντων, παρέμεινε καὶ παρέσχεν ἀσφάλειαν. Ὕστερον δ', ἀπελθόντος αὐτοῦ, πάλιν ὑπ' Ἀργείων ἤχθη τὰ Ἴσθμια, καί τινες μὲν ἐνίκησαν πάλιν, εἰσὶ δ' οἳ, νενικηκότες πρότερον, ὕστερον ἡττημένοι ἀνεγράφησαν. Ἐπὶ τούτῳ δὲ πολλὴν ἀπέφαινε δειλίαν κατηγορεῖν ἑαυτῶν τοὺς Ἀργείους ὁ Ἀγησίλαος, εἰ σεμνὸν οὕτω καὶ μέγα τὴν ἀγωνοθεσίαν ἡγούμενοι, μάχεσθαι περὶ αὐτῆς οὐκ ἐτόλμησαν. Αὐτὸς δὲ πρὸς ταῦτα πάντα μετρίοις ᾤετο δεῖν ἔχειν· καὶ τοὺς μὲν οἴκοι χοροὺς καὶ ἀγῶνας ἐπεκόσμει, καὶ συμπαρῆν ἀεί, φιλοτιμίας καὶ σπουδῆς μεστὸς ὤν, καὶ οὔτε παίδων, οὔτε παρθένων ἁμίλλης ἀπολειπόμενος· ἃ δὲ τοὺς ἄλλους ἑώρα θαυμάζοντας, ἐδόκει μηδὲ γινώσκειν. Καί ποτε Καλλιππίδης, ὁ τῶν τραγῳδιῶν ὑποκριτής, ὄνομα καὶ δύξαν ἔχων ἐν τοῖς Ἕλλησι, καὶ σπουδαζόμενος ὑπὸ πάντων, πρῶτον μὲν ἀπήντησεν αὐτῷ καὶ προσεῖπεν, ἔπειτα σοβαρῶς εἰς τοὺς περιπατοῦντας ἐμβαλὼν ἑαυτὸν ἐπεδείκνυτο, νομίζων ἐκεῖνον ἄρξειν τινὸς φιλοφροσύνης· τέλος δ' εἶπεν· „Οὐκ ἐπιγινώσκεις με, βασιλεῦ;" Κἀκεῖνος ἀποβλέψας πρὸς αὐτὸν, εἶπεν· „Ἀλλ' οὐ σύγε ἐσσὶ

Digitized by Google

Καλλιππίδας ὁ δεικηλίκτας;" οὕτω δὲ Λακεδαιμόνιοι τοὺς μίμους καλοῦσι. Παρακαλούμενος δὲ πάλιν ἀκοῦσαι τοῦ τὴν ἀηδόνα μιμουμένου, παρητήσατο, φήσας· „Αὐτᾶς ἄκουκα." Τοῦ δ' ἰατροῦ Μενεκράτους, ἐπεὶ, κατατυχὼν ἔν τισιν ἀπεγνωσμέναις θεραπείαις, Ζεὺς ἐπεκλήθη, φορτικῶς ταύτῃ χρωμένου τῇ προσωνυμίᾳ, καὶ δὴ καὶ πρὸς ἐκεῖνον ἐπιστεῖλαι τολμήσαντος αὕτως· "Μενεκράτης Ζεὺς βασιλεῖ Ἀγησιλάῳ χαίρειν·" ἀντέγραψε· „Βασιλεὺς Ἀγησίλαος Μενεκράτει ὑγιαίνειν."

XXII. Διατρίβοντος δὲ περὶ τὴν Κόρινθον αὐτοῦ, καὶ τὸ Ἡραῖον εἱλημότος, καὶ τὰ αἰχμάλωτα τοὺς στρατιώτας ἄγοντας καὶ φέροντας ἐπιβλέποντος, ἀφίκοντο πρέσβεις ἐκ Θηβῶν περὶ φιλίας. Ὁ δὲ, μισῶν μὲν ἀεὶ τὴν πόλιν, οἰόμενος δὲ τότε καὶ συμφέρειν ἐνυβρίσαι, προσεποιεῖτο μήθ' ὁρᾶν αὐτοὺς, μήτ' ἀκούειν ἐντυγχανόντων. Ἔπαθε δὲ πρᾶγμα νεμεσητόν· οὔπω γὰρ ἀπηλλαγμένων τῶν Θηβαίων, ἦκον τινὲς, ἀγγέλλοντες αὐτῷ, τὴν μόραν ὑπ' Ἰφικράτους κατακεκόφθαι. Καὶ πάθος τοῦτο μέγα διὰ πολλοῦ χρόνου συνέπεσεν αὐτοῖς. Πολλοὺς γὰρ ἄνδρας ἀγαθοὺς ἀπέβαλον κρατηθέντας ὑπό τε πελταστῶν ὁπλίτας, καὶ μισθοφόρων Λακεδαιμονίους. Ἀνεπήδησε μὲν οὖν εὐθὺς ὁ Ἀγησίλαος ὡς βοηθήσων. Ἐπεὶ δ' ἔγνω διαπεπραγμένους, αὖθις εἰς τὸ Ἡραῖον ἦκε, καὶ τοὺς Βοιωτοὺς τότε προσελθεῖν κελεύσας ἐχρημάτιζεν· ὡς δ' ἀνθυβρίζοντες ἐκεῖνοι τῆς μὲν εἰρήνης οὐκ ἐμέμνηντο, παρεθῆναι δ' ἠξί-

Digitized by Google

σαν εἰς Κόρινθον· ὀρχισθεὶς δ' Ἀγησίλαος εἶπεν· „Εἴγε βούλεσθε τοὺς φίλους ὑμῶν ἰδεῖν μέγα φρονοῦντας ἐφ' οἷς εὐτυχοῦσιν, αὔριον ἀσφαλῶς ὑμῖν τοῦτο ὑπάρξει.“ Καὶ παραλαβὼν αὐτοὺς τῇ ὑστεραίᾳ, τὴν τε χώραν τῶν Κορινθίων ἔκοπτε, καὶ πρὸς τὴν πόλιν αὐτὴν προσῆλθεν. Οὕτω δὲ τοὺς Κορινθίους ἐξελέγξας ἀμύνεσθαι μὴ τολμῶντας, ἀφῆκε τὴν πρεσβείαν. Αὐτὸς δὲ τοὺς περιλελειμμένους ἄνδρας ἐκ τῆς μόρας ἀναλαβὼν, ἀπῆγεν εἰς Λακεδαίμονα, πρὸ ἡμέρας ποιούμενος τὰς ἀναζεύξεις, καὶ πάλιν σκοταίους τὰς καταλύσεις, ὅπως οἱ μισοῦντες καὶ βασκαίνοντες τῶν Ἀρκάδων μὴ ἐπιχειρῶσιν. Ἐκ τούτου χαριζόμενος τοῖς Ἀχαιοῖς, διέβαινεν εἰς Ἀκαρνανίαν στρατιᾷ μετ' αὐτῶν, καὶ πολλὴν μὲν ἠλάσατο λείαν, μάχῃ δὲ τοὺς Ἀκαρνᾶνας ἐνίκησε. Δεομένων δὲ τῶν Ἀχαιῶν, ὅπως τὸν χειμῶνα παραμείνας, ἀφέληται τὸν σπόρον τῶν πολεμίων, τοὐναντίον ἔφη ποιήσειν· μᾶλλον γὰρ φοβηθήσεσθαι τὸν πόλεμον αὐτοὺς, ἐὰν ἐσπαρμένην τὴν χῆν εἰς ὥρας ἔχωσιν· ὃ καὶ συνέβη. Παραγγελλομένης γὰρ αὖθις ἐπ' αὐτοὺς στρατείας, διηλλάγησαν τοῖς Ἀχαιοῖς.

XXIII. Ἐπεὶ δὲ Κόνων καὶ Φαρνάβαζος, τῷ βασιλέως ναυτικῷ θαλαττοκρατοῦντες, ἐπόρθουν τὰ παράλια τῆς Λακωνικῆς, ἐτειχίσθη δὲ καὶ τὸ ἄστυ τῶν Ἀθηναίων, Φαρναβάζου χρήματα δόντος, ἔδοξε τοῖς Λακεδαιμονίοις εἰρήνην ποιεῖσθαι πρὸς βασιλέα· καὶ πέμπουσιν Ἀνταλκίδαν πρὸς Τηριβάζον αἴσχιστα καὶ παρανομώτατα τοὺς τὴν Ἀσίαν κα-

Digitized by Google

τοιοῦντας Ἕλληνας, ὑπὲρ ὧν ἐπολέμησεν Ἀγησίλαος, βασιλεῖ παραδιδόντες. Ὅθεν ἥκιστα συνέβη τῆς κακοδοξίας ταύτης Ἀγησιλάῳ μετασχεῖν. Ὁ γὰρ Ἀνταλκίδας ἐχθρὸς, ὢν αὐτῷ, καὶ τὴν εἰρήνην ἐξ ἅπαντος ἔπραττεν, ὡς τοῦ πολέμου τὸν Ἀγησίλαον αὔξοντος, καὶ ποιοῦντος ἐνδοξότατον καὶ μέγιστον. Οὐ μὴν ἀλλὰ καὶ πρὸς τὸν εἰπόντα τοὺς Λακεδαιμονίους μηδίζειν, ὁ Ἀγησίλαος ἀπεκρίνατο, μᾶλλον τοὺς Μήδους λακωνίζειν. Τοῖς δὲ μὴ βουλομένοις δέχεσθαι τὴν εἰρήνην ἀπειλῶν, καὶ καταγγέλλων πόλεμον, ἠνάγκασεν ἐμμεῖναι πάντας, οἷς ὁ Πέρσης ἐδικαίωσε, μάλιστα διὰ τοὺς Θηβαίους, ὅπως, αὐτόνομον τὴν Βοιωτίαν ἀφέντες, ἀσθενέστεροι γένωνται. Δῆλον δὲ τοῦτο τοῖς ὕστερον ἐποίησεν. Ἐπεὶ γὰρ Φοιβίδας ἔργον εἰργάσατο δεινὸν, ἐν σπονδαῖς καὶ εἰρήνῃ τὴν Καδμείαν καταλαβὼν, καὶ πάντες μὲν ἠγανάκτουν οἱ Ἕλληνες, χαλεπῶς δ' ἔφερον οἱ Σπαρτιᾶται, καὶ μάλιστα οἱ διαφερόμενοι τῷ Ἀγησιλάῳ, μετ' ὀργῆς ἐπυνθάνοντο τοῦ Φοιβίδου, τίνος ταῦτα κελεύσαντος ἔπραξεν, εἰς ἐκεῖνον τὴν ὑπόνοιαν τρέποντες· οὐκ ἄκνησε τῷ Φοιβίδᾳ βοηθῶν λέγειν ἀναφανδὸν, ὅτι δεῖ τὴν πρᾶξιν αὐτὴν, εἴ τι χρήσιμον ἔχει, σκοπεῖν. τὰ γὰρ συμφέροντα τῇ Λακεδαίμονι καλῶς ἔχειν αὐτοματίζεσθαι, κἂν μηδεὶς κελεύσῃ. Καίτοι τῷ λόγῳ πανταχοῦ τὴν δικαιοσύνην ἀπέφαινε πρωτεύειν τῶν ἀρετῶν· ἀνδρείας μὲν γὰρ οὐδὲν ὄφελος εἶναι, μὴ παρούσης δικαιοσύνης· εἰ δὲ δίκαιοι πάντες γένοιντο, μηδὲν ἂν-

Digitized by Google

δρείας δεήσεσθαι. Πρὸς δὲ τοὺς λέγοντας, ὅτι ταῦτα δοκεῖ τῷ μεγάλῳ βασιλεῖ· „Τί δ' ἐκεῖνος ἐμοῦ (εἶπε) μείζων, εἰ μὴ δικαιότερος;" ὀρθῶς καὶ καλῶς οἰόμενος δεῖν τῷ δικαίῳ, καθάπερ μέτρῳ βασιλικῷ, μετρεῖσθαι τὴν ὑπεροχὴν τοῦ μείζονος. Ἦν δὲ, τῆς εἰρήνης γενομένης, ἔπεμψεν αὐτῷ περὶ ξενίας καὶ φιλίας ἐπιστολὴν ὁ βασιλεὺς, οὐκ ἔλαβεν, εἰπὼν ἐξαρκεῖν τὴν κοινὴν φιλίαν, καὶ μηδὲν ἰδίας δεήσεσθαι, μενούσης ἐκείνης. Ἐν δὲ τοῖς ἔργοις οὐκέτι ταύτην διαφυλάττων τὴν δόξαν, ἀλλὰ τῇ φιλοτιμίᾳ καὶ τῇ φιλονεικίᾳ πολλαχοῦ συνεκφερόμενος, καὶ μάλιστα τῇ πρὸς Θηβαίους, οὐ μόνον ἔσωσε τὸν φοιβίδαν, ἀλλὰ καὶ τὴν πόλιν ἔπεισεν εἰς αὑτὴν ἀναδέξασθαι τὸ ἀδίκημα, καὶ κατέχειν τὴν Καδμείαν δι' ἑαυτῆς, τῶν δὲ πραγμάτων καὶ τῆς πολιτείας Ἀρχίαν καὶ Λεοντίδαν ἀποδεῖξαι κυρίους, δι' ὧν ὁ Φοιβίδας εἰσῆλθε, καὶ κατέλαβε τὴν ἀκρόπολιν.

XXIV. Ἦν μὲν οὖν εὐθὺς ἐκ τούτων ὑπόνοια, Φοιβίδου μὲν ἔργον εἶναι, βούλευμα δ' Ἀγησιλάου, τὰ πεπραγμένον. Αἱ δὲ ὕστεραι πράξεις ὁμολογουμένην ἐποίησαν τὴν αἰτίαν. Ὡς γὰρ ἐξέβαλον οἱ Ἀθηναῖοι τὴν φρουρὰν, καὶ τὴν πόλιν ἠλευθέρουν, ἐγκαλῶν αὐτοῖς, ὅτι τὸν Ἀρχίαν καὶ τὸν Λεοντίδαν ἀπεκτόνεσαν, ἔργῳ μὲν τυράννους, λόγῳ δὲ πολεμάρχους ὄντας, ἐξήνεγκε πόλεμον πρὸς αὐτούς. Καὶ Κλεόμβροτος ἤδη βασιλεύων, Ἀγησιπύλιδος τεθνηκότος, εἰς Βοιωτίαν ἐπέμφθη μετὰ δυνάμεως. Ὁ γὰρ Ἀγησίλαος, ὡς ἔτη τεσσαράκοντα γεγονὼς ἐφ'

Digitized by Google

ἥβης, καὶ στρατείας ἔχων ἄφεσιν ὑπὸ τῶν νόμων, ἔφυγε τὴν στρατηγίαν ἐκείνην, αἰσχυνόμενος, εἰ Φλιασίοις ὀλίγον ἔμπροσθεν ὑπὲρ φυγάδων πεπολεμηκὼς, αὖθις ὀφθήσεται Θηβαίους κακῶς ποιῶν διὰ τοὺς τυράννους. Ἦν δέ τις Λάκων Σφοδρίας, ἐκ τῆς ὑπεναντίας στάσεως τῷ Ἀγησιλάῳ, τεταγμένος ἐν Θεσπίαις ἁρμοστής, οὐκ ἄτολμος μὲν, οὐδ' ἀφιλότιμος ἀνὴρ, ἀεὶ δ' ἐλπίδων μᾶλλον, ἢ φρενῶν ἀγαθῶν, μεστός. Οὗτος ἐπιθυμῶν ὀνόματος μεγάλου, καὶ τὸν Φοιβίδαν νομίζων ἔνδοξον γεγονέναι καὶ περιβόητον ἀπὸ τοῦ περὶ Θήβας τολμήματος, ἐπείσθη πολὺ κάλλιον εἶναι καὶ λαμπρότερον, εἰ τὸν Πειραιᾶ καταλάβοι δι' ἑαυτοῦ, καὶ τῶν Ἀθηναίων ἀφέλοιτο τὴν θάλασσαν, ἐκ γῆς ἀπροσδοκήτως ἐπελθών. Λέγουσι δὲ τοῦτο μηχάνημα γενέσθαι τῶν περὶ Πελοπίδαν καὶ Μέλλωνα Βοιωταρχῶν. Ὑπέπεμψαν γὰρ ἀνθρώπους λακωνίζειν προσποιουμένους, οἳ τὸν Σφοδρίαν ἐπαινοῦντες καὶ μεγαλύνοντες ὡς ἔργου τηλικούτου μόνον ἄξιον, ἐπῆραν καὶ παρώρμησαν ἀνελέσθαι πρᾶξιν, ἄδικον μὲν ὁμοίως ἐκείνῃ καὶ παράνομον, τόλμης δὲ καὶ τύχης ἐνδεᾶ γενομένην. Ἡμέρα γὰρ αὐτὸν ἐν τῷ Θριασίῳ πεδίῳ κατέλαβε καὶ κατέλαμψεν, ἐλπίσαντα νυκτὸς προσμίξειν τῷ Πειραιεῖ· καὶ φῶς ἀφ' ἱερῶν τινῶν Ἐλευσινόθεν ἰδόντας, λέγουσι, φρίξαι καὶ περιφόβους γενέσθαι τοὺς στρατιώτας. Αὐτὸς δὲ τοῦ θράσους ἐξέπεσεν, ὡς οὐκέτι λαθεῖν ἦν· καί τινα βραχεῖαν ἁρπαγὴν θέμενος, αἰσχρῶς ἀνεχώρησε καὶ ἀδόξως εἰς τὰς

Digitized by Google

Θεσπιάς. Ἐκ δὲ τούτου κατήγοροι μὲν ἐπέμφθησαν εἰς Σπάρτην ἐξ Ἀθηνῶν, εὗρον δὲ κατηγόρων μηδὲν ἐπὶ τὸν Σφοδρίαν δεομένους τοὺς ἄρχοντας, ἀλλὰ θανάτου κρίσιν αὐτῷ προειρηκύτας. ἣν ἐκεῖνος ὑπομένειν ἀπέγνω, φοβούμενος τὴν ὀργὴν τῶν πολιτῶν, αἰσχυνομένων τοὺς Ἀθηναίους, καὶ βουλομένων συναδικεῖσθαι δοκεῖν, ἵνα μὴ συναδικεῖν δοκῶσιν.

XXV. Εἶχεν οὖν ὁ Σφοδρίας υἱὸν Κλεώνυμον, οὗ παιδὸς ὄντος ἔτι καὶ καλοῦ τὴν ὄψιν Ἀρχίδαμος, ὁ Ἀγησιλάου τοῦ βασιλέως υἱός, ἦρα· καὶ τότε συνηγωνία μὲν, ὡς εἰκὸς ἦν, κινδυνεύοντι αὐτῷ περὶ τοῦ πατρὸς, συμπράττειν δὲ φανερῶς καὶ βοηθεῖν οὐκ εἶχεν. Ἦν γὰρ ὁ Σφοδρίας ἐκ τῶν διαφόρων τοῦ Ἀγησιλάου. Τοῦ δὲ Κλεωνύμου προσελθόντος αὐτῷ, καὶ μετὰ δεήσεως καὶ δακρύων ἐντυχόντος, ὅπως τὸν Ἀγησίλαον εὔνουν παράσχῃ, μάλιστα γὰρ ἐκεῖνον αὐτοῖς φοβερὸν εἶναι, τρεῖς μὲν ἢ τέσσαρας ἡμέρας αἰδούμενος τὸν πατέρα καὶ δεδιὼς, σιωπῇ παρηκολούθει· τέλος δὲ, τῆς κρίσεως ἐγγὺς οὔσης, ἐτόλμησεν εἰπεῖν πρὸς τὸν Ἀγησίλαον, ὅτι Κλεώνυμος αὐτοῦ δεηθείη περὶ τοῦ πατρός. Ὁ δ' Ἀγησίλαος, εἰδὼς ἐρῶντα τὸν Ἀρχίδαμον, οὐκ ἔπαυεν. Ἦν γὰρ ὁ Κλεώνυμος εὐθὺς ἐκ παίδων ἐπίδοξος, εἴ τις καὶ ἄλλος, ἀνὴρ ἔσεσθαι σπουδαῖος. Οὐ μὴν ἐνέδωκέ τι τότε χρηστὸν ἢ φιλάνθρωπον ἐλπίσαι δεομένῳ τῷ παιδὶ· σκέψεσθαι δὲ φήσας, ὅ τι καλῶς ἔχοι καὶ πρεπόντως, ἀπῆλθεν. Δεδούμενος οὖν ὁ

Digitized by Google

Ἀρχίδαμος, ἐξέλιπε τὸ προσιέναι τῷ Κλεωνύμῳ, καίπερ εἰωθὼς πολλάκις τοῦτο τῆς ἡμέρας ποιεῖν πρότερον. Ἐκ δὲ τούτου κἀκεῖνοι τὰ κατὰ τὸν Σφοδρίαν μᾶλλον ἀπέγνωσαν· ἄχρις οὗ τῶν Ἀγησιλάου φίλων Ἐτυμοκλῆς ἔν τινι παιωνολογίᾳ πρὸς αὐτοὺς ἀπεγύμνωσε τὴν γνώμην τοῦ Ἀγησιλάου. τὸ μὲν γὰρ ἔργον ὡς ἔνι μάλιστα ψέγειν αὐτόν, ἄλλως γε μὴν ἄνδρα τὸν Σφοδρίαν ἀγαθὸν ἡγεῖσθαι, καὶ τὴν πόλιν ὁρᾶν τοιούτων σαρατιωτῶν δεομένην. Τούτους γὰρ ὁ Ἀγησίλαος ἑκάστοτε τοὺς λόγους ἐποιεῖτο περὶ τῆς δίκης, τῷ παιδὶ χαρίζεσθαι βουλόμενος· ὥστε καὶ τὸν Κλεώνυμον εὐθὺς αἰσθάνεσθαι τὴν σπουδὴν τοῦ Ἀρχιδάμου, καὶ τοὺς φίλους τοὺς τοῦ Σφοδρίου θαῤῥοῦντας ἤδη βοηθεῖν. Ἦν δὲ καὶ φιλότεκνος ὁ Ἀγησίλαος διαφερόντως, καὶ περὶ ἐκείνου τὸ τῆς παιδιᾶς λέγουσιν, ὅτι μικροῖς τοῖς παιδίοις οὖσι κάλαμον περιβεβηκὼς, ὥσπερ ἵππον, οἰκοι συνέπαιζεν· ὀφθεὶς δὲ ὑπό τινος τῶν φίλων, παρεκάλει μηδενὶ φράσαι, πρὶν ἂν καὶ αὐτὸς πατὴρ παίδων γένηται.

XXVI. Ἀπολυθέντος δὲ τοῦ Σφοδρίου, καὶ τῶν Ἀθηναίων, ὡς ἐπύθοντο, πρὸς πόλεμον τραπομένων, σφόδρα κακῶς ὁ Ἀγησίλαος ἤκουσε, δι' ἐπιθυμίαν ἄτοπον καὶ παιδαριώδη δοκῶν ἐμποδὼν γεγονέναι κρίσει δικαίᾳ, καὶ τὴν πόλιν παραίτιον ἀπειργάσθαι παρανομημάτων τηλικούτων εἰς τοὺς Ἕλληνας. Ἐπεὶ δὲ τὸν Κλεόμβροτον οὐχ ὥρα πρόθυμον ὄντα πολεμεῖν τοῖς Θηβαίοις, οὕτω δὴ χαίρειν τὸν νόμον

Digitized by Google

ἐάσας, ὃ πρόσθεν ἐχρῆτο περὶ τῆς στρατείας, αὐτὸς εἰς Βοιωτίαν ἐνέβαλεν ἤδη, καὶ κακῶς ἐποίει τοὺς Θηβαίους, καὶ πάλιν ἀντέπασχεν· ὥστε καὶ τραθέντος αὐτοῦ ποτε τὸν Ἀνταλκίδαν εἰπεῖν· „Ἢ καλὰ διδασκάλια παρὰ Θηβαίων ἀπολαμβάνεις, μὴ βουλομένους αὐτοὺς μηδ' ἐπισταμένους μάχεσθαι διδάξας.“ Τῷ γὰρ ὄντι Θηβαίους αὐτοὺς ἑαυτῶν πολεμικωτάτους τότε γενέσθαι φασὶ, ταῖς πολλαῖς στρατείαις τῶν Λακεδαιμονίων ἐπ' αὐτοὺς ὥσπερ ἐγγυμνασαμένους. Διὸ καὶ Λυκοῦργος ὁ παλαιὸς ἐν ταῖς καλουμέναις τρισὶ ῥήτραις ἅπεῖπε μὴ πολλάκις ἐπὶ τοὺς αὐτοὺς στρατεύειν, ὅπως μὴ πολεμεῖν μανθάνωσιν. Ἦν δὲ καὶ τοῖς συμμάχοις τῶν Λακεδαιμονίων ἐπαχθὴς ὁ Ἀγησίλαος, ὡς δι' οὐδὲν ἔγκλημα δημόσιον, ἀλλὰ θυμῷ τινι καὶ φιλονεικίᾳ τοὺς Θηβαίους ἀπολέσαι ζητῶν. Οὐδὲν οὖν ἔλεγον δεόμενοι φθείρεσθαι δεῦρο κἀκεῖσε καθ' ἕκαστον ἐνιαυτὸν, ὀλίγοις τοσοῦτοι συνακολουθοῦντες. Ἔνθα δὴ λέγεται τὸν Ἀγησίλαον, ἐξελέγξαι βουλόμενον αὐτῶν τὸ πλῆθος, τάδε μηχανήσασθαι. Πάντας ἐκέλευσε καθίσαι τοὺς συμμάχους μετ' ἀλλήλων ἀναμεμιγμένους, ἰδίᾳ δὲ τοὺς Λακεδαιμονίους ἐφ' ἑαυτῶν. Εἶτ' ἐκήρυττε τοὺς κεραμεῖς ἀνίστασθαι πρῶτον· ὡς δ' ἀνέστησαν οὗτοι, δεύτερον ἐκήρυττε τοὺς χαλκεῖς, εἶτα τέκτονας ἑφεξῆς καὶ οἰκοδόμους, καὶ τῶν ἄλλων τεχνῶν ἑκάστην. Πάντες οὖν ὀλίγου δεῖν ἀνέστησαν οἱ σύμμαχοι, τῶν δὲ Λακεδαιμονίων οὐδείς· ἀπείρητο γὰρ αὐτοῖς τέχνην ἐργάζεσθαι καὶ μανθάνειν βάναυσον. Οὕτω δὴ γε-

Digitized by Google

λάσας ὁ Ἀγησίλαος· „Ὁρᾶτε (εἶπεν), ὦ ἄνδρες, ὅσῳ πλείονας ὑμῶν στρατιώτας ἐκπέμπομεν ἡμεῖς."

XXVII. Ἐν δὲ Μεγάροις, ὅτε τὴν στρατιὰν ἀπῆγεν ἐκ Θηβῶν, ἀναβαίνοντος αὐτοῦ πρὸς τὸ ἀρχεῖον εἰς τὴν ἀκρόπολιν, σπάσμα καὶ πόνος ἰσχυρὸς ἔλαβε τὸ ὑγιὲς σκέλος· ἐκ δὲ τούτου διογκωθὲν, μεστὸν αἵματος ἔδοξε γεγονέναι, καὶ φλεγμονὴν ὑπερβάλλουσαν παρεῖχεν. Ἰατροῦ δέ τινος Συρακουσίου τὴν ὑπὸ τῷ σφυρῷ φλέβα σχάσαντος, αἱ μὲν ἀλγηδόνες ἔληξαν· αἵματος δὲ πολλοῦ φερομένου καὶ ῥέοντος ἀνεπισχέτως, λειποψυχία πολλὴ καὶ κίνδυνος ὀξὺς ἀπ' αὐτῆς περιέστη τὸν Ἀγησίλαον. Οὐ μὴν ἀλλὰ τότε γε τὴν φορὰν τοῦ αἵματος ἔπαυσε, καὶ κομισθεὶς εἰς Λακεδαίμονα, πολὺν χρόνον ἔσχεν ἀῤῥώστως, καὶ πρὸς τὰς στρατείας ἀδυνάτως. Ἐν δὲ τῷ χρόνῳ τούτῳ πολλὰ συνέβη πταίσματα τοῖς Σπαρτιάταις καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· ὧν ἦν τὸ περὶ Τεγύρας μέγιστον, ὅπου πρῶτον ἐκ παρατάξεως κρατηθέντες ὑπὸ Θηβαίων ἡττήθησαν. Ἔδοξεν οὖν πᾶσι θέσθαι πρὸς πάντας εἰρήνην· καὶ συνῆλθον ἀπὸ τῆς Ἑλλάδος πρέσβεις εἰς Λακεδαίμονα ποιησόμενοι τὰς διαλύσεις. Ὧν εἷς ἦν Ἐπαμινώνδας, ἀνὴρ ἔνδοξος ἐπὶ παιδείᾳ καὶ φιλοσοφίᾳ, στρατηγίας δὲ πεῖραν οὔπω δεδωκώς. Οὗτος, ὁρῶν τοὺς ἄλλους ἅπαντας ὑποκατακλινομένους τῷ Ἀγησιλάῳ, μόνος ἐχρήσατο φρονήματι παῤῥησίαν ἔχοντι, καὶ διεξῆλθε λόγον, οὐχ ὑπὲρ Θηβαίων, ἀλλ' ὑπὲρ τῆς Ἑλλάδος ὅμου κοινῶν· τὸν μὲν πόλεμον ἀποδεικνύων αἴξοντα

τὴν Σπάρτην, ἐξ ὧν ἅπαντες οἱ λοιποὶ κακῶς πάσχουσι, τὴν δ' εἰρήνην ἰσότητι καὶ τῷ δικαίῳ κτᾶσθαι κελεύων· οὕτω γὰρ ἂν αὐτὴν διαμένειν, ἴσων ἁπάντων γενομένων.

XXVIII. Ὁρῶν οὖν ὁ Ἀγησίλαος ὑπερφυῶς ἀγαμένους καὶ προσέχοντας αὐτῷ τοὺς Ἕλληνας, ἠρώτησεν, εἰ νομίζοι δίκαιον εἶναι καὶ ἴσον, αὐτονομεῖσθαι τὴν Βοιωτίαν. Ἀντερωτήσαντος δὲ τοῦ Ἐπαμινώνδου ταχὺ καὶ τεθαρρηκότος, εἰ κἀκεῖνος οἴεται δίκαιον εἶναι αὐτονομεῖσθαι τὴν Λακωνικήν, ἀναπηδήσας ὁ Ἀγησίλαος μετ' ὀργῆς, ἐκέλευσε λέγειν σαφῶς αὐτόν, εἰ τὴν Βοιωτίαν ἀφίησιν αὐτόνομον. Τὸ δὲ αὐτὸ τοῦτο πάλιν τοῦ Ἐπαμινώνδου φήσαντος, εἰ τὴν Λακωνικὴν ἀφίησιν αὐτόνομον, οὕτω τραχέως ἔσχεν ὁ Ἀγησίλαος, καὶ τὴν πρόφασιν ἠγάπησεν, ὡς εὐθὺς ἐξαλεῖψαι τὸ τῶν Θηβαίων ὄνομα τῆς εἰρήνης, καὶ προειπεῖν πόλεμον αὐτοῖς· τοὺς δ' ἄλλους Ἕλληνας διαλλαγέντας ἐκέλευσεν ἅπτεσθαι, τὰ μὲν ἀκεστὰ τῆς εἰρήνης, τὰ δ' ἀνήκεστα τοῦ πολέμου ποιοῦντας. Ἔργον γὰρ ἦν πάσας ἐκκαθᾶραι καὶ διαλῦσαι τὰς ἀμφιλογίας. Ἔτυχε δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἐν Φωκεῦσιν ὢν ὁ Κλεόμβροτος μετὰ δυνάμεως. Εὐθὺς οὖν ἔπεμπον οἱ ἔφοροι κελεύοντες αὐτὸν ἐπὶ Θηβαίους ἄγειν τὸ στράτευμα· καὶ τοὺς συμμάχους περιπέμποντες ἤθροιζον, ἀπροθύμους μὲν ὄντας καὶ βαρυνομένους τὸν πόλεμον, οὔπω δὲ θαῤῥοῦντας ἀντιλέγειν, οὐδ' ἀπειθεῖν τοῖς Λακεδαιμονίοις. Πολλῶν δὲ σημείων μοχθηρῶν γενομένων, ὡς ἐν τῷ περὶ

Digitized by Google

Ἐπαμινώνδου γέγραπται, καὶ Προθόου τοῦ Λακωνος ἐναντιουμένου πρὸς τὴν στρατειαν, οὐκ ἀνῆκεν ὁ Ἀγησίλαος, ἀλλ' ἐξέπραξε τὸν πόλεμον, ἐλπίζων αὐτοῖς μὲν, αὐτονόμου τῆς Ἑλλάδος ὅλης ὑπαρχούσης, ἐκσπόνδων δὲ τῶν Θηβαίων γενομένων, καιρὸν εἶναι δίκην λαβεῖν παρ' αὐτῶν. Δηλοῖ δὲ τὸ σὺν ὀργῇ μᾶλλον, ἢ λογισμῷ, γενέσθαι τὴν στρατειαν ἐκείνην ὁ καιρός. Τῇ γὰρ τετράδι ἐπὶ δέκα τοῦ Σκιροφοριῶνος μηνὸς ἐποιήσαντο τὰς σπονδὰς ἐν Λακεδαίμονι, τῇ δὲ πέμπτῃ τοῦ Ἑκατομβαιῶνος ἡττήθησαν ἐν Λεύκτροις, ἡμερῶν εἴκοσι διαγενομένων. Ἀπέθανον δὲ χίλιοι Λακεδαιμονίων, καὶ Κλεόμβροτος ὁ βασιλεὺς, καὶ περὶ αὐτὸν οἱ κράτιστοι τῶν Σπαρτιατῶν. Ἐν οἷς καὶ Κλεώνυμόν φασι τὸν Σφοδρίου, τὸν καλὸν, τρὶς πεσόντα πρὸ τοῦ βασιλέως, καὶ τοσαυτάκις ἐξαναστάντα, καὶ μαχόμενον τοῖς Θηβαίοις, ἀποθανεῖν.

XXIX. Συμβάντος δὲ τοῖς Λακεδαιμονίοις παίσματος ἀπροσδοκήτου, καὶ τοῖς Θηβαίοις πρὸς δόξαν εὐτυχήματος, οἷον οὐ γέγονεν ἄλλοις Ἕλλησι πρὸς Ἕλληνας ἀγωνισαμένοις, οὐδὲν ἄν τις ἧττον ἐζήλωσε τῆς ἀρετῆς καὶ ἡγάσθη τὴν ἡττημένην πόλιν, ἢ τὴν νικῶσαν. Ὁ μὲν γὰρ Ξενοφῶν φησι, τῶν ἀγαθῶν ἀνδρῶν ἔχειν τι καὶ τὰς ἐν οἴνῳ καὶ παιδιᾷ φωνὰς καὶ διατριβὰς ἀξιομνημόνευτον· ὀρθῶς λέγων. Ἔστι δ' οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἄξιον κατανοεῖν καὶ θεᾶσθαι τῶν ἀγαθῶν, ἃ παρὰ τὰς τύχας πράττουσι καὶ λέγουσι διευσχημονοῦντες. Ἔτυχε μὲν γὰρ ἡ πό-

Digitized by Google

λις ἑορτὴν ἄγουσα καὶ ξένων οὖσα μεστή· γυμνοπαιδιαὶ γὰρ ἦσαν ἀγωνιζομένων χορῶν ἐν τῷ θεάτρῳ· παρῆσαν δ' ἀπὸ Λεύκτρων οἱ τὴν συμφορὰν ἀπαγγέλλοντες. Οἱ δ' ἔφοροι, καίπερ εὐθὺς ὄντος καταφανοῦς, ὅτι διέφθαρται τὰ πράγματα, καὶ τὴν ἀρχὴν ἀπολωλέκασιν, οὔτε χορὸν ἐξελθεῖν εἴασαν, οὔτε τὸ σχῆμα τῆς ἑορτῆς μεταβαλεῖν τὴν πόλιν· ἀλλὰ, κατ' οἰκίαν τῶν τεθνεώτων τοῖς προσήκουσι τὰ ὀνόματα πέμψαντες, αὐτοὶ τὰ περὶ τὴν θέαν καὶ τὸν ἀγῶνα τῶν χορῶν ἔπραττον. Ἅμα δ' ἡμέρᾳ, φανερῶν ἤδη γεγονότων πᾶσι τῶν τε σωζομένων καὶ τῶν τεθνεώτων, οἱ μὲν τῶν τεθνεώτων πατέρες καὶ κηδεσταὶ καὶ οἰκεῖοι καταβαίνοντες εἰς ἀγορὰν, ἀλλήλους ἐδεξιοῦντο λιπαροὶ τὰ πρόσωπα, φρονήματος μεστοὶ καὶ χήθους· οἱ δὲ τῶν σωζομένων, ὥσπερ ἐπὶ πένθει, μετὰ τῶν γυναικῶν οἶκοι διέτριβον. Εἰ δέ τις ὑπ' ἀνάγκης προέλθοι, καὶ σχήματι καὶ φωνῇ καὶ βλέμματι ταπεινὸς ἐφαίνετο καὶ συνεσταλμένος. Ἔτι δὲ μᾶλλον τῶν γυναικῶν ἰδεῖν ἦν καὶ πυθέσθαι, τὴν μὲν ζῶντα προσδεχομένην υἱὸν ἀπὸ τῆς μάχης, κατηφῆ καὶ σιωπηλήν· τὰς δὲ τῶν πεπτωκέναι λεγομένων, ἔν τε τοῖς ἱεροῖς εὐθὺς ἀναστρεφομένας, καὶ πρὸς ἀλλήλας ἱλαρῶς καὶ φιλοτίμως βαδιζούσας.

XXX. Οὐ μὴν ἀλλὰ τοῖς πολλοῖς, ὡς ἀφίσταντο μὲν οἱ σύμμαχοι, προσεδοκᾶτο δὲ νενικηκὼς Ἐπαμινώνδας καὶ μεγαλοφρονῶν ἐμβαλεῖν εἰς Πελοπόννησον, ἔννοια τῶν χρησμῶν ἐνέπεσε τότε πρὸς τὴν χωλότητα τοῦ Ἀγησιλάου, καὶ δυσθυμία πολλὴ, καὶ

Digitized by Google

πτοία πρὸς τὸ θεῖον, ὡς διὰ τοῦτο πραττούσης κακῶς τῆς πόλεως, ὅτι τὸν ἀρτίποδα τῆς βασιλείας ἐκβαλόντες, εἵλοντο χωλὸν καὶ πεπηρωμένον· ὃ παντὸς μᾶλλον αὐτοὺς ἐδίδασκε φράζεσθαι καὶ φυλάττεσθαι τὸ δαιμόνιον. Διὰ δὲ τὴν ἄλλην δύναμιν αὐτοῦ καὶ ἀρετὴν καὶ δόξαν οὐ μόνον ἐχρῶντο βασιλεῖ καὶ στρατηγῷ τῶν κατὰ πόλεμον, ἀλλὰ καὶ τῶν πολιτικῶν ἀποριῶν ἰατρῷ καὶ διαιτητῇ, τοῖς ἐν τῇ μάχῃ καταδειλιάσασιν, οὓς αὐτοὶ τρέσαντας ὀνομάζουσιν, ὀκνοῦντες τὰς ἐκ τῶν νόμων ἀτιμίας προσάγειν, πολλοῖς οὖσι καὶ δυνατοῖς, φοβούμενοι νεωτερισμὸν ἀπ' αὐτῶν. Οὐ γὰρ μόνον ἀρχῆς ἀπείργονται πάσης, ἀλλὰ καὶ δοῦναί τινι τούτων γυναῖκα καὶ λαβεῖν ἄδοξόν ἐστι· παίει δὲ ὁ βουλόμενος αὐτοὺς τῶν ἐντυγχανόντων. Οἱ δὲ καρτεροῦσι περιιόντες αὐχμηροὶ καὶ ταπεινοὶ, τρίβωνάς τε προσερραμμένους χρώματος βαπτοῦ φοροῦσι, καὶ ξυρῶνται μέρος τῆς ὑπήνης, μέρος δὲ τρέφουσι. Δεινὸν οὖν ἦν τοιούτους ἐν τῇ πόλει περιορᾶν πολλοὺς, οὐκ ὀλίγων δεομένῃ στρατιωτῶν. Καὶ νομοθέτην αἱροῦνται τὸν Ἀγησίλαον. Ὁ δὲ, μήτε προσθείς τι, μήτ' ἀφελὼν, μήτε μεταγράψας, εἰσῆλθεν εἰς τὸ πλῆθος τῶν Λακεδαιμονίων· καὶ φήσας, ὅτι τοὺς νόμους δεῖ σήμερον ἐᾶν καθεύδειν, ἐκ δὲ τῆς σήμερον ἡμέρας κυρίους εἶναι πρὸς τὸ λοιπὸν, ἅμα τούς τε νόμους τῇ πόλει καὶ τοὺς ἄνδρας ἐπιτίμους ἐφύλαξε. Βουλόμενος οὖν τὴν παροῦσαν ἀθυμίαν καὶ κατήφειαν ἀφελεῖν τῶν νέων, ἐνέβαλεν εἰς Ἀρκαδίαν, καὶ μάχην μὲν ἰσχυρῶς

Digitized by Google

ἐφυλάξατο συνάψαι τοῖς ἐναντίοις, ἑλὼν δὲ πολίχνην τινὰ τῶν Μαντινέων, καὶ τὴν χώραν ἐπιδραμὼν, ἐλαφροτέραν ἐποίησε ταῖς ἐλπίσι καὶ ἡδίω τὴν πόλιν, ὡς οὐ παντάπασιν ἀπεγνωσμένην.

XXXI. Ἐκ δὲ τούτου παρῆν εἰς τὴν Λακωνικὴν ὁ Ἐπαμινώνδας μετὰ τῶν συμμάχων, οὐκ ἐλάττονας ἔχων τετρακισμυρίων ὁπλιτῶν. Πολλοὶ δὲ καὶ ψιλοὶ καὶ ἄοπλοι πρὸς ἁρπαγὴν συνηκολούθουν· ὥστε μυριάδας ἑπτὰ τοῦ σύμπαντος ὄχλου συνεισβαλεῖν εἰς τὴν Λακωνικήν. Ἦν μὲν δὴ χρόνος οὐκ ἐλάττων ἐτῶν ἑξακοσίων, ἀφ' οὗ κατῴκουν τὴν Λακεδαίμονα Δωριεῖς· ἐν δὲ τούτῳ ἅπαντι τότε πρῶτον ὤφθησαν ἐν τῇ χώρᾳ πολέμιοι, πρότερον δ' οὐδεὶς ἐτόλμησεν ἀλλ' ἀδῄωτον καὶ ἄθικτον οὖσαν ἐμβαλόντες ἐπυρπόλουν καὶ διήρπαζον ἄχρι τοῦ ποταμοῦ καὶ τῆς πόλεως, μηδενὸς ἐπεξιόντος. Ὁ γὰρ Ἀγησίλαος οὐκ εἶα πρὸς τοσοῦτον, ὥς φησι Θεόπομπος, ῥεῦμα καὶ κλύδωνα πολέμου μάχεσθαι τοὺς Λακεδαιμονίους, ἀλλὰ τὰ μέσα τῆς πόλεως καὶ κυριώτατα τοῖς ὁπλίταις περιεσπειραμένος, ἐκαρτέρει τὰς ἀπειλὰς καὶ τὰς μεγαλαυχίας τῶν Θηβαίων, προκαλουμένων ἐκεῖνον ὀνομαστὶ, καὶ διαμάχεσθαι περὶ τῆς χώρας κελευόντων, ὃς τῶν κακῶν αἴτιός ἐστιν, ἐκκαύσας τὸν πόλεμον. Οὐχ ἧττον δὲ τούτων ἐλύπουν τὸν Ἀγησίλαον οἱ κατὰ τὴν πόλιν θόρυβοι καὶ κραυγαὶ καὶ διαδρομαὶ τῶν πρεσβυτέρων δυσανασχετούντων τὰ γινόμενα, καὶ τῶν γυναικῶν οὐ δυναμένων ἡσυχάζειν, ἀλλὰ παντάπασιν ἐκφρόνων οὐσῶν πρός τε τὴν κραυγὴν

Digitized by Google

καὶ τὸ πῦρ τῶν πολεμίων. Ἦλα δὲ καὶ ὑὸ τῆς δόξης αὐτὸν, ὅτι τὴν πόλιν μεγίστην παραλαβὼν καὶ δυνατωτάτην, ἑώρα συνεσταλμένον αὐτῆς τὸ ἀξίωμα, καὶ τὸ καύχημα κεκολουμένον, ᾧ καὶ αὐτὸς ἐχρήσατο πολλάκις, εἰπών, ὅτι γυνὴ Λάκαινα καπνὸν οὐχ ἑώρακε πολέμιον. Λέγεται δὲ καὶ Ἀνταλκίδας, Ἀθηναίου τινὸς ἀμφισβητοῦντος ὑπὲρ ἀνδρίας πρὸς αὐτὸν, καὶ εἰπόντος· „Ἡμεῖς μέντοι πολλάκις ὑμᾶς ἀπὸ τοῦ Κηφισοῦ ἐδιώξαμεν·“ ὑποτυχεῖν· „Ἀλλ' ἡμεῖς γ' οὐδέποτε ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα.“ Παραπλησίως δὲ καὶ πρὸς τὸν Ἀργεῖον ἀπεκρίνατο τῶν ἀσημοτέρων τις Σπαρτιατῶν. Ὁ μὲν γὰρ εἶπε· „Πολλοὶ ὑμῶν ἐν τῇ Ἀργολίδι κεῖνται·“ ὁ δ' ἀπήντησεν· „Ἡμῶν δέ γ' οὐδεὶς ἐν τῇ Λακωνικῇ.“

XXXII. Ἔνιοι μέντοι τὸν Ἀνταλκίδαν φασὶν ἔφορον ὄντα τοὺς παῖδας εἰς Κύθηρα ὑπεκθέσθαι, περίφοβον γενόμενον. Ὁ δ' Ἀγησίλαος, ἐπιχειρούντων διαβαίνειν τὸν ποταμὸν τῶν πολεμίων, καὶ βιάζεσθαι πρὸς τὴν πόλιν, ἐκλιπὼν τὰ λοιπὰ, παρετάξατο πρὸ τῶν μέσων καὶ ὑψηλῶν. Ἐρρύη δὲ πλεῖστος ἑαυτοῦ καὶ μέγιστος τότε ὁ Εὐρώτας, χιόνων γενομένων· καὶ τὸ ῥεῦμα μᾶλλον ὑπὸ ψυχρότητος, ἢ τραχύτητος, ἐγίνετο σκληρὸν καὶ χαλεπὸν τοῖς Θηβαίοις. Πορευόμενον δὲ πρῶτον τῆς φάλαγγος τὸν Ἐπαμινώνδαν διὰ τοῦ Εὐρώτα ἐδείκνυσάν τινες τῷ Ἀγησιλάῳ· κἀκεῖνος, ὡς λέγεται, πολὺν χρόνον ἐμβλέψας αὐτῷ, καὶ συμπαραπέμψας τὴν ὄψιν, οὐδὲν, ἢ τοσοῦτον μόνον, εἶπεν· „Ὦ τοῦ μεγαλοπράγμονος ἀνθρώπου!“ Ἐπεὶ

Digitized by Google

δὲ φιλοτιμούμενος ὁ Ἐπαμινώνδας ἐν τῇ πόλει μάχην συνάψαι καὶ στῆσαι τρόπαιον, οὐκ ἴσχυσεν ἐξαγαγεῖν, οὐδὲ προκαλέσασθαι τὸν Ἀγησίλαον, ἐκεῖνος μὲν ἀναζεύξας, πάλιν ἐπόρθει τὴν χώραν· ἐν δὲ Λακεδαίμονι τῶν πάλαι τινὲς ὑπούλων καὶ πονηρῶν, ὡς διακόσιοι, συστραφέντες, κατελάβοντο τὸ Ἰσσώριον, οὗ τὸ τῆς Ἀρτέμιδος ἱερόν ἐστιν, εὐερκῆ καὶ δυσεκβίαστον τόπον. Ἐφ' οἷς βουλομένων εὐθὺς ἀθεῖσθαι τῶν Λακεδαιμονίων, φοβηθεὶς τὸν νεωτερισμὸν ὁ Ἀγησίλαος, ἐκέλευσε τοὺς μὲν ἄλλους ἡσυχίαν ἄγειν· αὐτὸς δ' ἐν ἱματίῳ καὶ μεθ' ἑνὸς οἰκέτου προσῄει βοῶν, ἄλλως ἀκηκοέναι τοῦ προστάγματος αὐτούς· οὐ γὰρ ἐνταῦθα κελεῦσαι συνελθεῖν, οὐδὲ πάντας, ἀλλὰ τοὺς μὲν ἐκεῖ (δείξας ἕτερον τόπον), τοὺς δ' ἀλλαχόσε τῆς πόλεως. Οἱ δ' ἀκούσαντες ἥσθησαν, οἰόμενοι λανθάνειν· καὶ διαστάντες ἐπὶ τοὺς τόπους, οὓς ἐκεῖνος ἐκέλευσεν, ἀπεχώρουν. Ὁ δὲ τὸ μὲν Ἰσσώριον, εὐθὺς μεταπεμψάμενος ἑτέρους, κατέσχε· τῶν δὲ συστάντων ἐκείνων περὶ πεντεκαίδεκα τινὰς συλλαβών, νυκτὸς ἀπέκτεινεν. Ἄλλῃ δὲ μείζων ἐμηνύθη συνωμοσία καὶ σύνοδος ἀνδρῶν Σπαρτιατῶν, ἐπὶ πράγμασι νεωτέροις εἰς οἰκίαν κρύφα συνερχομένων· οὓς καὶ κρίνειν ἄπορον ἦν ἐν ταραχῇ τοσαύτῃ, καὶ περιορᾶν ἐπιβουλεύοντας. Ἀπέκτεινεν οὖν καὶ τούτους μετὰ τῶν ἐφόρων βουλευσάμενος ὁ Ἀγησίλαος ἄκριτους, οὐδενὸς δίκα δίκης τεθνατωμένου πρότερον Σπαρτιατῶν. Ἔπειδὴ δὲ πολλοὶ τῶν τεταγμένων εἰς τὰ ὅπλα περιοίκων καὶ εἱλώτων ἀπεδίδρασκον ἐκ

Digitized by Google

τῆς πόλεως πρὸς τοὺς πολεμίους, καὶ τοῦτο πλείστην ἀθυμίαν παρεῖχεν, ἐδίδαξε τοὺς ὑπηρέτας περὶ ὄρθρον ἐπιφοιτᾶν ταῖς στιβάσι, καὶ τὰ ὅπλα τῶν ἀποκεχωρηκότων λαμβάνειν καὶ ἀποκρύπτειν, ὅπως ἀγνοῆται τὸ πλῆθος. Ἀναχωρῆσαι δὲ τοὺς Θηβαίους ἐκ τῆς Λακωνικῆς οἱ μὲν ἄλλοι λέγουσι, χειμώνων γενομένων, καὶ τῶν Ἀρκάδων ἀρξαμένων ἀπιέναι καὶ διαῤῥεῖν ἀτάκτως· οἱ δὲ, τρεῖς μῆνας ἐμμεμενηκότας ὅλους, καὶ τὰ πλεῖστα τῆς χώρας διαπεπορθηκότας. Θεόπομπος δέ φησιν, ἤδη τῶν Βοιωταρχῶν ἐγνωκότων ἀπαίρειν, ἀφικέσθαι πρὸς αὐτοὺς Φρίξον, ἄνδρα Σπαρτιάτην, παρ' Ἀγησιλάου δέκα τάλαντα κομίζοντα, τῆς ἀναχωρήσεως μισθόν· ὥστε τὰ πάλαι δεδογμένα πράττουσιν αὐτοῖς ἐφόδιον παρὰ τῶν πολεμίων προσγενέσθαι.

XXXIII. Τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ἠγνόησαν οἱ ἄλλοι, μόνος δὲ Θεόπομπος ἤσθετο. Τοῦ δὲ σωθῆναι τὴν Σπάρτην τότε πάντες αἴτιον ὁμολογοῦσι γενέσθαι τὸν Ἀγησίλαον, ὅτι τῶν ἐμφύτων αὐτῷ παθῶν, φιλονεικίας καὶ φιλοτιμίας, ἀποστὰς, ἐχρήσατο τοῖς πράγμασιν ἀσφαλῶς. Οὐ μέντοι τήν γε δύναμιν καὶ τὴν δόξαν ἐδυνήθη τῆς πόλεως ἀναλαβεῖν ἐκ τοῦ πταίσματος· ἀλλ' ὥσπερ σώματος ὑγιεινοῦ, λίαν δ' ἀκριβεῖ καὶ κατησκημένῃ κεχρημένου διαίτῃ παρὰ πάντα τὸν χρόνον, ἁμαρτία μία καὶ ῥοπὴ τὴν πᾶσαν ἔκλινεν εὐτυχίαν τῆς πόλεως· οὐκ ἀλόγως. Πρὸς γὰρ εἰρήνην καὶ ἀρετὴν καὶ ὁμόνοιαν ἄριστα συντεταγμένῳ πολιτεύματι προσαγαγόντες ἀρ-

Digitized by Google

χὰς καὶ δυναστείας βιαίους, ὧν οὐδενὸς ἡγεῖτο δεῖσθαι πόλιν εὐδαιμόνως βιωσομένην ὁ Λυκοῦργος, ἐσφάλησαν. Αὐτὸς μὲν οὖν ὁ Ἀγησίλαος ἤδη πρὸς τὰς στρατείας ἀπειρήκει διὰ τὸ γῆρας· Ἀρχίδαμος δ', ὁ υἱὸς αὐτοῦ, τὴν ἐκ Σικελίας ἥκουσαν παρὰ τοῦ τυράννου βοήθειαν ἔχων, ἐνίκησεν Ἀρκάδας τὴν λεγομένην ἄδακρυν μάχην· οὐδεὶς γὰρ ἔπεσε τῶν μετ' αὐτοῦ, συχνοὺς δὲ τῶν ἐναντίων ἀνεῖλεν. Αὕτη μάλιστα τὴν ἀσθένειαν ἤλεγξεν ἡ νίκη τῆς πόλεως. Πρότερον μὲν γὰρ οὕτω σύνηθες ἡγοῦντο καὶ προσῆκον ἔργον αὐτοῖς εἶναι, τὸ νικᾶν τοὺς πολεμίους, ὥστε μήτε θύειν τοῖς θεοῖς πλὴν ἀλεκτρυόνα νικητήριον ἐν τῇ πόλει, μήτε μεγαληγορεῖν τοὺς ἀγωνιζομένους, μήτε ὑπερχαίρειν τοὺς πυθομένους· ἀλλὰ καὶ τῆς ἐν Μαντινείᾳ μάχης γενομένης, ἣν Θουκυδίδης γέγραφε, τῷ πρώτῳ φράσαντι τὴν νίκην οἱ ἄρχοντες ἐκ φιδιτίου κρέας ἔπεμψαν εὐαγγέλιον, ἄλλο δὲ οὐδέν· τότε δὲ, τῆς μάχης ἀγγελθείσης, καὶ τοῦ Ἀρχιδάμου προσιόντος, οὐδεὶς ἐκαρτέρησεν, ἀλλὰ πρῶτος ὁ πατὴρ ἅπηντα δακρύων ὑπὸ χαρᾶς, καὶ μετ' ἐκεῖνον τὰ ἀρχεῖα· τῶν δὲ πρεσβυτέρων καὶ τῶν γυναικῶν τὸ πλῆθος ἐπὶ τὸν ποταμὸν κατῄει, τάς τε χεῖρας ὀρεγόντων καὶ θεοκλυτούντων, ὥσπερ ἀπεωσμένης τὰ παρ' ἀξίαν ὀνείδη τῆς Σπάρτης, καὶ λαμπρὸν αὖθις ἐξ ἀρχῆς τὸ φῶς ὁρώσης· ἐπεὶ πρότερόν γε φασὶν οὐδὲ ταῖς γυναιξὶν ἀντιβλέπειν τοὺς ἄνδρας, αἰσχυνομένους ἐφ' οἷς ἔπταισαν.

XXXIV. Οἰκιζομένης δὲ Μεσσήνης ὑπὸ τῶν περὶ

τὸν Ἐπαμινώνδαν, καὶ τῶν ἀρχαίων πολιτῶν πανταχόθεν εἰς αὐτὴν συμπορευομένων, διαμάχεσθαι μὲν οὐκ ἐτόλμων, οὐδὲ κωλύειν ἐδύναντο· χαλεπῶς δὲ καὶ βαρέως πρὸς τὸν Ἀγησίλαον εἶχον, ὅτι χώραν, οὔτε πλήθει τῆς Λακωνικῆς ἐλάσσονα, ἀλλὰ καὶ πρωτεύουσαν ἀρετῇ τῆς Ἑλληνικῆς ἔχοντες, καὶ καρπούμενοι χρόνον τοσοῦτον, ἐπὶ τῆς ἐκείνου βασιλείας ἀπολωλέκασι. Διὸ καὶ προτεινομένην ὑπὸ τῶν Θηβαίων τὴν εἰρήνην ὁ Ἀγησίλαος οὐκ ἐδέξατο. Μὴ βουλόμενος δὲ τῷ λόγῳ πρυέσθαι τοῖς ἔργῳ κρατοῦσι τὴν χώραν, ἀλλὰ φιλονεικῶν, ἐκείνην μὲν οὐκ ἀπέλαβε, μικροῦ δὲ τὴν Σπάρτην προσαπέβαλε καταστρατηγηθείς. Ἐπεὶ γὰρ οἱ Μαντινεῖς αὖθις ἀπέστησαν τῶν Θηβαίων, καὶ μετεπέμποντο τοὺς Λακεδαιμονίους, αἰσθόμενος ὁ Ἐπαμινώνδας τὸν Ἀγησίλαον ἐξεστρατευμένον μετὰ τῆς δυνάμεως καὶ προσιόντα, λαθὼν τοὺς Μαντινεῖς ἀνέζευξε νυκτὸς ἐκ Τεγέας, ἄγων ἐπ' αὐτὴν Λακεδαίμονα τὸ στράτευμα, καὶ μικρὸν ἐδέησε, παραλλάξας τὸν Ἀγησίλαον, ἔρημον ἐξαίφνης καταλαβεῖν τὴν πόλιν. Εὐθύνου δὲ Θεσπιέως, ὡς Καλλισθένης φησὶν, ὡς δὲ Ξενοφῶν, Κρητός τινος, ἐξαγγείλαντος τῷ Ἀγησιλάῳ, ταχὺ προπέμψας ἱππέας τοῖς ἐν τῇ πόλει φρούσοντα, μετ' οὐ πολὺ καὶ αὐτὸς παρῆλθεν εἰς τὴν Σπάρτην. Ὀλίγῳ δ' ὕστερον οἱ Θηβαῖοι διέβαινον τὸν Εὐρώταν, καὶ προσέβαλλον τῇ πόλει, μάλα ἐρρωμένως τοῦ Ἀγησιλάου καὶ παρ' ἡλικίαν ἐπαμύνοντος. Οὐ γὰρ, ὡς πρότερον, ἀσφαλείας ἕνεκα τὸν

καιρὸν ὄντα καὶ φυλακῆς, ἀλλὰ μᾶλλον ἀπονοίας καὶ τόλμης, οἷς τὸν ἄλλον χρόνον οὐδέποτε πιστεύσας, οὐδὲ χρησάμενος τότε μόνοις ἀπεώσατο τὸν κίνδυνον, ἐκ τῶν χειρῶν τοῦ Ἐπαμινώνδου τὴν πόλιν ἐξαρπάσας, καὶ στήσας τρόπαιον, καὶ τοῖς παισὶ καὶ ταῖς γυναιξὶν ἐπιδείξας τὰ κάλλιστα τροφεῖα τῇ πατρίδι τοὺς Λακεδαιμονίους ἀποδιδόντας· ἐν δὲ πρώτοις τὸν Ἀρχίδαμον ἀγωνιζόμενον ὑπερηφάνως, τῇ τε ῥώμῃ τῆς ψυχῆς καὶ τῇ κουφότητι τοῦ σώματος ὀξέως ἐπὶ τὰ θλιβόμενα τῆς μάχης διαθέοντα διὰ τῶν στενωπῶν, καὶ πανταχοῦ μετ' ὀλίγων ἀντερείδοντα τοῖς πολεμίοις· Ἰσάδαν δὲ, τὸν Φοιβίδου υἱὸν, οὐ τοῖς πολίταις μόνον, ἀλλὰ καὶ τοῖς πολεμίοις θέαμα φανῆναι καλὸν καὶ ἀγαστόν. Ἦν μὲν γὰρ ἐκπρεπὴς τὸ εἶδος, καὶ τὸ μέγεθος τοῦ σώματος, ὅραν δ', ἐν ᾗ τὸ ἥδιστον ἀνθοῦσιν ἄνθρωποι παριόντες εἰς ἄνδρας ἐκ παίδων, εἶχε· γυμνὸς δὲ καὶ ὅπλων τῶν σκεπόντων καὶ ἱματίων, λίπα χρισάμενος τὸ σῶμα, καὶ τῇ μὲν ἔχων χειρὶ λόγχην, τῇ δὲ ξίφος, ἐξήλατο τῆς οἰκίας, καὶ διὰ μέσων τῶν μαχομένων ὠσάμενος ἐν τοῖς πολεμίοις ἀνεστρέφετο, παίων τὸν προστυχόντα καὶ καταβάλλων. Ἐτρώθη δ' ὑπ' οὐδενὸς, εἴτε θεοῦ δι' ἀρετὴν φυλάττοντος αὐτὸν, εἴτε μεῖζόν τι καὶ κρεῖττον ἀνθρώπου φανεὶς τοῖς ἐναντίοις. Ἐπὶ τούτῳ δὲ λέγεται τοὺς ἐφόρους στεφανώσαντας αὐτὸν, εἶτα χιλίων δραχμῶν ἐπιβαλεῖν ζημίαν, ὅτι χωρὶς ὅπλων διακινδυνεύειν ἐτόλμησεν.

XXXV. Ὀλίγαις δὲ ὕστερον ἡμέραις περὶ τὴν Μαν-

Digitized by Google

τίνειαν ἐμαχέσαντο; καὶ τὸν Ἐπαμινώνδαν, ἤδη κρατοῦντα τῶν πρώτων, ἔτι δ' ἐγκείμενον καὶ κατασπεύδοντα τὴν δίωξιν, Ἀντικράτης Λάκων ὑποστὰς ἔπαισε δόρατι μὲν, ὡς Διοσκουρίδης ἱστόρηκε· Λακεδαιμόνιοι δὲ Μαχαιρίωνας ἔτι νῦν τοὺς ἀπογόνους τοῦ Ἀντικράτους καλοῦσιν, ὡς μαχαίρᾳ πατάξαντος. Οὕτω γὰρ ἐθαύμασαν καὶ ὑπερηγάπησαν αὐτὸν φόβῳ τοῦ Ἐπαμινώνδου ζῶντος, ὥστε τιμὰς μὲν ἐκείνῳ καὶ δωρεὰς ψηφίσασθαι, τῷ γένει δ' ἀτέλειαν, ἣν ἔτι καὶ καθ' ἡμᾶς ἔχει Καλλικράτης, εἷς τῶν Ἀντικράτους ἀπογόνων. Μετὰ δὲ τὴν μάχην καὶ θάνατον τοῦ Ἐπαμινώνδου, γενομένης εἰρήνης τοῖς Ἕλλησι πρὸς αὐτοὺς, ἀπήλαυνον οἱ περὶ τὸν Ἀγησίλαον τοῦ ὅρκου τοὺς Μεσσηνίους, ὡς πόλιν οὐκ ἔχοντας. Ἐπεὶ δ' οἱ λοιποὶ πάντες ἐδέχοντο, καὶ τοὺς ὅρκους ἐλάμβανον παρ' αὐτῶν, ἀπέστησαν οἱ Λακεδαιμόνιοι, καὶ μόνοις αὐτοῖς πόλεμος ἦν, ἐλπίζουσιν ἀναλήψεσθαι τὴν Μεσσηνίαν. Βίαιος οὖν ἐδόκει καὶ ἀτενὴς καὶ πολέμων ἄπληστος ὁ Ἀγησίλαος εἶναι, τὰς μὲν κοινὰς διαλύσεις πάντα τρόπον ὑπορύττων καὶ καταβάλλων, πάλιν δ' ὑπὸ χρημάτων ἀπορίας ἀναγκαζόμενος ἐνοχλεῖν τοῖς κατὰ πόλιν φίλοις, καὶ δανείζεσθαι καὶ συνερανίζεσθαι, δέον ἀπηλλάχθαι κακῶν εἰς τοῦτο περιήκοντι τῶν καιρῶν, καὶ μὴ τὴν ἅπασαν ἀρχὴν τοσαύτην γενομένην ἀφεικότα, καὶ πόλεις καὶ γῆν καὶ θάλατταν, ὑπὲρ τῶν ἐν Μεσσήνῃ κτημάτων καὶ προσόδων σφαδάζειν.

XXXVI. Ἔτι δὲ μᾶλλον ἠδόξησε, Τάχῳ, τῷ Αἰ-

Digitized by Google

γυπτίων στρατηγῷ, ἐπιδοὺς ἑαυτόν. Οὐ γὰρ ἄξιον ἄνδρα τῆς Ἑλλάδος ἄριστον κεκριμένον, καὶ δόξης ἐμπεπλησθαι τὴν οἰκουμένην, ἀποστάτῃ βασιλέως, ἀνθρώπῳ βαρβάρῳ, χρῆσαι τὸ σῶμα, καὶ τοὔνομα καὶ τὴν δόξαν ἀποδόσθαι χρημάτων, ἔργα μισθοφόρου καὶ ξεναγοῦ διαπραττόμενον. Καὶ γὰρ ὃ, ὑπὲρ ὀγδοήκοντα γεγονὼς ἔτη, καὶ πᾶν ὑπὸ τραυμάτων τὸ σῶμα κατατετρωμένος, ἐκείνην αὖθις ἀπεδέξατο τὴν καλὴν καὶ περίβλεπτον ἡγεμονίαν ὑπὲρ τῆς Ἑλλήνων ἐλευθερίας, οὐ πάμπαν ἄμεμπτον εἶναι τὴν ὁρμὴν καὶ τὴν φιλοτιμίαν. Τοῦ γὰρ καλοῦ καὶ καιρὸν δεῖν οἰκεῖον εἶναι καὶ ὥραν, μᾶλλον δ' ὅλως τὰ καλὰ τῶν αἰσχρῶν τῷ μετρίῳ διαφέρειν. Οὐ μὴν ἐφρόντιζε τούτων ὁ Ἀγησίλαος, οὐδ' ᾤετο παρ' ἀξίαν εἶναι λειτούργημα δημόσιον οὐδέν, ἀλλὰ μᾶλλον ἀνάξιον ἑαυτοῦ τὸ ζῆν ἄπρακτος ἐν τῇ πόλει, καὶ καθῆσθαι περιμένων τὸν θάνατον. Ὅθεν ἀθροίσας μισθοφόρους, ἀφ' ὧν ὁ Τάχως αὐτῷ χρημάτων ἔπεμψε, καὶ πλοῖα πληρώσας ἀνήχθη, τριάκοντα συμβούλους ἔχων μεθ' ἑαυτοῦ Σπαρτιάτας, ὡς πρότερον. Ἐπεὶ δὲ κατέπλευσεν εἰς τὴν Αἴγυπτον, εὐθὺς οἱ πρῶτοι τῶν βασιλικῶν ἡγεμόνων καὶ διοικητῶν ἐβάδιζον ἐπὶ ναῦν, θεραπεύοντες αὐτόν. Ἦν δὲ καὶ τῶν ἄλλων Αἰγυπτίων σπουδή τε μεγάλη καὶ προσδοκία διὰ τοὔνομα καὶ τὴν δόξαν τοῦ Ἀγησιλάου· καὶ συνετρόχαζον ἅπαντες ἐπὶ τὴν θέαν. Ὡς δ' εἶδον λαμπρότητα μὲν καὶ κατασκευὴν οὐδεμίαν, ἄνθρωπον δὲ πρεσβύτην κατακείμενον ἔν τινι πόᾳ

Digitized by Google

παρὰ τὴν θάλασσαν, εὐτελῆ καὶ μικρὸν τὸ σῶμα, τραχὺ καὶ φαῦλον ἱμάτιον ἀμπεχόμενον, σκώπτειν αὐτοῖς καὶ γελωτοποιεῖν ἐπῄει, καὶ λέγειν, ὅτι τοῦτ' ἦν τὸ μυθολογούμενον· ὠδίνειν ὄρος, εἶτα μῦν ἀποτεκεῖν. Ἔτι δὲ μᾶλλον αὐτοῦ τὴν ἀτοπίαν ἐθαύμασαν, ὅτε, ξενίων προσκομισθέντων καὶ προσαχθέντων, ἄλευρα μὲν καὶ μόσχους καὶ χῆνας ἔλαβε, τραγήματα δὲ καὶ πέμματα καὶ μύρα διωθεῖτο· καὶ βιαζομένων λαβεῖν καὶ λιπαρούντων, ἐκέλευσε τοῖς εἴλωσι διδόναι κομίζοντας. Τῇ μέντοι στεφανώτριδι βίβλῳ φησὶν αὐτὸν ἡσθέντα Θεόφραστος, διὰ τὴν λιτότητα τῶν στεφάνων, αἰτήσασθαι καὶ λαβεῖν, ὃτ' ἀπέπλει παρὰ τοῦ βασιλέως.

XXXVII. Τότε δὲ συμμίξαντῳ Τάχῳ παρασκευαζομένῳ πρὸς τὴν στρατείαν, οὐχ, ὥσπερ ἤλπιζεν, ἁπάσης στρατηγὸς ἀπεδείχθη τῆς δυνάμεως, ἀλλὰ τῶν μισθοφόρων μόνων· τοῦ δὲ ναυτικοῦ Χαβρίας ὁ Ἀθηναῖος, ἡγεμὼν δὲ συμπάντων αὐτὸς ἦν ὁ Τάχως. Καὶ τοῦτο πρῶτον ἠνίασε τὸν Ἀγησίλαον· ἔπειτα τὴν ἄλλην ἀλαζονείαν καὶ κενοφροσύνην τοῦ Αἰγυπτίου βαρυνόμενος ἠναγκάζετο φέρειν· καὶ συνεξέπλευσεν ἐπὶ τοὺς Φοίνικας αὐτῷ, παρὰ τὴν ἀξίαν τὴν ἑαυτοῦ καὶ τὴν φύσιν ὑπείκων καὶ καρτερῶν, ἄχρις οὗ καιρὸν ἔλαβε. Νεκτάναβις γὰρ, ἀνεψιὸς ὢν τοῦ Τάχω, καὶ μέρος ἔχων ὑφ' ἑαυτῷ τῆς δυνάμεως, ἀπέστη· καὶ βασιλεὺς ὑπὸ τῶν Αἰγυπτίων ἀναγορευθεὶς, διεπέμπετο πρὸς τὸν Ἀγησίλαον, ἀξιῶν αὐτῷ βοηθεῖν. Τὰ δ' αὐτὰ καὶ τὸν Χαβρίαν

Digitized by Google

παρεκάλει, μεγάλας ὑπισχνούμενος ἀμφοτέροις δωρεάς. Αἰσθομένου δὲ ταῦτα τοῦ Τάχω, καὶ τραπομένου πρὸς δέησιν αὐτῶν, ὁ μὲν Χαβρίας ἐπειρᾶτο καὶ τὸν Ἀγησίλαον ἐν τῇ φιλίᾳ τοῦ Τάχω πείθων καὶ παραμυθούμενος κατέχειν. Ὁ δ' Ἀγησίλαος εἶπεν, ὅτι „Σοὶ μέν, ὦ Χαβρία, κατὰ σεαυτὸν ἀφιγμένῳ, χρῆσθαι τοῖς σεαυτοῦ λογισμοῖς ἔξεστιν· ἐγὼ δ' ὑπὸ τῆς πατρίδος ἐδόθην Αἰγυπτίοις στρατηγός. Οὔκουν ἂν ἔχοι μοι καλῶς, οἷς ἐπέμφθην σύμμαχος, πολεμεῖν, ἐὰν μὴ πάλιν ἡ πατρὶς κελεύσῃ." Ταῦτα δ' εἰπὼν ἔπεμψεν εἰς Σπάρτην ἄνδρας, οἳ τοῦ μὲν Τάχω κατηγορήσειν, ἐπαινέσεσθαι δὲ τὸν Νεκτάναβιν ἔμελλον. Ἔπεμψαν δὲ κἀκεῖνοι, δεόμενοι τῶν Λακεδαιμονίων, ὁ μὲν, ὡς πάλαι σύμμαχος γεγονὼς καὶ φίλος, ὁ δ', ὡς εὔνους καὶ προθυμότερος περὶ τὴν πόλιν ἐσόμενος. Ἀκούσαντες οὖν οἱ Λακεδαιμόνιοι, τοῖς μὲν Αἰγυπτίοις ἀπεκρίναντο φανερῶς, Ἀγησιλάῳ περὶ τούτων μελήσειν· ἐκείνῳ δ' ἐπέστειλαν, ὁρᾶν κελεύοντες, ὅπως πράξῃ τὸ τῇ Σπάρτῃ συμφέρον. Οὕτω δὴ λαβὼν τοὺς μισθοφόρους ὁ Ἀγησίλαος, ἀπὸ τοῦ Τάχω μετέστη πρὸς τὸν Νεκτάναβιν, ἀτόπου καὶ ἀλλοκότου πράγματος παρακαλύμματι τῷ συμφέροντι τῆς πατρίδος χρησάμενος· ἐπεὶ, ταύτης γε τῆς προφάσεως ἀφαιρεθείσης, τὸ δικαιότατον ὄνομα τῆς πράξεως ἦν προδοσία. Λακεδαιμόνιοι δὲ, τὴν πρώτην τοῦ καλοῦ μερίδα τῷ τῆς πατρίδος συμφέροντι διδόντες, οὔτε μανθάνουσιν, οὔτ' ἐπίστανται δίκαιον ἄλλο, πλὴν ᾧ τὴν Σπάρτην αὔξειν νομίζουσιν.

Digitized by Google

XXXVIII. Ὁ μὲν οὖν Τάχως ἐφημωθεὶς τῶν μισθοφόρων ἔφυγεν, ἐκ δὲ Μένδητος ἕτερος ἐπανίσταται τῷ Νεκτανάβιδι, βασιλεὺς ἀναγορευθείς· καὶ συναγαγὼν δέκα μυριάδας ἀνθρώπων, ἐπῆει. Θαρσύνοντος δὲ τοῦ Νεκτανάβιδος τὸν Ἀγησίλαον, καὶ λέγοντος, ὅτι πολλοὶ μέν εἰσιν οἱ πολέμιοι, μιγάδες δὲ καὶ βάναυσοι, καὶ δι' ἀπειρίαν εὐκαταφρόνητοι· Καὶ μὴν οὐ τὸ πλῆθος αὐτῶν, ὁ Ἀγησίλαος εἶπεν, ἀλλὰ τὴν ἀπειρίαν φοβοῦμαι καὶ τὴν ἀμαθίαν, ὡς δυσεξαπάτητον. Αἱ γὰρ ἀπάται τὸ παράδοξον ἐπάγουσι τοῖς πρὸς ἄμυναν ὑπονοοῦσι καὶ προσδοκῶσι τρεπομένοις· ὁ δὲ μὴ προσδοκῶν, μηδ' ὑπονοῶν μηδέν, οὐ δίδωσι σῷ παραλογιζομένῳ λαβήν, οὐδὲ τῷ παλαίοντι ῥοπὴν ὁ μὴ κινούμενος. Ἐκ τούτου καὶ ὁ Μενδήσιος ἔπεμπε πειρῶν τὸν Ἀγησίλαον. Ἔδεισεν οὖν ὁ Νεκτάναβις, καὶ κελεύοντος αὐτοῦ διαμάχεσθαι τὴν ταχίστην, καὶ μὴ χρόνῳ πολεμεῖν πρὸς ἀνθρώπους ἀπείρους ἀγῶνος, πολυχειρίᾳ δὲ περιελθεῖν καὶ περιταφρεῦσαι, καὶ φθάσαι πολλὰ καὶ προλαβεῖν δυναμένους, ἔτι μᾶλλον ἐν ὑποψίᾳ καὶ φόβῳ γενόμενος πρὸς αὐτόν, ἀφεχώρησεν εἰς πόλιν εὐερκῆ καὶ μέγαν ἔχουσαν περίβολον. Ὁ δ' Ἀγησίλαος ἠγανάκτει μὲν ἀπιστούμενος, καὶ βαρέως ἔφερεν· αἰσχυνόμενος δὲ καὶ πάλιν μεταστῆναι πρὸς τὸν ἕτερον, ἢ τελέως ἀπελθεῖν ἄπρακτος, ἠκολούθησε, καὶ συνεισῆλθεν εἰς τὸ τεῖχος.

XXXIX. Ἐπελθόντων δὲ τῶν πολεμίων καὶ περιταφρευόντων τὴν πόλιν, αὖθις αὖ δείσας τὴν πο-

Digitized by Google

λιορκίαν δ Αἰγύπτιος ἐβούλετο μάχεσθαι, καὶ τοὺς Ἕλληνας μᾶλα συμπροθυμουμένους εἶχεν· οὐ γὰρ ἦν τῷ χωρίῳ σῖτος. Ὁ δ' Ἀγησίλαος οὐκ ἐῶν, ἀλλὰ κωλύων, ἦκουε μὲν ἔτι μᾶλλον κακῶς, ἢ πρότερον, ὑπὸ τῶν Αἰγυπτίων, καὶ προδότης ἀπεκαλεῖτο τοῦ βασιλέως. Ἔφερε δὲ πρότερον ἤδη τὰς διαβολὰς, καὶ προσεῖχε τῷ καιρῷ τοῦ στρατηγήματος. Ἦν δὲ τοιόνδε. Τάφρον ἔξωθεν ἦγον οἱ πολέμιοι περὶ τὸ τεῖχος βαθεῖαν, ὡς παντάπασιν ἀποκλείσοντες αὐτούς. Ὡς οὖν ἐγγὺς ἦσαν αἱ τελευταὶ τοῦ ὀρύγματος, ἀπαντῶντος αὐτῷ καὶ περιόντος ἐν κύκλῳ τὴν πόλιν, ἐσπέραν ἀναμείνας γενέσθαι, καὶ κελεύσας ἐξοπλίζεσθαι τοὺς Ἕλληνας, ἔλεγεν ἐλθὼν πρὸς τὸν Αἰγύπτιον· „Ὁ μὲν τῆς σωτηρίας, ὦ νεανία, καιρὸς οὗτός ἐστιν, ὃν ἐγὼ διαφθεῖραι φοβούμενος, οὐκ ἔφραζον, πρὶν ἐλθεῖν. Ἐπεὶ δ' ὑμῖν οἱ πολέμιοι τὴν ἀσφάλειαν αὐτοὶ διὰ τῶν χερῶν παρεσκευάκασι, τοσαύτην ὀρυξάμενοι τάφρον, ἧς τὸ μὲν ἐξειργασμένον ἐκείνοις ἐμποδών ἐστι τοῦ πλήθους, τὸ δὲ διαλεῖπον ἡμῖν δίδωσιν ἴσῳ καὶ δικαίῳ μέτρῳ διαμάχεσθαι πρὸς αὐτοὺς, φέρε νῦν, προθυμηθεὶς ἀνὴρ ἀγαθὸς γενέσθαι, καὶ μεθ' ἡμῶν ἐπισπόμενος δρόμῳ, σῶζε σεαυτὸν ἅμα καὶ τὴν στρατιάν. Ἡμᾶς γὰρ οἱ μὲν κατὰ στόμα τῶν πολεμίων οὐχ ὑπομενοῦσιν, οἱ δ' ἄλλοι διὰ τὴν τάφρον οὐ βλάψουσιν.“ Ἐθαύμασεν οὖν ὁ Νεκτάναβις τοῦ Ἀγησιλάου τὴν δεινότητα, καὶ δοὺς ἑαυτὸν εἰς μέσα τὰ τῶν Ἑλλήνων ὅπλα, καὶ προσπεσὼν, ἐτρέψατο φε-

Digitized by Google

δίως τοὺς ἀντιστάντας. Ὡς δ' ἅπαξ ἔλαβε πειθόμενον αὑτῷ τὸν Νεκτάναβιν ὁ Ἀγησίλαος, αὖθις ἐπῆγε τὸ αὐτὸ στρατήγημα, καθάπερ πάλαισμα, τοῖς πολεμίοις. Τὰ μὲν γὰρ ὑπαφεύγων καὶ ὑπάγων, τὰ δ' ἀντιπεριχωρῶν, ἐμβάλλει τὸ πλῆθος αὐτῶν εἰς τόπον ἔχοντα διώρυχα βαθεῖαν ἐξ ἑκατέρας πλευρᾶς παραῤῥέουσαν· ὧν τὸ μέσον ἐμφράξας, καὶ καταλαβὼν τῷ μετώπῳ τῆς φάλαγγος, ἐξίσωσε πρὸς τοὺς μαχομένους τῶν πολεμίων τὸ πλῆθος, οὐκ ἔχοντας περιδρομὴν καὶ κύκλωσιν. Ὅθεν οὐ πολὺν χρόνον ἀντιστάντες ἐτράποντο· καὶ πολλοὶ μὲν ἀνῃρέθησαν, οἱ δὲ φεύγοντες ἐσκεδάσθησαν καὶ διεῤῥύησαν.

XL. Ἐκ δὲ τούτου καλῶς μὲν εἶχε τὰ πράγματα καὶ βεβαίως τῷ Αἰγυπτίῳ πρὸς ἀσφάλειαν· ἀγαπῶν δὲ καὶ φιλοφρονούμενος, ἐδεῖτο μεῖναι καὶ συνδιαχειμάσαι μετ' αὐτοῦ τὸν Ἀγησίλαον. Ὁ δ' ὥρμητο πρὸς τὸν οἴκοι πόλεμον, εἰδὼς χρημάτων δεομένην τὴν πόλιν καὶ ξενοτροφοῦσαν. Προὔπεμψεν οὖν αὐτὸν ἐντίμως καὶ μεγαλοπρεπῶς, ἄλλας τε λαβόντα τιμὰς καὶ δωρεάς, καὶ πρὸς τὸν πόλεμον ἀργυρίου διακόσια καὶ τριάκοντα τάλαντα. Χειμῶνος δ' ὄντος ἤδη, τῆς γῆς ἐχόμενος ταῖς ναυσὶ, καὶ παρὰ τὴν Λιβύην εἰς χωρίον ἔρημον κομισθεὶς, ὃ καλοῦσι Μενελάου λιμένα, ἀποθνήσκει, βιώσας μὲν ὀγδοήκοντα καὶ τέσσαρα ἔτη, βασιλεύσας δὲ τῆς Σπάρτης ἐνὶ τῶν τεσσαράκοντα πλέον, καὶ τούτων ὑπὲρ τριάκοντα πάντων μέγιστος καὶ δυνατώτατος γενόμενος.

Digitized by Google

καὶ σχεδὸν ὅλης τῆς Ἑλλάδος ἡγεμὼν καὶ βασιλεὺς νομισθεὶς, ἄχρι τῆς ἐν Λεύκτροις μάχης. Ἔθους δ' ὄντος Λακωνικοῦ, τῶν μὲν ἄλλων ἐπὶ ξένης ἀποθανόντων, αὐτοῦ τὰ σώματα κηδεύειν καὶ ἀπολείπειν, τὰ δὲ τῶν βασιλέων ὀστᾶ δὲ κομίζειν, οἳ πεμφθέντες Σπαρτιᾶται κηρὸν ἐπιτήξαντες τῷ νεκρῷ, μᾶλλον οὐ παρόντος, ἤγαγον εἰς Λακεδαίμονα. Τὴν δὲ βασιλείαν Ἀρχίδαμος, ὁ υἱὸς αὐτοῦ, παρέλαβε, καὶ διέμεινε τῷ γένει μέχρις Ἄγιδος· ὃν, ἐπιχειροῦντα τὴν πάτριον ἀναλαβεῖν πολιτείαν, ἀπέκτεινε Λεωνίδας, πέμπτον ἀπ' Ἀγησιλάου γεγονότα.

Digitized by Google

ΠΟΜΠΗΙΟΣ.

Πρὸς δὲ Πομπήϊον ἔοικε τοῦτο παθεῖν ὁ Ῥωμαίων δῆμος εὐθὺς ἐξ ἀρχῆς, ὅπερ ὁ Αἰσχύλου Προμηθεὺς πρὸς τὸν Ἡρακλέα, σωθεὶς ὑπ' αὐτοῦ, καὶ λέγων·

Ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον.

Οὔτε γὰρ μῖσος οὕτως ἰσχυρὸν καὶ ἄγριον ἐπεδείξαντο Ῥωμαῖοι πρὸς ἕτερον στρατηγὸν, ὡς τὸν Πομπηΐου πατέρα Στράβωνα, ζῶντος μὲν αὐτοῦ φοβούμενοι τὴν ἐν τοῖς ὅπλοις δύναμιν (ἦν γὰρ ἀνὴρ πολεμικώτατος, ἐπεὶ δ' ἀπέθανε κεραυνωθεὶς, ἐκκομιζόμενον τὸ σῶμα κατασπάσαντες ἀπὸ τοῦ λέχους καὶ καθυβρίσαντες· οὔτε μὴν εὔνοιαν αὖ πάλιν σφοδροτέραν, ἢ θᾶσσον ἀρξαμένην, ἢ μᾶλλον εὐτυχοῦντι συνακμάσασαν, ἢ πταίσαντι παραμείνασαν βεβαιότερον, ἄλλος ἔσχε Ῥωμαίων, ἢ Πομπήϊος. Αἰτία δὲ τοῦ μὲν μίσους ἐκείνῳ μία, χρημάτων ἄπληστος ἐπιθυμία· τούτῳ δὲ πολλαὶ τοῦ ἀγαπᾶσθαι, σωφροσύνη περὶ δίαιταν, ἄσκησις ἐν ὅπλοις, πιθα-

Digitized by Google

νότης λόγου, πίστις ἤθους, εὐαρμοστία πρὸς ἔντευξιν, ὡς μηδενὸς ἀλυπότερον δεηθῆναι, μηδ' ἧδιον ὑπουργῆσαι δεομένῳ. Προσῆν γὰρ αὐτοῦ ταῖς χάρισι καὶ τὸ ἀνεπαχθὲς διδόντος, καὶ τὸ σεμνὸν λαμβάνοντος.

II. Ἐν ἀρχῇ δὲ καὶ τὴν ὄψιν ἔσχεν οὐ μετρίως συνθημαγωγοῦσαν καὶ προεντυγχάνουσαν αὐτοῦ τῆς φωνῆς. Τὸ γὰρ ἐράσμιον, ἀξιωματικὸν ἦν φιλανθρώπως, καὶ τῷ νεαρῷ καὶ ἀνθοῦντι διέφαινεν εὐθὺς ἡ ἀκμὴ τὸ γεραρὸν καὶ τὸ βασιλικὸν τοῦ ἤθους. Ἦν δέ τις καὶ ἀναστολὴ τῆς κόμης ἀτρέμα, καὶ τῶν περὶ τὰ ὄμματα ῥυθμῶν ὑγρότης, τοῦ προσώπου ποιοῦσα μᾶλλον λεγομένην, ἢ φαινομένην, ὁμοιότητα πρὸς τὰς Ἀλεξάνδρου τοῦ βασιλέως εἰκόνας. Ἣ καὶ τοὔνομα πολλῶν ἐν ἀρχῇ συνεπιφερόντων οὐκ ἔφευγεν ὁ Πομπήϊος· ὥστε καὶ χλευάζοντας αὐτὸν ἐνίους ἤδη καλεῖν Ἀλέξανδρον. Διὸ καὶ Λεύκιος Φίλιππος, ἀνὴρ ὑπατικὸς, συνηγορῶν αὐτῷ, μηδὲν ἔφη ποιεῖν παράλογον, εἰ, Φίλιππος ὤν, φιλαλέξανδρός ἐστι. Φλώραν δὲ, τὴν ἑταίραν, ἔφασαν ἤδη πρεσβυτέραν οὖσαν ἐπιεικῶς ἀεὶ μνημονεύειν τῆς γενομένης αὐτῇ πρὸς τὸν Πομπήϊον ὁμιλίας, λέγουσαν, ὡς οὐκ ἦν ἐκείνῳ συναναπαυσαμένην ἀδήκτως ἀπελθεῖν. Πρὸς δὲ τούτοις διηγεῖσθαι τὴν Φλώραν, ἐπιθυμῆσαι τινὰ τῶν Πομπηΐου συνήθων αὐτῆς, Γεμῖνιον, καὶ πράγματα πολλὰ παρέχειν πειρῶντα· αὐτῆς δὲ φαμένης, οὐκ ἂν ἐθελῆσαι διὰ Πομπήϊον, ἐκείνῳ τὸν Γεμῖνιον διαλέγεσθαι· τὸν οὖν Πομπήϊον ἐπιτρέ-

Digitized by Google

ψαι μὲν τῷ Γεμινίῳ, μηκέτι δ' αὐτὸν ἅψασθαι τὸ παράπαν, μηδ' ἐντυχεῖν αὐτῇ, καίπερ ἐρᾶν δοκοῦντα. Τοῦτο δ' αὐτὴν οὐχ ἑταιρικῶς ἐνεγκεῖν, ἀλλὰ πολὺν ὑπὸ λύπης καὶ πόθου χρόνον νοσῆσαι. Καίτοι τὴν Φιλώραν οὕτω λέγουσιν ἀνθῆσαι καὶ γενέσθαι περιβόητον, ὥστε Καικίλιον Μέτελλον ἀνδιάσι καὶ γραφαῖς κοσμοῦντα τῶν νεῶν τῶν Διοσκούρων, κἀκείνης εἰκόνα γραψάμενον ἀναθεῖναι διὰ τὸ κάλλος. Πομπήϊος δὲ καὶ τῇ Δημητρίου τοῦ ἀπελευθέρου γυναικὶ, πλεῖστον ἰσχύσαντος παρ' αὐτῷ, καὶ τετρακισχιλίων ταλάντων ἀπολιπόντος οὐσίαν, ἐχρῆτο, παρὰ τὸν ἑαυτοῦ τρόπον, οὐκ ἐπιεικῶς, οὐδ' ἐλευθερίως, φοβηθεὶς τὴν εὐμορφίαν αὐτῆς, ἄμαχόν τινα καὶ περιβόητον οὖσαν, ὡς μὴ φανείη κεκρατημένος. Οὕτω δὲ πάνυ πόρρωθεν εὐλαβὴς ὢν πρὸς τὰ τοιαῦτα καὶ πεφυλαγμένος, ὅμως οὐ διέφυγε τῶν ἐχθρῶν τὸν ἐπὶ τούτῳ ψόγον, ἀλλ' ἐπὶ ταῖς γαμεταῖς ἐσυκοφαντεῖτο, πολλὰ τῶν κοινῶν παριδεῖν καὶ προέσθαι χαριζόμενος ἐκείναις. Τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας καὶ λιτότητος ἓν ἀπομνημόνευμα λέγεται τοιοῦτον. Ἰατρὸς αὐτῷ νοσοῦντι καὶ κακῶς ἔχοντι πρὸς τὰ σιτία κίχλην προσέταξε λαβεῖν. Ὡς δὲ ζητοῦντες οὐχ εὗρον ὄψιον (ἦν γὰρ παρ' ὥραν), ἔφη δέ τις εὑρεθήσεσθαι παρὰ Λευκούλλῳ δι' ἔτους τρεφομένας· „Εἶτ' (εἶπεν), εἰ μὴ Λούκουλλος ἐτύφα, Πομπήϊος οὐκ ἂν ἔζησε;“ καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν, ἔλαβέ τι τῶν εὐπορίστων. Ταῦτα μὲν οὖν ὕστερον.

Digitized by Google

III. Ἔτι δὲ πειράκιον ὢν παντάπασι, καὶ τῷ πατρὶ συστρατευόμενος ἀντιτεταγμένῳ πρὸς Κίνναν, Λεύκιόν τινα Τερέντιον εἶχεν ἑταῖρον καὶ σύσκηνον. Οὗτος ὑπὸ Κίννα πεισθεὶς χρήμασιν, αὐτὸς μὲν ἔμελλε Πομπήϊον ἀποκτενεῖν, ἕτεροι δὲ τὴν σκηνὴν ἐμπρήσειν τοῦ στρατηγοῦ. Μηνύσεως δὲ τῷ Πομπηΐῳ περ δεῖπνον ὄντι προσπεσούσης, οὐδὲν διαταραχθεὶς, ἀλλὰ καὶ πιὼν προθυμότερον, καὶ φιλοφρονησάμενος τὸν Τερέντιον, ἅμα τῷ τραπέσθαι πρὸς ἀνάπαυσιν ὑπεκρυεὶς τῆς σκηνῆς ἔλαθε, καὶ τῷ πατρὶ φρουρὰν περιστήσας ἡσύχαζεν. Ὁ δὲ Τερέντιος, ὡς ἐνόμιζε καιρὸν εἶναι, σπασάμενος τὸ ξίφος ἀνέστη, καὶ τῇ στιβάδι τοῦ Πομπηΐου προσελθὼν, ὡς κατακειμένου, πολλὰς ἐνεφόρει πληγὰς τοῖς στρώμασιν. Ἐκ δὲ τούτου γίνεται μέγα κίνημα μίσει τοῦ στρατηγοῦ, καὶ πρὸς ἀπόστασιν ὁρμὴ τῶν στρατιωτῶν, τάς τε σκηνὰς ἀνασπώντων, καὶ τὰ ὅπλα λαμβανόντων. Ὁ μὲν οὖν στρατηγὸς οὐ προήει, δεδιὼς τὸν θόρυβον· ὁ δὲ Πομπήϊος ἐν μέσοις ἀναστρεφόμενος καὶ δακρύων ἱκέτευε· τέλος δὲ ῥίψας ἑαυτὸν ἐπὶ στόμα πρὸ τῆς πύλης τοῦ χάρακος, ἐμποδὼν ἔκειτο κλαίων, καὶ πατεῖν κελεύων τοὺς ἐξιόντας· ὥστε ἕκαστον ἀναχωρεῖν ὑπ' αἰδοῦς, καὶ πάντας οὕτω, πλὴν ὀκτακοσίων, μεταβαλέσθαι καὶ διαλλαγῆναι πρὸς τὸν στρατηγόν.

IV. Ἅμα δὲ τῷ τελευτῆσαι τὸν Στράβωνα, δίκην κλοπῆς ἔσχεν ὑπὲρ αὐτοῦ δημοσίων χρημάτων ὁ Πομπήϊος. Καὶ τὰ μὲν πλεῖστα φωράσας ἕνα τῶν ἀπελευ-

Digitized by Google

Θέρων ὁ Πομπήϊος νενοσφισμένον Ἀλέξανδρον, ἀπέδειξε τοῖς ἄρχουσιν· αὐτὸς δὲ λίνα θηρευτικὰ καὶ βιβλία τῶν ἐν Ἄσκλῳ ληφθέντων ἔχειν κατηγορεῖτο. Ταῦτα δ' ἔλαβε μὲν παρὰ τοῦ πατρὸς ἑλόντος τὸ Ἄσκλον, ἀπώλεσε δὲ, τῶν Κίννα δορυφόρων, ὅτε κατῆλθεν, ὠσαμένων εἰς τὴν οἰκίαν αὐτοῦ καὶ διαρπασάντων. Ἐγίνοντο δὲ τῆς δίκης αὐτῷ προαγῶνες οὐκ ὀλίγοι πρὸς τὸν κατήγορον. Ἐν οἷς ὀξὺς ἅμα καὶ παρ' ἡλικίαν εὐσταθὴς φαινόμενος, δόξαν ἔσχε μεγάλην καὶ χάριν· ὥστ' Ἀντίστιον στρατηγοῦντα, καὶ βραβεύοντα τὴν δίκην ἐκείνην, ἐρασθῆναι τοῦ Πομπηΐου, καὶ γυναῖκα δοῦναι τὴν ἑαυτοῦ θυγατέρα, καὶ περὶ τούτου τοῖς φίλοις διαλέγεσθαι. Δεξαμένου δὲ Πομπηΐου, καὶ γενομένων ἐν αὐτοῖς ἀποῤῥήτων ὁμολογιῶν, ὅμως οὐκ ἔλαθε τοὺς πολλοὺς τὸ πρᾶγμα διὰ τὴν τοῦ Ἀντιστίου σπουδήν. Τέλος δὲ, τὴν γνώμην ἀναγορεύσαντος αὐτοῦ τῶν δικαστῶν ἀπολύουσαν, ὥσπερ ἐκ παραγγέλματος ὁ δῆμος ἐπεφώνησε τοῦτο δὴ τὸ τοῖς γαμοῦσιν ἐπιφωνούμενον ἐξ ἔθους παλαιοῦ, Ταλασίῳ. Τὸ δ' ἔθος ἀρχὴν λαβεῖν φασι τοιαύτην. Ὅτε τὰς θυγατέρας τῶν Σαβίνων ἐπὶ θέαν ἀγῶνος εἰς Ῥώμην παραγενομένας οἱ πρωτεύοντες ἀρετῇ Ῥωμαίων ἥρπαζον ἑαυτοῖς γυναῖκας, ἄδοξοί τινες αἰγελάται καὶ βοτῆρες ἁρπάμενοι κόρην καλὴν καὶ μεγάλην ἐκόμιζον. Ὅπως οὖν μὴ προστυχών τις ἀφέληται τῶν κρειττόνων, ἐβόων θέοντες ἅμα. Ταλασίῳ (τῶν δὲ χαριέντων καὶ γνωρίμων τις ἦν ὁ Ταλάσιος), ὥστε τοὺς ἀκούσαντας

Digitized by Google

παρεκάλει, μεγάλας ὑπισχνούμενος ἀμφοτέροις δωρεάς. Αἰσθομένου δὲ ταῦτα τοῦ Τάχω, καὶ τραπομένου πρὸς δέησιν αὐτῶν, ὁ μὲν Χαβρίας ἐπειρᾶτο καὶ τὸν Ἀγησίλαον ἐν τῇ φιλίᾳ τοῦ Τάχω πείθων καὶ παραμυθούμενος κατέχειν. Ὁ δ' Ἀγησίλαος εἶπεν, ὅτι „Σοὶ μέν, ὦ Χαβρία, κατὰ σεαυτὸν ἀφιγμένῳ, χρῆσθαι τοῖς σεαυτοῦ λογισμοῖς ἔξεστιν· ἐγὼ δ' ὑπὸ τῆς πατρίδος ἐδόθην Αἰγυπτίοις στρατηγός. Οὔκουν ἂν ἔχοι μοι καλῶς, οἷς ἐπέμφθην σύμμαχος, πολεμεῖν, ἐὰν μὴ πάλιν ἡ πατρὶς κελεύσῃ." Ταῦτα δ' εἰπὼν ἔπεμψεν εἰς Σπάρτην ἄνδρας, οἳ τοῦ μὲν Τάχω κατηγορήσειν, ἐπαινέσεσθαι δὲ τὸν Νεκτάναβιν ἔμελλον. Ἔπεμψαν δὲ κἀκεῖνοι, δεόμενοι τῶν Λακεδαιμονίων, ὁ μέν, ὡς πάλαι σύμμαχος γεγονὼς καὶ φίλος, ὁ δ', ὡς εὔνους καὶ προθυμότερος περὶ τὴν πόλιν ἐσόμενος. Ἀκούσαντες οὖν οἱ Λακεδαιμόνιοι, τοῖς μὲν Αἰγυπτίοις ἀπεκρίναντο φανερῶς, Ἀγησιλάῳ περὶ τούτων μελήσειν· ἐκείνῳ δ' ἐπέστειλαν, ὁρᾶν κελεύοντες, ὅπως πράξῃ τὸ τῇ Σπάρτῃ συμφέρον. Οὕτω δὴ λαβὼν τοὺς μισθοφόρους ὁ Ἀγησίλαος, ἀπὸ τοῦ Τάχω μετέστη πρὸς τὸν Νεκτάναβιν, ἀτόπου καὶ ἀλλοκότου πράγματος παρακαλύμματι τῷ συμφέροντι τῆς πατρίδος χρησάμενος· ἐπεὶ, ταύτης γε τῆς προφάσεως ἀφαιρεθείσης, τὸ δικαιότατον ὄνομα τῆς πράξεως ἦν προδοσία. Λακεδαιμόνιοι δὲ, τὴν πρώτην τοῦ καλοῦ μερίδα τῷ τῆς πατρίδος συμφέροντι διδόντες, οὔτε μανθάνουσιν, οὔτ' ἐπίστανται δίκαιον ἄλλο, πλὴν ᾧ τὴν Σπάρτην αὔξειν νομίζουσιν.

Digitized by Google

XXXVIII. Ὁ μὲν οὖν Τάχως ἐρημωθεὶς τῶν μισθοφόρων ἔφυγεν, ἐκ δὲ Μένδητος ἕτερος ἐπανίσταται τῷ Νεκτανάβιδι, βασιλεὺς ἀναγορευθείς· καὶ συναγαγὼν δέκα μυριάδας ἀνθρώπων, ἐπῆει. Θαρσύνοντος δὲ τοῦ Νεκτανάβιδος τὸν Ἀγησίλαον, καὶ λέγοντος, ὅτι πολλοὶ μέν εἰσιν οἱ πολέμιοι, μιγάδες δὲ καὶ βάναυσοι, καὶ δι' ἀπειρίαν εὐκαταφρόνητοι· Καὶ μὴν οὐ τὸ πλῆθος αὐτῶν, ὁ Ἀγησίλαος εἶπεν, ἀλλὰ τὴν ἀπειρίαν φοβοῦμαι καὶ τὴν ἀμαθίαν, ὡς δυσεξαπάτητον. Αἱ γὰρ ἀπάται τὸ παράδοξον ἐπάγουσι τοῖς πρὸς ἄμυναν ὑπονοοῦσι καὶ προσδοκῶσι τρεπομένοις· ὁ δὲ μὴ προσδοκῶν, μηδ' ὑπονοῶν μηδὲν, οὐ δίδωσι σῷ παραλογιζομένῳ λαβὴν, ὥσπερ οὐδὲ τῷ παλαίοντι ῥοπὴν ὁ μὴ κινούμενος. Ἐκ τούτου καὶ ὁ Μενδήσιος ἔπεμπε πειρῶν τὸν Ἀγησίλαον. Ἔδεισεν οὖν ὁ Νεκτάναβις, καὶ κελεύοντος αὐτοῦ διαμάχεσθαι τὴν ταχίστην, καὶ μὴ χρόνῳ πολεμεῖν πρὸς ἀνθρώπους ἀπείρους ἀγῶνος, πολυχειρίᾳ δὲ περιελθεῖν καὶ περιταφρεῦσαι, καὶ φθάσας πολλὰ καὶ προλαβεῖν δυναμένους, ἔτι μᾶλλον ἐν ὑποψίᾳ καὶ φόβῳ γενόμενος πρὸς αὐτὸν, ἀφεχώρησεν εἰς πόλιν εὐερκῆ καὶ μέγαν ἔχουσαν περίβολον. Ὁ δ' Ἀγησίλαος ἠγανάκτει μὲν ἀπιστούμενος, καὶ βαρέως ἔφερεν· αἰσχυνόμενος δὲ καὶ πάλιν μεταστῆναι πρὸς τὸν ἕτερον, ἢ τελέως ἀπελθεῖν ἄπρακτος, ἠκολούθησε, καὶ συνεισῆλθεν εἰς τὸ τεῖχος.

XXXIX. Ἐπελθόντων δὲ τῶν πολεμίων καὶ περιταφρευόντων τὴν πόλιν, αὖθις αὖ δείσας τὴν πο-

Digitized by Google

λιορκίαν ὁ Αἰγύπτιος ἐβούλετο μάχεσθαι, καὶ τοὺς Ἕλληνας μάλα συμπροθυμουμένους εἶχεν· οὐ γὰρ ἦν τῷ χωρίῳ σῖτος. Ὁ δ' Ἀγησίλαος οὐκ ἐῶν, ἀλλὰ κωλύων, ἤκουε μὲν ἔτι μᾶλλον κακῶς, ἢ πρότερον, ὑπὸ τῶν Αἰγυπτίων, καὶ προδότης ἀπεκαλεῖτο τοῦ βασιλέως. Ἔφερε δὲ πρᾴότερον ἤδη τὰς διαβολὰς, καὶ προσεῖχε τῷ καιρῷ τοῦ στρατηγήματος. Ἦν δὲ τοιόνδε. Τάφρον ἔξωθεν ἦγον οἱ πολέμιοι περὶ τὸ τεῖχος βαθεῖαν, ὡς παντάπασιν ἀποκλείσοντες αὐτούς. Ὡς οὖν ἐγγὺς ἦσαν αἱ τελευταὶ τοῦ ὀρύγματος, ἅπαντῶντος αὐτῷ καὶ περιόντος ἐν κύκλῳ τὴν πόλιν, ἐσπέραν ἀναμείνας γενέσθαι, καὶ κελεύσας ἐξοπλίζεσθαι τοὺς Ἕλληνας, ἔλεγεν ἐλθὼν πρὸς τὸν Αἰγύπτιον· „Ὁ μὲν τῆς σωτηρίας, ὦ νεανία, καιρὸς οὗτός ἐστιν, ὃν ἐγὼ διαφθεῖραι φοβούμενος, οὐκ ἔφραζον, πρὶν ἐλθεῖν. Ἐπεὶ δ' ὑμῖν οἱ πολέμιοι τὴν ἀσφάλειαν αὐτοὶ διὰ τῶν χερῶν παρεσκευάκασι, τοσαύτην ὀρυξάμενοι τάφρον, ἧς τὸ μὲν ἐξειργασμένον ἐκείνοις ἐμποδών ἐστι τοῦ πλήθους, τὸ δὲ διαλεῖπον ἡμῖν δίδωσιν ἴσῳ καὶ δικαίῳ μέτρῳ διαμάχεσθαι πρὸς αὐτοὺς, φέρε νῦν, προθυμηθεὶς ἀνὴρ ἀγαθὸς γενέσθαι, καὶ μεθ' ἡμῶν ἐπισπόμενος δρόμῳ, σῶζε σεαυτὸν ἅμα καὶ τὴν στρατιάν. Ἡμᾶς γὰρ οἱ μὲν κατὰ στόμα τῶν πολεμίων οὐχ ὑπομενοῦσιν, οἱ δ' ἄλλοι διὰ τὴν τάφρον οὐ βλάψουσιν.“ Ἐθαύμασεν οὖν ὁ Νεκτάναβις τοῦ Ἀγησιλάου τὴν δεινότητα, καὶ δοὺς ἑαυτὸν εἰς μέσα τὰ τῶν Ἑλλήνων ὅπλα, καὶ προσπεσὼν, ἐτρέψατο ῥᾳ-

Digitized by Google

βίως τοὺς ἀντιστάντας. Ὡς δ' ἅπαξ ἔλαβε πειθόμενον αὑτῷ τὸν Νεκτάναβιν ὁ Ἀγησίλαος, αὖθις ἐπῆγε τὸ αὐτὸ στρατήγημα, καθάπερ πάλαισμα, τοῖς πολεμίοις. Τὰ μὲν γὰρ ὑποφεύγων καὶ ὑπάγων, τὰ δ' ἀντιπεριχωρῶν, ἐμβάλλει τὸ πλῆθος αὐτῶν εἰς τόπον ἔχοντα διώρυχα βαθεῖαν ἐξ ἑκατέρας πλευρᾶς παραῤῥέουσαν· ὧν τὰ μέσον ἐμφράξας, καὶ καταλαβὼν τῷ μετώπῳ τῆς φάλαγγος, ἐξίσωσε πρὸς τοὺς μαχομένους τῶν πολεμίων τὸ πλῆθος, οὐκ ἔχοντας περιδρομὴν καὶ κύκλωσιν. Ὅθεν οὐ πολὺν χρόνον ἀντιστάντες ἐτράποντο· καὶ πολλοὶ μὲν ἀνῃρέθησαν, οἱ δὲ φεύγοντες ἐσκεδάσθησαν καὶ διεῤῥύησαν.

XL. Ἐκ δὲ τούτου καλῶς μὲν εἶχε τὰ πράγματα καὶ βεβαίως τῷ Αἰγυπτίῳ πρὸς ἀσφάλειαν· ἀγαπῶν δὲ καὶ φιλοφρονούμενος, ἐδεῖτο μεῖναι καὶ συνδιαχειμάσαι μετ' αὐτοῦ τὸν Ἀγησίλαον. Ὁ δ' ὥρμητο πρὸς τὸν οἴκοι πόλεμον, εἰδὼς χρημάτων δεομένην τὴν πόλιν καὶ ξενοτροφοῦσαν. Προὔπεμψεν οὖν αὐτὸν ἐντίμως καὶ μεγαλοπρεπῶς, ἄλλας τε λαβόντα τιμὰς καὶ δωρεὰς, καὶ πρὸς τὸν πόλεμον ἀργυρίου διακόσια καὶ τριάκοντα τάλαντα. Χειμῶνος δ' ὄντος ἤδη, τῆς γῆς ἐχόμενος ταῖς ναυσὶ, καὶ παρὰ τὴν Λιβύην εἰς χωρίον ἔρημον κομισθεὶς, ὃ καλοῦσι Μενελάου λιμένα, ἀποθνήσκει, βιώσας μὲν ὀγδοήκοντα καὶ τέσσαρα ἔτη, βασιλεύσας δὲ τῆς Σπάρτης ἐνὶ τῶν τεσσαράκοντα πλέον, καὶ τούτων ὑπὲρ τριάκοντα πάντων μέγιστος καὶ δυνατώτατος γενόμενος,

Digitized by Google

καὶ σχεδὸν ὅλης τῆς Ἑλλάδος ἡγεμὼν καὶ βασιλεὺς νομισθεὶς, ἄχρι τῆς ἐν Λεύκτροις μάχης. Ἔθους δ' ὄντος Λακωνικοῦ, τῶν μὲν ἄλλων ἐπὶ ξένης ἀποθνησκόντων, αὐτοῦ τὰ σώματα κηδεύειν καὶ ἀπολείπειν, τὰ δὲ τῶν βασιλέων ὀστᾶ δὶς κομίζειν, οἱ πεμφθέντες Σπαρτιᾶται πηρὸν ἐπιτήξαντες τῷ νεκρῷ, μέλιτος οὐ παρόντος, ἀπῆγον εἰς Λακεδαίμονα. Τὴν δὲ βασιλείαν Ἀρχίδαμος, ὁ υἱὸς αὐτοῦ, παρέλαβε, καὶ διέμεινε τῷ γένει μέχρις Ἄγιδος· ὃν, ἐπιχειροῦντα τὴν πάτριον ἀναλαβεῖν πολιτείαν, ἀπέκτεινε Λεωνίδας, πέμπτον ἀπ' Ἀγησιλάου γεγονότα.

Digitized by Google

ΠΟΜΠΗΙΟΣ.

Πρὸς δὲ Πομπήϊον ἔοικε τοῦτο παθεῖν ὁ Ῥωμαίων δῆμος εὐθὺς ἐξ ἀρχῆς, ὅπερ ὁ Αἰσχύλου Προμηθεὺς πρὸς τὸν Ἡρακλέα, σωθεὶς ὑπ' αὐτοῦ, καὶ λέγων·

Ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον.

Οὔτε γὰρ μῖσος οὕτως ἰσχυρὸν καὶ ἄχριον ἐπεδείξαντο Ῥωμαῖοι πρὸς ἕτερον στρατηγὸν, ὡς τὸν Πομπηΐου πατέρα Στράβωνα, ζῶντος μὲν αὐτοῦ φοβούμενοι τὴν ἐν τοῖς ὅπλοις δύναμιν (ἦν γὰρ ἀνὴρ πολεμικώτατος, ἐπεὶ δ' ἀπέθανε κεραυνωθεὶς, ἐκκομιζόμενον τὸ σῶμα κατασπάσαντες ἀπὸ τοῦ λέχους καὶ καθυβρίσαντες· οὔτε μὴν εὔνοιαν αὖ πάλιν σφοδροτέραν, ἢ θᾶσσον ἀρξαμένην, ἢ μᾶλλον εὐτυχοῦντι συνακμάσασαν, ἢ πταίσαντι παραμείνασαν βεβαιότερον, ἄλλος ἔσχε Ῥωμαίων, ἢ Πομπήϊος. Αἰτία δὲ τοῦ μὲν μίσους ἐκείνῳ μία, χρημάτων ἄπληστος ἐπιθυμία· τούτῳ δὲ πολλαὶ τοῦ ἀγαπᾶσθαι, σωφροσύνη περὶ δίαιταν, ἄσκησις ἐν ὅπλοις, πιθα-

Digitized by Google

νότης λύγου, πίστις ἤθους, εὐαρμοστία πρὸς ἔντευξιν, ὡς μηδενὸς ἀλυπότερον δεηθῆναι, μηδ' ἥδιον ὑπουργῆσαι δεομένῳ. Προσῆν γὰρ αὐτοῦ ταῖς χάρισι καὶ τὸ ἀνεπαχθὲς διδόντος, καὶ τὸ σεμνὸν λαμβάνοντος.

II. Ἐν ἀρχῇ δὲ καὶ τὴν ὄψιν ἔσχεν οὐ μετρίως συνθημαγωγοῦσαν καὶ προεντυγχάνουσαν αὐτοῦ τῆς φωνῆς. Τὸ γὰρ ἐράσμιον, ἀξιωματικὸν ἦν φιλανθρώπου, καὶ τῷ νεαρῷ καὶ ἐνθοῦντι διέφαινεν εὐθὺς ἡ ἀκμὴ τὸ γεραρὸν καὶ τὸ βασιλικὸν τοῦ ἤθους. Ἦν δέ τις καὶ ἀναστολὴ τῆς κόμης ἀτρέμα, καὶ τῶν περὶ τὰ ὄμματα ὑγρότης, τοῦ προσώπου ποιοῦσα μᾶλλον λεγομένην, ἢ φαινομένην, ὁμοιότητα πρὸς τὰς Ἀλεξάνδρου τοῦ βασιλέως εἰκόνας. Ἃι καὶ τοὔνομα πολλῶν ἐν ἀρχῇ συνεπιφερόντων οὐκ ἔφευγεν ὁ Πομπήϊος ὥστε καὶ χλευάζοντας αὐτὸν ἐνίους ἤδη καλεῖν Ἀλέξανδρον. Διὸ καὶ Λεύκιος Φίλιππος, ἀνὴρ ὑπατικός, συνηγορῶν αὐτῷ, μηδὲν ἔφη ποιεῖν παράλογον, εἰ, Φίλιππος ὤν, φιλαλέξανδρός ἐστι. Φλώραν δὲ, τὴν ἑταίραν, ἔφασαν ἤδη πρεσβυτέραν οὖσαν ἐπιεικῶς ἀεὶ μνημονεύειν τῆς γενομένης αὐτῇ πρὸς τὸν Πομπήϊον ὁμιλίας, λέγουσαν, ὡς οὐκ ἦν ἐκείνῳ συναναπαύσαμένην ἀδήκτως ἀπελθεῖν. Πρὸς δὲ τούτοις διηγεῖσθαι τὴν Φλώραν, ἐπιθυμῆσαι τινὰ τῶν Πομπηΐου συνήθων αὐτῆς, Γεμίνιον, καὶ πράγματα πολλὰ παρέχειν πειρῶντα· αὐτῆς δὲ φαμένης, οὐκ ἂν ἐθελῆσαι διὰ Πομπήϊον, ἐκείνῳ τὸν Γεμίνιον διαλέγεσθαι· τὸν οὖν Πομπήϊον ἐπιτρέ-

Digitized by Google

ψαι μὲν τῷ Γεμινίῳ, μηχέτι δ' αὐτὸν ἅψασθαι τὸ παράπαν, μηδ' ἐντυχεῖν αὐτῇ, καίπερ ἐρᾶν δοκοῦντα. Τοῦτο δ' αὐτὴν οὐχ ἑταιρικῶς ἐνεγκεῖν, ἀλλὰ πολὺν ὑπὸ λύπης καὶ πόθου χρόνον νοσῆσαι. Καίτοι τὴν Φιλώραν οὕτω λέγουσιν ἀνθῆσαι καὶ γενέσθαι περιβόητον, ὥστε Καικίλιον Μέτελλον ἀνδιάσι καὶ γραφαῖς κοσμοῦντα τῶν νεῶν τῶν Διοσκούρων, κἀκείνης εἰκόνα γραψάμενον ἀναθεῖναι διὰ τὸ κάλλος. Πομπήϊος δὲ καὶ τῇ Δημητρίου τοῦ ἀπελευθέρου γυναικὶ, πλεῖστον ἰσχύσαντος παρ' αὐτῷ, καὶ τετρακισχιλίων ταλάντων ἀπολιπόντος οὐσίαν, ἐχρῆτο, παρὰ τὸν ἑαυτοῦ τρόπον, οὐκ ἐπιεικῶς, οὐδ' ἐλευθερίως, φοβηθεὶς τὴν εὐμορφίαν αὐτῆς, ἄμαχόν τινα καὶ περιβόητον οὖσαν, ὡς μὴ φανείη κεκρατημένος. Οὕτω δὲ πάνυ πόρρωθεν εὐλαβὴς ὢν πρὸς τὰ τοιαῦτα καὶ πεφυλαγμένος, ὅμως οὐ διέφυγε τῶν ἐχθρῶν τὸν ἐπὶ τούτῳ ψόγον, ἀλλ' ἐπὶ ταῖς γαμεταῖς ἐσυκοφαντεῖτο, πολλὰ τῶν κοινῶν παριδεῖν καὶ προέσθαι χαριζόμενος ἐκείναις. Τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας καὶ λιτότητος ἓν ἀπομνημόνευμα λέγεται τοιοῦτον. Ἰατρὸς αὐτῷ νοσοῦντι καὶ κακῶς ἔχοντι πρὸς τὰ σιτία κίχλην προσέταξε λαβεῖν. Ὡς δὲ ζητοῦντες οὐχ εὗρον ὤνιον (ἦν γὰρ παρ' ὥραν), ἔφη δέ τις εὑρεθήσεσθαι παρὰ Λευκούλλῳ δι' ἔτους τρεφομένας· „Εἶτ' (εἶπεν), εἰ μὴ Λούκουλλος ἐτρύφα, Πομπήϊος οὐκ ἂν ἔζησε;" καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν, ἔλαβέ τι τῶν εὐπορίστων. Ταῦτα μὲν οὖν ὕστερον.

Digitized by Google

III. Ἔτι δὲ πειράκιον ὢν παντάπασι, καὶ τῷ πατρὶ συστρατευόμενος ἀντιτεταγμένῳ πρὸς Κίνναν, Λεύκιόν τινα Τερέντιον εἶχεν ἑταῖρον καὶ σύσκηνον. Οὗτος ὑπὸ Κίννα πεισθεὶς χρήμασιν, αὐτὸς μὲν ἔμελλε Πομπήϊον ἀποκτενεῖν, ἕτεροι δὲ τὴν σκηνὴν ἐμπρήσειν τοῦ στρατηγοῦ. Μηνύσεως δὲ τῷ Πομπηΐῳ περ δεῖπνον ὄντι προσπεσούσης, οὐδὲν διαταραχθεὶς, ἀλλὰ καὶ πιὼν προθυμότερον, καὶ φιλοφρονησάμενος τὸν Τερέντιον, ἅμα τῷ τραπέσθαι πρὸς ἀνάπαυσιν ὑπεκρυεὶς τῆς σκηνῆς ἔλαθε, καὶ τῷ πατρὶ φρουρὰν περιστήσας ἡσύχαζεν. Ὁ δὲ Τερέντιος, ὡς ἐνόμιζε καιρὸν εἶναι, σπασάμενος τὸ ξίφος ἀνέστη, καὶ τῇ στιβάδι τοῦ Πομπηΐου προσελθὼν, ὡς κατακειμένου, πολλὰς ἐνεφόρει πληγὰς τοῖς στρώμασιν. Ἐκ δὲ τούτου γίνεται μέγα κίνημα μίσει τοῦ στρατηγοῦ, καὶ πρὸς ἀπόστασιν ὁρμὴ τῶν στρατιωτῶν, τάς τε σκηνὰς ἀνασπώντων, καὶ τὰ ὅπλα λαμβανόντων. Ὁ μὲν οὖν στρατηγὸς οὐ προήει, δεδιὼς τὸν θόρυβον· ὁ δὲ Πομπήϊος ἐν μέσοις ἀναστρεφόμενος καὶ δακρύων ἱκέτευε· τέλος δὲ ῥίψας ἑαυτὸν ἐπὶ στόμα πρὸ τῆς πύλης τοῦ χάρακος, ἐμποδὼν ἔκειτο κλαίων, καὶ πατεῖν κελεύων τοὺς ἐξιόντας· ὥστε ἕκαστον ἀναχωρεῖν ὑπ' αἰδοῦς, καὶ πάντας οὕτω, πλὴν ὀκτακοσίων, μεταβαλέσθαι καὶ διαλλαγῆναι πρὸς τὸν στρατηγόν.

IV. Ἅμα δὲ τῷ τελευτῆσαι τὸν Στράβωνα, δίκην κλοπῆς ἔσχεν ὑπὲρ αὐτοῦ δημοσίων χρημάτων ὁ Πομπήϊος. Καὶ τὰ μὲν πλεῖστα φωράσας ἕνα τῶν ἀπελευ-

Digitized by Google

θέρων δ Πομπήϊος νενοσφισμένον Ἀλέξανδρον, ἀπέδειξε τοῖς ἄρχουσιν· αὐτὸς δὲ λίνα θηρευτικὰ καὶ βιβλία τῶν ἐν Ἄσκλῳ ληφθέντων ἔχειν κατηγορεῖτο. Ταῦτα δ' ἔλαβε μὲν παρὰ τοῦ πατρὸς ἑλόντος τὸ Ἄσκλον, ἀπώλεσε δὲ, τῶν Κίννα δορυφόρων, ὅτε κατῆλθεν, ὠσαμένων εἰς τὴν οἰκίαν αὐτοῦ καὶ διαρπασάντων. Ἐγίνοντο δὲ τῆς δίκης αὐτῷ προαγῶνες οὐκ ὀλίγοι πρὸς τὸν κατήγορον. Ἐν οἷς ὀξὺς ἅμα καὶ παρ' ἡλικίαν εὐσταθὴς φαινόμενος, δόξαν ἔσχε μεγάλην καὶ χάριν· ὥστ' Ἀντίστιον στρατηγοῦντα, καὶ βραβεύοντα τὴν δίκην ἐκείνην, ἐρασθῆναι τοῦ Πομπηΐου, καὶ γυναῖκα δοῦναι τὴν ἑαυτοῦ θυγατέρα, καὶ περὶ τούτου τοῖς φίλοις διαλέγεσθαι. Δεξαμένου δὲ Πομπηΐου, καὶ γεναμένων ἐν αὐτοῖς ἀποῤῥήτων ὁμολογιῶν, ὅμως οὐκ ἔλαθε τοὺς πολλοὺς τὸ πρᾶγμα διὰ τὴν τοῦ Ἀντιστίου σπουδήν. Τέλος δὲ, τὴν γνώμην ἀναγορεύσαντος αὐτοῦ τῶν δικαστῶν ἀπολύουσαν, ὥσπερ ἐκ παραγγέλματος ὁ δῆμος ἐπεφώνησε τοῦτο δὴ τὸ τοῖς γαμοῦσιν ἐπιφωνούμενον ἐξ ἔθους παλαιοῦ, Ταλασίῳ. Τὸ δ' ἔθος ἀρχὴν λαβεῖν φασι τοιαύτην. Ὅτε τὰς θυγατέρας τῶν Σαβίνων ἐπὶ θέαν ἀγῶνος εἰς Ῥώμην παραγενομένας οἱ πρωτεύοντες ἁρετῇ Ῥωμαίων ἥρπαζον ἑαυτοῖς γυναῖκας, ἄδοξοί τινες αἰγελάται καὶ βοτῆρες ἁράμενοι κόρην καλὴν καὶ μεγάλην ἐκόμιζον. Ὅπως οὖν μὴ προστυχών τις ἀφέληται τῶν κρειττόνων, ἐβόων θέοντες ἅμα. Ταλασίῳ (τῶν δὲ χαριέντων καὶ γνωρίμων τις ἦν ὁ Ταλάσιος), ὥστε τοὺς ἀκούσαντας

Digitized by Google

τοῦνομα προτεῖν καὶ βοᾶν, οἷον συνηδομένους καὶ συνεπαινοῦντας. Ἐκ τούτου φασὶ (καὶ γὰρ εὐτυχὴς ὁ γάμος ἀπέβη τῷ Ταλασίῳ) ταύτην τὴν ἐπιφώνησιν μετὰ παιδιᾶς γίνεσθαι τοῖς γαμοῦσιν. Οὗτος ὁ λόγος πιθανώτατός ἐστι τῶν περὶ τοῦ Ταλασίου λεγομένων. Ὀλίγαις οὖν ὕστερον ἡμέραις ὁ Πομπήϊος ἠγάγετο τὴν Ἀντιστίαν.

V. Ἐπεὶ δὲ πρὸς Κίνναν εἰς τὸ στρατόπεδον πορευθεὶς, ἐξ αἰτίας τινὸς καὶ διαβολῆς ἔδεισε, καὶ ταχὺ λαθὼν ἐκποδὼν ἐποίησεν ἑαυτόν· οὐκ ὄντος δ' ἐμφανοῦς αὐτοῦ, θρασὺς διῆλθεν ἐν τῷ στρατοπέδῳ καὶ λόγος, ὡς ἀνῃρήκει τὸν νεανίσκον ὁ Κίννας· ἐκ δὲ τούτου οἱ πάλαι βαρυνόμενοι καὶ μισοῦντες ὥρμησαν ἐπ' αὐτόν. Ὁ δὲ, φεύγων καὶ καταλαμβανόμενος ὑπό τινος τῶν λοχαγῶν γυμνῷ τῷ ξίφει διώκοντος, προσέπεσε τοῖς γόνασι, καὶ τὴν σφραγῖδα προὔτεινε πολύτιμον οὖσαν. Ὁ δὲ καὶ μάλα ὑβριστικῶς εἰπὼν, „Ἀλλ' οὐκ ἐγγύην ἔχομαι σφραγιούμενος, ἀλλ' ἀνόσιον καὶ παράνομον τιμωρησόμενος τύραννον," ἀπέκτεινεν αὐτόν. Οὕτω δὲ τοῦ Κίννα τελευτήσαντος, ἐδέξατο μὲν τὰ πράγματα καὶ συνεῖχε Κάρβων, ἐμπληκτότερος ἐκείνου τύραννος. Ἐπῄει δὲ Σύλλας τοῖς πλείστοις ποθεινὸς ὑπὸ τῶν παρόντων κακῶν, οὐδὲ δεσπότου μεταβολὴν μικρὸν ἡγουμένοις ἀγαθόν. Εἰς τοῦτο προήγαγον αἱ συμφοραὶ τὴν πόλιν, ὡς δουλείαν ἐπιεικεστέραν ζητεῖν, ἀπογνώσει τῆς ἐλευθερίας.

VI. Τότ' οὖν ὁ Πομπήϊος ἐν τῇ Πικηνίδι τῆς

Digitized by Google

Ἰταλίας διέτριβεν, ἔχων μὲν αὐτόθι καὶ χωρία, τὸ δὲ πλέον ταῖς πόλεσιν ἡδόμενος, οἰκείως καὶ φιλικῶς πατρόθεν ἐχούσαις πρὸς αὐτόν. Ὁρῶν δὲ τοὺς ἐπιφανεστάτους καὶ βελτίστους τῶν πολιτῶν ἀπολείποντας τὰ οἰκεῖα, καὶ πανταχόθεν εἰς τὸ Σύλλα στρατόπεδον, ὥσπερ εἰς λιμένα, καταθέοντας, αὐτὸς οὐκ ἠξίωσεν ἀποδρὰς, οὐδ' ἀσύμβολος, οὐδὲ χρῄζων βοηθείας, ἀλλ' ὑπάρξας τινὸς χάριτος, ἐνδόξως καὶ μετὰ δυνάμεως ἐλθεῖν πρὸς αὐτόν. Ὅθεν ἐκίνει τοὺς Πικηνοὺς ἀποπειρώμενος. Οἱ δ' ὑπήκουον αὐτῷ προθύμως, καὶ τεῖς παρὰ Κάρβωνος ἥκουσιν οὐ προσεῖχον. Οὐϊνδίου δέ τινος εἰπόντος, ὅτι δημαγωγὸς αὐτοῖς ἐκ παιδαγωγείου παραπεπήδηκεν ὁ Πομπήϊος, οὕτως ἠγανάκτησαν, ὥστ' εὐθὺς ἀνελεῖν προσπεσόντες τὸν Οὐϊνδιον. Ἐκ τούτου Πομπήϊος, ἔτη μὲν τρία καὶ εἴκοσι γεγονὼς, ὑπ' οὐδενὸς δ' ἀνθρώπων ἀποδεδειγμένος στρατηγὸς, αὐτὸς ἑαυτῷ δοὺς τὸ ἄρχειν, ἐν Αὐξίμῳ, πόλει μεγάλῃ, βῆμα θεὶς ἐν ἀγορᾷ, καὶ τοὺς πρωτεύοντας αὐτῶν ἀδελφοὺς δύο Οὐεντιδίους, ὑπὲρ Κάρβωνος ἀντιπράττοντας, διατάγματι μεταστῆναι τῆς πόλεως κελεύσας, στρατιώτας κατέλεγε, καὶ λοχαγοὺς καὶ ταξιάρχους κατὰ κόσμον ἀποδείξας ἑκάστοις, τὰς κύκλῳ πόλεις ἐπῄει τὸ αὐτὸ ποιῶν. Ἐξανισταμένων δὲ καὶ ὑποχωρούντων, ὅσοι τὰ Κάρβωνος ἐφρόνουν, τῶν δ' ἄλλων ἀσμένως ἐπιδιδόντων ἑαυτοὺς, οὕτω κατανείμας ἐν ὀλίγῳ χρόνῳ τρία τάγματα τέλεια, καὶ τροφὴν πορίσας καὶ σκευαγωγὰ καὶ ἁμάξας, καὶ τὴν

Digitized by Google

ἄλλην πᾶσαν παρασκευὴν, ἦγε πρὸς Σύλλαν, οὐκ ἐπαιγόμενος, οὐδὲ τὸ λαθεῖν ἀγαπῶν, ἀλλὰ διατρέβων καθ' ὁδὸν ἐν τῷ κακῶς ποιεῖν τοὺς πολεμίους, καὶ πᾶν ὅσον ἐπῄει τῆς Ἰταλίας πειρώμενος ἀφιστάναι τοῦ Κάρβωνος.

VII. Ἀνέστησαν οὖν ἐπ' αὐτὸν τρεῖς ἅμα στρατηγοὶ πολέμιοι, Καρίννας, καὶ Κοίλλιος, καὶ Βροῦτος, οὐκ ἐναντίοι πάντες, οὐδ' ὁμόθεν, ἀλλὰ κύκλῳ τρισὶ στρατοπέδοις περιχωροῦντες, ὡς ἀναρπασόμενοι. Ὁ δ' οὐκ ἔδεισεν, ἀλλὰ πᾶσαν εἰς ταὐτὸ τὴν δύναμιν συναγαγὼν, ὥρμησεν ἐφ' ἓν τὸ τοῦ Βρούτου στράτευμα, τοὺς ἱππεῖς, ἐν οἷς ἦν αὐτὸς, προτάξας. Ἐπεὶ δὲ καὶ παρὰ τῶν πολεμίων ἀντεξίππευσαν οἱ Κελτοὶ, τὸν πρῶτον αὐτῶν καὶ ῥωμαλεώτατον φθάνει παίσας ἐκ χειρὸς δόρατι καὶ καταβαλών. Οἱ δ' ἄλλοι τραπόμενοι καὶ τὸ πεζὸν συνετάραξαν, ὥστε φυγὴν γενέσθαι πάντων. Ἐκ δὲ τούτου στασιάσαντες οἱ στρατηγοὶ πρὸς ἀλλήλους ἀνεχώρησαν, ὡς ἕκαστος ἔτυχε. Πομπηΐῳ δὲ προσεχώρουν αἱ πόλεις, ὡς διὰ φόβον ἐσκεδασμένων τῶν πολεμίων. Λύθις δὲ Σκιπίωνος ἐπιόντος αὐτῷ, τοῦ ὑπάτου, πρὶν ἐν ἐμβολαῖς ὑσσῶν γενέσθαι τὰς φάλαγγας, οἱ Σκιπίωνος ἀσπασάμενοι τοὺς Πομπηΐου μετεβάλλοντο· Σκιπίων δ' ἔφυγε. Τέλος δὲ, Κάρβωνος αὐτοῦ περὶ τὸν Ἄρσιν ποταμὸν ἱππέων συχνὰς ἴλας ἐφέντος, εὐρώστους ὑποστὰς καὶ τραφέντας, εἰς χαλεπὰ καὶ ἄφιππα χωρία πάντας ἐμβάλλει διώκων. Οἱ δὲ, τὴν σωτηρίαν ἀνέλπι-

Digitized by Google

στον ὁρῶντες, ἐνεχείρισαν αὐτοὺς μετὰ τῶν ὅπλων καὶ τῶν ἵππων.

VIII. Οὔπω δὲ ταῦτα Σύλλας ἐπέπτυστο· πρὸς δὲ τὰς πρώτας ἀγγελίας καὶ φήμας ὑπὲρ αὐτοῦ δεδοικὼς, ἐν τοσούτοις καὶ τηλικούτοις ἀναστρεφομένου στρατηγοῖς πολεμίοις, ἐβίωκε βοηθήσων. Γνοὺς δ' ὁ Πομπήϊος ἐγγὺς ὄντα, προσέταξε τοῖς ἡγεμόσιν ἐξοπλίζειν καὶ διακοσμεῖν τὴν δύναμιν, ὡς καλλίστη τῷ αὐτοκράτορι καὶ λαμπροτάτη φανείη. Μεγάλας γὰρ ἤλπιζε παρ' αὐτοῦ τιμάς· ἔτυχε δὲ μειζόνων. Ὡς γὰρ εἶδεν αὐτὸν ὁ Σύλλας προσιόντα, καὶ τὴν στρατιὰν παρεστῶσαν, εὐανδρίᾳ τε θαυμαστὴν, καὶ διὰ τὰς κατορθώσεις ἐπῃρμένην καὶ ἱλαράν, ἀποπηδήσας τοῦ ἵππου, καὶ προσαγορευθεὶς, ὡς εἰκὸς, αὐτοκράτωρ, ἀντιπροσηγόρευσεν αὐτοκράτορα τὸν Πομπήϊον· οὐδενὸς ἂν προσδοκήσαντος ἀνδρὶ νέῳ καὶ μηδέπω βουλῆς μετέχοντι κοινώσασθαι τοῦνομα τοῦτο Σύλλαν, περὶ οὗ Σκιπίωσι καὶ Μαρίοις ἐπολέμει. Καὶ τἆλλα δ' ἦν ὁμολογοῦντα ταῖς πρώταις φιλοφροσύναις, ὑπεξανισταμένου τε προσιόντι τῷ Πομπηΐῳ, καὶ τῆς κεφαλῆς ἀπάγοντος τὸ ἱμάτιον· ἃ πρὸς ἄλλον οὐ ῥᾳδίως ἑωρᾶτο ποιῶν, καίπερ ὄντων πολλῶν καὶ ἀγαθῶν περὶ αὐτόν. Οὐ μὴν ἐκουφίσθη γε τούτοις ὁ Πομπήϊος, ἀλλ' εὐθὺς εἰς τὴν Κελτικὴν ὑπ' αὐτοῦ πεμπόμενος, ἣν ἔχων ὁ Μέτελλος ἐδόκει μηδὲν ἄξιον πράττειν τῆς παρασκευῆς, οὐ καλῶς ἔφη ἔχειν, πρεσβύτερον καὶ προῦχοντα δόξῃ στρατηγίας ἀφαιρεῖσθαι. βουλομένῳ μέντοι τῷ

Digitized by Google

Μετέλλῳ καὶ κελεύοντι συμπολεμεῖν καὶ βοηθεῖν ἕτοιμος εἶναι. Λεξαμένου δὲ τοῦ Μετέλλου, καὶ γράψαντος ἥκειν, ἐμβαλὼν εἰς τὴν Κελτικὴν, αὐτός τε καθ' αὑτὸν ἔργα θαυμαστὰ διεπράττετο, καὶ τοῦ Μετέλλου τὸ μάχιμον καὶ θαρσαλέον ἤδη σβεννύμενον ὑπὸ γήρως αὖθις ἐξερρίπιζε καὶ συνεξεθέρμαινεν, ὥσπερ ὁ ῥέων καὶ πεπυρωμένος χαλκὸς, τῷ πεπηγότι καὶ ψυχρῷ περιχυθεὶς, λέγεται τοῦ πυρὸς μᾶλλον ἀνυγραίνειν καὶ συνανατήκειν. Ἀλλὰ γὰρ, ὥσπερ ἀθλητοῦ πρωτεύσαντος ἐν ἀνδράσι, καὶ τοὺς πανταχοῦ καθελόντος ἐνδόξως ἀγῶνας, εἰς οὐδένα λόγον τὰς παιδικὰς τίθενται νίκας, οὐδ' ἀναγράφουσιν· οὕτως ἃς ἔπραξε τότε πράξεις ὁ Πομπήϊος, αὐτὰς καθ' ἑαυτὰς ὑπερφυεῖς οὔσας, πλήθει δὲ καὶ μεγέθει τῶν ὕστερων ἀγώνων κατακεχωσμένας, δέδια κινεῖν, μὴ, περὶ τὰ πρῶτα πολλῆς διατριβῆς γενομένης, τῶν μεγίστων καὶ μάλιστα δηλούντων τὸ ἦθος ἔργων καὶ παθημάτων τοῦ ἀνδρὸς ἀπολειφθῶμεν.

IX. Ἐπει τοίνυν ἐκράτησε τῆς Ἰταλίας ὁ Σύλλας, καὶ δικτάτωρ ἀνηγορεύθη, τοὺς μὲν ἄλλους ἡγεμόνας καὶ στρατηγοὺς ἠμείβετο, πλουσίους ποιῶν, καὶ προσάγων ἐπ' ἀρχὰς, καὶ χαριζόμενος ἀφθόνως καὶ προθύμως, ὧν ἕκαστος ἐδεῖτο· Πομπήϊον δὲ θαυμάζων δι' ἀρετὴν, καὶ μέγα νομίζων ὄφελος εἶναι τοῖς ἑαυτοῦ πράγμασιν, ἐσπούδασεν ἀμοσγένως οἰκειότητι προσθέσθαι. Συμβουλομένης δὲ τῆς γυναικὸς αὐτοῦ, τῆς Μετέλλης, πείθουσι τὸν Πομ-

Digitized by Google

πῆον, ἀπαλλαγέντα τῆς Ἀντιστίας, λαβεῖν γυναῖκα τὴν Σύλλα πρόγονον Αἰμιλίαν, ἐκ Μετέλλης καὶ Σκαύρου γεγεννημένην, ἀνδρὶ δὲ συνοικοῦσαν ἤδη, καὶ κύουσαν τότε. Ἦν οὖν τυραννικὰ τὰ τοῦ γάμου, καὶ τοῖς Σύλλα καιροῖς μᾶλλον, ἢ τῷ Πομπηΐου βίῳ, πρέποντα, τῆς μὲν Αἰμιλίας ἀγομένης ἐγκύμονος παρ' ἑτέρου πρὸς αὐτὸν, ἐξελαυνομένης δὲ τῆς Ἀντιστίας ἀτίμως καὶ οἰκτρῶς, ἅτε δὴ καὶ τοῦ πατρὸς ἔναγχος ἐστερημένης διὰ τὸν ἄνδρα. Κατεσφάγη γὰρ ὁ Ἀντίστιος ἐν τῷ βουλευτηρίῳ, δοκῶν τὰ Σύλλα φρονεῖν διὰ Πομπήϊον. Ἡ δὲ μήτηρ αὐτῆς, ἐπιδοῦσα ταῦτα, προήκατο τὸν βίον ἑκουσίως, ὥστε καὶ τοῦτο τὸ πάθος τῇ περὶ τὸν γάμον ἐκεῖνον τραγῳδίᾳ προσγενέσθαι, καὶ νὴ Δία τὸ τὴν Αἰμιλίαν εὐθὺς διαφθαρῆναι παρὰ τῷ Πομπηΐῳ τίκτουσαν.

X. Ἐκ τούτου Σικελίαν ἠγγέλλετο Περπέννας αὐτῷ κρατύνεσθαι, καὶ τοῖς περιοῦσιν ἔτι τῆς ἐναντίας στάσεως ὁρμητήριον παρέχειν τὴν νῆσον, αἰωρουμένου καὶ Κάρβωνος αὐτόθι ναυτικῷ, καὶ Λομιτίου Λιβύῃ προσπεπτωκότος, ἄλλων τε πολλῶν ἐπ' ἐκεῖνα μεγάλων ὠθουμένων φυγάδων, ὅσοι τὰς προγραφὰς ἔφθησαν ἀποδράντες. Ἐπὶ τούτους Πομπήϊος ἀπεστάλη μετὰ πολλῆς δυνάμεως. Καὶ Περπέννας μὲν εὐθὺς αὐτῷ Σικελίας ἐξέστη· τὰς δὲ πόλεις ἀνελάμβανε τετρυχωμένας, καὶ φιλανθρώπως πάσαις ἐχρῆτο, πλὴν Μαμερτίνων τῶν ἐν Μεσσήνῃ. Παραιτουμένων γὰρ αὐτοῦ τὸ βῆμα καὶ τὴν δικαιο-

Digitized by Google

δοσίαν, ὡς νόμῳ παλαιῷ Ῥωμαίων ἀπειρημένα, „Οὐ παύσεσθε (εἶπεν), ἡμῖν ὑπεζωσμένοις ξίφη νόμους ἀναγινώσκοντες,“ Ἔδοξε δὲ καὶ ταῖς Κάρβωνος οὐκ ἀνθρωπίνως ἐνυβρίσαι συμφοραῖς. Εἰ γὰρ ἦν ἀναγκαῖον αὐτόν, ὥσπερ ἦν ἴσως, ἀνελεῖν, εὐθὺς ἔδει λαβόντα, καὶ τοῦ κελεύσαντος ἂν ἦν τὸ ἔργον. Ὁ δὲ, δέσμιον προαγαγὼν ἄνδρα Ῥωμαῖον, τρὶς ὑπατεύσαντα, καὶ πρὸ τοῦ βήματος στήσας, καθεζόμενος αὐτὸς ἀνέκρινεν, ἀχθομένων καὶ βαρυνομένων τῶν παρόντων· εἶτ' ἐκέλευσεν ἀπαγαγόντας ἀνελεῖν. Ἀπαχθέντα μέντοι φασὶν αὐτὸν, ὡς εἶδεν ἑλκόμενον ἤδη τὸ ξίφος, δεῖσθαι τόπον αὐτῷ καὶ χρόνον βραχὺν, ὡς ὑπὸ κοιλίας ἐνοχλουμένῳ, παρασχεῖν. Γάϊος δὲ Ὄππιος, ὁ Καίσαρος ἑταῖρος, ἀπανθρώπως φησὶ καὶ Κοΐντῳ Οὐαλερίῳ χρήσασθαι τὸν Πομπήϊον. Ἐπιστάμενον γὰρ, ὡς ἔστι φιλολόγος ἀνὴρ καὶ φιλομαθὴς ἐν ὀλίγοις ὁ Οὐαλέριος, ὡς ἦχθη πρὸς αὐτὸν, ἐπισπασάμενον καὶ συμπεριπατήσαντα, καὶ πυθόμενον ὧν ἔχρῃζε, καὶ μαθόντα, προστάξαι τοῖς ὑπηρέταις εὐθὺς ἀνελεῖν ἀπαγαγόντας. Ἀλλ' Ὄππίῳ μὲν, ὅταν περὶ τῶν Καίσαρος πολεμίων, ἢ φίλων, διαλέγηται, σφόδρα δεῖ πιστεύειν μετ' εὐλαβείας. Πομπήϊος δὲ τοὺς μὲν ἐν δόξῃ μάλιστα τῶν Σύλλα πολεμίων, καὶ φανερῶς ἁλισκομένους, ἀναγκαίως ἐκόλαζε· τῶν δ' ἄλλων ὅσους ἐξῆν, περιεώρα λανθάνοντας, ἐνίους δὲ καὶ συνεξέπεμψε. Τὴν δ' Ἰμεραίων πόλιν ἐγνωκότος αὐτοῦ κολάζειν, γενομένην μετὰ τῶν πολεμίων, Σθένις, ὁ δημαγω-

Digitized by Google

γὸς, αἰτησάμενος λόγον, οὐκ ἔφη δίκαια ποιήσειν τὸν Πομπήϊον, ἐὰν, τὸν αἴτιον ἀφεὶς, ἀπολέσῃ τοὺς μηδὲν ἀδικοῦντας. Ἐρομένου δ' ἐκείνου, τίνα λέγει τὸν αἴτιον, ἑαυτὸν ὁ Σθένις ἔφη, τοὺς μὲν φίλους πείσαντα τῶν πολιτῶν, τοὺς δ' ἐχθροὺς βιασάμενον. Ἀγασθεὶς οὖν τὴν παῤῥησίαν καὶ τὸ φρόνημα τοῦ ἀνδρὸς ὁ Πομπήϊος, ἀφῆκε τῆς αἰτίας πρῶτον ἐκεῖνον, εἶτα καὶ τοὺς ἄλλους ἅπαντας. Ἀκούων δὲ τοὺς στρατιώτας ἐν ταῖς ὁδοιπορίαις ἀτακτεῖν, σφραγῖδα ταῖς μαχαίραις αὐτῶν ἐπέβαλεν, ἣν ὁ μὴ φυλάξας ἐκολάζετο.

XI. Ταῦτα πράττων ἐν Σικελίᾳ καὶ πολιτευόμενος, ἐδέξατο δύγμα συγκλήτου, καὶ γράμματα Σύλλα, κελεύοντα εἰς Λιβύην πλεῖν, καὶ πολεμεῖν Δομιτίῳ κατὰ κράτος, ἠθροικότι πολλαπλασίαν δύναμιν, ἧς ἔχων Μάριος οὐ πάλαι διεπέρασεν ἐκ Λιβύης εἰς Ἰταλίαν, καὶ συνέχει τὰ Ῥωμαίων πράγματα, τύραννος ἐκ φυγάδος καταστάς. Ὀξέως οὖν ἅπαντα παρασκευασάμενος ὁ Πομπήϊος, Σικελίας μὲν ἄρχοντα Μέμμιον κατέλιπε, τὸν ἄνδρα τῆς ἀδελφῆς. αὐτὸς δ' ἀνήγετο ναυσὶ μὲν μακραῖς ἑκατὸν εἴκοσι, φορτηγοῖς δὲ σῖτον καὶ βέλη καὶ χρήματα καὶ μηχανὰς κομιζούσαις ὀκτακοσίαις. Κατασχύντι δ' αὐτῷ ταῖς μὲν εἰς Ἰτύκην ναυσὶ, ταῖς δ' εἰς Καρχηδόνα, τῶν πολεμίων ἀποστάντες ἑπτακισχίλιοι προσεχώρησαν. Αὐτὸς δ' ἦγεν ἓξ ἐντελῆ τάγματα. Συμβῆναι δ' αὐτῷ πρᾶγμα γελοῖον ἱστοροῦσι. Στρατιῶται γάρ τινες, ὡς ἔοικε, θησαυρῷ περιπεσόν-

Digitized by Google

τες ἔλαβον συχνὰ χρήματα. Τοῦ δὲ πράγματος γενομένου φανεροῦ, ἔδοξε τοῖς ἄλλοις πᾶσι χρημάτων μεστὸν εἶναι τὸν τόπον, ἐν ταῖς ποτὲ τύχαις τῶν Καρχηδονίων ἀποτεθειμένων. Οὐδὲν οὖν ὁ Πομπήϊος εἶχε χρῆσθαι τοῖς στρατιώταις ἐπὶ πολλὰς ἡμέρας θησαυροὺς ζητοῦσιν, ἀλλὰ περιῆει γελῶν καὶ θεώμενος ὁμοῦ μυριάδας τοσαύτας ὀρυσσούσας καὶ στρεφούσας τὸ πεδίον. ἕως ἀπειπόντες ἐκέλευον αὐτοὺς ἄγειν, ὅπη βούλεται, τὸν Πομπήϊον, ὡς δίκην ἱκανὴν τῆς ἀβελτερίας δεδωκότας.

XII. Ἀντιτεταγμένου δὲ τοῦ Λομιτίου, καὶ χαράδραν τινὰ προβεβλημένου χαλεπὴν περάσαι καὶ τραχεῖαν, ὄμβρος ἅμα πνεύματι πολὺς ἔωθεν ἀρξάμενος κατεῖχεν· ὥστ' ἀπογνόντα τῆς ἡμέρας ἐκείνης μαχέσασθαι τὸν Λομίτιον ἀναζυγὴν παραγγεῖλαι. Πομπήϊος δὲ τοῦτον ἑαυτοῦ ποιούμενος τὸν καιρὸν, ὀξέως ἐπῆει καὶ διέβαινε τὴν χαράδραν. Οἱ δ' ἀτάκτως, καὶ θορυβούμενοι, καὶ οὐ πάντες, οὐδ' ὁμαλῶς ὑφίσταντο· καὶ τὸ πνεῦμα περιῆει, τὴν ζάλην αὐτοῖς προσβάλλον ἐναντίαν. Οὐ μὴν ἀλλὰ καὶ τοὺς Ῥωμαίους ὁ χειμὼν ἐτάραξεν, οὐ καθορῶντας ἀλλήλους ἀκριβῶς· αὐτός τε Πομπήϊος ἐκινδύνευσεν ἀγνοηθεὶς ἀποθανεῖν, ἐρωτῶντι στρατιώτῃ τὸ σύνθημα βράδιον ἀποκρινάμενος. Ὡσάμενοι δὲ πολλῷ φόνῳ τοὺς πολεμίους (λέγονται γὰρ ἀπὸ δισμυρίων τρισχίλιοι διαφυγεῖν) αὐτοκράτορα τὸν Πομπήϊον ἠσπάσαντο. Φήσαντος δ' ἐκείνου μὴ δέχεσθαι τὴν τιμὴν, ἕως ὀρθὸν ἔστηκε τὸ στρατόπεδον τῶν πολε-

Digitized by Google

μίων· εἰ δ' αὐτὸν ἀξιοῦσι ταύτης τῆς προσηγορίας, ἐκεῖνο χρῆναι πρότερον καταβαλεῖν, ὥρμησαν εὐθὺς ἐπὶ τὸν χάρακα· καὶ Πομπήϊος ἄνευ κράνους ἠγωνίζετο, δεδοικὼς τὸ πρότερον πάθος. Ἁλίσκεται δὲ τὸ στρατόπεδον, καὶ ἀποθνήσκει Δομίτιος. Τῶν δὲ πόλεων αἱ μὲν εὐθὺς ὑπήκουον, αἱ δὲ κατὰ κράτος ἑλήφθησαν. Εἶλε δὲ καὶ τῶν βασιλέων Ἰάρβαν, τὸν συμμαχήσαντα Δομιτίῳ, τὴν δὲ βασιλείαν Ἰέμψαλ παρέδωκε. Χρώμενος δὲ τῇ τύχῃ, καὶ τῇ ῥώμῃ τοῦ στρατεύματος, εἰς τὴν Νομαδικὴν ἐνέβαλε· καὶ πολλῶν ὁδὸν ἡμερῶν ἐλάσας, καὶ πάντων κρατήσας, οἷς ἐνέτυχε, καὶ τὸ πρὸς Ῥωμαίους δέος, ἤδη τῶν βαρβάρων ἐξερρύηκὸς, αὖθις ἰσχυρὸν καὶ φοβερὸν κατεστήσας, οὐδὲ τὰ θηρία δεῖν ἔφη τὰ τὴν Λιβύην κατοικοῦντα τῆς τῶν Ῥωμαίων ἄπειρα φόβης καὶ τύχης ἀπολιπεῖν. Ὅθεν ἐν θήραις λεόντων καὶ ἐλεφάντων ἡμέρας διέτριψεν οὐ πολλάς· ταῖς δὲ πάσαις, ὡς φασι τεσσαράκοντα, τοὺς πολεμίους συνεῖλε, καὶ Λιβύην ἐχειρώσατο, καὶ διῆτησε τὰ τῶν βασιλέων, ἔτος ἄγων ἐκεῖνο τέταρτον καὶ εἰκοστόν.

XIII. Ἐπανελθόντι δ' εἰς Ἰτύκην αὐτῷ γράμματα κομίζεται Σύλλα, προστάττοντος ἀφιέναι μὲν τὴν ἄλλην στρατιὰν, αὐτὸν δὲ μετ' ἐνὸς τάγματος περιμένειν αὐτόθι τὸν διαδεξόμενον στρατηγόν. Ἐπὶ τούτοις ἀθύμως μὲν αὐτὰς ἤχθετο, καὶ βαρέως ἔφερεν, ἐμφανῶς δ' ὁ στρατὸς ἠγανάκτει· καὶ δεηθέντος τοῦ Πομπηΐου προελθεῖν, τόν τε Σύλλαν κακῶς ἔλεγον, κἀκεῖνον οὐκ ἔφασαν προήσεσθαι χω-

Digitized by Google

ρὶς αὐτῶν, οὔδ' εἴων πιστεύειν τῷ τρράννῳ. Τὸ μὲν οὖν πρῶτον ὁ Πομπήϊος ἐπειρᾶτο πραΰνειν καὶ παρηγορεῖν αὐτούς· ὡς δ' οὐκ ἔπειθε, καταβὰς ἀπὸ τοῦ βήματος, ἐπὶ τὴν σκηνὴν ἀπῄει δεδακρυμένος. Οἱ δὲ, σαλλαβόντες αὐτόν, αὖθις ἐπὶ τοῦ βήματος κατέστησαν. καὶ πολὺ μέρος τῆς ἡμέρας ἀνηλώθη, τῶν μὲν μένειν καὶ ἄρχειν κελευόντων, τοῦ δὲ πείθεσθαι δεομένου, καὶ μὴ στασιάζειν ἄχρις οὗ, προσλιπαρούντων καὶ καταβοώντων, ἄμοσεν ἀναιρήσειν ἑαυτὸν, εἰ βιάζοιντο· καὶ πόλις ἐπαύσαντο οὕτω. Τῷ δὲ Σύλλᾳ πρώτη μὲν ἦλθεν ἀγγελία, τὸν Πομπήϊον ἀφεστάναι· καὶ πρὸς τοὺς φίλους εἶπεν, ὡς ἄρα πεπρωμένον ἦν αὐτῷ γενομένῳ γέροντι παίδων ἀγῶνας ἀγωνίζεσθαι, διὰ τὸ καὶ Μάριον αὐτῷ νέον ὄντα κομιδῇ πλεῖστα πράγματα παρασχεῖν, καὶ εἰς τοὺς ἐσχάτους περιστῆσαι κινδύνους. Πυθόμενος δὲ τἀληθῆ, καὶ πάντας ἀνθρώπους αἰσθανόμενος δέχεσθαι καὶ παραπέμπειν τὸν Πομπήϊον ὁρμημένους μετ' εὐνοίας, ἔσπευδεν ὑπερβαλέσθαι· καὶ προελθὼν ἀπήντησεν αὐτῷ, καὶ δεξιωσάμενος ὡς ἐνῆν προθυμότατα, μεγάλῃ φωνῇ Μάγνον ἠσπάσατο, καὶ τοὺς παρόντας οὕτως ἐκέλευσε προσαγορεῦσαι. Σημαίνει δὲ μέγαν ὁ Μάγνος. Ἕτεροι δέ φασιν ἐν Λιβύῃ πρῶτον ἀποφώνημα τοῦτο τοῦ στρατοῦ παντὸς γενέσθαι, κράτος δὲ λαβεῖν καὶ δύναμιν, ὑπὸ Σύλλα βεβαιωθέν. Αὐτὸς μέντοι πάντων ὕστατος καὶ μετὰ πολὺν χρόνον, εἰς Ἰβηρίαν ἀνθύπατος ἐκπεμφθεὶς ἐπὶ Σερτώριον, ἦρ-

Digitized by Google

ξατο γράφειν ἑαυτὸν ἐν ταῖς ἐπιστολαῖς καὶ τοῖς διατάγμασι Μάγνον Πομπήϊον. Οὐκ ἔτι γὰρ ἦν ἐπίφθονον τοὔνομα, σύνηθες γενόμενον. Ὅθεν εἰκότως ἂν ἀγασθείη καὶ θαυμάσειεν ἄν τις τοὺς πάλαι Ῥωμαίους, οἳ ταῖς τοιαύταις ἐπικλήσεσι καὶ προσωνυμίαις οὐ τὰς πολεμικὰς ἠμείβοντο καὶ στρατιωτικὰς κατορθώσεις μόνον, ἀλλὰ καὶ τὰς πολιτικὰς πράξεις καὶ ἀρετὰς ἐκάμνον. Δύο γοῦν Μαξίμους, ὅπερ ἐστὶ μεγίστους, ἀνηγόρευσεν ὁ δῆμος· Οὐαλέριον μὲν, ἐπὶ τῷ διαλλάξαι στασιάζουσαν αὐτῷ τὴν σύγκλητον· Φάβιον δὲ Ῥοῦλλον, ὅτι πλουσίους τινὰς ἐξ ἀπελευθέρων γεγονότας καὶ κατειλεγμένους εἰς τὴν σύγκλητον ἐξέβαλεν.

XIV. Ἐκ τούτου θριαμβον ἤτει Πομπήϊος ἀντέλεγε δὲ Σύλλας. Ὑπάτῳ γὰρ, ἢ στρατηγῷ μόνῳ, ἄλλῳ δ' οὐδενὶ δίδωσιν ὁ νόμος. Διὸ καὶ Σκιπίων ὁ πρῶτος, ἀπὸ μειζόνων καὶ κρειττόνων ἀγώνων ἐν Ἰβηρίᾳ Καρχηδονίων κρατήσας, οὐκ ἤτησε θρίαμβον· ὕπατος γὰρ οὐκ ἦν, οὐδὲ στρατηγός. Εἰ δὲ Πομπήϊος οὔπω πάνυ γενειῶν εἰσελᾷ θριαμβεύων εἰς τὴν πόλιν, ᾧ βουλῆς διὰ τὴν ἡλικίαν οὐ μέτεστι, παντέπασιν ἐπίφθονον ἔσεσθαι καὶ τὴν ἀρχὴν ἑαυτῷ, καὶ τὴν τιμὴν ἐκείνῳ. Ταῦτα πρὸς Πομπήϊον ὁ Σύλλας ἔλεγεν, ὡς οὐκ ἐάσων, ἀλλ' ἐνστησόμενος αὐτῷ, καὶ κολούσων τὸ φιλόνεικον ἀπειθοῦντος. Ὁ δὲ Πομπήϊος οὐχ ὑπέπτηξεν, ἀλλ' ἐννοεῖν ἐκέλευε τὸν Σύλλαν, ὅτι τὸν ἥλιον ἀνατέλλοντα πλείονες, ἢ δυόμενον, προσκυνοῦσιν· ὡς αὐτῷ μὲν αὐξανομέ-

Digitized by Google

νης, μειουμένης δὲ καὶ μαραινομένης ἐκείνῳ τῆς δυνάμεως. Ταῦτα ὁ Σύλλας οὐκ ἀκριβῶς ἀκούσας, ὁρῶν δὲ τοὺς ἀκούσαντας ἀπὸ τοῦ προσώπου καὶ τοῦ σχήματος ἐν θαύματι ποιουμένους, ἤρετο, τί τὸ λεχθὲν εἴη. Πυθόμενος δὲ, καὶ καταπλαγεὶς τοῦ Πομπηΐου τὴν τόλμαν, ἀνεβόησε δὶς ἐφεξῆς· „Θριαμβευσάτω.“ Πολλῶν δὲ δυσχεραινόντων καὶ ἀγανακτούντων, ἔτι μᾶλλον αὐτοὺς, ὥς φασι, βουλόμενος ἀνιᾶν ὁ Πομπήϊος, ἐπεχείρησεν ἅρματι ἐλεφάντων τεττάρων ἐπιβὰς εἰσελαύνειν· ἦγαγε γὰρ ἐκ Λιβύης τῶν βασιλικῶν συχνοὺς αἰχμαλώτους· ἀλλὰ, τῆς πύλης στενωτέρας οὔσης, ἀπέστη, καὶ μετῆλθεν ἐπὶ τοὺς ἵππους. Ἐπεὶ δ' οἱ στρατιῶται, μὴ τυχόντες ἡλίκων προσεδόκησαν, ἐνοχλεῖν ἐβούλοντο καὶ θορυβεῖν, οὐδὲν ἔφη φροντίζειν, ἀλλ' ἀφήσειν μᾶλλον τὸν θρίαμβον, ἢ κολακεύσειν ἐκείνους. Ὅτε δὴ καὶ Σερουΐλιος, ἀνὴρ ἐπιφανὴς, καὶ μάλιστα πρὸς τὸν θρίαμβον ἑνστὰς τοῦ Πομπηΐου, νῦν ἔφη τόν Πομπήϊον ὁρᾶν καὶ μέγαν ἀληθῶς καὶ ἄξιον τοῦ θριάμβου. Δῆλον δ' ἐστὶν, ὅτι καὶ βουλῆς ἂν ἐθελήσας τότε ῥᾳδίως ἔτυχεν. Ἀλλ' οὐκ ἐσπούδασεν, ὡς λέγουσι, τὸ ἔνδοξον ἐκ τοῦ παραδόξου θηρώμενος. Οὐ γὰρ ἦν θαυμαστὸν, εἰ πρὸ ἡλικίας ἐβούλευε Πομπήϊος, ἀλλ' ὑπέρλαμπρον, ὅτι μηδέπω βουλεύων ἐθριάμβευε. Τοῦτο δ' αὐτῷ καὶ πρὸς εὔνοιαν ὑπῆρχε τῶν πολλῶν οὐ μικρόν. Ἔχαιρε γὰρ ὁ δῆμος αὐτῷ μετὰ θρίαμβον ἐν τοῖς ἱππικοῖς ἐξεταζομένῳ.

Digitized by Google

XV. Σύλλας δ' ἠνιᾶτο μὲν, ὁρῶν, εἰς ὅσον δόξης πρόεισι καὶ δυνάμεως, αἰσχυνόμενος δὲ κωλύειν, ἡσυχίαν ἦγε· πλὴν ὅτε βίᾳ καὶ ἄκοντος αὐτοῦ Λέπιδον εἰς ὑπατείαν κατέστησε συναρχαιρεσιάσας, καὶ τὸν δῆμον τῇ πρὸς αὐτὸν εὐνοίᾳ ἐκείνῳ σπουδάζοντα παρασχὼν, θεασάμενος αὐτὸν ἀπιόντα μετὰ πλήθους δι' ἀγορᾶς ὁ Σύλλας· „Ὁρῶ σ' (εἶπεν), ὦ νεανία, χαίροντα τῇ νίκῃ. Πῶς γὰρ οὐχὶ γενναῖα ταῦτα καὶ καλὰ, Κάτλου, τοῦ πάντων ἀρίστου, Λέπιδον, τὸν πάντων κάκιστον, ἀποδειχθῆναι πρότερον ὕπατον, σοῦ τὸν δῆμον οὕτω παρασκευάσαντος; Ὥρα μέντοι σοι μὴ καθεύδειν, ἀλλὰ προσέχειν τοῖς πράγμασιν· ἰσχυρότερον γὰρ τὸν ἀνταγωνιστὴν σεαυτῷ παρεσκεύακας.“ Ἐδήλωσε δὲ μάλιστα Σύλλας, ὅτι πρὸς Πομπήϊον οὐκ εὐμενῶς εἶχε, ταῖς διαθήκαις, ἃς ἔγραψεν. Ἑτέροις γὰρ φίλοις δωρεὰς ἀπολιπὼν, καὶ τοῦ παιδὸς ἀποδείξας ἐπιτρόπους, τὸν Πομπήϊον ὅλως παρῆλθεν. Ἤνεγκε μέντοι τοῦτο μετρίως πάνυ καὶ πολιτικῶς ἐκεῖνος· ὥστε, Λεπίδου καί τινων ἄλλων ἐνισταμένων μὴ ταφῆναι τὸν νεκρὸν ἐν τῷ πεδίῳ, μηδὲ δημοσίᾳ τὴν ἐκφορὰν γενέσθαι, βοηθῆσαι, καὶ παρασχεῖν δόξαν ἅμα ταῖς ταφαῖς καὶ ἀσφάλειαν.

XVI. Ἐπεὶ δὲ ταχὺ τοῦ Σύλλα τελευτήσαντος εἰς φῶς παρῆλθε τὰ μαντεύματα, καὶ Λέπιδος εἰμποιῶν ἑαυτὸν εἰς τὴν ἐκείνου δύναμιν, οὐ κύκλῳ περιὼν, οὐδὲ μετὰ σχήματος, ἀλλ' εὐθὺς ἐν τοῖς ὅπλοις ἦν, τὰ πάλαι νοσοῦντα καὶ διαφυγόντα τὸν

Digitized by Google

Σύλλαν ὑπολείμματα τῶν στάσεων αὖθις ἀνακινῶν καὶ περιβαλλόμενος, ὁ δὲ συνάρχων αὐτοῦ Κάτλος, ᾧ τὸ καθαρὸν καὶ ὑγιαῖνον μάλιστα τῆς βουλῆς καὶ τοῦ δήμου προσεῖχεν, ἦν μὲν ἐν ἀξιώματι σωφροσύνης καὶ δικαιοσύνης μέγιστος τῶν τότε Ῥωμαίων, ἐδόκει δὲ πολιτικῆς ἡγεμονίας μᾶλλον, ἢ στρατιωτικῆς, οἰκεῖος εἶναι, τῶν πραγμάτων αὐτῶν ποθούντων τὸν Πομπήϊον· οὐ διεμέλλησεν, ὅπη τράπηται. Προσθεὶς δὲ τοῖς ἀρίστοις ἑαυτὸν, ἀπεδείχθη στρατεύματος ἡγεμὼν ἐπὶ τὸν Λέπιδον, ἤδη πολλὰ τῆς Ἰταλίας νενικηκότα, καὶ τὴν ἐντὸς Ἄλπεων Γαλατίαν κατέχοντα διὰ Βρούτου στρατεύματι. Τῶν μὲν οὖν ἄλλων ἐκράτησε ῥᾳδίως ἐπελθὼν ὁ Πομπήϊος· ἐν δὲ Μουτίνῃ τῆς Γαλατίας ἀντεκάθητο τῷ Βρούτῳ συχνὸν χρόνον· ἐν ᾧ Λέπιδος ἐπὶ τὴν Ῥώμην ὁρμὰς καὶ προσκαθήμενος ἔξωθεν, ὑπατείαν ᾔτει δευτέραν, ὄχλῳ πολλῷ δεδιττόμενος τοὺς ἔνδον. Ἔλυσε δὲ τὸν φόβον ἐπιστολὴ παρὰ Πομπηΐου κομισθεῖσα, κατωρθωκότος ἄνευ μάχης τὸν πόλεμον. Ὁ γὰρ Βροῦτος, εἴτε παραδοὺς τὴν δύναμιν αὐτὸς, εἴτε προδοθεὶς μεταβαλλομένης ἐκείνης, ἐνεχείρισε τῷ Πομπηΐῳ τὸ σῶμα, καὶ λαβὼν ἱππεῖς προπομποὺς, ἀπεχώρησεν εἰς πολίχνιόν τι τῶν περὶ τὸν Πάδον. Ὅπου μεθ' ἡμέραν μίαν, ἐπιπέμψαντες αὐτῷ τοῦ Πομπηΐου Γεμίνιον, ἀνῃρέθη· καὶ πολλὴν ἔσχεν ἀπὸ τούτου Πομπήϊος αἰτίαν. Γεγραφὼς γὰρ εὐθὺς ἐν ἀρχῇ τῆς μεταβολῆς πρὸς τὴν σύγκλητον, ὡς ἑκὼν αὐτῷ πρόσθοιτο Βροῦτος, ἐπεὶ-

Digitized by Google

αὖθις ἔπεμψεν ἐπιστολὰς ἀνηρημένου τοῦ ἀνθρώπου κατηγορούσας. Τούτου Βροῦτος ἦν υἱός, ὁ Καίσαρα σὺν Κασσίῳ κτείνας, ἀνὴρ ὁμοίως τῷ πατρὶ μήτε πολεμήσας, μήτ' ἀποθανών, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Λέπιδος μὲν οὖν εὐθὺς, ἐκπεσὼν τῆς Ἰταλίας, ἀπέδρασεν εἰς Σαρδόνα· κἀκεῖ νοσήσας, ἐτελεύτησε δι' ἀθυμίαν, οὐ τῶν πραγμάτων, ὥς φασιν, ἀλλὰ γραμματίῳ περιπεσών, ἐξ οὗ μοιχείαν τινὰ τῆς γυναικὸς κατεφώρασε.

XVII. Λεπίδῳ δ' οὐδὲν ὅμοιος στρατηγὸς Ἰβηρίαν κατέχων Σερτώριος, ἐπῃωρεῖτο Ῥωμαίοις φοβερὸς, ὥσπερ ἐπ' ἔσχατον νόσημα τῶν ἐμφυλίων πολέμων εἰς τοῦτον τὸν ἄνδρα συνερρυηκότων, πολλοὺς μὲν ἤδη τῶν ἐλαττόνων στρατηγῶν ἀνηρηκότα, Μετέλλῳ δὲ Πίῳ τότε συμπεπλεγμένον, ἀνδρὶ λαμπρῷ μὲν καὶ πολεμικῷ, δοκοῦντι δ' ἀργότερον ὑπὸ γήρως ἔπεσθαι τοῖς καιροῖς τοῦ πολέμου, καὶ ἀπολείπεσθαι τῶν πραγμάτων, ἁρπαζομένων ὀξύτητι καὶ τάχει τοῦ Σερτωρίου; παραβόλως καὶ ληστρικώτερον αὐτῷ προσφερομένου, καὶ ταράττοντος ἐνέδραις καὶ περιδρομαῖς ἄνδρα νομίμων ἀθλητὴν ἀγώνων, καὶ δυνάμεως στασίμου καὶ βαρείας ἡγεμόνα. Πρὸς ταῦτα Πομπήϊος ἔχων στρατιὰν ὑφ' ἑαυτῷ, διεπράττετο Μετέλλῳ πεμφθῆναι βοηθός· καὶ Κάτλου κελεύοντος οὐ διέλυεν, ἀλλ' ἐν τοῖς ὅπλοις ἦν περὶ τὴν πόλιν, ἀεί τινας ποιούμενος προφάσεις, ἕως ἔδωκαν αὐτῷ τὴν ἀρχὴν, Λευκίου Φιλίππου γνώμην εἰπόντος. Ὅτε καί φασιν, ἐν συγκλήτῳ πυ-

Digitized by Google

θομένου τινὸς, καὶ θαυμάζοντος, εἰ Πομπήϊον ἀνθύπατον οἴεται δεῖν ἐκπεμφθῆναι Φίλιππος· „Οὐκ ἔγωγε (φάναι τὸν Φίλιππον), ἀλλ' ἐνθ' ὑπάτων." ὡς ἀμφοτέρους τοὺς τότε ὑπατεύοντας οὐδενὸς ἀξίους ὄντας.

XVIII. Ἐπεὶ δὲ τῆς Ἰβηρίας ἅψάμενος ὁ Πομπήϊος, οἷα φιλεῖ πρὸς νέου δόξαν ἡγεμόνος, ἑτέρους ταῖς ἐλπίσιν ἐποίησε τοὺς ἀνθρώπους, καὶ τὰ μὴ πάνυ βεβαίως τῷ Σερτωρίῳ συνεστῶτα τῶν ἐθνῶν ἐκινεῖτο καὶ μετεβάλλετο, λόγους ὑπερηφάνους ὁ Σερτώριος κατὰ τοῦ Πομπηΐου διέσπειρε, καὶ σκώπτων ἔλεγε νάρθηκος ἂν αὐτῷ δεῆσαι καὶ σκύτους ἐπὶ τὸν παῖδα τοῦτον, εἰ μὴ τὴν γραῦν ἐκείνην ἐφοβεῖτο, λέγων τὸν Μέτελλον. Ἔργῳ μέντοι φυλαττόμενος σφόδρα καὶ δεδοικὼς τὸν Πομπήϊον, ἀσφαλέστερον ἐστρατήγει. Καὶ γὰρ ὁ Μέτελλος, ὅπερ οὐκ ἄν τις ᾠήθη, διετέθρυπτο τῷ βίῳ κομιδῇ πρὸς τὰς ἡδονὰς ἐνδεδωκώς· καὶ μεγάλη τις εἰς ὄγκον καὶ πολυτέλειαν ἐξαίφνης ἐγεγόνει μεταβολὴ περὶ αὐτόν· ὥστε τῷ Πομπηΐῳ καὶ τοῦτο θαυμαστὴν εὔνοιαν ἅμα τῇ δόξῃ φέρειν, ἐπιτείνοντι τὴν εὐτέλειαν τῆς διαίτης οὐ πολλῆς ἐπιτηδεύσεως δεομένην. Φύσει γὰρ ἦν σώφρων καὶ τεταγμένος ἐν ταῖς ἐπιθυμίαις. Τοῦ δὲ πολέμου πολλὰς ἰδέας ἔχοντος, ἠνίασε μάλιστα τὸν Πομπήϊον ἡ Λαύρωνος ἅλωσις ὑπὸ Σερτωρίου. Κυκλοῦσθαι γὰρ αὐτὸν οἰηθεὶς, καί τι μεγαληγορήσας, αὐτὸς ἐξαίφνης ἀνεφάνη περιεχόμενος κύκλῳ· καὶ διὰ τοῦτο κινεῖσθαι δε-

Digitized by Google

διὼς, ἐπεῖδε καταπιμπραμένην τὴν πόλιν, αὐτοῦ παρόντος. Ἐρέννιον δὲ καὶ Περπέννην, ἄνδρας ἡγεμονικοὺς τῶν πρὸς Σερτώριον καταπεφευγότων καὶ στρατηγούντων ἐκείνῳ, νικήσας περὶ Οὐαλεντίαν, ὑπὲρ μυρίους ἀπέκτεινεν.

XIX. Ἐπαρθεὶς δὲ τῇ πράξει καὶ μέγα φρονῶν, ἐπ' αὐτὸν ἔσπευδε Σερτώριον, ὡς μὴ μετάσχοι τῆς νίκης Μέτελλος. Περὶ δὲ Σούκρωνι ποταμῷ, τῆς ἡμέρας ἤδη τελευτώσης, συνέβαλλον τὰς δυνάμεις, δεδιότες μετελθεῖν τὸν Μέτελλον, ὁ μὲν, ὡς μόνος, ὁ δ', ὡς μόνῳ διαγωνίσαιτο. Τὸ μὲν οὖν τέλος ἀμφίδοξον ἔσχεν ὁ ἀγών· ἑκατέρου γὰρ θάτερον κέρας ἐνίκησε. Τῶν δὲ στρατηγῶν πλέον ἠνέγκατο Σερτώριος· ἐτρέψατο γὰρ τὸ καθ' αὑτὸν ἐκεῖνος ἀντιταχθείς. Πομπηΐῳ δ' ἀνὴρ μέγας ἱππότης πεζὸς ἐφώρμησε· συμπεσόντων δ' εἰς τὸ αὐτὸ, καὶ γενομένων ἐν λαβαῖς, ἀπέσπασαν αἱ πληγαὶ τῶν ξιφῶν εἰς τὰς χεῖρας ἀμφοῖν, οὐχ ὁμοίως· ἐτρώθη μὲν γὰρ ὁ Πομπήϊος μόνον, ἐκείνου δ' ἀπέκοψε τὴν χεῖρα. Πλειόνων δὲ συνδραμόντων ἐπ' αὐτὸν, ἤδη τῆς τροπῆς γεγενημένης, ἀνελπίστως διέφυγε, προέμενος τὸν ἵππον τοῖς πολεμίοις, φάλαρα χρυσᾶ καὶ κόσμον ἄξιον πολλοῦ περικείμενον. Ταῦτα γὰρ διανεμόμενοι, καὶ περὶ τούτων μαχόμενοι πρὸς ἀλλήλους, ἀπελείφθησαν. Ἅμα δ' ἡμέρᾳ παρετάξαντο μὲν ἀμφότεροι πάλιν, ἐκβεβαιούμενοι τὸ νίκημα· Μετέλλου δὲ προσιόντος, ἀνεχώρησεν ὁ Σερτώριος σκεδασθέντι τῷ στρατῷ. Τοιαῦται γὰρ

Digitized by Google

ἦσαν αἱ διαλύσεις, καὶ πάλιν συνδρομαὶ τῶν ἀνθρώπων, ὥστε πολλάκις μόνον πλανᾶσθαι τὸν Σέρτώριον, πολλάκις δ' αὖθις ἐπιέναι μυριάσι πεντεκαίδεκα στρατιᾶς ὥσπερ χειμάῤῥουν ἐξαίφνης πιμπλάμενον. Ὁ δ' οὖν Πομπήϊος, ἐπεὶ μετὰ τὴν μάχην ἀπήντα τῷ Μετέλλῳ, καὶ πλησίον ἀλλήλων ἦσαν, ἐκέλευσεν ὑφεῖναι τὰς ῥάβδους, θεραπεύων ὡς προὔχοντα τιμῇ τὸν Μέτελλον. Ὁ δὲ καὶ τοῦτο διεκώλυσε, καὶ τἆλλα χρηστὸς ἦν ἀνὴρ περὶ αὐτόν, οὐδὲν ὡς ὑπατικῷ καὶ πρεσβυτέρῳ νέμων ἑαυτῷ πλέον, ἀλλ' ἢ τὸ σύνθημα, κοινῇ στρατοπεδευόντων, εἰς ἅπαντας ἐξεπέμπετο παρὰ Μετέλλου· τὰ πολλὰ δὲ χωρὶς ἐστρατοπεδεύοντο. Διέκοπτε γὰρ αὐτοὺς καὶ διῖστη ποικίλος ὢν ὁ πολέμιος, καὶ δεινὸς ἐν βραχεῖ πολλαχοῦ περιφανῆναι, καὶ μεταγαγεῖν ἀπ' ἄλλων εἰς ἄλλους ἀγῶνας. Τέλος δὲ, περικόπτων μὲν ἀγορὰς, λῃζόμενος δὲ τὴν χώραν, ἐπικρατῶν δὲ τῆς θαλάσσης, ἐξέβαλεν ἀμφοτέρους τῆς ὑφ' ἑαυτὸν Ἰβηρίας, ἀναγκασθέντας εἰς ἀλλοτρίας καταφυγεῖν ἐπαρχίας, ἀπορίᾳ τῶν ἐπιτηδείων.

XX. Πομπήϊος δὲ, τὰ πλεῖστα τῶν ἰδίων ἐξαναλωκὼς καὶ κατακεχρημένος εἰς τὸν πόλεμον, ᾔτει χρήματα τὴν σύγκλητον, ὡς ἀφιξόμενος εἰς Ἰταλίαν μετὰ τῆς δυνάμεως, εἰ μὴ πέμποιεν. Ὑπατεύων δὲ Λεύκουλλος τότε, καὶ Πομπηΐῳ μὲν ὢν διάφορος, μνώμενος δ' ἑαυτῷ τὸν Μιθριδατικὸν πόλεμον, ἔσπευσεν ἀποσταλῆναι τὰ χρήματα· φοβούμενος αἰτίαν Πομπηΐῳ παρασχεῖν δεομένῳ Σερτω̃

ριον ἀφεῖναι, καὶ πρὸς Μιθριδάτην τράπεσθαι, λαμπρὸν μὲν εἰς δόξαν, εὐμεταχείριστον δὲ φαινόμενον ἀνταγωνιστήν. Ἐν τούτῳ δὲ θήσει Σερτώριος, ὑπὸ τῶν φίλων δολοφονηθείς· ὧν Περπέννας ὁ πορφαιότατος ἐπεχείρησεν ἐκείνῳ τὰ αὐτὰ ποιεῖν, ἀπὸ τῶν αὐτῶν μὲν ὁρμώμενος δυνάμεων καὶ παρασκευῶν, τὸν δὲ χρώμενον αὐταῖς ὁμοίως οὐκ ἔχων λογισμόν. Εὐθὺς οὖν ὁ Πομπήϊος ἐπεξελθὼν, καὶ ξεμβόμενον ἐν τοῖς πράγμασι τὸν Περπέννην καταμαθὼν, δέλεαρ αὐτῷ δέκα σπείρας ὑφῆκεν, εἰς τὸ πεδίον διασπαρῆναι κελεύσας. Τραπομένου δὲ πρὸς ταύτας ἐκείνου καὶ διώκοντος, ἄθρους ἐπιφανεὶς καὶ συνάψας μάχην, ἐκράτησε πάντων. Καὶ διεφθάρησαν οἱ πλεῖστοι τῶν ἡγεμόνων ἐν τῇ μάχῃ· τὸν δὲ Περπέννην ἀχθέντα πρὸς αὐτὸν ἀπέκτεινεν, οὐκ ἀχάριστος, οὐδ' ἀμνήμων γενόμενος τῶν περὶ Σικελίαν, ὡς ἐγκαλοῦσιν ἔνιοι, μεγάλῃ δὲ διανοίᾳ καὶ σωτηρίοις τῶν ὅλων γνώμῃ χρησάμενος. Ὁ γὰρ Περπέννας τῶν Σερτωρίου γραμμάτων γεγονὼς κύριος, ἐδείκνυεν ἐπιστολὰς τῶν ἐν Ῥώμῃ δυνατωτάτων ἀνδρῶν, οἳ, τὰ παρόντα κινῆσαι βουλόμενοι πράγματα, καὶ μεταστῆσαι τὴν πολιτείαν, ἐκάλουν τὸν Σερτώριον εἰς τὴν Ἰταλίαν. Φοβηθεὶς οὖν ὁ Πομπήϊος ταῦτα, μὴ μείζονας ἀναστήσῃ τῶν πεπαυμένων πολέμων, τόν τε Περπέννην ἀνεῖλε, καὶ τὰς ἐπιστολὰς, οὐδ' ἀναγνοὺς, κατέκαυσεν.

XXI. Ἐκ δὲ τούτου, παραμείνας χρόνον εἰς μεγίστας κατασβέσαι ταραχὰς, καὶ τὰ φλεγμαίνοντα

Digitized by Google

μάλιστα ἀναστῆσαι καὶ διαλῦσαι πῶν πραγμάτων, ἀπῆγεν εἰς Ἰταλίαν τὸν στρατὸν, ἀκμάζοντι τῷ δουλικῷ πολέμῳ κατὰ τύχην φερόμενος. Διὸ καὶ Κράσσος ὁ στρατηγὸς κατήπειξε παραβόλως τὴν μάχην, καὶ κατευτύχησε, δισχιλίους τριακοσίους ἐπὶ μυρίοις κτείνας. Οὐ μὴν ἀλλὰ καὶ τούτῳ τὸν Πομπήϊον εἰσποιούσης ἀμωσγέπως τῷ κατορθώματι τῆς τύχης, πεντακισχίλιοι φεύγοντες ἐκ τῆς μάχης ἐνέπεσον εἰς αὐτὸν, οὓς ἅπαντας διαφθείρας, ἔγραψε πρὸς τὴν σύγκλητον ὑποφθάσας, ὡς Κράσσος μὲν ἐκ παρατάξεως νενίκηκε τοὺς μονομάχους, αὐτὸς δὲ τὸν πόλεμον ἐκ ῥιζῶν παντάπασιν ἀνῄρηκε. Καὶ ταῦτα βουλομένοις ἦν δι' εὔνοιαν ἀκροᾶσθαι καὶ λέγειν τοῖς Ῥωμαίοις. Ἰβηρίαν δὲ καὶ Σερτώριον οὐδὲ παίζων ἄν τις εἶπεν ἑτέρου. καὶ μὴ Πομπηΐου, τὸ πᾶν ἔργον εἶναι. Ἐν τοσαύτῃ δὲ τιμῇ καὶ προσδοκίᾳ τοῦ ἀνδρὸς ὅμως ἐνῆν τις ὑποψία καὶ δέος, ὡς οὐ προησομένου τὸ στράτευμα, βαδιουμένου δὲ δι' ὅπλων καὶ μοναρχίας ἄντικρυς ἐπὶ τὴν Σύλλα πολιτείαν. Ὅθεν οὐκ ἐλάττονος ἦσαν τῶν δι' εὔνοιαν τρεχόντων, καὶ φιλοφρονουμένων καθ' ὁδὸν, οἱ φόβῳ ταῦτα ποιοῦντες. Ἐπεὶ δὲ καὶ ταύτην ἀνεῖλε τὴν ὑπόνοιαν ὁ Πομπήϊος, προειπὼν ἀφήσειν τὸ στράτευμα μετὰ τὸν θρίαμβον, ἓν αἰτιᾶσθαι τοῖς βασκαίνουσι περιῆν ὑπόλοιπον, ὅτι τῷ δήμῳ προσνέμει μᾶλλον ἑαυτὸν, ἢ τῇ βουλῇ, καὶ τὸ τῆς δημαρχίας ἀξίωμα, Σύλλα καταβαλόντος, ἔγνωκεν ἀνιστάναι καὶ χαρίζεσθαι τοῖς πολλοῖς, ὅπερ ἦν ἀληθές. Οὐ γάρ ἐστιν οὕτως

Digitized by Google

ἀμφανέστερον ἐ Ῥωμαίων ἠράσθη δῆμος, καὶ μᾶλλον ἐπόθησεν, ἢ τὴν ἀρχὴν αὖθις ἐπιδεῖν ἐκείνην. Ὥστε καὶ Πομπήϊον εὐτύχημα ποιεῖσθαι μέγα τὸν τοῦ πολιτεύματος καιρόν· ὡς οὐκ ἂν εὑρόντα χάριν ἄλλην, ἢ τὴν εὔνοιαν ἀμείψεται τῶν πολιτῶν, εἰ ταύτην ἕτερος προέλαβε.

XXII. Ψηφισθέντος οὖν αὐτῷ δευτέρου θριάμβου καὶ ὑπατείας, οὐ διὰ ταῦτα θαυμαστὸς ἐδόκει καὶ μέγας· ἀλλ' ἐκεῖνο τεκμήριον ἐποιοῦντο τῆς λαμπρότητος, ὅτι Κράσσος, ἀνὴρ τῶν τότε πολιτευομένων πλουσιώτατος, καὶ δεινότατος εἰπεῖν, καὶ μέγιστος, αὐτόν τε Πομπήϊον ὑπερφρονῶν καὶ τοὺς ἄλλους ἅπαντας, οὐκ ἐθάρσησεν ὑπατείαν μετιέναι πρότερον, ἢ Πομπηΐου δεηθῆναι. Καὶ μέντοι Πομπήϊος ἠγάπησε, πάλαι δεόμενος χρείας τινὸς ὑπάρξαι καὶ φιλανθρωπίας πρὸς αὐτόν· ὥστε καὶ δεξιοῦσθαι προθύμως, καὶ παρακαλεῖν τὸν δῆμον, ἐπαγγελλόμενος χάριν ἕξειν οὐκ ἐλάττονα τοῦ συνάρχοντος, ἢ τῆς ἀρχῆς. Οὐ μὴν ἀλλ' ἀποδειχθέντες ὕπατοι διεφέροντο πάντα καὶ προσεκρουον ἀλλήλοις· καὶ ἐν μὲν τῇ βουλῇ μᾶλλον ἴσχυεν ὁ Κράσσος, ἐν δὲ τῷ δήμῳ μέγα τὸ Πομπηΐου κράτος ἦν. Καὶ γὰρ ἀπέδωκε τὴν δημαρχίαν αὐτῷ, καὶ τὰς δίκας περιεῖδεν αὖθις εἰς τοὺς ἱππέας νόμῳ μεταφερομένας. Ἥδιστον δὲ θέαμα τῷ δήμῳ παρέσχεν αὐτὸς ἑαυτόν, τὴν στρατείαν παραιτούμενος. Ἔθος γάρ ἐστι Ῥωμαίων τοῖς ἱππεῦσιν, ὅταν στρατεύσωνται τὸν νόμιμον χρόνον, ἄγειν εἰς ἀγορὰν τὸν ἵππον ἐπὶ τοὺς δύο ἄνδρας, οὓς

Digitized by Google

τιμητὰς καλοῦσι· καὶ καταριθμησαμένους τῶν στρατηγῶν καὶ αὐτοκρατόρων ἕκαστον, ὑφ' οἷς ἐστρατεύσαντο, καὶ διδύντας εὐθύνας τῆς στρατείας, ἀφίεσθαι. Νέμεται δὲ καὶ τιμὴ καὶ ἀτιμία προσήκουσα τοῖς βίοις ἑκάστων. Τότε δὴ προεκάθηντο μὲν οἱ τιμηταὶ, Γέλλιος καὶ Λέντλος, ἐν κόσμῳ, καὶ πάροδος ἦν τῶν ἱππέων ἐξεταζομένων. Ὤφθη δὲ Πομπήϊος ἄνωθεν ἐπ' ἀγορὰν κατερχόμενος, τὰ μὲν ἄλλα παράσημα τῆς ἀρχῆς ἔχων, αὐτὸς δὲ διάχειρος ἄγων τὸν ἵππον. Ὡς δ' ἐγγὺς ἦν καὶ καταφανὴς ἐγεγόνει, κελεύσας διασχεῖν τοὺς ῥαβδοφόρους, τῷ βήματι προσήγαγε τὸν ἵππον. Ἦν δὲ τῷ δήμῳ θαῦμα καὶ σιωπὴ πᾶσι, τοὺς τ' ἄρχοντας αἰδὼς ἅμα καὶ χαρὰ πρὸς τὴν ὄψιν ἔσχεν. Εἶτα ὁ μὲν πρεσβύτερος ἠρώτησε· „Πυνθάνομαί σου, ὦ Πομπήϊε Μάγνε; εἰ πάσας ἐστράτευσαι τὰς κατὰ νόμον στρατείας;“ Πομπήϊος δὲ μεγάλῃ φωνῇ· „Πάσας (εἶπεν) ἐστράτευμαι, καὶ πάσας ὑπ' ἐμαυτῷ αὐτοκράτορι.“ Τοῦτ' ἀκούσας ὁ δῆμος ἐξέκραγε, καὶ κατασχεῖν οὐκ ἔτι τὴν βοὴν ὑπὸ χαρᾶς ἦν· ἀλλ' ἀναστάντες οἱ τιμηταὶ προέπεμπον αὐτὸν οἴκαδε, χαριζόμενοι τοῖς πολίταις ἑπομένοις καὶ κροτοῦσιν.

XXIII. Ἤδη δὲ τῆς ἀρχῆς περαινομένης τῷ Πομπηΐῳ, τῆς δὲ πρὸς Κράσσον αὐξομένης διαφορᾶς. Γάϊός τις Ἀὐρήλιος, ἄξίωμα μὲν ἱππικὸν ἔχων, βίᾳ δ' ἀπράγμονι κεχρημένος, ἐκκλησίας οὔσης, ἀναβὰς ἐπὶ τὸ βῆμα, καὶ προσελθὼν, ἔφη κατ' ὄνειρον αὐτῷ τὸν Δία φανῆναι, κελεύοντα τοῖς ὑπάτοις φρά-

Digitized by Google

σαι, μὴ πρότερον ἀποθέσθαι τὴν ἀρχήν, ἢ φίλους ἀλλήλοις γενέσθαι. Ῥηθέντων δὲ τούτων, ὁ μὲν Πομπήϊος ἡσυχίαν ἦγεν ἐστώς· ὁ δὲ Κράσσος ἀρξάμενος δεξιοῦσθαι καὶ προσαγορεύειν αὐτόν· „Οὐδὲν οἶμαι ποιεῖν ἀγεννές (εἶπεν), οὐδὲ ταπεινόν, ὦ πολῖται, Πομπηΐῳ πρότερος ἐνδιδοὺς, ὃν ὑμεῖς, μήπω μὲν γενειῶντα, Μέγαν ἠξιώσατε καλεῖν, μήπω δὲ μετέχοντι βουλῆς ἐψηφίσασθε δύο θριάμβους.“ Ἐν τούτου διαλλαγέντες, ἐπέθεντο τὴν ἀρχήν. Καὶ Κράσσος μὲν ὅπερ ἐξ ἀρχῆς εἵλετο τρόπον τοῦ βίου διεφύλαττε· Πομπήϊος δὲ τὰς πολλὰς ἀνεδύετο συνηγορίας, καὶ τὴν ἀγορὰν κατὰ μικρὸν ἀπέλειπε, καὶ προῄει σπανίως εἰς τὸ δημόσιον, ἀεὶ δὲ μετὰ πλήθους. Οὐ γὰρ ἦν ἔτι ῥᾴδιον ὄχλου χωρὶς ἐντυχεῖν, οὐδ' ἰδεῖν αὐτόν· ἀλλ' ἥδιστος δμοῦ πολλοῖς καὶ ἀθρόοις ἐφαίνετο, σεμνότητα περιβαλλόμενος ἐκ τούτου τῇ ὄψει καὶ ὄγκον, ταῖς δὲ τῶν πολλῶν ἐπτύξεσι καὶ συνηθείαις ἄθικτον οἰόμενος δεῖν τὸ ἀξίωμα διατηρεῖν. Ὁ γὰρ ἐν ἱματίῳ βίος ἐπισφαλὴς ἐστι πρὸς εὔδοξίαν τοῖς ἐν τῶν ὅπλων μεγάλοις, καὶ πρὸς ἰσότητα δημοτικὴν ἀσυμμέτροις. Αὐτοὶ μὲν γὰρ καὶ ἐνταῦθα πρωτεύειν, ὡς ἐκεῖ, δικαιοῦσι· τοῖς δ' ἐκεῖ φερομένοις ἔλαττον, ἐνταῦθα γοῦν μὴ πλέον ἔχειν οὐκ ἀνεκτόν ἐστι. Διὸ τὸν ἐν στρατοπέδοις καὶ θριάμβοις λαμπρὸν, ὅταν ἐν ἀγορᾷ λείβωσιν, ὑπὸ χεῖρα ποιοῦνται καὶ καταβάλλουσι· τῷ δ' ἀπολεγομένῳ καὶ ὑποχωροῦντι, τὴν ἐκεῖ τιμὴν καὶ δύναμιν ὑπερφθονον φυλάττουσιν. Ἔθηλωσε δ' αὐτὰ τὰ πράγματα μετ' ὀλίγον χρόνον.

Digitized by Google

XXIV. Ἡ γὰρ πειρατικὴ δύναμις ὡρμήθη μὲν ἐκ Κιλικίας τὸ πρῶτον, ἀρχὴν παράβολον λαβοῦσα καὶ λανθάνουσαν, φρόνημα δὲ καὶ τόλμαν ἔσχεν ἐν τῷ Μιθριδατικῷ πολέμῳ, χρήσασα ταῖς βασιλικαῖς ὑπηρεσίαις ἑαυτήν. Εἶτα Ῥωμαίων ἐν τοῖς ἐμφυλίοις πολέμοις περὶ θύρας τῆς Ῥώμης συμπεσόντων, ἔρημος οὖσα φρουρᾶς ἡ θάλασσα κατὰ μικρὸν αὐτοὺς ἐφείλκετο καὶ προῆγεν, οὐκ ἔτι τοῖς πλέουσι μόνον ἐπιτιθεμένους, ἀλλὰ καὶ νήσους καὶ πόλεις παραλίους ἐκκόπτουσας. Ἤδη δὲ καὶ χρήμασι δυνατοὶ, καὶ γένεσι λαμπροὶ, καὶ τῷ φρονεῖν ἀξιούμενοι διαφέρειν ἄνδρες, ἐνέβαινον εἰς τὰ λῃστρικὰ, καὶ μετεῖχον, ὡς καὶ δόξαν τινὰ καὶ φιλοτιμίαν τοῦ ἔργου φέροντος. Ἦν δὲ καὶ ναύσταθμα πολλαχόθι πειρατικὰ, καὶ φρυκτώρια τετειχισμένα, καὶ στόλοι προσέπιπτον, οὐ πληρωμάτων μόνον εὐανδρίαις, οὐδὲ εὐχναις κυβερνητῶν, οὐδὲ τάχεσι νεῶν καὶ κουφότησιν ἐξησκημένοι πρὸς τὸ οἰκεῖον ἔργον· ἀλλὰ τοῦ φοβεροῦ μᾶλλον αὐτῶν τὸ ἐπίφθονον ἐλύπει καὶ ὑπερήφανον, στυλίσι χρυσαῖς, καὶ παραπετάσμασιν ἁλουργοῖς, καὶ πλάταις ὑπαργύροις, ὥσπερ ἐντρυφώντων τῷ κακουργεῖν καὶ καλλωπιζομένων. Αὐλοὶ δὲ καὶ ψαλμοὶ καὶ μέθαι παρὰ πᾶσαν ἀκτὴν, καὶ σωμάτων ἡγεμονικῶν ἅρπαγαὶ, καὶ πόλεων αἰχμαλώτων ἀπολυτρώσεις, ὄνειδος ἦσαν τῆς Ῥωμαίων ἡγεμονίας. Ἐγέμοντο δ' οὖν, αἱ μὲν λῃστρίδες νῆες, ὑπὲρ χιλίας, αἱ δ' ἁλοῦσαι πόλεις ὑπ' αὐτῶν, τετρακόσιαι. Τῶν δὲ ἀσύλων καὶ ἱβάτων πρότερον ἱερῶν

Digitized by Google

ἐξέκοψαν ἐπιόντες τὸ Κλάριον, τὸ Διδυμαῖον, τὸ Σαμοθρᾴκιον, τὸν ἐν Ἑρμιόνῃ τῆς Χθονίας νεών, καὶ τὸν ἐν Ἐπιδαύρῳ τοῦ Ἀσκληπιοῦ, καὶ τὸν Ἰσθμοῖ καὶ Ταινάρῳ καὶ Καλαυρίᾳ τοῦ Ποσειδῶνος, τοῦ δ' Ἀπόλλωνος τὸν ἐν Ἀκτίῳ, καὶ Λευκάδι, τῆς δ' Ἥρας τὸν ἐν Σάμῳ, τὸν ἐν Ἄργει, τὸν ἐπὶ Λακινίῳ. Ξένας δὲ θυσίας ἔθυον αὐτοὶ τὰς ἐν Ὀλύμπῳ, καὶ τελετάς τινας ἀπορρήτους ἐτέλουν, ὧν ἡ τοῦ Μίθρου καὶ μέχρι δεῦρο διασώζεται, καταδειχθεῖσα πρότερον ὑπ' ἐκείνων. Πλεῖστα δὲ Ῥωμαίοις ἐνυβρίσαντες, ἔτι καὶ τὰς ὁδοὺς αὐτῶν, ἀναβαίνοντες ὑπὸ θαλάσσης, ἐληΐζοντο, καὶ τὰς ἐγγὺς, ἐπαύλεις ἐξέκοπτον· Ἥρπασαν δέ ποτε καὶ στρατηγοὺς δύο, Σεξτίλιον καὶ Βελλῖνον, ἐν ταῖς περιπορφύροις, καὶ τοὺς ὑπηρέτας ἅμα καὶ ῥαβδοφόρους ἔχοντο σὺν αὐτοῖς ἐκείνοις ἔχοντες. Ἦλω δὲ καὶ θυγάτηρ Ἀντωνίου, θριαμβικοῦ ἀνδρὸς, εἰς ἀγρὸν βαδίζουσα, καὶ πολλῶν χρημάτων ἀπελυτρώθη. Ἐκεῖνο δ' ἦν ὑβριστικώτατον. Ὁπότε γάρ τις ἑαλωκὼς ἀναβοήσειε Ῥωμαῖος εἶναι, καὶ τοὔνομα φράσειεν, ἐκπεπλῆχθαι προσποιούμενοι καὶ δεδιέναι, τούς τε μηροὺς ἐπαίοντο καὶ προσέπιπτον αὐτῷ, συγγνώμην ἔχειν ἀντιβολοῦντες. Ὁ δ' ἐπείθετο, ταπεινοὺς ὁρῶν καὶ δεομένους. Ἐκ τούτου δ' οἱ μὲν ὑπέδουν τοῖς καλτίοις αὐτὸν, οἱ δὲ τήβεννον περιέβαλλον, ὡς δὴ μὴ πάλιν ἀγνοηθείη. Πολὺν δὲ χρόνον οὕτω κατειρωνευσάμενοι καὶ ἀπολαύσαντες τοῦ ἀνθρώπου, τέλος ἐν μέσῳ πελάγει κλίμακα προσβαλόντες, ἐκέλευον ἐμβαίνειν, καὶ ἀπιέναι χαίροντα τὸν δὲ μὴ βουλόμενον ὠθοῦντες αὐτοὶ κατέδυον.

Digitized by Google

XXV. Ἐπενείματο δ' ἡ δύναμις αὕτη πᾶσαν ὁμοῦ τι τὴν καθ' ἡμᾶς θάλασσαν, ὥστ' ἄπλουν καὶ ἄβατον ἐμπορείᾳ πάσῃ γενέσθαι. Τοῦτο δὴ μάλιστα Ῥωμαίους ἐπέστρεψε, θλιβομένους τῇ ἀγορᾷ, καὶ σπάνιν μεγάλην προσδοκῶντας, ἐκπέμψαι Πομπήϊον ἀφαιρησόμενον τῶν πειρατῶν τὴν θάλασσαν. Ἔγραψε δὲ Γαβίνιος, εἷς τῶν Πομπηΐου αυτήθων, νόμον, οὐ ναυαρχίαν, ἄντικρυς δὲ μοναρχίαν αὐτῷ διδόντα, καὶ δύναμιν ἐπὶ πάντας ἀνθρώπους ἀνυπεύθυνον. Ἐδίδου γὰρ ἄρχειν ὁ νόμος αὐτῷ τῆς ἐντὸς Ἡρακλείων στηλῶν θαλάσσης, ἠπείρου δὲ πάσης ἐπὶ σταδίους τετρακοσίους ἀπὸ θαλάσσης. Τοῦτο δ' οὐ πάνυ πολλὰ χωρία τῆς ὑπὸ Ῥωμαίων οἰκουμένης τὸ μέτρον ἐξέφυγεν, ἀλλὰ τὰ μέγιστα τῶν ἐθνῶν καὶ τῶν βασιλέων οἱ δυνατώτατοι περιελαμβάνοντο. Πρὸς δὲ τούτοις ἑλέσθαι πεντεκαίδεκα πρεσβευτὰς αὐτὸν ἐκ βουλῆς ἐπὶ τὰς κατὰ μέρος ἡγεμονίας· χρήματα δὲ λαμβάνειν ἐκ τῶν ταμιείων καὶ παρὰ τῶν τελωνῶν, ὅσα βούλοιτο, καὶ ναῦς διακοσίας, κύριον ὄντα πληθυς καὶ καταλόγου στρατιᾶς καὶ πληρωμάτων ἐρετικῶν. Ἀναγνωσθέντων δὲ τούτων, ὁ μὲν δῆμος ὑπερφυῶς ἐδέξατο. τῆς δὲ συγκλήτου τοῖς μεγίστοις καὶ δυνατωτάτοις ἔδοξε μεῖζον μὲν φθόνου, φόβου δ' ἄξιον εἶναι τὸ τῆς ἐξουσίας ἀπερίληπτον καὶ ἀόριστον. Ὅθεν ἐνίσταντο τῷ νόμῳ, πλὴν Καίσαρος. οὗτος δὲ συνηγόρει τῷ νόμῳ, Πομπηΐου μὲν ἐλάχιστα φροντίζων, ὑποδυόμενος δὲ τὸν δῆμον ἐξ ἀρχῆς ἑαυτῷ καὶ κτώμενος. Οἱ δ' ἄλλοι τοῦ Πομπηΐου σφοδρῶς κα-

Digitized by Google

θήπτοντο. Καὶ τῶν μὲν ὑπάτων ἕτερος εἰπὼν πρὸς αὐτὸν, ὅτι Ῥωμύλον ζηλῶν οὐ φεύξεται ταὐτὸν ἐκείνῳ τέλος, ἐκινδύνευσεν ὑπὸ τοῦ πλήθους διαφθαρῆναι. Κάτλου δὲ κατὰ τοῦ νόμου προσελθόντος, πολλὴν μὲν αἰδούμενος ὁ δῆμος ἡσυχίαν παρεῖχεν· ἐπεὶ δὲ πολλὰ μετὰ τιμῆς ἀνεπιφθόνως ὑπὲρ τοῦ Πομπηΐου διελθὼν, συνεβούλευε φείδεσθαι, καὶ μὴ προβάλλειν τὸν ταυτὸν ἄνδρα κινδύνοις ἐπαλλήλοις καὶ πολέμοις· „Ἢ τίνα (εἶπεν), ἕξετε ἄλλον, ἂν ἀπολέσητε τοῦτον;“ ἐκ μιᾶς γνώμης ὑπεφώνησαν ἅπαντες· „Σεαυτόν.“ Ὁ μὲν οὖν Κάτλος, ὡς οὐκ ἔπειθεν, ἀπέστη· Ῥωσκίου δὲ προσελθόντος οὐδεὶς ἤκουσεν· ὁ δὲ τοῖς δακτύλοις διεσήμαινε, μὴ μόνον, ἀλλὰ δεύτερον αἱρεῖσθαι Πομπήϊον. Ἐπὶ τούτῳ λέγεται δυσχεράναντα τὸν δῆμον τηλικοῦτον ἀνακραγεῖν, ὥστε ὑπερπετόμενον κόρακα τῆς ἀγορᾶς τυφωθῆναι καὶ καταπεσεῖν εἰς τὸν ὄχλον. Ὅθεν οὐ δοκεῖ ῥήξει τοῦ ἀέρος καὶ διασπασμῷ κενὸν πολὺ λαμβάνοντος ἐνολισθαίνειν τὰ πίπτοντα τῶν ὀρνέων, ἀλλὰ τυπτόμενα τῇ πληγῇ τῆς φωνῆς, ὅταν ἐν τῷ ἀέρι σάλον καὶ κῦμα ποιήσῃ πολλὴ καὶ ἰσχυρὰ φερομένη.

XXVI. Τότε μὲν οὖν διελύθησαν. Ἡ δ' ἡμέρα τὴν ψῆφον ἐποίσειν ἔμελλον, ὑπεξῆλθεν ὁ Πομπήϊος εἰς ἀγρόν· ἀκούσας δὲ κεκυρῶσθαι τὸν νόμον, εἰσῆλθε νύκτωρ εἰς τὴν πόλιν, ὡς ἐπιφθόνου τῆς πρὸς αὐτὸν ἀπαντήσεως καὶ συνδρομῆς ἐσομένης. Ἅμα δ' ἡμέρᾳ προελθὼν ἔθυσε, καὶ γενομένης ἐκ-

Digitized by Google

κλησίας αὐτῷ, διεπράξατο προσλαβεῖν ἕτερα πολλὰ τοῖς ἐψηφισμένοις ἤδη, μικροῦ διπλασιάσας τὴν παρασκευήν. Πεντακόσιαι μὲν γὰρ αὐτῷ νῆες ἐπληρώθησαν, ὁπλιτῶν δὲ μυριάδες δώδεκα, καὶ πεντακισχίλιοι ἱππεῖς ἠθροίσθησαν. Ἡγεμονικοὶ δὲ καὶ στρατηγικοὶ κατελέγησαν ἀπὸ βουλῆς ἄνδρες εἰκοσιτέσσαρες ὑπ' αὐτοῦ, δύο δὲ ταμίαι παρῆσαν. Αἱ δὲ τιμαὶ τῶν ὠνίων εὐθὺς πεσοῦσαι λόγον ἡδομένῳ τῷ δήμῳ παρεῖχον, ὡς αὐτὸ τοὔνομα τοῦ Πομπηΐου λέλυκε τὸν πόλεμον. Οὐ μὴν ἀλλὰ διελὼν τὰ πελάγη, καὶ τὸ διάστημα τῆς ἐντὸς θαλάσσης εἰς μέρη τρισκαίδεκα, καὶ νεῶν ἀριθμὸν ἐφ' ἑκάστῳ καὶ ἄρχοντα τάξας, ἅμα πανταχοῦ τῇ δυνάμει σκεδασθείσῃ τὰ μὲν ἐμπίπτοντα τῶν πειρατικῶν ἁθρόα περιλαμβάνων, εὐθὺς ἐξεθηρᾶτο καὶ κατῆγεν· οἱ δὲ φθάσαντες διαλυθῆναι καὶ διεκπεσόντες, ὥσπερ εἰς σμῆνος ἐδύοντο πανταχόθεν καταφερόμενοι τὴν Κιλικίαν· ἐφ' οὓς αὐτὸς ἐστέλλετο ναῦς ἔχων ἑξήκοντα τὰς ἀρίστας. Οὐ μὴν πρότερον ἐπ' ἐκείνους ἐξέπλευσεν, ἢ παντάπασι καθῆραι τῶν αὐτόθι λῃστηρίων τὸ Τυρρηνικὸν πέλαγος, τὸ Λιβυκὸν, τὸ περὶ Σαρδόνα καὶ Κύρνον καὶ Σικελίαν, ἡμέραις τεσσαράκοντα ταῖς πάσαις, αὐτῷ τε χρώμενος ἀτρύτῳ καὶ τοῖς στρατηγοῖς προθύμοις.

XXVII. Ἐν δὲ Ῥώμῃ τοῦ ὑπάτου Πείσωνος ὀργῇ καὶ φθόνῳ λυμαινομένου τὴν παρασκευὴν, καὶ διαλύοντος τὰ πληρώματα, τὸ μὲν ναυτικὸν εἰς Βρεντέσιον περιέπεμψεν, αὐτὸς δὲ διὰ Τυρρηνίας εἰς Ῥω-

Digitized by Google

μὴν ἀνέβαινεν. Αἰσθόμενοι δὲ πάντες ἐξεχύθησαν εἰς τὴν ὁδὸν, ὥσπερ οὐ πρὸ ἡμερῶν ὀλίγων ἐκπέμψαντες αὐτόν. Ἐποίει δὲ τὴν χαρὰν τὸ παρ' ἐλπίδα τῆς μεταβολῆς τάχος, ὑπερβάλλουσαν ἀφθονίαν τῆς ἀγορᾶς ἐχούσης. Ὅθεν ὁ Πείσων ἐκινδύνευσε τὴν ὑπατείαν ἀφειρεθῆναι, Γαβινίου νόμον ἔχοντος ἤδη συγγεγραμμένον. Ἀλλὰ καὶ τοῦτο διεκώλυσεν ὁ Πομπήϊος, καὶ τἄλλα χρηματίσας ἐπιεικῶς, καὶ διαπραξάμενος ὧν ἐδεῖτο, καταβὰς εἰς Βρεντέσιον ἐξέπλευσεν. Ἐπειγόμενος δὲ τῷ καιρῷ, καὶ παραπλέων τὰς πόλεις ὑπὸ σπουδῆς, ὅμως οὐ παρῆλθε τὰς Ἀθήνας. Ἀναβὰς δὲ, καὶ θύσας τοῖς θεοῖς, καὶ προσαγορεύσας τὸν δῆμον, εὐθὺς ἀπιὼν ἀνεγίνωσκεν εἰς αὐτὸν ἐπιγεγραμμένα μονόστιχα, τὸ μὲν ἐντὸς τῆς πύλης·

Ἐφ' ὅσον ὢν ἄνθρωπος οἶδας, ἐπὶ τοσοῦτον εἶ θεός·

τὸ δ' ἐκτός·

Προσεδοκῶμεν, προσεκυνοῦμεν· εἴδομεν, προπέμπομεν·

Ἐπεὶ δὲ τῶν συνεστώτων ἔτι καὶ πλανωμένων ἔξω πειρατηρίων ἐνίοις δεηθεῖσιν ἐπιεικῶς ἐχρήσατο, καὶ παραλαβὼν τὰ πλοῖα καὶ τὰ σώματα, κακὸν οὐδὲν ἐποίησεν, ἐπ' ἐλπίδος χρηστῆς οἱ λοιποὶ γενόμενοι, τοὺς μὲν ἄλλους διέφευγον ἡγεμόνας, Πομπηΐῳ δὲ φέροντες αὐτοὺς μετὰ τέκνων καὶ γυναικῶν ἐνεχείριζον. Ὃ δὲ πάντων ἐφείδετο, καὶ μάλιστα διὰ τούτων τοὺς ἔτι λανθάνοντας ἐξιχνεύων καὶ λαμβάνων ἐκόλαζεν, ὡς αὐτοὺς ἑαυτοῖς ἀνήκεστα συνειδότας.

XXVIII. Οἱ δὲ πλεῖστοι καὶ δυνατώτατοι γε

Digitized by Google

γεὰς μὲν αὐτῶν καὶ χρήματα, καὶ τὸν ἄρχηστον ὄχλον, ἐν φρουρίοις καὶ πολίσμασι καρτεροῖς περὶ τὸν Ταῦρον εἶχον ἀποκείμενα· τὰς δὲ ναῦς πληρώσαντες αὐτοὶ περὶ τὸ Κορακήσιον τῆς Κιλικίας ἐπιπλέοντα τὸν Πομπήϊον ἐδέξαντο· καὶ μάχης γενομένης, νικηθέντες ἐπολιορκοῦντο. Τέλος δὲ, πέμψαντες ἱκετηρίας, παρέδωκαν ἑαυτοὺς καὶ πόλεις καὶ νήσους, ὧν ἐπεκράτουν ἐντειχισάμενοι, χαλεπὰς βιασθῆναι καὶ δυσπροσπελάστους. Κατελύθη μὲν οὖν ὁ πόλεμος, καὶ τὰ πανταχοῦ λῃστήρια τῆς θαλάσσης ἐξέπεσεν οὐκ ἐν πλείονι χρόνῳ τριῶν μηνῶν. Ναῦς δὲ πολλὰς μὲν ἄλλας, ἐνενήκοντα δὲ χαλκεμβόλους παρέλαβεν. Αὐτοὺς δὲ, δισμυρίων πλείονας γενομένους, ἀνελεῖν μὲν οὐδ' ἐβουλεύσατο, μεθεῖναι δὲ καὶ περιϊδεῖν σκεδασθέντας, ἢ συστάντας αὖθις, ἀπόρους καὶ πολεμικοὺς καὶ πολλοὺς ὄντας, οὐκ ᾤετο καλῶς ἔχειν. Ἐννοήσας οὖν, ὅτι φύσει μὲν ἄνθρωπος οὔτε γέγονεν, οὔτ' ἐστὶν ἀνήμερον ζῶον, οὐδ' ἄμικτον, ἀλλ' ἐξίσταται, τῇ κακίᾳ παρὰ φύσιν χρώμενος, ἔθεσι δὲ καὶ τόπων καὶ βίων μεταβολαῖς ἐξημεροῦται, καὶ θηρία, διαίτης κοινωνοῦντα πραοτέρας, ἐκδύεται τὸ ἄχριον καὶ χαλεπόν, ἔγνω τοὺς ἄνδρας εἰς γῆν μεταφέρειν ἐκ τῆς θαλάσσης, καὶ βίου γεύειν ἐπιεικοῦς συνεθισθέντας ἐν πόλεσιν οἰκεῖν καὶ γεωργεῖν. Ἐνίους μὲν οὖν αἱ μικραὶ καὶ ὑπέρημοι τῶν Κιλίκων πόλεις ἐδέξαντο, καὶ κατέμιξαν ἑαυταῖς χώραν προσλαβοῦσαι· τὴν δὲ Σολίων ἠρημωμένην ἔναγχος ὑπὸ Τιγράνου, τοῦ Ἀρμε-

Digitized by Google

νίων βασιλέως, ἀναλαβὼν, ἵδρυσε πολλοὺς ἐν αὐτῇ. Τοῖς δὲ πολλοῖς οἰκητήριον ἔδωκε Δύμην τὴν Ἀχαΐδα, χηρεύουσαν ἀνδρῶν τότε, γῆν δὲ πολλὴν καὶ ἀγαθὴν ἔχουσαν.

XXIX. Ταῦτα μὲν οὖν οἱ βασκαίνοντες ἔψεγον· τοῖς δὲ περὶ Κρήτην πραχθεῖσι πρὸς Μέτελλον οὐδ' οἱ πάνυ φιλοῦντες αὐτὸν ἔχαιρον. Ὁ γὰρ Μέτελλος, οἰκεῖος ὢν ἐκείνου τοῦ συνάρξαντος ἐν Ἰβηρίᾳ τῷ Πομπηΐῳ, στρατηγὸς εἰς Κρήτην ἐπέμφθη πρότερον, ἢ τὸν Πομπήϊον αἱρεθῆναι. Δευτέρα γάρ τις ἦν αὕτη τῶν πειρατηρίων πηγή, μετὰ τὴν ἐν Κιλικίᾳ· καὶ πολλοὺς ἐγκαταλαβὼν ὁ Μέτελλος ἐξῄρει καὶ διέφθειρεν. Οἱ δὲ περιόντες ἔτι καὶ πολιορκούμενοι, πέμψαντες ἱκετηρίαν, ἐπεκαλοῦντο τὸν Πομπήϊον εἰς τὴν νῆσον, ὡς τῆς ἐκείνου μέρος οὖσαν ἀρχῆς, καὶ πανταχόθεν ἐμπίπτουσαν εἰς τὸ μέτρον τὸ ἀπὸ θαλάσσης. Ὁ δὲ, δεξάμενος, ἔγραφε τῷ Μετέλλῳ, κωλύων τὸν πόλεμον. Ἔγραφε δὲ καὶ ταῖς πόλεσι, μὴ προσέχειν Μετέλλῳ, καὶ στρατηγὸν ἔπεμψε τῶν ὑφ' ἑαυτὸν ἀρχόντων ἕνα, Λεύκιον Ὀκταούϊον· ὃς συνεισελθὼν εἰς τὰ τείχη τοῖς πολιορκουμένοις, καὶ μαχόμενος μετ' αὐτῶν, οὐ μόνον ἐπαχθῆ καὶ βαρὺν, ἀλλὰ καὶ καταγέλαστον ἐποίει τὸν Πομπήϊον, ἀνθρώποις ἀνοσίοις καὶ ἀθέοις τοὔνομα κιχράντα, καὶ περιάπτοντα τὴν αὐτοῦ δόξαν, ὥσπερ ἀλέξιφάρμακον, ὑπὸ φθόνου καὶ φιλοτιμίας τῆς πρὸς Μέτελλον. Οὐδὲ γὰρ τὸν Ἀχιλλέα ποιεῖν ἀνδρὸς ἔργον, ἀλλὰ μειρακίου παντάπασιν ἐμπλῆ-

Digitized by Google

κτου καὶ σεσοβημένου πρὸς δόξαν, ἀνανεύοντα τοῖς ἄλλοις καὶ διακωλύοντα βάλλειν Ἕκτορα,

Μή τις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι·

Πομπήϊον δὲ καὶ σώζειν ὑπερμαχοῦντα τῶν κοινῶν πολεμίων, ἐπὶ τῷ τὸν θρίαμβον ἀφελέσθαι στρατηγοῦ πολλὰ πεπονηκότος. Οὐ μὴν ἐνέδωκεν ὁ Μέτελλος, ἀλλὰ τούς τε πειρατὰς ἐξελὼν ἐτιμωρήσατο, καὶ τὸν Ὀκταούϊον ἐν τῷ στρατοπέδῳ καθυβρίσας καὶ λοιδορήσας ἀφῆκεν.

XXX. Ἀπαγγελθέντος δ' εἰς Ῥώμην πέρας ἔχειν τὸν πειρατικὸν πόλεμον, καὶ σχολὴν ἄγοντα τὸν Πομπήϊον ἐπέρχεσθαι τὰς πόλεις, γράφει νόμον εἷς τῶν δημάρχων, Μανίλιος, ὅσης Λεύκουλλος ἄρχει χώρας καὶ δυνάμεως, Πομπήϊον παραλαβόντα πᾶσαν, προσλαβόντα δὲ καὶ Βιθυνίαν, ἣν ἔχει Γλαβρίων, πολεμεῖν Μιθριδάτῃ καὶ Τιγράνῃ, τοῖς βασιλεῦσιν, ἔχοντα καὶ τὴν ναυτικὴν δύναμιν, καὶ τὸ κράτος τῆς θαλάσσης, ἐφ' οἷς ἔλαβεν ἐξ ἀρχῆς. Τοῦτο δ' ἦν ἐφ' ἑνὶ συλλήβδην γενέσθαι τὴν Ῥωμαίων ἡγεμονίαν. Ὧν γὰρ ἐδόκει μόνων ἐπαρχιῶν μὴ ἐφικνεῖσθαι τῷ προτέρῳ νόμῳ, Φρυγίας, Λυκαονίας, Γαλατίας, Καππαδοκίας, Κιλικίας, τῆς ἄνω Κολχίδος, Ἀρμενίας, αὗται προσετίθεντο μετὰ στρατοπέδων καὶ δυνάμεων, αἷς Λεύκουλλος κατεπολέμησε Μιθριδάτην καὶ Τιγράνην. Ἀλλὰ Λευκούλλου μὲν ἀποστεροῦμένου τὴν δόξαν ὧν κατειργάσατο, καὶ θριάμβου μᾶλλον, ἢ πολέμου διάδοχον λαμβάνοντος, ἧττων λόγος ἦν τοῖς ἀριστοκρατικοῖς, καίπερ οἰομένοις ἄδικα καὶ ἀχά-

Digitized by Google

ριστα πάσχειν τὸν ἄνδρα· τὴν δὲ δύναμιν τοῦ Πομπηΐου βαρέως φέροντες, ὡς τυραννίδα καθισταμένην, ἰδίᾳ παρεκάλουν καὶ παρεθάρρυνον αὐτοὺς ἐπιλαβέσθαι τοῦ νόμου, καὶ μὴ προέσθαι τὴν ἐλευθερίαν. Ἐνστάντος δὲ τοῦ καιροῦ, τὸν δῆμον φοβηθέντος, ἐξέλιπον καὶ κατεσιώπησαν οἱ λοιποί· Κάτλος δὲ, τοῦ νόμου πολλὰ κατηγορήσας, καὶ τοῦ δημάρχου, μηδένα δὲ πείθων, ἐκέλευε τὴν βουλὴν, ἀπὸ τοῦ βήματος κεκραγὼς πολλάκις, ὅρος ζητεῖν, ὥσπερ οἱ πρόγονοι, καὶ κρημνὸν, ὅπου καταφυγοῦσα διασώσει τὴν ἐλευθερίαν. Ἐκυρώθη δ' οὖν ὁ νόμος πάσαις, ὡς λέγεται, ταῖς φυλαῖς, καὶ κύριος ἀποδέδεικτο μὴ παρὼν ὁ Πομπήϊος ἁπάντων σχεδὸν, ὧν ὁ Σύλλας, ὅπλοις καὶ πολέμῳ τῆς πόλεως κρατήσας. Αὐτὸς δὲ δεξάμενος τὰ γράμματα, καὶ πυθόμενος τὰ δεδογμένα, τῶν φίλων παρόντων καὶ συνηδομένων, τὰς ὀφρῦς λέγεται συναγαγεῖν, καὶ τὸν μηρὸν πατάξαι, καὶ εἰπεῖν, ὡς ἂν βαρυνόμενος ἤδη καὶ δυσχεραίνων τὸ ἄρχειν· „Ζεῦ τῶν ἀνηνύτων ἄθλων, ὡς ἄρα κρεῖττον ἦν ἕνα τῶν ἀδόξων γενέσθαι, εἰ μηδέποτε παύσομαι στρατευόμενος, μηδὲ τὸν φθόνον τοῦτον ἐκδὺς, ἐν ἀγρῷ διαιτήσομαι μετὰ τῆς γυναικός." Ἐφ' οἷς λεγομένους οὐδ' οἱ πάνυ συνήθεις ἔφερον αὐτοῦ τὴν εἰρωνείαν, γινώσκοντες, ὅτι, τῆς ἐμφύτου φιλοτιμίας καὶ φιλαρχίας ὑπέκκαυμα τὴν πρὸς Λεύκουλλον ἔχων διαφορὰν, μειζόνως ἔχαιρεν.

XXXI. Ἀμέλει δὲ καὶ τὰ ἔργα ταχέως αὐτὸν ἀπεκάλυπτε. Παντοχοῦ γὰρ ἐκτιθεὶς διαγράμματα,

Digitized by Google

τοὺς στρατιώτας ἀνεκαλεῖτο, καὶ μετεπέμπετο τοὺς ὑπηκόους δυνάστας καὶ βασιλεῖς ὡς ἑαυτόν. Ἐπιὼν τε τὴν χώραν, οὐδὲν ἀκίνητον εἶα τῶν ὑπὸ τοῦ Λευκούλλου γεγονότων· ἀλλὰ καὶ κολάσεις ἀνῆκε πολλοῖς, καὶ δωρεὰς ἀφείλετο, καὶ πάντα ὅλως ἔπραττεν, ἐπιδεῖξαι τὸν ἄνδρα φιλονεικῶν τοῖς θαυμάζουσιν οὐδενὸς ὄντα κύριον. Ἐγκαλοῦντος δ' ἐκείνου διὰ τῶν φίλων, ἔδοξε συνελθεῖν εἰς ταὐτό. καὶ συνῆλθον περὶ τὴν Γαλατίαν. Οἷα δὲ μεγίστων στρατηγῶν καὶ μέγιστα κατωρθωκότων, δάφναις ἀνεστεμμένας ἔχοντες δμοῦ καὶ τὰς ῥάβδους οἱ ὑπηρέται ἀπήντων. Ἀλλὰ Λεύκουλλος μὲν ἐκ τόπων χλοερῶν καὶ κατασκίων προσῄει, Πομπήϊος δὲ πολλὴν ἄβατον καὶ κατεψυγμένην ἔτυχε διεληλυθώς. Ἰδόντες οὖν οἱ τοῦ Λευκούλλου ῥαβδοφόροι τοῦ Πομπηΐου τὰς δάφνας ἀθαλλεῖς καὶ μεμαραμμένας παντάπασιν ἐκ τῶν ἰδίων, προσφάτων οὐσῶν, μεταδιδόντες, ἐπεκόσμησαν καὶ κατέστεψαν τὰς ἐκείνου ῥάβδους. Ὃ σημεῖον ἔδοξεν εἶναι, τὰ τοῦ Λευκούλλου νικητήρια καὶ τὴν δόξαν οἰσόμενον ἔρχεσθαι Πομπήϊον. Ἦν δὲ Λεύκουλλος μὲν ἐν ὑπατείας τε τάξει, καὶ καθ' ἡλικίαν πρεσβύτερος, τὸ δὲ τοῦ Πομπηΐου μεῖζον ἀξίωμα τοῖς δυσὶ θριάμβοις. Οὐ μὴν ἀλλὰ τὴν πρώτην ἔντευξιν ὡς ἐνῆν μάλιστα πολιτικῶς καὶ φιλοφρόνως ἐποιήσαντο, μεγαλύνοντες ἀλλήλων τὰ ἔργα, καὶ συνηδόμενοι τοῖς κατορθώμασιν. Ἐν δὲ τοῖς λόγοις πρὸς οὐδὲν ἐπιεικὲς, οὐδὲ μέτριον συμβάντες, ἀλλὰ καὶ λοιδορήσαντες, ὁ μὲν εἰς φι-

Digitized by Google

λαργυρίαν τὸν Λεύκουλλον, ὁ δ' εἰς φιλαρχίαν ἐκεῖνον, ὑπὸ τῶν φίλων μόλις διελύθησαν. Καὶ Λεύκουλλος μὲν ἐν Γαλατίᾳ διέγραψε χώρας τῆς αἰχμαλώτου καὶ δωρεὰς ἄλλας, οἷς ἐβούλετο· Πομπήϊος δὲ, μικρὸν ἀπωτέρω στρατοπεδεύσας, ἐκώλυε προσέχειν αὐτῷ, καὶ τοὺς στρατιώτας ἅπαντας ἀφείλετο, πλὴν χιλίων ἑξακοσίων· οὓς ἐνόμιζεν ὑπ' αὐθαδείας ἀχρήστους μὲν ἑαυτῷ, τῷ Λευκούλλῳ δὲ δυσμενεῖς εἶναι. Πρὸς δὲ τούτοις, διασύρων τὰ ἔργα ἐμφανῶς, ἔλεγε τραγῳδίαις καὶ σκιαγραφίαις πεπολεμηκέναι βασιλικαῖς τὸν Λεύκουλλον, αὐτῷ δὲ πρὸς ἀληθινὴν καὶ σεσωφρονισμένην τὸν ἀγῶνα λείπεσθαι δύναμιν, εἰς θυρεοὺς καὶ ξίφη καὶ ἵππους Μιθριδάτου καταφεύγοντος. Ἀμυνόμενος δὲ ὁ Λεύκουλλος, εἰδώλῳ καὶ σκιᾷ πολέμου τὸν Πομπήϊον ἔφη μαχούμενον βαδίζειν, εἰθισμένον ἀλλοτρίοις νεκροῖς ὥσπερ ὄρνιν ἀργὸν, ἐπικαταίρειν, καὶ λείψανα πολέμων σπαράσσειν. Οὕτω γὰρ αὐτὸν ἐπιγράψαι Σερτωρίῳ, Λεπίδῳ, τοῖς Σπαρτακίοις, τὰ μὲν Κράσσου, τὰ δὲ Μετέλλου, τὰ δὲ Κάτλου κατορθωκότος. Ὅθεν οὐ θαυμάζειν, εἰ τῶν Ἀρμενιακῶν καὶ Ποντικῶν πολέμων ὑποβάλλεται τὴν δόξαν, ἄνθρωπος ἑαυτὸν εἰς δραπετικὸν θρίαμβον ἀμουσγέπως ἐμβαλεῖν μηχανησάμενος.

XXXII. Ἐκ τούτου Λεύκουλλος μὲν ἀπῆρε, Πομπήϊος δὲ, τῷ στόλῳ παντὶ τὴν μεταξὺ Φοινίκης καὶ Βοσπόρου θάλασσαν ἐπὶ φρουρᾷ διαλαβὼν, αὐτὸς ἐβάδιζεν ἐπὶ Μιθριδάτην ἔχοντα τρισμυρίους

Digitized by Google

πεζοὺς ἐν φάλαγγι, καὶ δισχιλίους ἱππεῖς, μαχεσθαι δὲ μὴ θαῤῥοῦντα. Καὶ πρῶτον μὲν αὐτοῦ καρτερὸν ὄρος καὶ δύσμαχον, ἐν ᾧ στρατοπεδεύων ἔτυχεν, ὡς ἄνυδρον ἐκλιπόντος, αὐτὸ τοῦτο κατασχὼν ὁ Πομπήϊος, καὶ τῇ φύσει τῶν βλαστανόντων, καὶ ταῖς συγκλινίαις τῶν τόπων τεκμαιρόμενος ἔχειν πηγὰς τὸ χωρίον, ἐκέλευσεν ἐκβαλεῖν πανταχοῦ φρέατα. Καὶ μεστὸν ἦν εὐθὺς ὕδατος ἀφθόνου τὸ στρατόπεδον, ὥστε θαυμάζειν, εἰ τῷ παντὶ χρόνῳ τοῦτο Μιθριδάτης ἠγνόησεν. Ἔπειτα περιστρατοπεδεύσας περιετείχιζεν αὐτόν. Ὁ δὲ, πέντε καὶ τεττεράκοντα πολιορκηθεὶς ἡμέρας, ἔλαθεν ἀποδρὰς μετὰ τῆς ἐῤῥωμενεστάτης δυνάμεως, κτείνας τοὺς ἀχρήστους καὶ νοσοῦντας. Εἶτα μέντοι περὶ τὸν Εὐφράτην καταλαβὼν αὐτὸν ὁ Πομπήϊος παρεστρατοπέδευσε· καὶ δεδιὼς, μὴ φθάσῃ περάσας τὸν Εὐφράτην; ἐκ μέσων νυκτῶν ἐπῆγεν ὡπλισμένην τὴν στρατιάν· καθ' ὃν χρόνον λέγεται τὸν Μιθριδάτην ὄψιν ἐν ὕπνοις ἰδεῖν τὰ μέλλοντα προδηλοῦσαν. Ἐδόκει γὰρ, οὐρίῳ πνεύματι πλέων τὸ Ποντικὸν πέλαγος, ἤδη Βόσπορον καθορᾶν, καὶ φιλοφρονεῖσθαι τοὺς συμπλέοντας, ὡς ἄν τις ἐπὶ σωτηρίᾳ σαφεῖ καὶ βεβαίῳ χαίρων· ἄφνω δ' ἀναφανῆναι πάντων ἔρημος, ἐπὶ λεπτοῦ ναυαγίου διαφερόμενος. Ἐν τοιούτοις δ' αὐτὸν ὄντα πάθεσι καὶ φάσμασιν ἐπιστάντες ἀνέστησαν οἱ φίλοι, φράζοντες ἐπιέναι Πομπήϊον. Ἦν οὖν ἐξ' ἀνάγκης μαχητέον ὑπὲρ τοῦ χάρακος, καὶ προαγαγόντες οἱ στρατηγοὶ τὴν δύναμιν ἔταξαν

Digitized by Google

Αἰσθόμενος δὲ τὴν παρασκευὴν αὐτῶν ὁ Πομπήϊος, ὤκνει κατὰ σκότος εἰς κίνδυνον ἐλθεῖν, καὶ κύκλῳ μόνον ὤετο δεῖν περιελαύνειν, ὅπως μὴ φεύγοιεν, ἡμέρας δὲ, κρείττους ὄντας, ἐπιχειρεῖν. Οἱ δὲ πρεσβύτατοι τῶν ταξιαρχῶν δεόμενοι καὶ παρακαλοῦντες ἐξώρμησαν αὐτόν. Οὐδὲ γὰρ σκότος ἦν παντάπασιν, ἀλλ' ἡ σελήνη καταφερομένη παρεῖχεν ἔτ. τῶν σωμάτων ἱκανὴν ἔποψιν. Καὶ τοῦτο μάλιστα τοὺς βασιλικοὺς ἔσφηλεν. Ἐπῆσαν μὲν γὰρ οἱ Ῥωμαῖοι κατὰ νώτου τὴν σελήνην ἔχοντες. Πεπιέσμένου δὲ περὶ τὰς δύσεις τοῦ φωτὸς, αἱ σκιαὶ πολὺ τῶν σωμάτων ἔμπροσθεν προϊοῦσαι, τοῖς πολεμίοις ἐπέβαλλον οὐ δυναμένοις τὸ διάστημα συνιδεῖν ἀκριβῶς· ἀλλ', ὡς ἐν χερσὶν ἤδη γεγονότων, τοὺς ὑσσοὺς ἀφέντες μάτην, οὐδενὸς ἐφίκοντο. Τοῦτο συνιδόντες οἱ Ῥωμαῖοι, μετὰ κραυγῆς ἐπέδραμον, καὶ μηκέτι μένειν τολμῶντας, ἀλλ' ἐκπεπληγμένους καὶ φεύγοντας ἔκτεινον, ὥστε πολὺ πλείονας μυρίων ἀποθανεῖν, ἁλῶναι δὲ τὸ στρατόπεδον. Αὐτὸς δὲ Μιθριδάτης ἐν ἀρχῇ μὲν ὀκτακοσίοις ἵπποις διέκοψε καὶ διεξῆλασε τοὺς Ῥωμαίους· ταχὺ δὲ τῶν ἄλλων σκεδασθέντων, ἀπελείφθη μετὰ τριῶν. Ἦν οἷς ἦν Ὑψικρατία, παλλακὶς, ἀεὶ μὲν ἀνδρώδης τις οὖσα καὶ παράτολμος· Ὑψικράτην γοῦν αὐτὴν ὁ βασιλεὺς ἐκάλει· τότε δ' ἀνδρὸς ἔχουσα Πέρσου στολὴν καὶ ἵππον, οὔτε τῷ σώματι πρὸς τὰ μήκη τῶν δρόμων ἀπηγόρευσεν, οὔτε θεραπεύουσα τὸ σῶμα τοῦ βασιλέως καὶ τὸν ἵππον ἐξέκαμεν, ἄχρις ἦκον εἰς γωλίον

Digitized by Google

Ἰνώρα, χρημάτων καὶ πειμηλίων βασιλικῶν μεστόν. Ἐξ οὗ λαβὼν ὁ Μιθριδάτης ἐσθῆτας πολυτελεῖς, διένειμε τοῖς συνδεδραμηκόσι πρὸς αὐτὸν ἐκ τῆς φυγῆς. Ἔδωκε δὲ καὶ τῶν φίλων ἑκάστῳ φορεῖν θανάσιμον φάρμακον, ὅπως ὤκων μηδεὶς ὑποχείριος γένοιτο τοῖς πολεμίοις. Ἐντεῦθεν ὥρμητο μὲν ἐπ' Ἀρμενίας πρὸς Τιγράνην· ἐκείνου δ' ἀπαγορεύοντος, καὶ τάλαντα ἑκατὸν ἐπικηρύξαντος αὐτῷ, παραμειψάμενος τὰς πηγὰς τοῦ Εὐφράτου, διὰ τῆς Κολχίδος ἔφευγε.

XXXIII. Πομπήϊος δ' εἰς Ἀρμενίαν ἐνέβαλε, τοῦ νέου Τιγράνου καλοῦντος αὐτόν· ἤδη γὰρ ἀφειστήκει τοῦ πατρὸς, καὶ συνήντησε τῷ Πομπηΐῳ περὶ τὸν Ἀράξην ποταμὸν, ὃς ἀνίσχει μὲν ἐκ τῶν αὐτῶν τῷ Εὐφράτῃ τόπων, ἀποτρεπόμενος δὲ πρὸς τὰς ἀνατολὰς, εἰς τὸ Κάσπιον ἐμβάλλει πέλαγος. Οὗτοι μὲν οὖν προῆγον ἅμα τὰς πόλεις παραλαμβάνοντες· ὁ δὲ βασιλεὺς Τιγράνης, ἔναγχος μὲν ὑπὸ Λευκούλλου συντετριμμένος, ἥμερον δέ τινα τῷ τρόπῳ καὶ πρᾷον εἶναι πυθόμενος τὸν Πομπήϊον, ἐδέξατο μὲν εἰς τὰ βασίλεια φρουράν, ἀναλαβὼν δὲ τοὺς φίλους καὶ συγγενεῖς, αὐτὸς ἐπορεύετο παραδώσων ἑαυτόν. Ὡς δ' ἦλθεν ἱππότης ἐπὶ τὸν χάρακα, ῥαβδοῦχοι δύο τοῦ Πομπηΐου προσελθόντες ἐκέλευσαν ἀποβῆναι τοῦ ἵππου καὶ πεζὸν ἐλθεῖν· οὐδένα γὰρ ἀνθρώπων ἐφ' ἵππου καθεζόμενον ἐν Ῥωμαϊκῷ στρατοπέδῳ πώποτ' ὀφθῆναι. Καὶ ταῦτα οὖν Τιγράνης ἐπείθετο, καὶ τὸ ξίφος αὐτοῖς ἀπολυσάμενος παρεδίδου· καὶ τέλος, ὡς πρὸς αὐ-

Digitized by Google

τὸν ἦλθε τὸν Πομπήϊον, ἀφελόμενος τὴν κίταριν, ὥρμησε πρὸ τῶν ποδῶν θεῖναι, καὶ καταβαλὼν ἑαυτὸν, αἴσχιστα δὴ πάντων, προσπεσεῖν αὐτοῦ τοῖς γόνασιν. Ἀλλ' ὁ Πομπήϊος ἔφθη, τῆς δεξιᾶς αὐτοῦ λαβόμενος, προσαγαγέσθαι· καὶ πλησίον ἱδρυσάμενος ἑαυτοῦ, τὸν δ' υἱὸν ἐπὶ θάτερα, τῶν μὲν ἄλλων ἔφησε δεῖν αἰτιᾶσθαι Λεύκουλλον, ὑπ' ἐκείνου γὰρ ἁφῃρῆσθαι Συρίαν, Φοινίκην, Κιλικίαν, Γαλατίαν, Σωφηνήν· ἃ δ' ἄχρις ἑαυτοῦ διατετήρηκεν, ἕξειν, ἐπίσαντα ποινὴν ἑξακισχίλια τάλαντα Ῥωμαίοις τῆς ἀδικίας· Σωφηνῆς δὲ βασιλεύσειν τὸν υἱόν. Ἐπὶ τούτοις ὁ μὲν Τιγράνης ἠγάπησε, καὶ τῶν Ῥωμαίων ἀσπασαμένων αὐτὸν βασιλέα, περιχαρὴς γενόμενος, ἐπηγγείλατο στρατιώτῃ μὲν ἡμίμναιον ἀργυρίου δώσειν, ἑκατοντάρχῃ δὲ μνᾶς δέκα, χιλιάρχῳ δὲ τάλαντον. Ὁ δ' υἱὸς ἐδυσφόρει, καὶ κληθεὶς ἐπὶ δεῖπνον, οὐκ ἔφη Πομπηΐου δεῖσθαι τοιαῦτα τιμῶντος· καὶ γὰρ αὐτὸς ἄλλον εὑρήσειν Ῥωμαίων. Ἐκ τούτου δεθεὶς εἰς τὸν θριαμβον ἐφυλάττετο. Καὶ μετ' οὐ πολὺν χρόνον ἔπεμψε Φραάτης ὁ Πάρθος, ἀπαιτῶν μὲν τὸν νεανίσκον, ὡς αὐτοῦ γαμβρὸν, ἀξιῶν δὲ τῶν ἡγεμονιῶν ὅρῳ χρῆσθαι τῷ Εὐφράτῃ. Πομπήϊος δ' ἀπεκρίνατο, τὸν μὲν Τιγράνην τῷ πατρὶ μᾶλλον, ἢ τῷ πενθερῷ, προσήκειν· ὅρῳ δὲ χρήσεσθαι τῷ δικαίῳ.

XXXIV. Καταλιπὼν δὲ φρουρὸν Ἀρμενίας Ἀφράνιον, αὐτὸς ἐβάδιζε διὰ τῶν περιοικούντων τὸν Καύκασον ἐθνῶν ἀναγκαίως ἐπὶ Μιθριδάτην. Μέγι-

Digitized by Google

στα δ' αὐτῶν ἐστιν ἔθνη, Ἀλβανοὶ καὶ Ἴβηρες· Ἴβηρες μὲν, ἐπὶ τὰ Μοσχικὰ ὄρη καὶ τὸν Πόντον καθήκοντες, Ἀλβανοὶ δ' ἐπὶ τὴν ἕω καὶ τὴν Κασπίαν κεκλιμένοι θάλασσαν. Οὗτοι πρῶτον μὲν αἰτοῦντι Πομπηΐῳ δίοδον ἔδοσαν· χειμῶνος δὲ τὴν στρατιὰν ἐν τῇ χώρᾳ καταλαβόντος, καὶ τῆς Κρονικῆς ἑορτῆς τοῖς Ῥωμαίοις καθηκούσης, γενόμενοι τετρακισμυρίων οὐκ ἐλάττους, ἐπεχείρησαν αὐτοῖς διαβάντες τὸν Κύρνον ποταμὸν, ὃς ἐκ τῶν Ἰβηρικῶν ὀρῶν ἀνιστάμενος καὶ δεχόμενος κατιόντα τὸν Ἄραξιν ἐκ Ἀρμενίας, ἑξήσι δώδεκα στόμασιν εἰς τὸ Κάσπιον. Οἱ δ' οὐ φασὶ τούτῳ συμφέρεσθαι τὸν Ἄραξιν, ἀλλὰ καθ' ἑαυτὸν, ἐγγὺς δὲ ποιεῖσθαι τὴν ἐκβολὴν εἰς ταὐτὸ πέλαγος. Πομπήϊος δὲ, καίπερ ἑστῶτας δυνάμενος πρὸς τὴν διάβασιν τοῖς πολεμίοις, περιεῖδε διαβάντας καθ' ἡσυχίαν· εἶτ' ἐπαγαγὼν ἐτρέψατο, καὶ διέφθειρε παμπληθεῖς. Τῷ δὲ βασιλεῖ δεηθέντι καὶ πέμψαντι πρέσβεις ἀφεὶς τὴν ἀδικίαν, καὶ σπεισάμενος, ἐπὶ τοὺς Ἴβηρας ἐβάδιζε, πλήθει μὲν οὐκ ἐλάττονας, μαχιμωτέρους δὲ τῶν ἑτέρων ὄντας, ἰσχυρῶς δὲ βουλομένους τῷ Μιθριδάτῃ χαρίζεσθαι, καὶ διωθεῖσθαι τὸν Πομπήϊον. Οὔτε γὰρ Μήδοις, οὔτε Πέρσαις ὑπήκουσαν Ἴβηρες· διέφυγον δὲ καὶ τὴν Μακεδόνων ἀρχὴν, Ἀλεξάνδρου διὰ ταχέων ἐκ τῆς Ὑρκανίας ἀπάραντος. Οὐ μὴν ἀλλὰ καὶ τούτους μάχῃ μεγάλῃ τρεψάμενος ὁ Πομπήϊος, ὥστ' ἀποθανεῖν μὲν ἑπτακισχιλίους, ἁλῶναι δὲ πλείους μυρίων, εἰς τὴν Κολχικὴν ἐνέβαλε· καὶ πρὸς τὸν φῶ-

Digitized by Google

σιν αὐτῷ Σερούϊλιος ἀπήντησε, τὰς ναῦς ἔχων, αἷς ἐφρούρει τὸν Πόντον.

XXXV. Ἡ μὲν οὖν Μιθριδάτου δίωξις, ἐνδεδυκότος εἰς τὰ περὶ Βόσπορον ἔθνη καὶ τὴν Μαιῶτιν, ἀπορίας εἶχε μεγάλας· Ἀλβανοὶ δ' αὖθις ἀφεστῶτες αὐτῷ προσηγγέλθησαν. Πρὸς οὓς ὑπ' ὀργῆς καὶ φιλονεικίας ἐπιστρέψας, τόν τε Κύρνον μόλις καὶ παραβόλως πάλιν διεπέρασεν, ἐπὶ πολὺ σταυροῖς ὑπὸ τῶν βαρβάρων ἀποκεχαρακωμένον· καὶ, μακρᾶς αὐτὸν ἐκδεχομένης ἀνύδρου καὶ ἀργαλέας ὁδοῦ, μυρίους ἀσκοὺς ὕδατος ἐμπλησάμενος, ἤλαυνεν ἐπὶ τοὺς πολεμίους, καὶ κατέλαβε πρὸς Ἄβαντι ποταμῷ παρατεταγμένους, ἑξακισμυρίους πεζοὺς, καὶ δισχιλίους ἱππεῖς ἐπὶ μυρίοις, ὡπλισμένους δὲ φαύλως καὶ δέρμασι θηρίων τοὺς πολλούς. Ἦγεῖτο δ' αὐτῶν βασιλέως ἀδελφὸς, ὄνομα Κῶσις. Οὗτος, ἐν χερσὶ τῆς μάχης γενομένης, ἐπὶ τὸν Πομπήϊον ὁρμήσας, αὐτὸν ἔβαλλεν ἐπὶ τὴν τοῦ θώρακος ἐπιπτυχὴν ἀκοντίσματι· Πομπήϊος δ' ἐκεῖνον ἐκ χειρὸς διελάσας ἀνεῖλεν. Ἐν ταύτῃ τῇ μάχῃ λέγονται καὶ Ἀμαζόνες συναγωρίσασθαι τοῖς βαρβάροις, ἀπὸ τῶν περὶ τὸν Θερμώδοντα ποταμὸν ὀρῶν καταβῶσαι. Μετὰ γὰρ τὴν μάχην σκυλεύοντες οἱ Ῥωμαῖοι τοὺς βαρβάρους, πέλταις Ἀμαζονικαῖς καὶ κοθόρνοις ἐνετύγχανον, σῶμα δ' οὐδὲν ὤφθη γυναικεῖον. Νέμονται δὲ τοῦ Καυκάσου τὰ καθήκοντα πρὸς τὴν Ὑρκανίαν θάλασσαν, οὐχ ὁμοροῦσαι τοῖς Ἀλβανοῖς, ἀλλὰ Γέλαι καὶ Λῆγες οἰκοῦσι διὰ μέσου

Digitized by Google

κτου καὶ σεσοβημένου πρὸς δόξαν, ἀνανεύοντα τοῖς ἄλλοις καὶ διακωλύοντα βάλλειν Ἕκτορα,

Μή τις κῦδος ἄροιτο βαλών, ὁ δὲ δεύτερος ἔλθοι·

Πομπήϊον δὲ καὶ σώζειν ὑπερμαχοῦντα τῶν κοινῶν πολεμίων, ἐπὶ τῷ τὸν θρίαμβον ἀφελέσθαι στρατηγοῦ πολλὰ πεπονηκότος. Οὐ μὴν ἐνέδωκεν ὁ Μέτελλος, ἀλλὰ τούς τε πειρατὰς ἐξελὼν ἐτιμωρήσατο, καὶ τὸν Ὀκταούϊον ἐν τῷ στρατοπέδῳ καθυβρίσας καὶ λοιδορήσας ἀφῆκεν.

XXX. Ἀπαγγελθέντος δ' εἰς Ῥώμην πέρας ἔχειν τὸν πειρατικὸν πόλεμον, καὶ σχολὴν ἄγοντα τὸν Πομπήϊον ἐπέρχεσθαι τὰς πόλεις, γράφει νόμον εἷς τῶν δημάρχων, Μανίλιος, ὅσης Λεύκουλλος ἄρχει χώρας καὶ δυνάμεως, Πομπηΐου παραλαβόντα πᾶσαν, προσλαβόντα δὲ καὶ Βιθυνίαν, ἣν ἔχει Γλαβρίων, πολεμεῖν Μιθριδάτῃ καὶ Τιγράνῃ, τοῖς βασιλεῦσιν, ἔχοντα καὶ τὴν ναυτικὴν δύναμιν, καὶ τὸ κράτος τῆς θαλάσσης, ἐφ' οἷς ἔλαβεν ἐξ ἀρχῆς. Τοῦτο δ' ἦν ἐφ' ἑνὶ συλλήβδην γενέσθαι τὴν Ῥωμαίων ἡγεμονίαν. Ὧν γὰρ ἐδόκει μόνων ἐπαρχιῶν μὴ ἐφικνεῖσθαι τῷ προτέρῳ νόμῳ, Φρυγίας, Λυκαονίας, Γαλατίας, Καππαδοκίας, Κιλικίας, τῆς ἄνω Κολχίδος, Ἀρμενίας, αὗται προσετίθεντο μετὰ στρατοπέδων καὶ δυνάμεων, αἷς Λεύκουλλος κατεπολέμησε Μιθριδάτην καὶ Τιγράνην. Ἀλλὰ Λευκούλλου μὲν ἀποστεροιμένου τὴν δόξαν ὧν κατειργάσατο, καὶ θριάμβου μᾶλλον, ἢ πολέμου διάδοχον λαμβάνοντος, ἧττων λόγος ἦν τοῖς ἀριστοκρατικοῖς, καίπερ οἰομένοις ἄδικα καὶ ἀχά-

Digitized by Google

ριστα πάσχειν τὸν ἄνδρα· τὴν δὲ δύναμιν τοῦ Πομπηΐου βαρέως φέροντες, ὡς τυραννίδα καθισταμένην, ἰδίᾳ παρεκάλουν καὶ παρεθάῤῥυνον αὐτοὺς ἐπιλαβέσθαι τοῦ νόμου, καὶ μὴ προέσθαι τὴν ἐλευθερίαν. Ἐνστάντος δὲ τοῦ καιροῦ, τὸν δῆμον φοβηθέντος, ἐξέλιπον καὶ κατεσιώπησαν οἱ λοιποί· Κάτλος δὲ, τοῦ νόμου πολλὰ κατηγορήσας, καὶ τοῦ δημάρχου, μηδένα δὲ πείθων, ἐκέλευε τὴν βουλὴν, ἀπὸ τοῦ βήματος κεκραγὼς πολλάκις, ὅρος ζητεῖν, ὥσπερ οἱ πρόγονοι, καὶ κρημνὸν, ὅπου καταφυγοῦσα διασώσει τὴν ἐλευθερίαν. Ἐκυρώθη δ' οὖν ὁ νόμος πάσαις, ὡς λέγεται, ταῖς φυλαῖς, καὶ κύριος ἀποδέδεικτο μὴ παρὼν ὁ Πομπήϊος ἁπάντων σχεδὸν, ὧν ὁ Σύλλας, ὅπλοις καὶ πολέμῳ τῆς πόλεως κρατήσας. Αὐτὸς δὲ δεξάμενος τὰ γράμματα, καὶ πυθόμενος τὰ δεδογμένα, τῶν φίλων παρόντων καὶ συνηδομένων, τὰς ὀφρῦς λέγεται συναγαγεῖν, καὶ τὸν μηρὸν πατάξαι, καὶ εἰπεῖν, ὡς ἂν βαρυνόμενος ἤδη καὶ δυσχεραίνων τὸ ἄρχειν· „Φεῦ τῶν ἀνηνύτων ἄθλων, ὡς ἄρα κρεῖττον ἦν ἕνα τῶν ἀδόξων γενέσθαι, εἰ μηδέποτε παύσομαι στρατευόμενος, μηδὲ τὸν φθόνον τοῦτον ἐκδὺς, ἐν ἀγρῷ διαιτήσομαι μετὰ τῆς γυναικός." Ἐφ' οἷς λεγομένοις οὐδ' οἱ πάνυ συνήθεις ἔφερον αὐτοῦ τὴν εἰρωνείαν, γινώσκοντες, ὅτι, τῆς ἐμφύτου φιλοτιμίας καὶ φιλαρχίας ὑπέκκαυμα τὴν πρὸς Λεύκουλλον ἔχων διαφορὰν, μειζόνως ἔχαιρεν.

XXXI. Ἀμέλει δὲ καὶ τὰ ἔργα ταχέως αὐτὸν ἀπεκάλυπτε. Παντοχοῦ γὰρ ἐκπιθεὶς διαγράμματα,

Digitized by Google

τοὺς στρατιώτας ἀνεκαλεῖτο, καὶ μετεπέμπετο τοὺς ὑπηκόους δυνάστας καὶ βασιλεῖς ὡς ἑαυτόν. Ἐπιὼν τε τὴν χώραν, οὐδὲν ἀκίνητον εἶα τῶν ὑπὸ τοῦ Λευκούλλου γεγονότων· ἀλλὰ καὶ κολάσεις ἀνῆκε πολλοῖς, καὶ δωρεὰς ἀφείλετο, καὶ πάντα ὅλως ἔπραττεν, ἐπιδεῖξαι τὸν ἄνδρα φιλονεικῶν τοῖς θαυμάζουσιν οὐδενὸς ὄντα κύριον. Ἐγκαλοῦντος δ' ἐκείνου διὰ τῶν φίλων, ἔδοξε συνελθεῖν εἰς ταὐτό. καὶ συνῆλθον περὶ τὴν Γαλατίαν. Οἷα δὲ μεγίστων στρατηγῶν καὶ μέγιστα κατορθωκότων, δάφνας ἀνεστεμμένας ἔχοντες ὁμοῦ καὶ τὰς ῥάβδους οἱ ὑπηρέται ἀπήντων. Ἀλλὰ Λεύκουλλος μὲν ἐκ τόπων χλοερῶν καὶ κατασκίων προσῄει, Πομπήϊος δὲ πολλὴν ἄδενδρον καὶ κατεψυγμένην ἔτυχε διεληλυθώς. Ἰδόντες οὖν οἱ τοῦ Λευκούλλου ῥαβδοφόροι τοῦ Πομπηΐου τὰς δάφνας ἐθαλλεῖς καὶ μεμαραμμένας παντάπασιν ἐκ τῶν ἰδίων, προσφάτων σὺσῶν, μεταδιδόντες, ἐπεκόσμησαν καὶ κατέστεψαν τὰς ἐκείνου ῥάβδους. Ὃ σημεῖον ἔδοξεν εἶναι, τὰ τοῦ Λευκούλλου νικητήρια καὶ τὴν δόξαν οἰσόμενον ἔρχεσθαι Πομπήϊον. Ἦν δὲ Λεύκουλλος μὲν ἐν ὑπατείας τε τάξει, καὶ καθ' ἡλικίαν πρεσβύτερος, τὸ δὲ τοῦ Πομπηΐου μεῖζον ἀξίωμα τοῖς δυσὶ θριάμβοις. Οὐ μὴν ἀλλὰ τὴν πρώτην ἔντευξιν ὡς ἐνῆν μάλιστα πολιτικῶς καὶ φιλοφρόνως ἐποιήσαντο, μεγαλύνοντες ἀλλήλων τὰ ἔργα, καὶ συνηδόμενοι τοῖς κατορθώμασιν. Ἐν δὲ τοῖς λόγοις πρὸς οὐδὲν ἐπιεικὲς, οὐδὲ μέτριον συμβάντες, ἀλλὰ καὶ λοιδορήσαντες, ὁ μὲν εἰς φι-

Digitized by Google

λαργυρίαν τὸν Λεύκουλλον, ὁ δ' εἰς φιλαρχίαν ἐκεῖνον, ὑπὸ τῶν φίλων μόλις διελύθησαν. Καὶ Λεύκουλλος μὲν ἐν Γαλατίᾳ διέγραψε χώρας τῆς αἰχμαλώτου καὶ δωρεὰς ἄλλας, οἷς ἐβούλετο· Πομπήϊος δὲ, μικρὸν ἀπωτέρω στρατοπεδεύσας, ἐκώλυε προσέχειν αὐτῷ, καὶ τοὺς στρατιώτας ἅπαντας ἀφείλετο, πλὴν χιλίων ἑξακοσίων· οὓς ἐνόμιζεν ὑπ' αὐθαδείας ἀχρήστους μὲν ἑαυτῷ, τῷ Λευκούλλῳ δὲ δυσμενεῖς εἶναι. Πρὸς δὲ τούτοις, διασύρων τὰ ἔργα ἐμφανῶς, ἔλεγε τραγῳδίαις καὶ σκιαγραφίαις πεπολεμηκέναι βασιλικαῖς τὸν Λεύκουλλον, αὐτῷ δὲ πρὸς ἐληθινὴν καὶ σεσωφρονισμένην τὸν ἀγῶνα λείπεσθαι δύναμιν, εἰς θυρεοὺς καὶ ξίφη καὶ ἵππους Μιθριδάτου καταφεύγοντος. Ἀμυνόμενος δὲ ὁ Λεύκουλλος, εἰδώλῳ καὶ σκιᾷ πολέμου τὸν Πομπήϊον ἔφη μαχούμενον βαδίζειν, εἰθισμένον ἀλλοτρίοις νεκροῖς ὥσπερ ὄρνιν ἀργὸν, ἐπικαταίρειν, καὶ λείψανα πολέμων σπαράσσειν. Οὕτω γὰρ αὐτὸν ἐπιγράψαι Σερτωρίῳ, Λεπίδῳ, τοῖς Σπαρτακίοις, τὰ μὲν Κράσσου, τὰ δὲ Μετέλλου, τὰ δὲ Κάτλου κατωρθωκότος. Ὅθεν οὐ θαυμάζειν, εἰ τῶν Ἀρμενιακῶν καὶ Ποντικῶν πολέμων ὑποβάλλεται τὴν δόξαν, ἄνθρωπος ἑαυτὸν εἰς δραπετικὸν θρίαμβον ἀμασγέπως ἐμβαλεῖν μηχανησάμενος.

XXXII. Ἐκ τούτου Λεύκουλλος μὲν ἀπῆρε, Πομπήϊος δὲ, τῷ στόλῳ παντὶ τὴν μεταξὺ Φοινίκης καὶ Βοσπόρου θάλασσαν ἐπὶ φρουρᾷ διαλαβὼν, αὐτὸς ἐβάδιζεν ἐπὶ Μιθριδάτην ἔχοντα τρισμυρίους

Digitized by Google

πεζοὺς ἐν φάλαγγι, καὶ δισχιλίους ἱππεῖς, μαχεσθαι δὲ μὴ θαῤῥοῦντα. Καὶ πρῶτον μὲν αὐτοῦ καρτερὸν ὄρος καὶ δύσμαχον, ἐν ᾧ στρατοπεδεύων ἔτυχεν, ὡς ἄνυδρον ἐκλιπόντος, αὐτὸ τοῦτο κατασχὼν ὁ Πομπήϊος, καὶ τῇ φύσει τῶν βλαστανόντων, καὶ ταῖς συγκλινίαις τῶν τόπων τεκμαιρόμενος ἔχειν πηγὰς τὸ χωρίον, ἐκέλευσεν ἐκβαλεῖν πανταχοῦ φρέατα. Καὶ μεστὸν ἦν εὐθὺς ὕδατος ἀφθόνου τὸ στρατόπεδον, ὥστε θαυμάζειν, εἰ τῷ παντὶ χρόνῳ τοῦτο Μιθριδάτης ἠγνόησεν. Ἔπειτα περιστρατοπεδεύσας περιετείχιζεν αὐτόν. Ὁ δὲ, πέντε καὶ τεττεράκοντα πολιορκηθεὶς ἡμέρας, ἔλαθεν ἀποδρὰς μετὰ τῆς ἐῤῥωμενεστάτης δυνάμεως, κτείνας τοὺς ἀχρήστους καὶ νοσοῦντας. Εἶτα μέντοι περὶ τὸν Εὐφράτην καταλαβὼν αὐτὸν ὁ Πομπήϊος παρεστρατοπέδευσε· καὶ δεδιὼς, μὴ φθάσῃ περάσας τὸν Εὐφράτην, ἐκ μέσων νυκτῶν ἐπῆγεν ὡπλισμένην τὴν στρατιάν· καθ' ὃν χρόνον λέγεται τὸν Μιθριδάτην ὄψιν ἐν ὕπνοις ἰδεῖν τὰ μέλλοντα προδηλοῦσαν. Ἐδόκει γὰρ, οὐρίῳ πνεύματι πλέων τὸ Ποντικὸν πέλαγος, ἤδη Βόσπορον καθορᾶν, καὶ φιλοφρονεῖσθαι τοὺς συμπλέοντας, ὡς ἄν τις ἐπὶ σωτηρίᾳ σαφεῖ καὶ βεβαίῳ χαίρων· ἄφνω δ' ἀναφανῆναι πάντων ἔρημος, ἐπὶ λεπτοῦ ναυαγίου διαφερόμενος. Ἐν τοιούτοις δ' αὐτὸν ὄντα πάθεσι καὶ φάσμασιν ἐπιστάντες ἀνέστησαν οἱ φίλοι, φράζοντες ἐπιέναι Πομπήϊον. Ἦν οὖν ἐξ' ἀνάγκης μαχητέον ὑπὲρ τοῦ χάρακος, καὶ προαγαγόντες οἱ στρατηγοὶ τὴν δύναμιν ἔταξαν

Digitized by Google

Αἰσθόμενος δὲ τὴν παρασκευὴν αὐτῶν ὁ Πομπήϊος, ὤκνει κατὰ σκότος εἰς κίνδυνον ἐλθεῖν, καὶ κύκλῳ μόνον ὤετο δεῖν περιελαύνειν, ὅπως μὴ φεύγοιεν, ἡμέρας δὲ, κρείττους ὄντας, ἐπιχειρεῖν. Οἱ δὲ πρεσβύτατοι τῶν ταξιαρχῶν δεόμενοι καὶ παρακαλοῦντες ἐξώρμησαν αὐτόν. Οὐδὲ γὰρ σκότος ἦν παντάπασιν, ἀλλ' ἡ σελήνη καταφερομένη παρεῖχεν ἔτι τῶν σωμάτων ἱκανὴν ἔποψιν. Καὶ τοῦτο μάλιστα τοὺς βασιλικοὺς ἔσφηλεν. Ἐπῆσαν μὲν γὰρ οἱ Ῥωμαῖοι κατὰ νώτου τὴν σελήνην ἔχοντες. Πεπεσμένου δὲ περὶ τὰς δύσεις τοῦ φωτὸς, αἱ σκιαὶ πολὺ τῶν σωμάτων ἔμπροσθεν προϊοῦσαι, τοῖς πολεμίοις ἐπέβαλλον οὐ δυναμένοις τὸ διάστημα συνιδεῖν ἀκριβῶς· ἀλλ', ὡς ἐν χερσὶν ἤδη γεγονότων, τοὺς ὑσσοὺς ἀφέντες μάτην, οὐδενὸς ἐφίκοντο. Τοῦτο συνιδόντες οἱ Ῥωμαῖοι, μετὰ κραυγῆς ἐπέδραμον, καὶ μηκέτι μένειν τολμῶντας, ἀλλ' ἐκπεπληγμένους καὶ φεύγοντας ἔκτεινον, ὥστε πολὺ πλείονας μυρίων ἀποθανεῖν, ἁλῶναι δὲ τὸ στρατόπεδον. Αὐτὸς δὲ Μιθριδάτης ἐν ἀρχῇ μὲν ὀκτακοσίοις ἵπποις διέκοψε καὶ διεξήλασε τοὺς Ῥωμαίους· ταχὺ δὲ τῶν ἄλλων σκεδασθέντων, ἀπελείφθη μετὰ τριῶν. Ἦν οἷς ἦν Ὑψικρατία, παλλακὶς, ἀεὶ μὲν ἀνδρώδης τις οὖσα καὶ παράτολμος· Ὑψικράτην γοῦν αὐτὴν ὁ βασιλεὺς ἐκάλει· τότε δ' ἀνδρὸς ἔχουσα Πέρσου στολὴν καὶ ἵππον, οὔτε τῷ σώματι πρὸς τὰ μήκη τῶν δρόμων ἀπηγόρευσεν, οὔτε θεραπεύουσα τὸ σῶμα τοῦ βασιλέως καὶ τὸν ἵππον ἐξέκαμεν, ἄχρις ἦκον εἰς γωλίον

Digitized by Google

Ἰνώρα, χρημάτων καὶ κειμηλίων βασιλικῶν μεστόν. Ἐξ οὗ λαβὼν ὁ Μιθριδάτης ἐσθῆτας πολυτελεῖς, διένειμε τοῖς συνδεδραμηκόσι πρὸς αὐτὸν ἐκ τῆς φυγῆς. Ἔδωκε δὲ καὶ τῶν φίλων ἑκάστῳ φορεῖν θανάσιμον φάρμακον, ὅπως ὅπως μηδεὶς ὑποχείριος γένοιτο τοῖς πολεμίοις. Ἐντεῦθεν ὥρμητο μὲν ἐπ' Ἀρμενίας πρὸς Τιγράνην· ἐκείνου δ' ἀπαγορεύοντος, καὶ τάλαντα ἑκατὸν ἐπικηρύξαντος αὐτῷ, παραμειψάμενος τὰς πηγὰς τοῦ Εὐφράτου, διὰ τῆς Κολχίδος ἔφευγε.

XXXIII. Πομπήϊος δ' εἰς Ἀρμενίαν ἐνέβαλε, τοῦ νέου Τιγράνου καλοῦντος αὐτόν· ἤδη γὰρ ἀφειστήκει τοῦ πατρός, καὶ συνήντησε τῷ Πομπηΐῳ περὶ τὸν Ἀράξην ποταμόν, ὃς ἀνίσχει μὲν ἐκ τῶν αὐτῶν τῷ Εὐφράτῃ τόπων, ἀποτρεπόμενος δὲ πρὸς τὰς ἀνατολὰς, εἰς τὸ Κάσπιον ἐμβάλλει πέλαγος. Οὗτοι μὲν οὖν προῆγον ἅμα τὰς πόλεις παραλαμβάνοντες· ὁ δὲ βασιλεὺς Τιγράνης, ἔναγχος μὲν ὑπὸ Λευκούλλου συντετριμμένος, ἥμερον δέ τινα τῷ τρόπῳ καὶ πρᾷον εἶναι πυθόμενος τὸν Πομπήϊον, ἐδέξατο μὲν εἰς τὰ βασίλεια φρουράν, ἀναλαβὼν δὲ τοὺς φίλους καὶ συγγενεῖς, αὐτὸς ἐπορεύετο παραδώσων ἑαυτόν. Ὡς δ' ἦλθεν ἱππότης ἐπὶ τὸν χάραξ, ῥαβδοῦχοι δύο τοῦ Πομπηΐου προσελθόντες ἐκέλευσαν ἀποβῆναι τοῦ ἵππου καὶ πεζὸν ἐλθεῖν· οὐδένα γὰρ ἀνθρώπων ἐφ' ἵππου καθεζόμενον ἐν Ρωμαϊκῷ στρατοπέδῳ πώποτ' ὀφθῆναι. Καὶ ταῦτα οὖν Τιγράνης ἐπείθετο, καὶ τὸ ξίφος αὐτοῖς ἀπολυσάμενος παρεδίδου· καὶ τέλος, ὡς πρὸς αὐ-

Digitized by Google

τὸν ἦλθε τὸν Πομπήϊον, ἀφελόμενος τὴν κίταριν, ὥρμησε πρὸ τῶν ποδῶν θεῖναι, καὶ καταβαλὼν ἑαυτὸν, αἴσχιστα δὴ πάντων, προσπεσεῖν αὐτοῦ τοῖς γόνασιν. Ἀλλ' ὁ Πομπήϊος ἔφθη, τῆς δεξιᾶς αὐτοῦ λαβόμενος, προσαγαγέσθαι· καὶ πλησίον ἱδρυσάμενος ἑαυτοῦ, τὸν δ' υἱὸν ἐπὶ θάτερα, τῶν μὲν ἄλλων ἔφησε δεῖν αἰτιᾶσθαι Λεύκουλλον, ὑπ' ἐκείνου γὰρ ἁφῃρῆσθαι Συρίαν, Φοινίκην, Κιλικίαν, Γαλατίαν, Σωφηνήν· ἃ δ' ἄχρις ἑαυτοῦ διατετήρηκεν, ἕξειν, ἐπίσαντα ποινὴν ἑξακισχίλια τάλαντα Ῥωμαίοις τῆς ἀδικίας· Σαφηνῆς δὲ βασιλεύσειν τὸν υἱόν. Ἐπὶ τούτοις ὁ μὲν Τιγράνης ἠγάπησε, καὶ τῶν Ῥωμαίων ἀσπασαμένων αὐτὸν βασιλέα, περιχαρὴς γενόμενος, ἐπηγγείλατο στρατιώτῃ μὲν ἡμίμναιον ἀργυρίου δώσειν, ἑκατοντάρχῃ δὲ μνᾶς δέκα, χιλιάρχῳ δὲ τάλαντον. Ὁ δ' υἱὸς ἐδυσφόρει, καὶ κληθεὶς ἐπὶ δεῖπνον, οὐκ ἔφη Πομπηΐου δεῖσθαι τοιαῦτα τιμῶντος· καὶ γὰρ αὐτὸς ἄλλον εὑρήσειν Ῥωμαίων. Ἐκ τούτου δεθεὶς εἰς τὸν θριαμβον ἐφυλάττετο. Καὶ μετ' οὐ πολὺν χρόνον ἔπεμψε Φραάτης ὁ Πάρθος, ἀπαιτῶν μὲν τὸν νεανίσκον, ὡς αὐτοῦ γαμβρὸν, ἀξιῶν δὲ τῶν ἡγεμονιῶν ὅρῳ χρῆσθαι τῷ Εὐφράτῃ. Πομπήϊος δ' ἀπεκρίνατο, τὸν μὲν Τιγράνην τῷ πατρὶ μᾶλλον, ἢ τῷ πενθερῷ, προσήκειν· ὅρῳ δὲ χρήσεσθαι τῷ δικαίῳ.

XXXIV. Καταλιπὼν δὲ φρουρὸν Ἀρμενίας Ἀφράνιον, αὐτὸς ἐβάδιζε διὰ τῶν περιοικούντων τὸν Καύκασον ἐθνῶν ἀναγκαίως ἐπὶ Μιθριδάτην. Μέγι-

Digitized by Google

στα δ' αὐτῶν ἐστιν ἔθνη, Ἀλβανοὶ καὶ Ἴβηρες· Ἴβηρες μὲν, ἐπὶ τὰ Μοσχικὰ ὄρη καὶ τὸν Πόντον καθήκοντες, Ἀλβανοὶ δ' ἐπὶ τὴν ἕω καὶ τὴν Κασπίαν κεκλιμένοι θάλασσαν. Οὗτοι πρῶτον μὲν αἰτοῦντι Πομπηΐῳ δίοδον ἔδοσαν· χειμῶνος δὲ τὴν στρατιὰν ἐν τῇ χώρᾳ καταλαβόντος, καὶ τῆς Κρονικῆς ἑορτῆς τοῖς Ῥωμαίοις καθηκούσης, γενόμενοι τετρακισμυρίων οὐκ ἐλάττους, ἐπεχείρησαν αὐτοῖς διαβάντες τὸν Κύρνον ποταμὸν, ὃς ἐκ τῶν Ἰβηρικῶν ὀρῶν ἀνιστάμενος καὶ δεχόμενος κατιόντα τὸν Ἄραξιν ἐπ' Ἀρμενίας, ἐξίησι δώδεκα στόμασιν εἰς τὸ Κάσπιον. Οἱ δ' οὐ φασὶ τούτῳ συμφέρεσθαι τὸν Ἄραξιν, ἀλλὰ καθ' ἑαυτὸν, ἐγγὺς δὲ ποιεῖσθαι τὴν ἐκβολὴν εἰς ταὐτὸ πέλαγος. Πομπήϊος δὲ, καίπερ ἑνστῆναι δυνάμενος πρὸς τὴν διάβασιν τοῖς πολεμίοις, περιεῖδε διαβάντας καθ' ἡσυχίαν· εἶτ' ἐπαγαγὼν ἐτρέψατο, καὶ διέφθειρε παμπληθεῖς. Τῷ δὲ βασιλεῖ δεηθέντι καὶ πέμψαντι πρέσβεις ἀφεὶς τὴν ἀδικίαν, καὶ σπεισάμενος, ἐπὶ τοὺς Ἴβηρας ἐβάδιζε, πλήθει μὲν οὐκ ἐλάττονας, μαχιμωτέρους δὲ τῶν ἑτέρων ὄντας, ἰσχυρῶς δὲ βουλομένους τῷ Μιθριδάτῃ χαρίζεσθαι, καὶ διωθεῖσθαι τὸν Πομπήϊον. Οὔτε γὰρ Μήδοις, οὔτε Πέρσαις ὑπήκουσαν Ἴβηρες· διέφυγον δὲ καὶ τὴν Μακεδόνων ἀρχὴν, Ἀλεξάνδρου διὰ ταχέων ἐκ τῆς Τρκανίας ἀπάραντος. Οὐ μὴν ἀλλὰ καὶ τούτους μάχῃ μεγάλῃ τρεψάμενος ὁ Πομπήϊος, ὥστ' ἀποθανεῖν μὲν ἑνακισχιλίους, ἁλῶναι δὲ πλείους μυρίων, εἰς τὴν Κολχικὴν ἐνέβαλε· καὶ πρὸς τὸν φῶ-

Digitized by Google

αὐτῷ Σερουίλιος ἀπήντησε, τὰς ναῦς ἔχων, ἐφρούρει τὸν Πόντον.

XXXV. Ἡ μὲν οὖν Μιθριδάτου δίωξις, ἐνδεδυ- ος εἰς τὰ περὶ Βόσπορον ἔθνη καὶ τὴν Μαιῶ- ἀπορίας εἶχε μεγάλας· Ἀλβανοὶ δ' αὖθις ἀφε- ίτες αὐτῷ προσηγγέλθησαν. Πρὸς οὓς ὑπ' ὀρ- καὶ φιλονεικίας ἐπιστρέψας, τόν τε Κύρνον ις καὶ παραβόλους πάλιν διεπέρασεν, ἐπὶ πολὺ υροῖς ὑπὸ τῶν βαρβάρων ἀποκεχαρακωμένον· μακρᾶς αὐτὸν ἐκδεχομένης ἀνύδρου καὶ ἀργα- ς ὁδοῦ, μυρίους ἀσκοὺς ὕδατος ἐμπλησάμενος, υνεν ἐπὶ τοὺς πολεμίους, καὶ κατέλαβε πρὸς Ἀ- τι ποταμῷ παρατεταγμένους, ἑξακισμυρίους πε- ς, καὶ δισχιλίους ἱππεῖς ἐπὶ μυρίοις, ὡπλισμέ- ς δὲ φαύλως καὶ δέρμασι θηρίων τοὺς πολλούς. εἶτο δ' αὐτῶν βασιλέως ἀδελφὸς, ὄνομα Κῶσις. τος, ἐν χερσὶ τῆς μάχης γενομένης, ἐπὶ τὸν Πομ- ον ὁρμήσας, αὐτὸν ἔβαλλεν ἐπὶ τὴν τοῦ θώρα- ἐπιπτυχὴν ἀκοντίσματι· Πομπήϊος δ' ἐκεῖνον ἐκ ὺς διελάσας ἀνεῖλεν. Ἐν ταύτῃ τῇ μάχῃ λέγον- καὶ Ἀμαζόνες συναγωρίσασθαι τοῖς βαρβάροις, τῶν περὶ τὸν Θερμώδοντα ποταμὸν ὀρῶν κατα- αι. Μετὰ γὰρ τὴν μάχην σκυλεύοντες οἱ Ῥω- οι τοὺς βαρβάρους, πέλταις Ἀμαζονικαῖς καὶ κο- νοις ἐνετύγχανον, σῶμα δ' οὐδὲν ὤφθη γυναι- ν. Νέμονται δὲ τοῦ Καυκάσου τὰ καθήκοντα ς τὴν Ὑρκανίαν θάλασσαν, οὐχ ὁμοροῦσαι τοῖς ανοῖς, ἀλλὰ Γέλαι καὶ Λῆγες οἰκοῦσι διὰ μέσου

Digitized by Google

καὶ τούτοις ἔτους ἑκάστου δύο μῆνας εἰς ταὐτὸ φοιτῶσαι περὶ τὸν Θερμώδοντα ποταμὸν ὁμιλοῦσιν, εἶτα καθ' αὑτὰς ἀπαλλαγεῖσαι βιοτεύουσιν.

XXXVI. Ὁρμήσας δὲ μετὰ τὴν μάχην ὁ Πομπήϊος ἐλαύνειν ἐπὶ τὴν Ὑρκανίαν καὶ Κασπίαν θάλασσαν, ὑπὸ πλήθους ἑρπετῶν θανασίμων ἀπετράπη, τριῶν ὁδὸν ἡμερῶν ἀποσχών. Εἰς δὲ τὴν μικρὰν Ἀρμενίαν ἀνεχώρησε· καὶ τῷ μὲν Ἐλυμαίων καὶ Μήδων βασιλεῖ, πέμψασι πρέσβεις, ἀντέγραψε φιλικῶς· τὸν δὲ Πάρθον, εἰς τὴν Γορδυηνὴν ἐμβεβηκότα καὶ περικόπτοντα τοὺς ὑπὸ Τιγράνῃ, πέμψας μετ' Ἀφρανίου δύναμιν, ἐξήλασε διωχθέντα μέχρι τῆς Ἀρβηλίτιδος. Ὅσαι δὲ τῶν Μιθριδάτου παλλακίδων ἀνήχθησαν, οὐδεμίαν ἔγνω, πάσας δὲ τοῖς γονεῦσι καὶ οἰκείοις ἀνέπεμψεν. Ἦσαν γὰρ αἱ πολλαὶ θυγατέρες καὶ γυναῖκες στρατηγῶν καὶ δυναστῶν. Στρατονίκη δ', ἣ μέγιστον εἶχεν ἀξίωμα, καὶ τὸ πολυχρυσότατον τῶν φρουρίων ἐφύλαττεν, ἦν μέν, ὡς ἔοικε, ψάλτου τινός, οὐκ εὐτυχοῦς τἆλλα, πρεσβύτου δὲ, θυγάτηρ. Οὕτω δ' εὐθὺς εἶλε παρὰ πόδα ψήλασα τὸν Μιθριδάτην, ὥστ' ἐκείνην μὲν ἔχων ἀνεπαύετο, τὸν δὲ πρεσβύτην ἀπέπεμψε, δυσφοροῦντα τῷ μηδὲ προσρήσεως τυχεῖν ἐπιεικοῦς. Ὡς μέντοι περὶ ὄρθρον ἐγερθεὶς εἶδεν ἔνδον ἐκπωμάτων μὲν ἀργυρῶν καὶ χρυσῶν τραπέζας, ὄχλον δὲ θεραπείας πολὺν, εὐνούχους δὲ καὶ παῖδας ἱμάτια τῶν πολυτελῶν προσφέροντας αὐτῷ, καὶ πρὸ τῆς θύρας ἵππον ἑστῶτα κεκοσμημένον, ὥσπερ οἱ τῶν φίλων τοῦ βα-

Digitized by Google

σιλέως, χλευασμὸν εἶναι τὸ χρῆμα καὶ παιδιὰν ἡγούμενος, ὥρμησε φεύγειν διὰ θυρῶν. Τῶν δὲ θεραπόντων ἀντιλαμβανομένων, καὶ λεγόντων, ὅτι πλουσίου τεθνηκότος ἔναγχος οἶκον αὐτῷ μέγαν ὁ βασιλεὺς δεδώρηται, καὶ ταῦτα μικραί τινες ἀπαρχαὶ καὶ δείγματα τῶν ἄλλων χρημάτων καὶ κτημάτων εἰσὶν, οὕτω πιστεύσας μόλις, καὶ τὴν πορφύραν ἀναλαβὼν, καὶ ἀναπηδήσας ἐπὶ τὸν ἵππον, ἤλαυνε διὰ τῆς πόλεως, βοῶν· „Ἐμὰ ταῦτα πάντα ἐστί.“ Πρὸς δὲ τοὺς κατα γελῶντας, οὐ τοῦτ᾽ ἔλεγεν εἶναι θαυμαστὸν, ἀλλ᾽ ὅτι μὴ λίθοις βάλλει τοὺς ἀπαντῶντας, ὑφ᾽ ἡδονῆς μαινόμενος. Ταύτης μὲν ἦν καὶ γενεᾶς καὶ αἵματος ἡ Στρατονίκη. Τῷ δὲ Πομπηΐῳ καὶ τὸ χωρίον παρεδίδου τοῦτο, καὶ δῶρα πολλὰ προσήνεγκεν· ὧν ἐκεῖνος ὅσα κόσμον ἱεροῖς καὶ λαμπρότητα τῷ θριάμβῳ παρέξειν ἐφαίνετο, λαβὼν μόνα, τὰ λοιπὰ τὴν Στρατονίκην ἐκέλευε κεκτῆσθαι χαίρουσαν. Ὁμοίως δὲ καὶ τοῦ βασιλέως τῶν Ἰβήρων κλίνην τε καὶ τράπεζαν καὶ θρόνον, ἅπαντα χρυσᾶ, πέμψαντος αὐτῷ, καὶ δεηθέντος λαβεῖν, καὶ ταῦτα τοῖς ταμίαις παρέδωκεν εἰς τὸ δημόσιον.

XXXVII. Ἐν δὲ τῷ Καινῷ φρουρίῳ καὶ γράμμασιν ἀπορρήτοις ὁ Πομπήϊος ἐνέτυχε τοῦ Μιθριδάτου, καὶ διῆλθεν οὐκ ἀηδῶς αὐτὰ πολλὴν ἔχοντα τοῦ ἤθους κατανόησιν. Ὑπομνήματα γὰρ ἦν, ἐξ ὧν ἐφαρμάκοις ἄλλους τε πολλοὺς καὶ τὸν υἱὸν Ἀριαράθην ἀνῄρηκὼς, καὶ τὸν Σαρδιανὸν Ἄλκαῖον, ὅτι πυρευδοκίμησεν αὐτὸν ἵππους ἀγωνιστὰς ἐλαύ-

Digitized by Google

νων. Ἦσαν δ' ἀναγεγραμμέναι κρίσεις ἐνυπνίων, ὧν τὰ μὲν αὐτὸς ἑωράκει, τὰ δ' ἔνιαι τῶν γυναικῶν· ἐπιστολαί τε Μονίμης πρὸς αὐτὸν ἀκόλαστοι, καὶ πάλιν ἐκείνου πρὸς αὐτήν. Θεοφάνης δὲ καὶ Ῥουτιλίου λόγον εὑρεθῆναι φησὶ παροξυντικὸν ἐπὶ τὴν ἀναίρεσιν τῶν ἐν Ἀσίᾳ Ῥωμαίων. Ὃ καλῶς εἰκάζουσιν οἱ πλεῖστοι κακοήθευμα τοῦ Θεοφάνους εἶναι· τάχα μὲν οὐδὲν αὐτῷ τὸν Ῥουτίλιον ἐοικότα μισοῦντος, εἰκὸς δὲ καὶ διὰ Πομπήϊον, οὗ τὸν πατέρα παμπόνηρον ἀπέδειξεν ὁ Ῥουτίλιος ἐν ταῖς ἱστορίαις.

XXXVIII. Ἐντεῦθεν εἰς Ἀμισὸν ἐλθὼν ὁ Πομπήϊος, πάθος νεμεσητὸν ὑπὸ φιλοτιμίας ἔπαθε. Πολλὰ γὰρ τὸν Λεύκουλλον ἐπικερτομήσας, ὅτι, τοῦ πολεμίου ζῶντος, ἔγραφε διατάξεις, καὶ δωρεὰς ἔνεμε καὶ τιμάς, ἃ, συνῃρημένου πολέμου καὶ πέρας ἔχοντος, εἰώθασι ποιεῖν οἱ νενικηκότες, αὐτὸς ἐν Βοσπόρῳ, Μιθριδάτου κρατοῦντος καὶ συνειλοχότος ἀξιόμαχον δύναμιν, ὡς δὴ συντετελεσμένων ἁπάντων, ἔπραττε ταὐτά, διακοσμῶν τὰς ἐπαρχίας, καὶ διανέμων δωρεὰς, πολλῶν μὲν ἡγεμόνων καὶ δυναστῶν, βασιλέων δὲ δώδεκα βαρβάρων ἀφιγμένων πρὸς αὐτόν. Ὅθεν οὐδ' ἠξίωσε τὸν Πάρθυον, ἀντιγράφων, ὥσπερ οἱ λοιποὶ, βασιλέα βασιλέων προσαγορεῦσαι, τοῖς ἄλλοις χαριζόμενος. Αὐτὸν δέ τις ἔρως καὶ ζῆλος εἶχε Συρίαν ἀναλαβεῖν, καὶ διὰ τῆς Ἀραβίας ἐπὶ τὴν ἐρυθρὰν ἐλάσαι θάλασσαν, ὡς τῷ περιϊόντι τὴν οἰκουμένην πανταχόθεν Ὠκεανῷ προσμίξειε νικῶν. Καὶ γὰρ ἐν Λιβύῃ πρῶτος ἄχρι τῆς ἐκτὸς θαλάσ-

Digitized by Google

σης κρατῶν προῆλθε, καὶ τὴν ἐν Ἰβηρίᾳ πάλιν ἀρχὴν ὥρισατο Ῥωμαίοις τῷ Ἀτλαντικῷ πελάγει, καὶ τρίτον ἔναγχος, Ἀλβανοὺς διώκων, ὀλίγον ἐδέησεν ἐμβαλεῖν εἰς τὴν Ἑρκανίαν θάλασσαν. Ὡς οὖν συνάψων τῇ ἐρυθρᾷ τὴν περίοδον τῆς στρατείας, ἀνίστατο. Καὶ γὰρ ἄλλως τὸν Μιθριδάτην ἔκρα δυσθήρατον ὄντα τοῖς ὅπλοις, καὶ φεύγοντα χαλεπώτερον, ἢ μαχόμενον.

XXXIX. Διὸ τούτῳ μὲν εἰπὼν ἰσχυρότερον ἑαυτοῦ πολέμιον τὸν λιμὸν ἀπολείψειν, ἐπέστησε φύλακας τῶν πεδίων ἐπὶ τοὺς πλέοντας εἰς Βόσπορον ἐμπόρους· καὶ θάνατος ἦν ἡ ζημία τοῖς ἁλισκομένοις. Ἀναλαβὼν δὲ τῆς στρατιᾶς τὴν πληθὺν, συχνὴν προῆγε, καὶ τῶν μετὰ Τριαρίου πρὸς Μιθριδάτην ἀτυχῶς ἀγωνισαμένων καὶ πεσόντων, ἐντυχὼν ἀτάφοις ἔτι τοῖς νεκροῖς, ἔθαψε λαμπρῶς καὶ φιλοτίμως ἅπαντας· ὃ δοκεῖ παραλειφθὲν, οὐχ ἥκιστα Λευκούλλῳ μίσους αἴτιον γενέσθαι. Χειρωσάμενος δὲ δι' Ἀφρανίου τοὺς περὶ Ἀμανὸν Ἄραβας, καὶ καταβὰς αὐτὸς εἰς Συρίαν, ταύτην μὲν, ἐς οὐκ ἔχουσαν γνησίους βασιλεῖς, ἐπαρχίαν ἀπέφηνε, καὶ κτῆμα τοῦ δήμου Ῥωμαίων· τὴν δ' Ἰουδαίαν κατεστρέψατο, καὶ συνέλαβεν Ἀριστόβουλον τὸν βασιλέα. Πόλεις δὲ τὰς μὲν ἔκτιζε, τὰς δ' ἠλευθέρου, κολάζων τοὺς ἐν αὐταῖς τυράννους. Τὴν δὲ πλείστην διατριβὴν ἐν τῷ δικάζειν ἐποιεῖτο, πόλεων καὶ βασιλέων ἀμφισβητήματα διαιτῶν· ἐφ' ἃ δ' αὐτὸς οὐκ ἐξικνεῖτο, πέμπων τοὺς φίλους· ὥσπερ Ἀρμενίοις

Digitized by Google

καὶ Πάρθοις, περὶ ἧς διεφέροντο χώρας τὴν κρίσιν ποιησαμένοις ἐπ' αὐτῷ, τρεῖς ἀπέστειλε κριτὰς καὶ διαλλακτάς. Μέγα μὲν γὰρ ἦν ὄνομα τῆς δυνάμεως, οὐκ ἔλαττον δὲ τῆς ἀρετῆς καὶ πραότητος· ᾗ καὶ τὰ πλεῖστα τῶν περὶ αὑτὸν ἁμαρτήματα φίλων καὶ συνήθων ἀπέκρυπτε, κωλύειν μὲν, ἢ κολάζειν τοὺς πονηρευομένους οὐ πεφυκὼς, αὐτὸν δὲ παρέχων τοῖς ἐντυγχάνουσι τοιοῦτον, ὥστε καὶ τὰς ἐκείνων πλεονεξίας καὶ βαρύτητας εὐκόλως ὑπομένειν.

XL. Ὁ δὲ μέγιστον δυνάμενος παρ' αὐτῷ, Δημήτριος ἦν ἀπελεύθερος, οὐκ ἄφρων εἰς τἆλλα νεανίας, ἄγαν δὲ τῇ τύχῃ χρώμενος· περὶ οὗ καὶ τοιόνδε τι λέγεται. Κάτων ὁ φιλόσοφος, ἔτι μὲν ὢν νέος, ἤδη δὲ μεγάλην ἔχων δόξαν καὶ μέγα φρονῶν, ἀνέβαινεν εἰς Ἀντιόχειαν, οὐκ ὄντος αὐτόθι Πομπηΐου, βουλόμενος ἱστορῆσαι τὴν πόλιν. Αὐτὸς μὲν οὖν, ὥσπερ ἀεὶ, πεζὸς ἐβάδιζεν, οἱ δὲ φίλοι συνῴδευον ἵπποις χρώμενοι. Κατιδὼν δὲ πρὸ τῆς πύλης ὄχλον ἀνδρῶν ἐν ἐσθῆσι λευκαῖς, καὶ παρὰ τὴν ὁδὸν ἔνθεν μὲν ἐφήβους, ἔνθεν δὲ τοὺς παῖδας διακεκριμένους, ἐδυσχέραινεν, οἰόμενος εἰς τιμήν τινα καὶ θεραπείαν ἑαυτοῦ μηδὲν δεομένου ταῦτα γίνεσθαι. Τοὺς μέντοι φίλους ἐκέλευσε καταβῆναι καὶ πορεύεσθαι μετ' αὐτοῦ· γενομένοις δὲ πλησίον, ὁ πάντα διακοσμῶν ἐκεῖνα καὶ καθιστὰς, ἔχων στέφανον καὶ ῥάβδον, ἀπήντησε πυνθανόμενος παρ' αὐτῶν, ποῦ Δημήτριον ἀπολελοίπασι, καὶ πότε ἀφίξεται. Τοὺς μὲν οὖν φίλους τοῦ Κάτωνος γέλως

Digitized by Google

ἔλαβεν· ὁ δὲ Κάτων εἰπών· „Ὦ τῆς ἀθλίας πόλεως!“ παρῆλθεν, οὐδὲν ἕτερον ἀποκρινάμενος. Οὐ μὴν ἀλλὰ καὶ τοῖς ἄλλοις τοῦτον τὸν Δημήτριον ἧττον ἐπίφθονον ἐποίει αὐτὸς ὁ Πομπήϊος, ἐντρυφώμενος ὑπ' αὐτοῦ, καὶ μὴ δυσκολαίνων. Λέγεται γάρ, ὅτι πολλάκις ἐν ταῖς ὑποδοχαῖς τοῦ Πομπηΐου προσιόντος καὶ δεχομένου τοὺς ἄλλους, ἐκεῖνος ἤδη κατέκειτο σοβαρῶς ἔχων δι' ὤτων κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον. Οὕπω δ' εἰς Ἰταλίαν ἐπανεληλυθὼς, ἐκέκτητο τῆς Ῥώμης τὰ ἥδιστα προάστεια, καὶ τῶν ἡβητηρίων τὰ κάλλιστα· καὶ κῆποι πολυτελεῖς ἦσαν ὀνομαζόμενοι Δημητρίου· καίτοι Πομπήϊος αὐτὸς ἄχρι τοῦ τρίτου θριάμβου μετρίως καὶ σφελῶς ᾤκησεν. Ὕστερον δὲ, Ῥωμαίοις τοῦτο δὴ τὸ καλὸν καὶ περιβόητον ἀνιστὰς θέατρον, ὥσπερ ἐφόλκιόν τι, παρετεκτήνατο λαμπροτέρων οἰκίαν ἐκείνης, ἀνεπίφθονον δὲ καὶ ταύτην· ὥστε τὸν γενόμενον δεσπότην αὐτῆς μετὰ Πομπήϊον, εἰσελθόντα θαυμάζειν καὶ πυνθάνεσθαι, πῇ Πομπήϊος Μάγνος ἐδείπνει. Ταῦτα μὲν οὖν οὕτω λέγεται.

XLI. Τοῦ δὲ βασιλέως τῶν περὶ τὴν Πέτρην Ἀράβων πρότερον μὲν ἐν οὐδενὶ λόγῳ τὰ Ῥωμαίων τιθεμένου, τότε δὲ δείσαντος ἰσχυρῶς, καὶ γράψαντος, ὅτι πάντα πείθεσθαι καὶ ποιεῖν ἔγνωκεν, ἐκβεβαιώσασθαι βουλόμενος αὐτοῦ τὴν διάνοιαν ὁ Πομπήϊος, ἐστράτευσεν ἐπὶ τὴν Πέτραν, οὐ πάνυ τι τοῖς πολλοῖς ἄμεμπτον στρατείαν. Ἀπόδρασιν γὰρ ᾤοντο τῆς Μιθριδάτου διώξεως εἶναι, καὶ πρὸς ἐκεῖ-

Digitized by Google

νον ἠξίουν τρέπεσθαι τὸν ἀρχαῖον ἀνταγωνιστὴν, αὖθις ἀναζωπυροῦντα καὶ παρασκευαζόμενον, ὡς ἀπηγγέλλετο, διὰ Σκυθῶν καὶ Παιόνων στρατὸν ἐλαύνειν ἐπὶ τὴν Ἰταλίαν. Ὁ δὲ, ῥᾷον οἰόμενος αὐτοῦ καταλύσειν τὴν δύναμιν πολεμοῦντος, ἢ τὸ σῶμα λήψεσθαι φεύγοντος, οὐκ ἐβούλετο τρίβεσθαι μάτην ἐπὶ τὴν δίαιξιν, ἑτέρας δὲ τοῦ πολέμου παρενθήκας ἐποιεῖτο, καὶ τὸν χρόνον εἶλκεν. Ἡ δὲ τύχη τὴν ἀπορίαν ἔλυσεν. Οὐκέτι γὰρ αὐτοῦ τῆς Πέτρας πολλὴν ὁδὸν ἀπέχοντος, ἤδη δὲ τῆς ἡμέρας ἐκείνης βεβλημένου χάρακα, καὶ γυμνάζοντος ἑαυτὸν ἵππῳ περὶ τὸ στρατόπεδον, γραμματηφόροι προσήλαυνον ἐκ Πόντου κομίζοντες εὐαγγέλια. Δῆλοι δ' εὐθὺς εἰσὶ ταῖς αἰχμαῖς τῶν δοράτων· δάφναις γὰρ ἀναστέφονται. Τούτους ἰδόντες οἱ στρατιῶται συνεκάλεσαν πρὸς τὸν Πομπήϊον. Ὁ δὲ πρῶτον μὲν ἐβούλετο τὰ γυμνάσια συντελεῖν, βοώντων δὲ καὶ δεομένων, καταπηδήσας ἀπὸ τοῦ ἵππου, καὶ λαβὼν τὰ γράμματα προῆλθε. Βήματος δ' οὐκ ὄντος, οὐδὲ τοῦ στρατιωτικοῦ γενέσθαι φθάσαντος (ὃ ποιοῦσιν αὐτοὶ, τῆς γῆς ἐκκομὰς βαθείας λαμβάνοντες, καὶ κατ' ἀλλήλων συντιθέντες), ὑπὸ τῆς τότε σπουδῆς καὶ προθυμίας τὰ σώματα τῶν ὑποζυγίων συμφορήσαντες εἰς ὕψος ἐξῆραν. Ἐπὶ τοῦτο προβὰς ὁ Πομπήϊος, ἀπήγγειλεν αὐτοῖς, ὅτι Μιθριδάτης τέθνηκε, στασιάσαντος Φαρνάκου τοῦ υἱοῦ, διαχρησαμένου ἑαυτόν· τὰ δ' ἐκεῖ πάντα πράγματα Φαρνάκης κατεκληρώσατο, καὶ ἑαυτῷ καὶ Ῥωμαίοις γέγραφε ποιούμενος.

Digitized by Google

XLII. Ἐκ τούτου τὸ μὲν στράτευμα τῇ χαρᾷ χρώμενον, ὡς εἰκός, ἐν θυσίαις καὶ συνουσίαις διῆγεν, ὡς ἐν τῷ Μιθριδάτου σώματι μυρίων τεθνηκότων πολεμίων. Πομπήϊος δὲ, ταῖς πράξεσιν αὐτοῦ καὶ ταῖς στρατείαις κεφαλὴν ἐπιτεθεικὼς οὐ πάνυ ῥᾳδίως οὕτω προσδοκηθεῖσαν, εὐθὺς ἀνέζευξεν ἐκ τῆς Ἀραβίας· καὶ ταχὺ τὰς ἐν μέσῳ διεξελθὼν ἐπαρχίας, εἰς Ἀμισὸν ἀφίκετο, καὶ κατέλαβε πολλὰ μὲν θῶρα παρὰ Φαρνάκου κεκομισμένα, πολλὰ δὲ σώματα τῶν βασιλικῶν, αὐτὸν δὲ τὸν Μιθριδάτου νεκρὸν, οὐ πάνυ γνώριμον ἀπὸ τοῦ προσώπου (τὸν γὰρ ἐγκέφαλον ἔλαθεν ἐκτῆξαι τοὺς θεράποντας)· ἀλλὰ ταῖς οὐλαῖς ἐπεγίγνωσκον οἱ δεόμενοι τοῦ θεάματος. Οὐ γὰρ αὐτὸς Πομπήϊος ἰδεῖν ὑπέμεινεν, ἀλλ', ἀφοσιωσάμενος τὸ νεμεσητὸν, εἰς Σινώπην ἀπέπεμψε. Τῆς δ' ἐσθῆτος, ἣν ἐφόρει, καὶ τῶν ὅπλων τὸ μέγεθος καὶ τὴν λαμπρότητα ἐθαύμασε· καίτοι τὸν μὲν ξιφιστῆρα πεποιημένον ἀπὸ τετρακοσίων ταλάντων Πόπλιος κλέψας ἐπώλησεν Ἀριαράθῃ, τὴν δὲ κίταριν Γάϊος, ὁ τοῦ Μιθριδάτου σύντροφος, ἔδοσαν κρύφα δεηθέντι Φαύστῳ, τῷ Σύλλα παιδὶ, θαυμαστῆς οὔσαν ἐργασίας. Ὃ τότε τὸν Πομπήϊον διέλαθε· Φαρνάκης δὲ, γνοὺς ὕστερον, ἐτιμωρήσατο τοὺς ὑφελομένους. Διοικήσας δὲ τὰ ἐκεῖ καὶ καταστησάμενος, οὕτως ἤδη πανηγυρικώτερον ἐχρῆτο τῇ πορείᾳ. Καὶ γὰρ εἰς Μιτυλήνην ἀφικόμενος, τήν τε πόλιν ἠλευθέρωσε διὰ Θεοφάνη, καὶ τὸν ἀγῶνα τὸν πάτριον ἐθεάσατο τῶν ποιητῶν,

Digitized by Google

ὑπόθεσιν μίαν ἔχοντα τὰς ἐκείνου πράξεις. Ἠσθεὶς δὲ τῷ θεάτρῳ, περιεγράψατο τὸ εἶδος αὐτοῦ καὶ τὸν τύπον, ὡς ὅμοιον ἀπεργασόμενος τὸ ἐν Ῥώμῃ, μεῖζον δὲ καὶ σεμνότερον. Ἐν δὲ Ῥόδῳ γενόμενος, πάντων μὲν ἠκροάσατο τῶν σοφιστῶν, καὶ δωρεὰν ἑκάστῳ τάλαντον ἔδωκε· Ποσειδώνιος δὲ καὶ τὴν ἀκρόασιν ἀνέγραψεν, ἣν ἔσχεν ἐπ' αὐτοῦ, πρὸς Ἑρμαγόραν τὸν ῥήτορα περὶ τῆς καθ' ὅλου ζητήσεως ἀντιταξάμενος. Ἐν δ' Ἀθήναις, τὰ μὲν πρὸς τοὺς φιλοσόφους ὅμοια τοῦ Πομπηΐου· τῇ πόλει δ' ἐπιδοὺς εἰς ἐπισκευὴν πεντήκοντα τάλαντα, λαμπρότατος ἀνθρώπων ἤλπιζεν ἐπιβήσεσθαι τῆς Ἰταλίας καὶ ποθῶν ὀφθήσεσθαι τοῖς οἴκοι ποθοῦσιν. Ὧι δ' ἄρα πρὸς τὰ λαμπρὰ καὶ μεγάλα τῶν ἀπὸ τῆς τύχης ἀγαθῶν ἀεί τινα κεραννύναι κακοῦ μοῖραν ἐπιμελές ἐστι δαιμονίῳ, τοῦτο ὑποικαύρει πάλαι παρασκευάζον αὐτῷ λυπηροτέραν τὴν ἐπάνοδον. Ἐξύβρισε γὰρ ἡ Μουκία παρὰ τὴν ἀποδημίαν αὐτοῦ. Καὶ πόρρω μὲν ὢν Πομπήϊος κατεφρόνει τοῦ λόγου· πλησίον δ' Ἰταλίας γενόμενος, καὶ σχολάζοντι τῷ λογισμῷ μᾶλλον, ὡς ἔοικε, τῆς αἰτίας ἁψάμενος, ἔπεμψεν αὐτῇ τὴν ἄφεσιν, οὔτε τότε γράψας, οὔθ' ὕστερον, ἐφ' οἷς ἀφῆκεν, ἐξειπών. Ἐν δ' ἐπιστολαῖς Κικέρωνος ἡ αἰτία γέγραπται.

XLIII. Λόγοι δὲ παντοδαποὶ περὶ τοῦ Πομπηΐου προκατέπιπτον εἰς τὴν Ῥώμην· καὶ θόρυβος ἦν πολὺς, ὡς εὐθὺς ἄξοντος ἐπὶ τὴν πόλιν τὸ στράτευμα, καὶ μοναρχίας βεβαίας ἐσομένης. Κράσσος

Digitized by Google

δὲ τοὺς παῖδας καὶ τὰ χρήματα λαβὼν ὑπεξῆλθεν, εἴτε δείσας ἀληθῶς, εἴτε μᾶλλον, ὡς ἐδόκει, πίστιν ἀπολείπων τῇ διαβολῇ, καὶ τὸν φθόνον ποιῶν τραχύτερον. Εὐθὺς οὖν ἐπιβὰς Ἰταλίας ὁ Πομπήϊος, καὶ συναγαγὼν εἰς ἐκκλησίαν τοὺς στρατιώτας, καὶ τὰ πρέποντα διαλεχθεὶς καὶ φιλοφρονησάμενος, ἐκέλευσε διαλύεσθαι κατὰ πόλιν ἑκάστους, καὶ τρέπεσθαι πρὸς τὰ οἰκεῖα, μεμνημένους αὖθις ἐπὶ τὸν θρίαμβον αὐτῷ συνελθεῖν. Οὕτω δὲ τῆς στρατιᾶς σκεδασθείσης, καὶ πυνθανομένων ἁπάντων, πρᾶγμα συνέβη θαυμαστόν. Ὁρῶσαι γὰρ αἱ πόλεις Πομπήϊον Μάγνον ἄνοπλον, καὶ μετ' ὀλίγων τῶν συνήθων ὥσπερ ἐξ ἄλλης ἀποδημίας διαπορευόμενον, ἐκχεόμεναι δι' εὔνοιαν καὶ προπέμπουσαι μετὰ μείζονος δυνάμεως συγκατῆγον εἰς τὴν Ῥώμην, εἴ τι κινεῖν διενοεῖτο καὶ νεωτερίζειν τότε, μηδὲν ἐκείνου δεύμενον τοῦ στρατεύματος.

XLIV. Ἐπεὶ δὲ ὁ νόμος οὐκ εἴα πρὸ τοῦ θριάμβου παρελθεῖν εἰς τὴν πόλιν, ἔπεμψεν ἀξιῶν εἰς τὴν βουλὴν ἀναβαλέσθαι τὰς τῶν ὑπάτων ἀρχαιρεσίας, καὶ δοῦναι ταύτην αὐτῷ τὴν χάριν, ὅπως παρὼν Πείσωνι συναρχαιρεσιάσῃ. Κάτωνος δὲ πρὸς τὴν ἀξίωσιν ἐνστάντος, οὐκ ἔτυχε τοῦ βουλεύματος. Θαυμάσας δὲ τὴν παῤῥησίαν αὐτοῦ καὶ τὸν τόνον, ᾧ μόνος ἐχρῆτο φανερῶς ὑπὲρ τῶν δικαίων, ἐπεθύμησεν ἰμωσγέπως κτήσασθαι τὸν ἄνδρα· καὶ δυεῖν οὐσῶν ἀδελφιδῶν τῷ Κάτωνι, τὴν μὲν αὐτὸς ἐβούλετο λαβεῖν γυναῖκα, τὴν δὲ τῷ παιδὶ συνοικίσαι.

Digitized by Google

Τοῦ δὲ Κάτωνος ὑπειδομένου τὴν πεῖραν, ὡς διαφθορὰν οὖσαν αὐτοῦ, τρόπον τινὰ δεκαζομένου διὰ τῆς οἰκειότητος, ἡ τ' ἀδελφὴ καὶ ἡ γυνὴ χαλεπῶς ἔφερον, εἰ Πομπήϊον Μάγνον ἀποτρέψεται κηδεστήν. Ἐν τούτῳ δὲ βουλόμενος ὕπατον ἀποδεῖξαι Πομπήϊος Ἀφράνιον, ἀργύριον εἰς τὰς φυλὰς ἀνήλισεν ὑπὲρ αὐτοῦ, καὶ τοῦτο κατιόντες εἰς τοὺς Πομπηΐου κήπους ἐλάμβανον· ὥστε τὸ πρᾶγμα περιβόητον εἶναι, καὶ τὸν Πομπήϊον ἀκούειν κακῶς, ἧς αὐτὸς ἀρχῆς, ἐφ' οἷς κατώρθωσεν, ὡς μεγίστης ἔτυχε, ταύτην ὤνιον ποιοῦντα τοῖς δι' ἀρετῆς κτήσασθαι μὴ δυναμένοις. „Τούτων μέντοι (πρὸς τὰς γυναῖκας ὁ Κάτων ἔφησε) τῶν ὀνειδῶν κοινωνητέον, οἰκείοις Πομπηΐου γενομένοις.“ Αἱ δ', ἀκούσασαι, συνέγνωσαν βέλτιον αὐτῶν ἐκεῖνον λογίζεσθαι περὶ τοῦ πρέποντος.

XLV. Τοῦ δὲ θριάμβου τῷ μεγέθει, καίπερ εἰς ἡμέρας δύο μερισθέντος, ὁ χρόνος οὐκ ἐξήρκεσεν, ἀλλὰ τῶν παρεσκευασμένων πολλὰ τῆς θέας ἐξέπεσεν, ἑτέρας ἀποχρῶντα πομπῆς ἄξιώμα καὶ κόσμος εἶναι. Γράμμασι δὲ προηγουμένοις ἐδηλοῦτο τὰ γένη, καθ' ὧν ἐθριάμβευεν. Ἦν δὲ τάδε· Πόντος, Ἀρμενία, Καππαδοκία, Παφλαγονία, Μηδία, Κολχὶς, Ἴβηρες, Ἀλβανοὶ, Συρία, Κιλικία, Μεσοποταμία, τὰ περὶ Φοινίκην καὶ Παλαιστίνην, Ἰουδαία, Ἀραβία, τὸ πειρατικὸν ἅπαν ἐν γῇ καὶ θαλάσσῃ καταπεπολεμημένον. Ἐν δὲ τούτοις φρούρια μὲν ἡλωκότα, χιλίων οὐκ ἐλάττονα, πόλεις δ'

Digitized by Google

οὐ πολὺ τῶν ἑνακοσίων ἀποδέουσαι· πειρατικαὶ δὲ νῆες ὀκτακόσιαι, κατοικίαι δὲ πόλεων μιᾶς δέουσαι τετταράκοντα. Πρὸς δὲ τούτοις ἔφραζε διὰ τῶν γραμμάτων, ὅτι πεντακισχίλιαι μὲν μυριάδες ἐκ τῶν τελῶν ὑπῆρχον· ἐκ δ' ὧν αὐτὸς προσεκτήσατο τῇ πόλει, μυριάδας ὀκτακισχιλίας πεντακοσίας λαμβάνουσιν· ἀναφέρεται δ' εἰς τὸ δημόσιον ταμιεῖον, ἐν νομίσματι καὶ κατασκευαῖς ἀργύρου καὶ χρυσοῦ, δισμύρια τάλαντα, πάρεξ τῶν εἰς τοὺς στρατιώτας δεδομένων, ὧν ὁ τοὐλάχιστον αἴρων κατὰ λόγον δραχμὰς εἴληφε χιλίας πεντακοσίας. Αἰχμάλωτοι δ' ἐπομπεύθησαν, ἄνευ τῶν ἀρχιπειρατῶν, υἱὸς Τιγράνου τοῦ Ἀρμενίου μετὰ γυναικὸς καὶ θυγατρὸς, αὐτοῦ τε Τιγράνου τοῦ βασιλέως γυνὴ, Ζωσίμη, καὶ βασιλεὺς Ἰουδαίων, Ἀριστόβουλος, Μιθριδάτου δ' ἀδελφὴ καὶ πέντε τέκνα, καὶ Σκυθίδες γυναῖκες· Ἀλβανῶν δὲ καὶ Ἰβήρων ὅμηροι, καὶ τοῦ Κομμαγηνῶν βασιλέως· καὶ τρόπαια πάμπολλα, ταῖς μάχαις ἰσάριθμα πάσαις, ἃς ἢ αὐτὸς, ἢ διὰ τῶν στρατηγῶν ἐνίκησε. Μέγιστον δ' ὑπῆρχε πρὸς δόξαν καὶ μηδενὶ τῶν πώποτε Ῥωμαίων γεγονὸς, ὅτι τὸν τρίτον θρίαμβον ἀπὸ τῆς τρίτης ἠπείρου κατήγαγεν. Ἐπεὶ τρὶς γε καὶ πρότερον ἦσαν ἕτεροι τεθριαμβευκότες· ἐκεῖνος δὲ τὸν μὲν πρῶτον ἐκ Λιβύης, τὸν δὲ δεύτερον ἐξ Εὐρώπης, τοῦτον δὲ τὸν τελευταῖον ἀπὸ τῆς Ἀσίας εἰσαγαγὼν, τρόπον τινὰ τὴν οἰκουμένην ἐδόκει τοῖς τρισὶν ὑπῆχθαι θριάμβοις.

Digitized by Google

XLVI. Ἡλικία δὲ τότ' ἦν, ὡς μὲν οἱ κατὰ πάντα τῷ Ἀλεξάνδρῳ παραβάλλοντες αὐτὸν καὶ προσβιβάζοντες ἀξιοῦσι, νεώτερος τῶν τριάκοντα καὶ τεττάρων ἐτῶν, ἀληθείᾳ δὲ τοῖς τετταράκοντα προσῆγεν. Ὡς ὤνατό γ' ἂν ἐνταῦθα τοῦ βίου παυσάμενος, ἄχρις οὗ τὴν Ἀλεξάνδρου τύχην ἔσχεν· ὁ δ' ἐπέκεινα χρόνος αὐτῷ τὰς μὲν εὐτυχίας ἤνεγκεν ἐπιφθόνους, ἀνηκέστους δὲ τὰς δυστυχίας. Ἦν γὰρ ἐκ προσηκόντων αὐτὸς ἐκτήσατο δύναμιν ἐν τῇ πόλει, ταύτῃ χρώμενος ὑπὲρ ἄλλων οὐ δικαίως, ὅσον ἐκείνοις ἰσχύος προσετίθει, τῆς ἑαυτοῦ δόξης ἀφαιρῶν, ἔλαθε δώμῃ καὶ μεγέθει τῆς αὐτοῦ δυνάμεως καταλυθείς. Καὶ καθάπερ τὰ καρτερώτατα μέρη καὶ χωρία τῶν πόλεων, ὅταν δέξηται πολεμίους, ἐκείνοις προστίθησι τὴν αὐτῶν ἰσχύν, οὕτω διὰ τῆς Πομπηΐου δυνάμεως Καῖσαρ ἐξαρθεὶς ἐπὶ τὴν πόλιν, ᾧ κατὰ τῶν ἄλλων ἴσχυσε, τοῦτον ἀνέτρεψε καὶ κατέβαλεν. Ἐπράχθη δ' οὕτω. Λεύκουλλον, ὡς ἐπανῆλθεν ἐξ Ἀσίας, ὑπὸ Πομπηΐου περιῦβρισμένος, αὐτίκα τε λαμπρῶς ἡ σύγκλητος ἐδέξατο, καὶ μᾶλλον ἔτι, Πομπηΐου παραγενομένου κολούουσα τὴν δόξαν, ἤγειρεν ἐπὶ τὴν πολιτείαν. Ὁ δὲ τἆλλα μὲν ἀμβλὺς ἦν ἤδη, καὶ κατέψυκτο τὸ πρακτικόν, ἡδονῇ σχολῆς καὶ ταῖς περὶ τὸν πλοῦτον διατριβαῖς ἑαυτὸν ἐνδεδωκώς· ἐπὶ δὲ Πομπήϊον εὐθὺς ἀΐξας, καὶ λαβόμενος ἐντόνως αὐτοῦ, περί τε τῶν διατάξεων, ἃς ἔλυσεν, ἐκράτει, καὶ πλέον εἶχεν ἐν τῇ βουλῇ, συναγωνιζομένου Κάτωνος. Ἐκπίπτων δὲ καὶ πε-

Digitized by Google

ριανθούμενος ὁ Πομπήϊος, ἠναγκάζετο δημαρχοῦσι προσφεύγειν καὶ προσαρτᾶσθαι μειρακίοις. Ὧν ὁ βδελυρώτατος καὶ θρασύτατος, Κλώδιος, ἀναλαβὼν αὐτὸν ὑπέρριψε τῷ δήμῳ· καὶ παρ' ἀξίαν κυλινδούμενον ἐν ἀγορᾷ ἔχων καὶ περιφέρων, ἐχρῆτο τῶν πρὸς χάριν ὄχλου καὶ κολακείαν γραφομένων καὶ λεγομένων βεβαιωτῇ, καὶ προσέτι μισθὸν ᾔτει, ὥσπερ οὐ καταισχύνων, ἀλλ' εὐεργετῶν· ὃν ὕστερον ἔλαβε παρὰ Πομπηΐου, προέσθαι Κικέρωνα, φίλον ὄντα, καὶ πλεῖστα δὴ πεπολιτευμένον ὑπὲρ αὐτοῦ. Κινδυνεύοντι γὰρ αὐτῷ, καὶ δεομένῳ βοηθείας, οὐδ' εἰς ὄψιν προῆλθεν, ἀλλὰ τοῖς ἥκουσιν ἀποκλείσας τὴν αὔλειον, ἑτέραις θύραις ᾤχετο ἀπιών. Κικέρων δὲ φοβηθεὶς τὴν κρίσιν, ὑπεξῆλθε τῆς Ῥώμης.

XLVII. Τότε δὲ Καῖσαρ, ἐλθὼν ἀπὸ στρατείας, ἥψατο πολιτεύματος· ὃ πλείστην μὲν αὐτῷ χάριν ἐν τῷ παρόντι καὶ δύναμιν εἰσαῦθις ἤνεγκε, μέγιστα δὲ Πομπήϊον ἔβλαψε καὶ τὴν πόλιν. Στρατείαν μὲν γὰρ μετῄει πρώτην· ὁρῶν δ', ὅτι, Κράσσου πρὸς Πομπήϊον διαφερομένου, θατέρῳ προσθέμενος, ἐχθρῷ χρήσεται τῷ ἑτέρῳ, τρέπεται, πρὸς διαλλαγὰς ἀμφοῖν, πρᾶγμα καλὸν μὲν ἄλλως καὶ πολιτικόν, αἰτίᾳ δὲ φαύλῃ, καὶ μετὰ δεινότητος ὑπ' ἐκείνου συντεθὲν ἐπιβούλως. Ἡ γὰρ, ὥσπερ ἐν σκάψει, τὰς ἀποκλίσεις ἐπανισοῦσα τῆς πόλεως ἰσχύς, εἰς ἓν συνελθοῦσα καὶ γενομένη μία, τὴν πάντα πράγματα καταστασιάσασαν καὶ καταβαλοῦσαν, ἀναντα γώνιστον ῥοπὴν ἐποίησεν. Ὁ γοῦν Κάτων τοὺς λέγοντας

Digitized by Google

ἐπὸ τῆς ὕστερον γενομένης πρὸς Καίσαρα Πομπηΐου διαφορᾶς ἀνατραπῆναι τὴν πόλιν, ἁμαρτάνειν ἔλεγεν, αἰτιωμένους τὸ τελευταῖον· οὐ γὰρ τὴν στάσιν, οὐδὲ τὴν ἔχθραν, ἀλλὰ τὴν σύστασιν καὶ τὴν ὁμόνοιαν αὐτῶν τῇ πόλει πρῶτον κακὸν γενέσθαι καὶ μέγιστον. Ἡιρέθη μὲν γὰρ ὕπατος Καῖσαρ· εὐθὺς δὲ θεραπεύων τὸν ἄπορον καὶ πένητα, κατοικίας πόλεων καὶ νομὰς ἀγρῶν ἔγραφεν, ἐκβαίνων τὸ τῆς ἀρχῆς ἀξίωμα, καὶ τρόπον τινὰ δημαρχίαν τὴν ὑπατείαν καθιστάς. Ἐναντιουμένου δὲ τοῦ συνάρχοντος αὐτῷ, Βίβλου, καὶ Κάτωνος ἐρρωμενέστατα τῷ Βίβλῳ παρεσκευασμένου βοηθεῖν, προσαγαγὼν ὁ Καῖσαρ ἐπὶ τοῦ βήματος Πομπήϊον ἐμφανῆ καὶ προσαγορεύσας, ἠρώτησεν, εἰ τοὺς νόμους ἐπαινοίη· τοῦ δὲ συμφήσαντος, „Οὐκοῦν (εἶπεν), ἂν τις τοὺς νόμους βιάζηται, εἰς τὸν δῆμον ἀφίξῃ βοηθῶν;“ „Πάνυ μὲν οὖν (ἔφη ὁ Πομπήϊος) ἥξομαι, πρὸς τοὺς ἀπειλοῦντας τὰ ξίφη, μετὰ ξίφους καὶ θυρεὸν κομίζων.“ Τούτου Πομπήϊος οὐδὲν, αὖτ' εἰπεῖν, οὔτε ποιῆσαι μέχρι τῆς ἡμέρας ἐκείνης φορτικώτερον ἔδοξεν. ὥστε καὶ τοὺς φίλους ἀπολογεῖσθαι, φάσκοντας ἐκφυγεῖν αὐτὸν ἐπὶ καιροῦ τὸ ῥῆμα. Τοῖς μέντοι μετὰ ταῦτα πραττομένοις φανερὸς ἦν ἤδη παντάπασιν ἑαυτὸν τῷ Καίσαρι χρήσασθαι παραδεδωκώς. Ἰουλίαν γὰρ, τὴν Καίσαρος θυγατέρα, Καιπίωνι καθωμολογημένην καὶ γαμεῖσθαι μέλλουσαν, ὀλίγων ἡμερῶν, οὐδενὸς ἂν προσδοκήσαντος, ἔγημε Πομπήϊος, μείλιγμα

Digitized by Google

Καιπίωνι τῆς ὀργῆς τὴν ἑαυτοῦ θυγατέρα καταινέσας, Φαύστῳ, τῷ παιδὶ Σύλλα, πρότερον ἐγγεγυημένην. Αὐτὸς δὲ Καῖσαρ ἔγημε Καλπουρνίαν, τὴν Πείσωνος.

XLVIII. Ἐκ δὲ τούτου Πομπήϊος ἐμπλήσας στρατιωτῶν τὴν πόλιν, ἅπαντα τὰ πράγματα βίᾳ κατεῖχε. Βίβλῳ τε γὰρ εἰς ἀγορὰν τῷ ὑπάτῳ κατιόντι μετὰ Λευκούλλου καὶ Κάτωνος, ἄφνω προσπεσόντες κατέκλασαν τὰς ῥάβδους· αὐτοῦ δέ τις κοπρίων κόφινον κατὰ κεφαλῆς τοῦ Βίβλου κατεσκέδασε. δύο δὲ δήμαρχοι τῶν συμπροπεμπόντων ἐτρώθησαν. Οὕτω δὲ τῶν ἐνισταμένων τὴν ἀγορὰν ἐρημώσαντες, ἐπεκύρωσαν τὸν περὶ τῆς διανομῆς τῶν χωρίων νόμον· ᾧ δελεασθεὶς ὁ δῆμος, εἰς πᾶν ἤδη τιθασὸς αὐτοῖς ἐγεγόνει, καὶ κατ' ἀντίπραξιν οὐδὲν πολυπραγμονῶν, ἀλλ' ἐπιφέρων σιωπῇ τοῖς γραφομένοις τὴν ψῆφον. Ἐκυρώθησαν οὖν Πομπηΐῳ μὲν αἱ διατάξεις, ὑπὲρ ὧν Λεύκουλλος ἤριζε· Καίσαρι δὲ τὴν ἐντὸς Ἄλπεων καὶ τὴν ἐκτὸς ἔχειν Γαλατίαν, καὶ Ἰλλυριοὺς, εἰς πενταετίαν, καὶ τέσσαρα τάγματα τέλεια στρατιωτῶν· ὑπάτους δ' εἰς τὸ μέλλον εἶναι Πείσωνα, τὸν Καίσαρος πενθερὸν, καὶ Γαβίνιον, ἄνδρα τῶν Πομπηΐου κολάκων ὑπερφυέστατον. Πραττομένων δὲ τούτων, Βίβλος μὲν εἰς τὴν οἰκίαν κατακλεισάμενος, ὀκτὼ μηνῶν οὐ προῆλθεν ὑπατεύων, ἀλλ' ἐξέπεμψε διαγράμματα, βλασφημίας ἀμφοῖν ἔχοντα καὶ κατηγορίας· Κάτων δ' ὥσπερ ἐπίπνους καὶ φοιβόληπτος, ἐν τῇ βουλῇ τὰ μέλλοντα τῇ πόλει καὶ

Digitized by Google

τῷ Πομπηΐῳ προηγόρευε. Λεύκουλλος δ' ἀπειπὼν ἡσυχίαν ἦγεν, ὡς οὐκ ἔτι πρὸς πολιτείαν ὡραῖος· ὅτε δὴ καὶ Πομπήϊος ἔφη, γέροντι τὸ τρυφᾶν ἀωρότερον εἶναι τοῦ πολιτεύεσθαι. Ταχὺ μέντοι καὶ αὐτὸς ἐμαλάσσετο τῷ τῆς κόρης ἔρωτι, καὶ προσεῖχεν ἐκείνῃ τὰ πολλὰ καὶ συνδιημέρευεν ἐν ἀγροῖς καὶ κήποις, ἠμέλει δὲ τῶν κατ' ἀγορὰν πραττομένων· ὥστε καὶ Κλώδιον αὐτοῦ καταφρονῆσαι δημαρχοῦντα τότε, καὶ θρασυτάτων ἅψασθαι πραγμάτων. Ἐπεὶ γὰρ ἐξέβαλε Κικέρωνα, καὶ Κάτωνα προφάσει στρατηγίας εἰς Κύπρον ἀπέστειλε, Καίσαρος εἰς Γαλατίαν ἐξεληλακότος, αὐτῷ δὲ προσέχοντα τὸν δῆμον ἑώρα πάντα πράττοντι καὶ πολιτευομένῳ πρὸς χάριν, εὐθὺς ἐπεχείρει τῶν Πομπηΐου διατάξεων ἐνίας ἀναιρεῖν, καὶ Τιγράνην τὸν αἰχμάλωτον ἀφαρπάσας εἶχε σὺν αὑτῷ, καὶ τοῖς φίλοις δίκας ἐπῆγε, πεῖραν ἐν ἐκείνοις τῆς Πομπηΐου λαμβάνων δυνάμεως. Τέλος δὲ, προελθόντος αὐτοῦ πρός τινα δίκην, ἔχων ὑφ' αὑτῷ πλῆθος ἀνθρώπων ἀσελγείας καὶ ὀλιγωρίας μεστὸν, αὐτὸς μὲν εἰς ἐπιφανῆ τόπον καταστὰς, ἐρωτήματα τοιαῦτα προὔβαλλε· „Τίς ἐστιν αὐτοκράτωρ ἀκύλαστος; τίς ἀνὴρ ἄνδρα ζητεῖ; τίς ἐνὶ δακτύλῳ κνᾶται τὴν κεφαλήν;“ οἱ δ', ὥσπερ χορὸς εἰς ἀμοιβαῖα συγκεχροτημένος, ἐκείνου τὴν τήβεννον ἀνασείοντος, ἐφ' ἑκάστῳ μέγα βοῶντες ὑπεκρίνοντο· „Πομπήϊος.“

XLIX. Ἡνία μὲν οὖν καὶ ταῦτα Πομπήϊον, ἀήθη τοῦ κακῶς ἀκούειν ὄντα, καὶ μάχης τοιαύτης ἄπει-

Digitized by Google

ρον· ἦχθετο δὲ μᾶλλον, αἰσθανόμενος τὴν βουλὴν ἐπιχαίρουσαν αὐτῷ προπηλακιζομένῳ, καὶ διδόντι δίκην τῆς Κικέρωνος προδοσίας. Ἐπεὶ δὲ καὶ πληγὰς ἐν ἀγορᾷ μέχρι τραυμάτων συνέβη γενέσθαι, καὶ Κλωδίου τις οἰκέτης παραδυόμενος ἐν ὄχλῳ διὰ τῶν περιεστώτων πρὸς τὸν Πομπήϊον ἠλίγχθη ξίφος ἔχειν, ταῦτα ποιούμενος πρόφασιν, ἄλλως δὲ τοῦ Κλωδίου τὴν ἀσέλγειαν καὶ τὰς βλασφημίας δεδιὼς, οὐκ ἔτι προῆλθεν εἰς ἀγορὰν, ὅσον ἐκεῖνος ἦρχε χρόνον, ἀλλ' οἰκουρῶν διετέλει καὶ σκεπτόμενος μετὰ τῶν φίλων, ὅπως ἂν ἐξακέσαιτο τῆς βουλῆς καὶ τῶν ἀρίστων τὴν πρὸς αὐτὸν ὀργήν. Κουλλέωνι μὲν οὖν κελεύοντι τὴν Ἰουλίαν ἀφεῖναι, καὶ μεταβαλέσθαι πρὸς τὴν σύγκλητον ἀπὸ τῆς Καίσαρος φιλίας, οὐ προσέσχε. Τοῖς δὲ Κικέρωνα καταγαγεῖν ἀξιοῦσιν, ἄνδρα καὶ Κλωδίῳ πολεμιώτατον, καὶ τῇ βουλῇ πρωφιλέστατον, ἐπείσθη· καὶ προαγαγὼν τὸν ἀδελφὸν αὐτοῦ δεδεμένον σὺν χειρὶ πολλῇ τραυμάτων ἐν ἀγορᾷ γενομένων, καί τινων ἀναιρεθέντων, ἐκράτησε τοῦ Κλωδίου. Καὶ νόμῳ κατελθὼν ὁ Κικέρων, τήν τε βουλὴν εὐθὺς τῷ Πομπηΐῳ διήλλαττε, καὶ τῷ σιτικῷ νόμῳ συνηγορῶν, τρόπῳ τινὶ πάλιν γῆς καὶ θαλάττης, ὅσην ἐκέκτηντο Ῥωμαῖοι, κύριον ἐποίει Πομπήϊον. Ἐπ' αὐτῷ γὰρ ἐγίνοντο λιμένες, ἐμπόρια, καρπῶν διαθέσεις· ἑνὶ λόγῳ, τὰ τῶν πλεόντων πράγματα, τὰ τῶν γεωργούντων. Κλώδιος δ' ἠτιᾶτο μὴ γεγράφθαι τὸν νόμον διὰ τὴν σιτοδείαν, ἀλλ' ὅπως ὁ νόμος γραφείη, γεγονέναι τὴν σιτοδείαν, ὥσπερ ἐκ

Digitized by Google

λειποθυμίας αὐτοῦ μαραινομένην τὴν δύναμιν ἀρχῇ νέᾳ πάλιν ἀναζωπυροῦντος καὶ ἀναλαμβάνοντος. Ἕτεροι δὲ τοῦ ὑπάτου Σπινθῆρος ἀποφαίνουσι τοῦτο σόφισμα, κατακλείσαντος εἰς ἀρχὴν μείζονα Πομπήϊον, ὅπως αὐτὸς ἐκπεμφθῇ Πτολεμαίῳ τῷ βασιλεῖ βοηθῶν. Οὐ μὴν ἀλλὰ καὶ Κανίδιος εἰσήνεγκε δημαρχῶν νόμον, ἄνευ στρατιᾶς Πομπήϊον ἔχοντα ῥαβδούχους δύο, διαλλάττειν Ἀλεξανδρεῦσι τὸν βασιλέα. Καὶ Πομπήϊος μὲν ἐδόκει τῷ νόμῳ μὴ δυσχεραίνειν· ἡ δὲ σύγκλητος ἐξέβαλεν εὐπρεπῶς σκηψαμένη δεδιέναι περὶ τἀνδρός. Ἦν δὲ γράμμασιν ἐντυχεῖν διεῤῥιμμένοις κατ' ἀγορὰν καὶ παρὰ τὸ βουλευτήριον, ὡς δὴ Πτολεμαίου δεομένου Πομπήϊον αὐτῷ στρατηγὸν ἀντὶ τοῦ Σπινθῆρος δοθῆναι. Τιμαγένης δὲ καὶ ἄλλως τὸν Πτολεμαῖον οὐκ οὔσης ἀνάγκης ἀπελθεῖν φησι, καὶ καταλιπεῖν Αἴγυπτον ὑπὸ Θεοφάνους πεισθέντα, πράττοντος Πομπηΐῳ χρηματισμοὺς καὶ στρατηγίας καινῆς ὑπόθεσιν. Ἀλλὰ τοῦτο μὲν οὔχ οὕτως ἡ Θεοφάνους μοχθηρία πεποίηκε πιθανόν, ὡς ἄπιστον ἡ Πομπηΐου φύσις, οὐκ ἔχουσα κακόηθες, οὐδ' ἀνελεύθερον οὕτω τὸ φιλότιμον.

L. Ἐπισταθεὶς δὲ τῇ περὶ τὸ σιτικὸν οἰκονομίᾳ καὶ πραγματείᾳ, πολλαχοῦ μὲν ἀπέστειλε πρεσβευτὰς καὶ φίλους, αὐτὸς δὲ πλεύσας εἰς Σικελίαν καὶ Σαρδῶνα καὶ Λιβύην, ἤθροιζε σῖτον. Ἀνάγεσθαι δὲ μέλλων, πνεύματος μεγάλου κατὰ θάλατταν ὄντος καὶ τῶν κυβερνητῶν ὀκνούντων, πρῶτος ἐμβὰς καὶ

Digitized by Google

κελεύσας τὴν ἄγκυραν αἴρειν, ἀνεβόησε. „Πλεῖν ἀνάγκη, ζῆν οὐκ ἀνάγκη.“ Τοιαύτῃ δὲ τόλμῃ καὶ προθυμίᾳ χρώμενος μετὰ τύχης ἀγαθῆς, ἐνέπλησε σίτου τὰ ἐμπόρια, καὶ πλοίων τὴν θάλασσαν· ὥστε καὶ τοῖς ἐκτὸς ἀνθρώποις ἐπαρκέσαι τὴν περιουσίαν ἐκείνης τῆς παρασκευῆς, καὶ γενέσθαι καθάπερ ἐκ πηγῆς ἄφθονον ἀποῤῥοὴν εἰς πάντας.

LI. Ἐν τούτῳ δὲ τῷ χρόνῳ μέγαν ἦραν οἱ Κελτικοὶ πόλεμοι Καίσαρα· καὶ δοκῶν πορρωτάτω τῆς Ῥώμης ἀπεῖναι, καὶ συνηρτῆσθαι Βέλγαις καὶ Σουήβοις καὶ Βρεττανοῖς, ἐλάνθανεν ὑπὸ δεινότητος ἐν μέσῳ τῷ δήμῳ καὶ τοῖς κυριωτάτοις πράγμασι καταπολιτευόμενος τὸν Πομπήϊον. Αὐτὸς μὲν γὰρ, ὡς σῶμα, τὴν στρατιωτικὴν δύναμιν περικείμενος, οὐκ ἐπὶ τοὺς βαρβάρους, ἀλλ' ὥσπερ ἐν θήραις καὶ κυνηγεσίοις, τοῖς πρὸς ἐκείνους ἀγῶσι γυμνάζων διεπόνει, καὶ κατεσκεύαζεν ἄμαχον καὶ φοβερόν. Χρυσὸν δὲ καὶ ἄργυρον καὶ τἆλλα λάφυρα καὶ τὸν ἄλλον πλοῦτον τὸν ἐκ πολεμίων τοσοῦτον περιγενόμενον εἰς τὴν Ῥώμην ἀποστέλλων, καὶ διαπειρῶν ταῖς δωροδοκίαις καὶ συγχορηγῶν ἀγορανόμοις καὶ στρατηγοῖς καὶ ὑπάτοις, καὶ γυναιξὶν αὐτῶν, ᾠκειοῦτο πολλούς· ὥστε ὑπερβαλόντος αὐτοῦ τὰς Ἄλπεις, καὶ διαχειμάζοντος ἐν Λούκῃ, τῶν μὲν ἄλλων ἀνδρῶν καὶ γυναικῶν ὁμιλούντων καὶ φερομένων πολὺ πλῆθος γενέσθαι, συγκλητικοὺς δὲ διακοσίους, ἐν οἷς καὶ Πομπήϊος ἦν καὶ Κράσσος, ἀνθυπάτων δὲ καὶ στρατηγῶν ἑκατὸν εἴκοσι ῥάβδους ἐπὶ ταῖς Καίσα-

Digitized by Google

ρος θύραις ὑφθῆναι. Τοὺς μὲν οὖν ἄλλους ἅπαντας ἐμπλήσας ἐλπίδων καὶ χρημάτων ἀπέστελλε· Κράσσῳ δὲ καὶ Πομπηΐῳ πρὸς αὐτὸν ἐγένοντο συνθῆκαι· μετιέναι μὲν ὑπατείας ἐκείνους, καὶ Καίσαρα συλλαμβάνειν αὐτοῖς πέμποντα τῶν στρατιωτῶν συχνοὺς ἐπὶ τὴν ψῆφον· ἐπὰν δ' αἱρεθῶσι τάχιστα, πράττειν μὲν ἑαυτοῖς ἐπαρχιῶν καὶ στρατοπέδων ἡγεμονίας, Καίσαρι δὲ καὶ τὰς οὔσας βεβαιοῦν εἰς ἄλλην πενταετίαν. Ἐπὶ τούτοις, ἐξενεχθεῖσιν εἰς τοὺς πολλοὺς, χαλεπῶς ἔφερον οἱ πρῶτοι· καὶ Μαρκελλῖνος ἐν τῷ δήμῳ καταστὰς, ἀμφοῖν ἐναντίαν ἠρώτησεν, εἰ μετίασιν ὑπατείαν. Ὃ καὶ τῶν πολλῶν ἀποκρίνασθαι κελευόντων, πρῶτος Πομπήϊος εἶπεν, ὡς τάχα μὲν δὴ μετέλθοι, τάχα δ' οὐκ ἂν μετέλθοι· Κράσσος δὲ πολιτικώτερον· οὕτω γὰρ ἔφη πράξειν, ὁποτέρως ἂν οἴηται τῷ κοινῷ συνοίσειν. Ἐπιφυομένου δὲ Πομπηΐῳ Μαρκελλίνου, καὶ σφοδρῶς λέγειν δοκοῦντος, ὁ Πομπήϊος ἔφη, πάντων ἀδικώτατον εἶναι τὸν Μαρκελλῖνον, ὃς χάριν οὐκ ἔχει, λόγιος μὲν ἐξ ἀφώνου δι' αὐτὸν, ἐμπειρικὸς δ' ἐκ πειρατικοῦ γενόμενος.

LII. Οὐ μὴν ἀλλὰ, τῶν ἄλλων ἀποστάντων τοῦ παραγγέλλειν ὑπατείαν, Λεύκιον Δομίτιον Κάτων ἔπεισε καὶ παρεθάρρυνε μὴ ἀπειπεῖν· οὐ γὰρ ὑπὲρ ἀρχῆς, ἀλλ' ὑπὲρ ἐλευθερίας εἶναι τὸν ἀγῶνα πρὸς τοὺς τυράννους. Οἱ δὲ περὶ τὸν Πομπήϊον, φοβηθέντες τὸν τόνον τοῦ Κάτωνος, μὴ τὴν βουλὴν ἔχων ἅπασαν, ἀποσπάσῃ καὶ μεταβάλῃ τοῦ δήμου τὸ ὑγιαῖνον, οὐκ εἴασαν εἰς ἀγορὰν καταλθεῖν τὸν Δο-

Digitized by Google

μίτιον, ἀλλ' ἐπιπέμψαντες ἐνόπλους ἄνδρας, ἀπέκτειναν μὲν τὸν προηγούμενον λυχνοφόρον, ἐτρέψαντο δὲ τοὺς ἄλλους· ἔσχατος δὲ Κάτων ἀνεχώρησε, τρωθεὶς τὸν δεξιὸν πῆχυν, ἀμυνόμενος πρὸ τοῦ Λομιτίου. Τοιαύτῃ δ' ὁδῷ παρελθόντες ἐπὶ τὴν ἀρχήν, οὐδὲ τἆλλα κοσμιώτερον ἔπραττον. Ἀλλὰ πρῶτον μὲν τὸν Κάτωνα τοῦ δήμου στρατηγὸν αἱρουμένου, καὶ τὴν ψῆφον ἐπιφέροντος, Πομπήϊος ἔλυσε τὴν ἐκκλησίαν, οἰωνοὺς αἰτιώμενος· Ἀντίαν δὲ καὶ Βατίνιον ἀνηγόρευσαν, ἀργυρίῳ τὰς φυλὰς διαφθείραντες. Ἔπειτα νόμους διὰ Τρεβωνίου δημαρχοῦντος εἰσέφερον, Καίσαρι μὲν, ὥσπερ ὡμολόγητο, δευτέραν ἐπιμετροῦντας πενταετίαν, Κράσσῳ δὲ Συρίαν καὶ τὴν ἐπὶ Πάρθους στρατείαν διδόντας· αὐτῷ δὲ Πομπηΐῳ Λιβύην ἅπασαν, καὶ Ἰβηρίαν ἑκατέραν, καὶ τέσσαρα τάγματα στρατιωτῶν, ὧν ἐπέχρησε δύο Καίσαρι δεηθέντι πρὸς τὸν ἐν Γαλατίᾳ πόλεμον. Ἀλλὰ Κράσσος μὲν ἐξῆλθεν εἰς τὴν ἐπαρχίαν, ἀπαλλαγεὶς τῆς ὑπατείας· Πομπήϊος δὲ τὸ θέατρον ἀναδείξας, ἀγῶνας ἦγε γυμνικοὺς καὶ μουσικοὺς ἐπὶ τῇ καθιερώσει, καὶ θηρῶν ἀμίλλας, ἐν οἷς πεντακόσιοι λέοντες ἀνῃρέθησαν. Ἐπὶ πᾶσι δὲ τὴν ἐλεφαντομαχίαν, ἐκπληκτικώτατον θέαμα, παρέσχεν.

LIII. Ἐπὶ τούτοις δὲ θαυμαστωθεὶς καὶ ἀγαπηθεὶς, αὖθις οὐκ ἐλάττονα φθόνον ἔσχεν, ὅτι πρεσβευταῖς φίλοις παραδοὺς τὰ στρατεύματα καὶ τὰς ἐπαρχίας, αὐτὸς ἐν τοῖς περὶ τὴν Ἰταλίαν ἡβητηρίοις, μετιὼν ἄλλοτε ἀλλαχόσε, μετὰ τῆς γυναικὸς διῆγεν,

Digitized by Google

εἴτ' ἐρῶν αὐτῆς, εἴτ' ἐρῶσαν οὐχ ὑπομένων ἀπολιπεῖν. Καὶ γὰρ καὶ τοῦτο λέγεται, καὶ περιβόητον ἦν τῆς κόρης τὸ φίλανδρον, οὐ καθ' ὥραν ποθούσης τὸν Πομπήϊον· ἀλλ' αἴτιον ἔοικεν ἡ τε σωφροσύνη τοῦ ἀνδρὸς εἶναι, μόνην γινώσκοντος τὴν γεγαμημένην, ἥ τε σεμνότης, οὐκ ἄκρατον, ἀλλ' εὔχαριν ἔχουσα τὴν ὁμιλίαν, καὶ μάλιστα γυναικῶν ἀγωγόν, εἰ δεῖ μηδὲ Φλῶραν ἁλῶναι τὴν ἑταίραν ψευδομαρτυριῶν. Ἐν δ' οὖν ἀγορανομικοῖς ἀρχαιρεσίοις εἰς χεῖρας τινῶν ἐλθόντων, καὶ φονευθέντων περὶ αὐτὸν οὐκ ὀλίγων, ἀναπλησθεὶς αἵματος ἤλλαξε τὰ ἱμάτια. Πολλοῦ δὲ θορύβου καὶ δρόμου πρὸς τὴν οἰκίαν γενομένου τῶν κομιζόντων τὰ ἱμάτια θεραπόντων, ἔτυχε μὲν ἡ κόρη κύουσα, θεασαμένη δὲ καθημαγμένην τὴν τήβεννον, ἐξέλιπε, καὶ μόλις ἀνήνεγκεν· ἐκ δὲ τῆς ταραχῆς ἐκείνης καὶ τοῦ πάθους ἀπήμβλωσεν. Ὅθεν οὐδ' οἱ μάλιστα μεμφόμενοι τὴν πρὸς Καίσαρα τοῦ Πομπηΐου φιλίαν, ἠτιῶντο τὸν ἔρωτα τῆς γυναικός. Αὖθις μέντοι κυήσασα, καὶ τεκοῦσα θῆλυ παιδίον, ἐκ τῶν ὠδίνων ἐτελεύτησε, καὶ τὸ παιδίον οὐ πολλὰς ἡμέρας ἐπέζησε. Παρεσκευασμένου δὲ Πομπηΐου τὸ σῶμα θάπτειν ἐν Ἀλβανῷ, βιασάμενος ὁ δῆμος εἰς τὸ Ἄρειον πεδίον κατήνεγκεν, οἴκτῳ τῆς κόρης μᾶλλον, ἢ Πομπηΐῳ καὶ Καίσαρι χαριζόμενος. Αὐτῶν δ' ἐκείνων μεῖζον εδόκει μέρος ἀπόντι Καίσαρι νέμειν ὁ δῆμος, ἢ Πομπηΐῳ παρόντι τῆς τιμῆς. Εὐθὺς γὰρ ἐκύμαινεν ἡ πόλις, καὶ πάντα τὰ πράγματα σάλον εἶχε καὶ

Digitized by Google

λόγους διαστατικους, ὡς ἡ πρότερον παρακαλύπτουσα μᾶλλον, ἢ κατείργουσα τῶν ἀνδρῶν τὴν φιλαρχίαν οἰκειότης ἀνῄρηται. Μετ' οὐ πολὺ δὲ καὶ Κράσσος ἐν Πάρθοις ἀπολωλὼς ἠγγέλλετο· καὶ τοῦτο κώλυμα ὂν μέγα τοῦ συμπεσεῖν τὸν ἐμφύλιον πόλεμον, ἐκποδὼν ἐγεγόνει. Δεδιότες γὰρ ἐκεῖνον ἀμφότεροι, τοῖς πρὸς ἀλλήλους ἀμοσγέπως ἐνέμενον δικαίοις. Ἐπεὶ δ' ἀνεῖλεν ἡ τύχη τὸν ἕφεδρον τοῦ ἀγῶνος, εὐθὺς ἦν εἰπεῖν τὸ κωμικόν.

Ὡς ἄτερος πρὸς τὸν ἕτερον ὑπαλείφεται,
Τῷ χεῖρέ θ' ὑποκονίεται.

Οὕτως ἡ τύχη μικρόν ἐστι πρὸς τὴν φύσιν. Οὐ γὰρ ἀποπίμπλησιν αὐτῆς τὴν ἐπιθυμίαν, ὅπου τοσοῦτον βάθος ἡγεμονίας καὶ μέγεθος εὐρυχωρίας δυοῖν ἀνδροῖν οὐκ ἐπέσχεν, ἀλλ' ἀκούοντες καὶ ἀναγινώσκοντες, ὅτι τριχθὰ δὲ πάντα δέδασται τοῖς θεοῖς ἕκαστος δ' ἔμμορε τιμῆς, ἑαυτοῖς οὐκ ἐνόμιζον ἀρκεῖν δυσὶν οὖσι τὴν Ῥωμαίων ἀρχήν.

LIV. Καίτοι Πομπήϊος εἶπέ ποτε δημηγορῶν, ὅτι πᾶσαν ἀρχὴν λάβοι πρότερον, ἢ προσεδόκησε, καὶ κατάθοιτο θᾶττον, ἢ προσεδοκήθη. Καὶ νὴ Δία μαρτυρούσας εἶχεν ἀεὶ τὰς διαλύσεις τῶν στρατοπέδων. Τότε δὲ, τὸν Καίσαρα δοκῶν οὐ προήσεσθαι τὴν δύναμιν, ἐζήτει ταῖς πολιτικαῖς ἀρχαῖς ὀχυρὸς εἶναι πρὸς αὐτὸν, ἄλλο δ' οὐδὲν ἐνεωτέριζεν, οὐδ' ἐβούλετο δοκεῖν ἀπιστεῖν, ἀλλ' ὑπερορᾶν μᾶλλον καὶ καταφρονεῖν. Ἐπεὶ δὲ τὰς ἀρχὰς οὐ κατὰ γνώμην ἑώρα βραβευομένας, δεκαζομένων τῶν πολι-

Digitized by Google

τῶν, ἀναρχίαν ἐν τῇ πόλει περιεῖδε γενομένην· καὶ λόγος εὐθὺς ἐχώρει πολὺς ὑπὲρ δικτάτωρος, ὃν πρῶτος εἰς μέσον ἐξενεγκεῖν ἐτόλμησε Λουκίλλιος ὁ δήμαρχος, τῷ δήμῳ παραινῶν ἑλέσθαι δικτάτωρα Πομπήϊον. Ἐπιλαβομένου δὲ Κάτωνος, οὗτος μὲν ἐκινδύνευσε τὴν δημαρχίαν ἀποβαλεῖν· ὑπὲρ δὲ Πομπηΐου πολλοὶ τῶν φίλων ἀπελογοῦντο παριόντες, ὡς οὐ δεομένου τῆς ἀρχῆς ἐκείνης, οὐδὲ βουλομένου. Κάτωνος δὲ Πομπήϊον ἐπαινέσαντος, καὶ προτρεψαμένου τῆς εὐκοσμίας ἐπιμεληθῆναι, τότε μὲν αἰδεσθεὶς ἐπεμελήθη, καὶ κατεστάθησαν ὕπατοι Δομίτιος καὶ Μεσσάλας· ὕστερον δὲ πάλιν ἀναρχίας γινομένης, καὶ πλειόνων ἤδη τὸν περὶ τοῦ δικτάτωρος λόγον ἐγειρόντων ἰταμώτερον, φοβηθέντες οἱ περὶ Κάτωνα, μὴ βιασθῶσιν, ἔγνωσαν ἀρχήν τινα τῷ Πομπηΐῳ προέμενοι νόμιμον ἀποτρέψαι τῆς ἀκράτου καὶ τυραννικῆς ἐκείνης. Καὶ Βίβλος, ἐχθρὸς ὢν Πομπηΐῳ, πρῶτος ἀπεφήνατο γνώμην ἐν συγκλήτῳ, Πομπήϊον μόνον ἑλέσθαι ὕπατον· ἢ γὰρ ἀπαλλαγήσεσθαι τῆς παρούσης τὴν πόλιν ἀκοσμίας, ἢ δουλεύσειν τῷ κρατίστῳ. Φανέντος δὲ παραδόξου τοῦ λόγου διὰ τὸν εἰπόντα, Κάτων ἀναστὰς, καὶ παρασχὼν δόκησιν, ὡς ἀντιλέξοι, γενομένης σιωπῆς, εἶπε, τὴν προκειμένην γνώμην αὐτὸς μὲν οὐκ ἂν εἰσενεγκεῖν, εἰσενηνεγμένῃ δ' ὑφ' ἑτέρου πείθεσθαι κελεύειν· πᾶσαν μὲν ἀρχὴν μᾶλλον αἱροίμενος ἀναρχίας, Πομπηΐου δὲ μηδένα βέλτιον ἄρξειν ἐν ταραχαῖς τηλικαύταις νομίζων. Δεξαμένης δὲ τῆς

Digitized by Google

βουλῆς, καὶ ψηφισαμένης, ὅπως ὕπατος αἱρεθεὶς ὁ Πομπήϊος ἄρχοι μόνος, εἰ δ' αὐτὸς συνάρχοντος δεηθείη, μὴ θᾶττον δυοῖν μηνοῖν δοκιμάσας ἕλιτο· καταστασθεὶς οὕτως καὶ ἀποδειχθεὶς διὰ Σουλπικίου μεσοβασιλέως ὕπατος, ἠσπάζετο φιλοφρόνως τὸν Κάτωνα, πολλὴν δμολογῶν χάριν ἔχειν, καὶ παρακαλῶν γίνεσθαι σύμβουλον ἰδίᾳ τῆς ἀρχῆς. Κάτων δὲ χάριν μὲν ἔχειν αὐτῷ τὸν Πομπήϊον οὐκ ἠξίου· δι' ἐκεῖνον γὰρ ὧν εἶπεν οὐδὲν εἰπεῖν, διὰ δὲ τὴν πόλιν· ἔσεσθαι δὲ σύμβουλος ἰδίᾳ παρακαλούμενος· ἐὰν δὲ μὴ παρακαλῆται, δημοσίᾳ φράσειν τὸ φαινόμενον. Τοιοῦτος μὲν οὖν Κάτων ἐν πᾶσι.

LV. Πομπήϊος δὲ παρελθὼν εἰς τὴν πόλιν, ἔγημε Κορνηλίαν, θυγατέρα Μετέλλου Σκιπίωνος, οὐ παρθένον, ἀλλὰ χήραν ἀπολελειμμένην νεωστὶ Ποπλίου, τοῦ Κράσσου παιδὸς, ᾧ συνῴκησεν ἐκ παρθενίας, ἐν Πάρθοις τεθνηκότος. Ἐνῆν δὲ τῇ κόρῃ πολλὰ φίλτρα δίχα τῶν ἀφ' ὥρας. Καὶ γὰρ περὶ γράμματα καλῶς ἤσκητο, καὶ περὶ λύραν καὶ γεωμετρίαν· καὶ λόγων φιλοσόφων εἴθιστο χρησίμως ἀκούειν. Καὶ προσῆν τούτοις ἦθος ἀηδίας καὶ περιεργίας καθαρὸν, ἃ δὴ νέαις προστρίβεται γυναιξὶ τὰ τοιαῦτα μαθήματα· πατὴρ δὲ καὶ γένους ἕνεκα καὶ δόξης ἄμεμπτος. Ἀλλ' ὅμως τοῦ γάμου τοῖς μὲν οὐκ ἤρεσκε τὸ μὴ καθ' ἡλικίαν· υἱῷ γὰρ αὐτοῦ συνοικεῖν ὥραν εἶχεν ἡ Κορνηλία μᾶλλον. Οἱ δὲ κομψότεροι τὸ τῆς πόλεως ἡγοῦντο παρεωρακέναι τὸν Πομπήϊον, ἐν τύχαις οὔσης, ὧν ἐκεῖνον ἰατρὸν

Digitized by Google

ῆρηται, καὶ μόνῳ παραδέδωκεν αὐτήν. Ὁ δὲ στεφανοῦται καὶ θύει γάμους, αὐτὴν τὴν ὑπατείαν ὀφείλων ἡγεῖσθαι συμφορὰν, οὐκ ἂν οὕτω παρανόμως δοθεῖσαν, εὐτυχούσης τῆς πατρίδος. Ἔπειτα δὲ, ταῖς δίκαις τῶν δωροδοκιῶν καὶ δεκασμῶν ἐπιστὰς καὶ νόμους γράψας, καθ' οὓς αἱ κρίσεις ἐγίνοντο, τὰ μὲν ἄλλα σεμνῶς ἐβράβευε καὶ καθαρῶς, ἀσφάλειαν ἅμα καὶ κόσμον καὶ ἡσυχίαν, αὐτοῦ προκαθημένου μεθ' ὅπλων, τοῖς δικαστηρίοις παρέχων· Σκιπίωνος δὲ τοῦ πενθεροῦ κρινομένου, μεταπεμψάμενος οἴκαδε τοὺς ἑξήκοντα καὶ τοὺς τριακοσίους δικαστὰς, ἐνέτυχε βοηθεῖν· ὁ δὲ κατήγορος ἀπέστη τῆς δίκης, ἰδὼν τὸν Σκιπίωνα προπεμπόμενον ἐξ ἀγορᾶς ὑπὸ τῶν δικαστῶν. Πάλιν οὖν ἦκουε κακῶς· ἔτι δὲ μᾶλλον, ὅτι λύσας νόμῳ τοὺς γινομένους περὶ τῶν κρινομένων ἐπαίνους, αὐτὸς εἰσῆλθε Πλάγκον ἐπαινεσόμενος. Καὶ Κάτων (ἔτυχε γὰρ κρίνων), ἐπισχόμενος τὰ ὦτα ταῖς χερσὶν, οὐκ ἔφη καλῶς ἔχειν αὐτῷ παρὰ τὸν νόμον ἀκούειν τῶν ἐπαίνων. Ὅθεν ὁ μὲν Κάτων ἀπεβλήθη πρὸ τοῦ φέρειν τὴν ψῆφον· ἐάλω δὲ ταῖς ἄλλαις ὁ Πλάγκος, σὺν αἰσχύνῃ τοῦ Πομπηΐου. Καὶ γὰρ ὀλίγαις ὕστερον ἡμέραις Ῥηγῖνος, ἀνὴρ ὑπατικὸς, δίκην φεύγων, καὶ παραφυλάξας τὸν Πομπήϊον ἐπὶ δεῖπνον ἀπιόντα λελουμένον, ἐπέτευε τῶν γονάτων λαβόμενος. Ὁ δὲ παρῆλθεν ὑπεροπτικῶς, εἰπὼν διαφθείρειν τὸ δεῖπνον αὐτοῦ, ἄλλο δὲ μηδὲν περαίνειν. Οὕτως οὖν ἄνισος εἶναι δοκῶν αἰτίας εἶχε, Τὰ δ' ἄλλα καλῶς ἅπαντα κατέστησαν

Digitized by Google

εἰς τάξιν, καὶ προσείλετο συνάρχοντα τὸν πενθερον εἰς τοὺς ὑπολοίπους πέντε μῆνας. Ἐψηφίσθη δ' αὐτῷ τὰς ἐπαρχίας ἔχειν εἰς ἄλλην τετραετίαν, καὶ χίλια τάλαντα λαμβάνειν καθ' ἕκαστον ἐνιαυτὸν, ἀφ' ὧν θρέψει καὶ διοικήσει τὸ στρατιωτικόν.

LVI. Οἱ δὲ Καίσαρος φίλοι, ταύτην ἀρχὴν λαβόντες, ἠξίουν τινὰ γενέσθαι καὶ Καίσαρος λόγον, ἀγωνιζομένου τοσούτους ἀγῶνας ὑπὲρ τῆς ἡγεμονίας· ἢ γὰρ ὑπατείας ἄξιον εἶναι τυχεῖν ἑτέρας, ἢ προσλαβεῖν τῇ στρατείᾳ χρόνον, ἐν ᾧ τῶν πεπονημένον οὐκ ἄλλος ἐπελθὼν ἀφαιρήσεται τὴν δόξαν, ἀλλ' αὐτὸς ἄρξει καὶ τιμήσεται καθ' ἡσυχίαν ὁ κατεργασάμενος. Οὔσης δὲ περὶ τούτων ἀμίλλης, ὡς δὴ παραιτούμενος ὑπὲρ τοῦ Καίσαρος ἐπ' εὐνοίᾳ τὸν φθόνον ὁ Πομπήϊος, ἔφη γράμματα Καίσαρος ἔχειν, βουλομένου λαβεῖν διάδοχον, καὶ παύσασθαι τῆς στρατείας· ὑπατείας μέντοι καὶ μὴ παρόντι καλῶς ἔχειν αἴτησιν αὐτῷ δοθῆναι. Πρὸς ταῦτα ἐνισταμένων τῶν περὶ Κάτωνα, καὶ κελευόντων ἰδιώτην γενόμενον καὶ τὰ ὅπλα καταθέμενον εὑρίσκεσθαί τι παρὰ τῶν πολιτῶν ἀγαθὸν, οὐκ ἐξεμίσας, ἀλλ' οἷον ἡττηθεὶς ὁ Πομπήϊος, ὕποπτος ἦν μᾶλλον ὢν ἐφρόνει περὶ Καίσαρος. Ἔπεμψε δὲ καὶ τὰς δυνάμεις ἀπαιτῶν. ἃς ἔχρησεν αὐτῷ, τὰ Παρθικὰ ποιούμενος πρόφασιν. Ὁ δὲ, καίπερ εἰδὼς, ἐφ' οἷς ἀπῃτεῖτο τοὺς στρατιώτας, ἀπέπεμψε καλῶς δωρησάμενος.

LVII. Ἐκ τούτου δὲ Πομπήϊος ἐν Νεαπόλει νοσήσας ἐπισφαλῶς ἀνέρρωσε. Πραξαγόρου δὲ πεί-

Digitized by Google

σαντος τοὺς Νεαπολίτας, ἔθυσαν ὑπὲρ αὐτοῦ σωτήρια. Μιμουμένων δὲ τούτους τῶν προσοίκων, καὶ τοῦ πράγματος οὕτω περιϊόντος τὴν Ἰταλίαν πᾶσαν, καὶ μικρὰ καὶ μεγάλη πόλις ἐφ' ἡμέρας πολλὰς ἑώρταζε. Τοὺς δ' ἀπαντῶντας πανταχόθεν οὐδεὶς ἐχώρει τόπος, ἀλλ' ὁδοί τε κατεπίμπλαντο, καὶ κῶμαι καὶ λιμένες εὐωχουμένων καὶ θυόντων. Πολλοὶ δὲ καὶ στεφανηφοροῦντες ὑπὸ λαμπάδων ἐδέχοντο καὶ παρέπεμπον ἀνθοβολούμενον· ὥστε τὴν κομιδὴν αὐτοῦ καὶ πορείαν θέαμα κάλλιστον εἶναι καὶ λαμπρότατον. Οὐδενὸς μέντοι τοῦτο λέγεται τῶν ἀπεργασαμένων τὸν πόλεμον αἰτιῶν ἔλαττον γενέσθαι. Φρόνημα γὰρ εἰσῆλθεν ὑπεραῖρον ἅμα τῷ μεγέθει τῆς χαρᾶς τοὺς ἀπὸ τῶν πραγμάτων λογισμούς· καὶ τὴν εἰς ἀσφαλὲς ἀεὶ τὰ εὐτυχήματα καὶ τὰς πράξεις αὐτοῦ θεμένην εὐλάβειαν προέμενος, εἰς ἄκρατον ἐξέπεσε θράσος καὶ περιφρόνησιν τῆς Καίσαρος δυνάμεως, ὡς οὔτε ὅπλων ἐπ' αὐτὸν, οὔτε τινὸς ἐργώδους πραγματείας δεησόμενος, ἀλλὰ πολὺ ῥᾷον καθαιρήσων, ἢ πρότερον ηὔξησε τὸν ἄνδρα. Πρὸς δὲ τούτοις Ἄππιος ἀφίκετο κομίζων ἐκ Γαλατίας ἣν ἔχρησε Πομπήϊος Καίσαρι στρατιάν· καὶ πολλὰ μὲν ἐξεφλαύρισε τὰς ἐκεῖ πράξεις, καὶ λόγους ἐξέφερε βλασφήμους περὶ Καίσαρος, αὐτὸν δὲ Πομπήϊον ἀπειρώς ἔχειν ἔλεγε τῆς αὑτοῦ δυνάμεως καὶ δόξης, ἑτέροις ὅπλοις πρὸς Καίσαρα φραγνύμενον, ὧν αὐτοῖς κατεργάσεται τοῖς ἐκείνου στρατεύμασιν, ὅταν πρῶτον ὀφθῇ· τοσοῦτον καὶ μίσους πρὸς Καίσαρα,

Digitized by Google

καὶ πόθου πρὸς Πομπήϊον ἐνυπάρχειν αὐτοῖς. Οὕτω δ' οὖν ὁ Πομπήϊος ἐπήρθη, καὶ τοιαύτης καὶ τοσαύτης ὀλιγωρίας διὰ τὸ θαρρεῖν ἐγένετο μεστός, ὥστε καὶ τῶν δεδιότων τὸν πόλεμον κατεγέλα, καὶ τοὺς λέγοντας, ἂν ἐλαύνῃ Καῖσαρ ἐπὶ τὴν πόλιν, οὐχ ὁρᾶν δυνάμεις, αἷς αὐτὸν ἀμυνοῦνται, μειδιῶν τῷ προσώπῳ καὶ διακεχυμένος ἀμελεῖν ἐκέλευσεν. „Ὅπου γὰρ ἂν (ἔφη) τῆς Ἰταλίας ἐγὼ κρούσω τῷ ποδὶ τὴν γῆν, ἀναδύσονται καὶ πεζικαὶ καὶ ἱππικαὶ δυνάμεις."

LVIII. Ἤδη δὲ καὶ Καῖσαρ ἐπεφύετο τοῖς πράγμασιν ἐρρωμενέστερον, αὐτὸς μὲν οὐκ ἔτι μακρὰν τῆς Ἰταλίας ἀπαίρων, εἰς δὲ τὴν πόλιν ἀεὶ τοὺς στρατιώτας ἀποστέλλων ἀρχαιρεσιάσοντας, χρήμασι δὲ πολλοὺς ὑποκουρῶν καὶ διαφθείρων ἄρχοντας· ὧν καὶ Παῦλος ἦν ὁ ὕπατος, ἐπὶ χιλίοις καὶ πεντακοσίοις ταλάντοις μεταβαλόμενος, καὶ Κουρίων ὁ δήμαρχος, ἀμηχάνῳ πλήθει δανείων ἐλευθερωθεὶς ὑπ' αὐτοῦ, καὶ Μάρκος Ἀντώνιος, διὰ φιλίαν Κουρίωνος, ὃν ὠφείλετο μετέχων. Ἐλέχθη μὲν οὖν, ὅτι τῶν ἀφιγμένων τις ἀπὸ Καίσαρος ταξιαρχῶν ἑστὼς παρὰ τὸ βουλευτήριον, καὶ πυθόμενος, ὡς οὐ δίδωσιν ἡ βουλὴ Καίσαρι χρόνον τῆς ἀρχῆς, εἶπεν ἐπικρούων τῇ χειρὶ τὸ ξίφος· „Ἀλλὰ τοῦτο δώσει." Καὶ τὰ πραττόμενα καὶ τὰ παρασκευαζόμενα ταύτην εἶχε τὴν διάνοιαν. Αἱ μέντοι Κουρίωνος ἀξιώσεις καὶ παρακλήσεις ὑπὲρ Καίσαρος ἐφαίνοντο δημοτικώτεραι. Δυεῖν γὰρ ἠξίου θάτερον, ἢ καὶ Πομπήϊον

Digitized by Google

ἀπαιτεῖν, ἢ μηδὲ Καίσαρος ἀφαιρεῖσθαι τὸ στρατιωτικόν· ἢ γὰρ ἰδιώτας γενομένους, ἐπὶ τοῖς δικαίοις, ἢ μένοντας ἀντιπάλους, ἐφ' οἷς ἔχουσιν ἀτρεμήσειν. Ὁ δὲ τὸν ἕτερον ἀσθενῆ ποιῶν, ἣν φοβεῖται δύναμιν διπλασιάζει. Πρὸς ταῦτα Μαρκέλλου τοῦ ὑπάτου λῃστὴν ἀποκαλοῦντος τὸν Καίσαρα, καὶ ψηφίζεσθαι πολέμιον κελεύοντος, εἰ μὴ καταθήσεται τὰ ὅπλα, Κουρίων ὅμως ἴσχυσε μετ' Ἀντωνίου καὶ Πείσωνος ἐξελέγξαι τὴν σύγκλητον. Ἐκέλευσε γὰρ μεταστῆναι τοὺς Καίσαρα μόνον τὰ ὅπλα καταθέσθαι κελεύοντας, Πομπήϊον δ' ἄρχειν· καὶ μετέστησαν οἱ πλείους. Αὖθις δὲ μεταστῆναι κελεύσαντος ὅσοις ἀμφοτέρους ἀρέσκει τὰ ὅπλα καταθέσθαι, καὶ μηδέτερον ἄρχειν, Πομπηΐῳ μὲν εἴκοσι καὶ δύο μόνον, Κουρίωνι δὲ πάντες οἱ λοιποὶ προσέθεντο. Κἀκεῖνος μέν, ὡς νενικηκώς, λαμπρὸς ὑπὸ χαρᾶς εἰς τὸν δῆμον ἐξήλατο, κρότῳ καὶ βολαῖς στεφάνων καὶ ἀνθῶν δεξαμένων αὐτόν. Ἐν δὲ τῇ βουλῇ Πομπήϊος οὐ παρῆν· οἱ γὰρ ἄρχοντες στρατοπέδων εἰς τὴν πόλιν οὐκ εἰσίασι. Μάρκελλος δ' ἀναστάς, οὐκ ἔφη λόγων ἀκροάσεσθαι καθήμενος, ἀλλ' ὁρῶν ὑπερφαινόμενα τῶν Ἄλπεων ἤδη δέκα τάγματα βαδίζειν, καὶ αὐτὸς ἐκπέμψειν τὸν ἀντιταξόμενον αὐτοῖς ὑπὲρ τῆς πατρίδος.

LIX. Ἐκ τούτου τὰς ἐσθῆτας ὡς ἐπὶ πένθει μετεβάλοντο. Μάρκελλος δὲ πρὸς Πομπήϊον δι' ἀγορᾶς ἐβάδιζε, τῆς βουλῆς ἑπομένης, καὶ καταστὰς ἐναντίος· „Κελεύω σε (εἶπεν), ὦ Πομπήϊε, βοη-

Digitized by Google

θεῖν τῇ πατρίδι, καὶ χρῆσθαι ταῖς παρεσκευασμέναις δυνάμεσι, καὶ καταλέγειν ἑτέρας." Τὰ δ' αὐτὰ ταῦτα καὶ Λέντλος ἔλεγε, τῶν ἀποδεδειγμένων εἰς τὸ μέλλον ὑπάτων ἄτερος. Ἀρξαμένου δὲ τοῦ Πομπηΐου καταλέγειν, οἱ μὲν οὐχ ὑπήκουον, ὀλίγοι δὲ γλίσχρως καὶ ἀπροθύμως συνήεσαν, οἱ δὲ πλείους διαλύσεις ἐβόων. Καὶ γὰρ ἀνέγνω τινὰ Καίσαρος ἐπιστολὴν Ἀντώνιος ἐν τῷ δήμῳ, βιασάμενος τὴν βουλήν, ἔχουσαν ἐπαγωγοὺς ὄχλου προκλήσεις. Ἧξίου γὰρ ἀμφοτέρους ἐκβάντας τῶν ἐπαρχιῶν, καὶ τὰς στρατιωτικὰς δυμάμεις ἀφέντας, ἐπὶ τῷ δήμῳ γενέσθαι, καὶ τῶν πεπραγμένων εὐθύνας ὑποσχεῖν. Οἱ δὲ περὶ Λέντλον, ὑπατεύοντες ἤδη, βουλὴν οὐ συνῆγον· ἄρτι δ' ἐκ Κιλικίας ἀφιγμένος Κικέρων, ἔπραττε διαλλαγάς, ὅπως Καῖσαρ, ἐξελθὼν Γαλατίας, καὶ τὴν ἄλλην στρατιὰν ἀφεὶς πᾶσαν, ἐπὶ δυσὶ τάγμασι καὶ τῷ Ἰλλυρικῷ τὴν δευτέραν ὑπατείαν περιμένῃ. Πομπηΐου δὲ δυσκολαίνοντος, ἐπείσθησαν οἱ Καίσαρος φίλοι θάτερον ἀφεῖναι. Λέντλου δ' ἀντικρούσαντος, καὶ Κάτωνος αὖθις ἁμαρτάνειν τὸν Πομπήϊον ἐξαπατώμενον βοῶντος, οὐκ ἔσχον αἱ διαλύσεις πέρας.

LX. Ἐν τούτῳ δ' ἀπηγγέλλετο Καῖσαρ Ἀρίμινον, πόλιν μεγάλην τῆς Ἰταλίας, κατειληφὼς, καὶ βαδίζων ἄντικρυς ἐπὶ τὴν Ῥώμην μετὰ πάσης τῆς δυνάμεως. Ταῦτο δ' ἦν ψεῦδος. Ἐβάδιζε γὰρ οὐ πλείονας ἔχων ἱππέων τριακοσίων, καὶ πεντακισχιλίων ὁπλιτῶν· τὴν δ' ἄλλην δύναμιν ἐπέκεινα τῶν Ἄλπεων οὖσαν οὐ περιέμενεν, ἐμπεσεῖν ἄφνω τοῖς

ραγμένος καὶ μὴ προσδοκῶσι βουλόμενος μᾶλλον, ἢ χρόνον δοὺς ἐκ παρασκευῆς μάχεσθαι. Καὶ γὰρ ἐπὶ τὸν Ῥουβικῶνα ποταμὸν ἐλθὼν, ὃς ἀφώριζεν αὐτῷ τὴν δεδομένην ἐπαρχίαν, ἔστη σιωπῇ, καὶ διέμελλησεν, αὐτὸς ἄρα πρὸς ἑαυτὸν συλλογιζόμενος τὸ μέγεθος τοῦ τολμήματος. Εἶτα, ὥσπερ οἱ πρὸς βάθος ἀφιέντες ἀχανὲς ἀπό κρημνοῦ τινος ἑαυτοὺς, μύσας τῷ λογισμῷ, καὶ παρακαλυψάμενος πρὸς τὸ δεινὸν, καὶ τοσοῦτον μόνον Ἑλληνιστὶ πρὸς τοὺς παρόντας ἐκβοήσας, „Ἀνερρίφθω κύβος," διεβίβαζε τὸν στρατόν. Ὡς δὲ πρῶτον ἡ φήμη προσέπεσε, καὶ κατέσχε τὴν Ῥώμην μετ' ἐκπλήξεως θόρυβος καὶ φόβος, οἷος οὔπω πρότερον, εὐθὺς μὲν ἡ βουλὴ φερομένη πρὸς τὸν Πομπήϊον συνέτρεχε, καὶ παρῆσαν αἱ ἀρχαὶ· πυθομένου δὲ τοῦ Τύλλου περὶ στρατιᾶς καὶ δυνάμεως, καὶ τοῦ Πομπηΐου μετά τινος μελλήσεως ἀθαρσῶς εἰπόντος, ὅτι τοὺς παρὰ Καίσαρος ἥκοντας ἑτοίμους ἔχει, νομίζει δὲ καὶ τοὺς κατειλεγμένους πρότερον ἐν τάχει συνάξειν, τρισμυρίους ὄντας, ὁ μὲν Τύλλος ἀναβοήσας, „Ἐξηπάτηκας ἡμᾶς, ὦ Πομπήϊε," συνεβούλευεν ὡς Καίσαρα πρέσβεις ἀποστέλλειν. Φαώνιος δέ τις, ἀνὴρ τἆλλα μὲν οὐ πονηρὸς, αὐθαδείᾳ δὲ καὶ ὕβρει παλλακὶς τὴν Κάτωνος οἰόμενος ἀπομιμεῖσθαι παῤῥησίαν, ἐκέλευε τὸν Πομπήϊον τῷ ποδὶ τύπτειν τὴν γῆν, ὡς ὑπισχνεῖτο δυνάμεις ἀναπαλούμενον. Ὁ δὲ ταύτην μὲν ἤνεγκε τὴν ἀκαιρίαν πράως· τοῦ δὲ Κάτωνος ὑπομιμνήσκοντος, ὧν ἐν ἀρχῇ περὶ Καίσαρος αὐτῷ προεῖ-

Digitized by Google

πεν, ἀπεφήναντο, μαντικώτερα μὲν εἶναι τὰ Κάτωνι λεχθέντα, φιλικώτερα δ' ὑπ' αὐτοῦ πεπρᾶχθαι.

LXI. Κάτων δὲ συνεβούλευεν αἱρεῖσθαι στρατηγὸν αὐτοκράτορα Πομπήϊον, ἐπαινῶν, ὅτι τῶν αὐτῶν ἐστι καὶ ποιεῖν τὰ μεγάλα καὶ παύειν. Οὗτος μὲν οὖν εὐθὺς ἐξῆλθεν εἰς Σικελίαν· (ἔλαχε γὰρ αὐτὴν τῶν ἐπαρχιῶν), καὶ τῶν ἄλλων ἕκαστος εἰς ἃς ἐκληρώθη. Τῆς δ' Ἰταλίας σχεδὸν ὅλης ἀνισταμένης, ἀπορίαν εἶχε τὸ γενόμενον. Οἱ μὲν γὰρ ἔξωθεν φερόμενοι φυγῇ παντοχόθεν, εἰς τὴν Ῥώμην ἐνέπιπτον· οἱ δὲ τὴν Ῥώμην οἰκοῦντες, ἐξέπιπτον αὐτοὶ καὶ ἀπέλιπον τὴν πόλιν, ἐν χειμῶνι καὶ ταράχῳ τοσούτῳ τὸ μὲν χρήσιμον ἀσθενὲς ἔχουσαν, τὸ δ' ἀπειθὲς, ἰσχυρὸν καὶ δυσμεταχείριστον ἄρχουσιν. Οὐ γὰρ ἦν παῦσαι τὸν φόβον, οὐδ' εἰάσέ τις χρῆσθαι τοῖς ἑαυτοῦ λογισμοῖς Πομπήϊον· ἀλλ' ᾧ τις ἐνετύγχανε πάθει, φοβηθεὶς, ἢ λυπηθεὶς, ἢ διαπορήσας, τούτῳ φέρων ἐκεῖνον ἐνεπίμπλη. Καὶ τἀναντία τῆς αὐτῆς ἡμέρας ἐκράτει βουλεύματα καὶ πυθέσθαι περὶ τῶν πολεμίων οὐδὲν ἦν ἀληθὲς αὐτῷ, διὰ τὸ πολλοὺς ἀπαγγέλλειν, ὅ τι τύχοιεν, εἴτ' ἀπιστοῦντι χαλεπαίνειν. Οὕτω δὴ ψηφισάμενος ταραχὴν ὁρᾶν, καὶ κελεύσας ἅπαντας ἕπεσθαι αὐτῷ τοὺς ἀπὸ βουλῆς, καὶ προειπὼν, ὅτι Καίσαρος ἡγήσεται τὸν ἀπολειφθέντα, περὶ δείλην ὀψίαν ἀπέλιπε τὴν πόλιν. Οἱ δ' ὕπατοι, μηδὲ θύσαντες ἃ νομίζεται πρὸ πολέμων, ἔφυγον. Ἦν δὲ καὶ παρ' αὐτὰ τὰ δεινὰ ζηλωτὸς ὁ ἀνὴρ τῆς πρὸς αὐτὸν εὐνοίας τῶν

Digitized by Google

ἀνθρώπων, ὅτι, πολλῶν τὴν στρατηγίαν μεμφομένων, οὐδεὶς ἦν ὁ μισῶν τὸν στρατηγόν· ἀλλὰ πλείονας ἄν τις εὗρε τῶν διὰ τὴν ἐλευθερίαν φευγόντων τοὺς ἀπολιπεῖν Πομπήϊον μὴ δυναμένους.

LXII. Ὀλίγαις δ' ὕστερον ἡμέραις Καῖσαρ εἰσελάσας, καὶ κατασχὼν τὴν Ῥώμην, τοῖς μὲν ἄλλοις ἐπιεικῶς ἐνέτυχε καὶ κατεπράϋνε· τῶν δὲ δημάρχων ἑνὶ, Μετέλλῳ, κωλύοντι χρήματα λαβεῖν αὐτὸν ἐκ τοῦ ταμιείου, θάνατον ἠπείλησε, καὶ προσέθηκε τῇ ἀπειλῇ τραχύτερον λόγον· ἔφη γάρ, ὡς τὸ φῆσαι χαλεπὸν ἦν αὐτῷ μᾶλλον, ἢ τὸ πρᾶξαι. Τρεψάμενος δὲ τὸν Μέτελλον οὕτω, καὶ λαβὼν ὧν ἔχρῃζεν, ἐδίωκε Πομπήϊον, ἐκβαλεῖν σπεύδων ἐκ τῆς Ἰταλίας, πρὶν ἀφικέσθαι τὴν ἐξ Ἰβηρίας αὐτῷ δύναμιν. Ὁ δὲ, τὸ Βρεντέσιον κατασχὼν, καὶ πλοίων εὐπορήσας, τοὺς μὲν ὑπάτους εὐθὺς ἐμβιβάσας, καὶ μετ' αὐτῶν σπείρας τριάκοντα, προεξέπεμψεν εἰς Δυρράχιον· Σκιπίωνα δὲ τὸν πενθερὸν, καὶ Γναῖον τὸν υἱὸν εἰς Συρίαν ἀπέστειλε, ναυτικὸν κατασκευάσοντας. Αὐτὸς δὲ φραξάμενος τὰς πύλας, καὶ τοῖς τείχεσι τοὺς ἐλαφροτάτους στρατιώτας ἐπιστήσας, τοὺς δὲ Βρεντεσινοὺς ἀτρεμεῖν κατ' οἰκίαν κελεύσας, ὅλην ἐντὸς ἀνέσκαψε, τὴν πόλιν καὶ διετάφρευσε, καὶ σκολόπων ἐνέπλησε τοὺς στενωποὺς, πλὴν δυεῖν, δι' ὧν ἐπὶ θάλατταν αὐτὸς κατῆλθεν. Ἡμέρᾳ δὲ τρίτῃ τὸν μὲν ἄλλον ὄχλον ἐν ταῖς ναυσὶν εἶχεν ἤδη καθ' ἡσυχίαν ἐμβεβηκότα, τοῖς δὲ τὰ τείχη φυλάττουσιν ἐξαίφνης σημεῖον ἆρας, καὶ κατε-

Digitized by Google

ιόντας ὀξέως ἀναλαβὼν, ἀπεπέρασεν. Ὁ δὲ Καῖ-
ὼς εἶδεν ἐκλελειμμένα τὰ τείχη, τὴν φυγὴν αἰ-
ιενος, μικροῦ μὲν ἐδέησε διώκων τοῖς σταυροῖς
τοῖς ὀρύγμασι περιπετὴς γενέσθαι· τῶν δὲ Βρεν-
νῶν φρασάντων, φυλαττόμενος τὴν πόλιν καὶ κύ-
περιϊὼν, ἀνηγμένους εὗρε πάντας, πλὴν ὀυεῖν
ίων, στρατιώτας τινὰς οὐ πολλοὺς ἐχόντων.

LXIII. Οἱ μὲν οὖν ἄλλοι τοῦ Πομπηΐου τὸν ἀπό-
υν ἐν τοῖς ἀρίστοις τίθενται στρατηγήμασιν·
ὸς δὲ Καῖσαρ ἐθαύμαζεν, ὅτι καὶ πόλιν ἔχων
ρὰν, καὶ προσδοκῶν τὰς ἐξ Ἰβηρίας δυνάμεις,
θαλασσοκρατῶν, ἐξέλιπε καὶ προήκατο τὴν Ἰτα-
ν. Αἰτιᾶται δὲ καὶ Κικέρων, ὅτι τὴν Θεμιστοκλέ-
ἐμιμήσατο στρατηγίαν μᾶλλον, ἢ τὴν Περικλέ-
, τῶν πραγμάτων τούτοις ὁμοίων ὄντων, οὐκ
ίνοις. Ἐδήλωσε δὲ Καῖσαρ ἔργῳ σφόδρα φοβού-
ος τὸν χρόνον. Ἔλαν γὰρ Νουμέριον Πομπηΐου
ον, ἀπέστειλεν εἰς Βρεντέσιον, ἐπὶ τοῖς ἴσοις ἀξιῶν
λλαγῆναι· Νουμέριος δὲ Πομπηΐῳ συνεξέπλευσεν.
ντεῦθεν ὁ μὲν ἡμέραις ἑξήκοντα κύριος γεγονὼς
κιμωτὶ τῆς Ἰταλίας ὅλης, ἐβούλετο μὲν εὐθὺς Πομ-
ΐον διώκειν· πλοῖον δὲ μὴ παρόντων, ἀποτρέψας
Ἰβηρίαν ἤλαυνε, τὰς ἐκεῖ δυνάμεις προσαγαγέ-
αι βούλόμενος.

LXIV. Ἐν δὲ τῷ χρόνῳ τούτῳ μεγάλη συνέστη
ομπηΐῳ δύναμις, ἡ μὲν ναυτικὴ καὶ παντελῶς ἀναν-
γώνιστος· ἦσαν γὰρ αἱ μάχιμοι πεντακόσιαι, λι-
ρνίδων δὲ καὶ κατασκόπων ὑπερβάλλων ἀριθμός·

Digitized by Google

ἱππεῖς δὲ, Ῥωμαίων καὶ Ἰταλῶν τὸ ἄνθος ὂν, ἑπτακισχίλιοι, γένεσι καὶ πλούτῳ καὶ φρονήμασι διαφέροντες. Τὴν δὲ πεζὴν, σύμμικτον οὖσαν, καὶ μελέτης δεομένην, ἐγύμναζεν ἐν Βεροίᾳ καθήμενος, οὐκ ἀργὸς, ἀλλ' ὥσπερ ἀκμάζοντι χρώμενος αὐτῷ πρὸς τὰ γυμνάσια. Μεγάλη γὰρ ἦν ῥοπὴ πρὸς τὸ θαρρεῖν τοῖς ὁρῶσι Πομπήϊον Μάγνον, ἑξήκοντα μὲν ἔτη δυεῖν λείποντα γεγενημένον, ἐν δὲ τοῖς ὅπλοις ἁμιλλώμενον πεζὸν, εἶτα ἱππότην αὖθις, ἑλκόμενόν τε τὸ ξίφος ἀπραγμόνως θέοντι τῷ ἵππῳ, καὶ κατακλείοντα πάλιν εὐχερῶς· ἐν δὲ τοῖς ἀκοντισμοῖς οὐ μόνον ἀκρίβειαν, ἀλλὰ καὶ ῥώμην ἐπιδεικνύμενον εἰς μῆκος, ὃ πολλοὶ τῶν νέων οὐχ ὑπερέβαλλον. Ἐπεφοίτων δὲ καὶ βασιλεῖς ἐθνῶν καὶ δυνάσται, καὶ τῶν ἀπὸ Ῥώμης ἡγεμονικῶν ἀριθμὸς ἦν ἐντελοῦς βουλῆς περὶ αὐτόν. Ἦλθε δὲ καὶ Λαβιηνὸς ἀπολιπὼν Καίσαρα, φίλος γεγονὼς, καὶ συνεστρατευμένος ἐν Γαλατίᾳ· καὶ Βροῦτος, υἱὸς ὢν Βρούτου τοῦ περὶ Γαλατίαν σφαγέντος, ἀνὴρ μεγαλόφρων, καὶ μηδέποτε Πομπήϊον προσειπὼν, μηδ' ἀσπασάμενος πρότερον, ὡς φονέα τοῦ πατρὸς, τότε δ', ὡς ἐλευθεροῦντι τὴν Ῥώμην, ὑπέταξεν ἑαυτόν. Κικέρων δὲ, καίπερ ἄλλα γεγραφὼς καὶ βεβουλευμένος, ὅμως κατηδέσθη μὴ γενέσθαι τοῦ προκινδυνεύοντος ἀριθμοῦ τῆς πατρίδος. Ἦλθε δὲ καὶ Τίδιος Σέξτιος, ἐσχατόγηρως ἀνὴρ, θάτερον πεπηρωμένος σκέλος, εἰς Μακεδονίαν· ὃν, τῶν ἄλλων γελώντων καὶ χλευαζόντων, ὁ Πομπήϊος ἰδὼν ἐξανέστη καὶ προσέδραμε, μέγα νομίζων μαρ-

Digitized by Google

ον εἶναι· καὶ τοὺς παρ' ἡλικίαν καὶ δύναμιν
υμένους τὸν μετ' αὐτοῦ κίνδυνον ἀντὶ τῆς ἀσφα-
.

LXV. Ἐπεὶ δὲ, βουλῆς γενομένης, καὶ γνώμην
ωνος εἰπόντος, ἐψηφίσαντο μηδένα Ῥωμαίων
παρατάξεως ἀναιρεῖν., μηδὲ διαρπάζειν πόλιν
ιοον Ῥωμαίοις, ἔτι μᾶλλον ἡ Πομπηΐου μέρις
τήθη· καὶ γὰρ οἷς μηδὲν ἦν πρᾶγμα τοῦ πολέ-
, πόρρω κατοικοῦσιν, ἢ δι' ἀσθένειαν ἀμελου-
ις, τῷ γε βούλεσθαι συγκατετίθεντο, καὶ τῷ
ῳ συνεμάχουν ὑπὲρ τῶν δικαίων, ἡγούμενοι θεοῖς
ι καὶ ἀνθρώποις ἐχθρὸν, ᾧ μὴ καθ' ἡδονὴν ἐστι
ν Πομπήϊον. Οὐ μὴν ἀλλὰ καὶ Καῖσαρ εὐγνώ-
κ παρεῖχεν ἑαυτὸν ἐν τῷ κρατεῖν· ὃς καὶ τὰς ἐν
ρίᾳ τοῦ Πομπηΐου δυνάμεις ἑλών, καὶ καταπο-
ήσας, ἀφῆκε τοὺς στρατηγοὺς, τοῖς δὲ στρατιώ-
ἐχρῆτο. Καὶ πάλιν ὑπερβαλὼν τὰς Ἄλπεις, καὶ
δραμὼν τὴν Ἰταλίαν, εἰς Βρεντέσιον ἦκεν, ἐν τρο-
ς ἤδη τοῦ χειμῶνος ὄντος· καὶ διαπεράσας τὸ πέ-
ος, αὐτὸς μὲν εἰς Ὧρικον παρενέβαλεν, Ἰούβιον
τὸν Πομπηΐου φίλον, αἰχμάλωτον ἔχων σὺν ἑαυ-
πρὸς Πομπήϊον ἀπέστειλε, προκαλούμενος, εἰς
υνελθόντας ἀμφοτέρους ἡμέρᾳ ῥητῇ πάντα δια-
αι τὰ στρατεύματα, καὶ γενομένους φίλους καὶ
σαντας, ἐπανελθεῖν εἰς Ἰταλίαν. Ταῦτα Πομ-
ος αὖθις ἐνέδραν ἡγεῖτο· καὶ καταβὰς ὀξέως ἐπὶ
λατταν, κατέλαβε χωρία καὶ τόπους, ἕδρας τε τοῖς
οῖς στρατοπέδοις ὑπεραλκεῖς ἔχοντας, καὶ ναύλο-

Digitized by Google

χα καὶ κατάρσεις ἐπιφόρους τοῖς ἐπιφοιτῶσι διὰ θαλάττης· ὥστε πάντα πνεῖν ἄνεμον Πομπηΐῳ, σῖτον, ἢ στρατιὰν, ἢ χρήματα κομίζοντα· Καίσαρα δὲ, δυσχωρίαις κατὰ γῆν ὁμοῦ καὶ κατὰ θάλατταν περιεχόμενον, ἐξ ἀνάγκης φιλομαχεῖν, καὶ προσβάλλοντα τοῖς ἐρύμασι, καὶ προκαλούμενον ἑκάστοτε, τὰ μὲν πλεῖστα νικᾷν καὶ κρατεῖν τοῖς ἀκροβολισμοῖς, ἅπαξ δὲ μικροῦ συντριβῆναι, καὶ τὴν στρατιὰν ἀποβαλεῖν, τοῦ Πομπηΐου λαμπρῶς ἀγωνισαμένου μέχρι τροπῆς ἁπάντων, καὶ φόνου δισχιλίων, βιάσασθαι δὲ καὶ συνεισπεσεῖν μὴ δυνηθέντος, ἢ φοβηθέντος· ὥστ' εἰπεῖν Καίσαρα πρὸς τοὺς φίλους, ὅτι „Σήμερον ἂν ἡ νίκη παρὰ τοῖς πολεμίοις ἦν, εἰ τὸν νικῶντα εἶχον."

LXVI. Ἐπὶ τούτῳ μέγα φρονήσαντες οἱ Πομπηΐου, διὰ μάχης ἔσπευδον κριθῆναι. Πομπήϊος δὲ τοῖς μὲν ἔξω βασιλεῦσι καὶ στρατηγοῖς καὶ πόλεσιν ὡς νενικηκὼς ἔγραφε, τὸν δὲ τῆς μάχης κίνδυνον ὠφρώδει, τῷ χρόνῳ καὶ ταῖς ἀπορίαις καταπολεμήσειν νομίζων ἄνδρας ἀμάχους μὲν ἐν τοῖς ὅπλοις, καὶ συνειθισμένους νικᾷν μετ' ἀλλήλων πολὺν ἤδη χρόνον· πρὸς δὲ τὴν ἄλλην στρατείαν, καὶ πλάνας, καὶ μεταβάσεις, καὶ τάφρων ὀρύξεις, καὶ τειχῶν οἰκοδομίας ἀπεγορεύοντας ὑπὸ γήρως, καὶ διὰ τοῦτο ταῖς χερσὶν ἐμπῦναι τάχιστα καὶ συμπλακῆναι σπεύδοντες. Οὐ μὴν ἀλλὰ πρότερον ἀμωσγέπως παρῆγε πείθων τοὺς περὶ αὐτὸν ἀτρεμεῖν ὁ Πομπήϊος· ἐπεὶ δὲ μετὰ τὴν μάχην ὁ Καῖσαρ ὑπὸ τῶν ἀπορίων ἀναστὰς ἐβάδιζε

Digitized by Google

Ἀθαμάνων εἰς Θετταλίαν, οὐκέτι καθεκτὸν ἦν τὸ
ὄνημα τῶν ἀνδρῶν, ἀλλὰ φεύγειν Καίσαρα βοῶν-
, οἱ μὲν ἀκολουθεῖν καὶ διώκειν ἐκέλευον, οἱ δὲ
βαίνειν εἰς Ἰταλίαν· οἱ δὲ θεράποντας εἰς Ῥώμην
φίλους ἔπεμπον, οἰκίας προκαταληψομένους ἐγ-
ἀγορᾶς, ὡς αὐτίκα μετιόντες ἀρχάς. Ἐθέλονται
πολλοὶ πρὸς Κορνηλίαν ἔπλεον εἰς Λέσβον, εὐαγ-
ιζόμενοι πέρας ἔχειν τὸν πόλεμον· ἐκεῖ γὰρ αὐ-
ν ὑπεξέπεμψεν ὁ Πομπήϊος. Ἀθροισθείσης δὲ βου-
, Ἀφράνιος μὲν ἀπεφαίνετο γνώμην, ἔχεσθαι τῆς
αλίας· ταύτην γὰρ εἶναι τοῦ πολέμου τὸ μέγι-
ον ἆθλον· προστιθέναι δὲ τοῖς κρατοῦσιν εὐθὺς
κελίαν, Σαρδῶνα, Κύρνον, Ἰβηρίαν, Γαλατίαν ἅπα-
ν· ἧς τε δὴ πλεῖστος ὁ λύγος Πομπηΐῳ, πατρίδος
εγούσης χεῖρας ἐγγύθεν, οὐ καλῶς ἔχειν περιορᾶν
οπηλακιζομένην, καὶ δουλεύουσαν οἰκέταις καὶ κό-
ξι τυράννων. Αὐτὸς δὲ Πομπήϊος οὔτε πρὸς δόξαν
εῖτο καλὸν αὐτῷ δευτέραν φυγὴν φεύγειν Καίσα-
, καὶ διώκεσθαι, τῆς τύχης διώκειν διδούσης, οὔτε
ιον ἐγκαταλιπεῖν Σκιπίωνα, καὶ τοὺς περὶ τὴν Ἑλ-
δα καὶ Θετταλίαν ἄνδρας ὑπατικοὺς, εὐθὺς ὑπὸ
αίσαρα γενησομένους μετὰ χρημάτων καὶ δυνάμεων
γάλων· τῆς δὲ Ῥώμης μάλιστα κήδεσθαι τὸν ἀπω-
ίτω πολεμοῦντα περὶ αὐτῆς, ὅπως ἀπαθὴς κακῶν
σα καὶ ἀνήκοος περιμένῃ τὸν κρατοῦντα,

LXVII. Ταῦτα ψηφισάμενος ἐδίωκε Καίσαρα,
άχης μὲν ἐγγωκὼς ἀπέχεσθαι, πολιορκεῖν δὲ καὶ
ρίβειν ταῖς ἀπορίαις, ἐγγύθεν ἐπακολουθῶν. Καὶ

Digitized by Google

γὰρ ἄλλως ταῦτα συμφέρειν ἡγεῖτο, καὶ λόγος τις εἰς αὐτὸν ἦκεν ἐν τοῖς ἵππεῦσι φερόμενος, ὡς χρὴ τάχιστα τρεψαμένους Καίσαρα, συγκαταλύειν κἀκεῖνον αὐτόν. Ἔνιοι δέ φασι, διὰ τοῦτο καὶ Κάτωνι πρὸς μηδὲν ἄξιον σπουδῆς χρήσασθαι Πομπήϊον· ἀλλὰ καὶ πορευόμενον ἐπὶ Καίσαρα, πρὸς θαλάσσῃ καταλιπεῖν ἐπὶ τῆς ἀποσκευῆς, φοβηθέντα, μὴ, Καίσαρος ἀναιρεθέντος, ἀναγκάσῃ κἀκεῖνον εὐθὺς ἀποθέσθαι τὴν ἀρχήν. Οὕτω δὲ παρακολουθῶν ἀτρέμα τοῖς πολεμίοις, ἐν αἰτίαις ἦν καὶ καταβοήσεσιν, ὡς οὐ Καίσαρα καταστρατηγῶν, ἀλλὰ τὴν πατρίδα καὶ τὴν βουλήν, ὅπως διὰ παντὸς ἄρχῃ, καὶ μηδέποτε παύσηται τοῖς ἀξιοῦσι τῆς οἰκουμένης ἄρχειν χρώμενος ὑπηρέταις καὶ δορυφόροις. Δομίτιος δ' αὐτὸν ἀεὶ ὁ Αἰνόβαρβος Ἀγαμέμνονα καλῶν, καὶ βασιλέα βασιλέων, ἐπίφθονον ἐποίει. Καὶ Φαώνιος οὐχ ἧττον ἦν ἀηδὴς τῶν παῤῥησιαζομένων ἀκαίρως, ἐν τῷ σκώπτειν, „Ἄνθρωποι," βοῶν, „οὐδὲ τῆτες ἔσται τῶν ἐν Τουσκλάνῳ σύκων μεταλαβεῖν;" Λεύκιος δ' Ἀφράνιος, ὁ τὰς ἐν Ἰβηρίᾳ δυνάμεις ἀποβαλὼν, ἐν αἰτίᾳ προδοσίας γεγονὼς, τότε δὲ τὸν Πομπήϊον ὁρῶν φυγομαχοῦντα, θαυμάζειν ἔλεγε τοὺς κατηγοροῦντας αὐτοῦ, πῶς πρὸς τὸν ἔμπορον τῶν ἐπαρχιῶν οὐ μάχονται προελθόντες. Ταῦτα καὶ τὰ τοιαῦτα πολλὰ λέγοντες, ἄνδρα δόξης ἧττονα καὶ τῆς πρὸς τοὺς φίλους αἰδοῦς τὸν Πομπήϊον ἐξεβιάσαντο καὶ συνεπεσπάσαντο ταῖς ἑαυτῶν ἐλπίσι καὶ ὁρμαῖς ἑπακολουθῆσαι, προέμενον τοὺς ἀρίστους λογισμούς· ὅπερ οὐδὲ πλοίου κυβερ-

Digitized by Google

, μήτιγε τοσούτων ἐθνῶν καὶ δυνάμεων αὐτο-
ορι στρατηγῷ παθεῖν ἦν προσῆκον. Ὁ δὲ τῶν
ἰατρῶν τοὺς μηδέποτε χαριζομένους ταῖς ἐπιθυ-
ς ἐπῄνει, αὐτὸς δὲ τῷ νοσοῦντι τῆς στρατι-
νέδωκε, δείσας ἐπὶ σωτηρίᾳ λυπηρὸς γενέσθαι.
γὰρ ἄν τις φήσειεν ὑγιαίνειν ἐκείνους τοὺς ἄν-
, ὧν οἱ μὲν ὑπατείας ἤδη καὶ στρατηγίας ἐν τῷ
ιτοπέδῳ περιιοστοῦντες ἐμνῶντο; Σπινθῆρι
καὶ Λομιτίῳ καὶ Σκιπίωνι περὶ τῆς Καίσαρος
ερωσύνης ἔριδες ἦσαν καὶ φιλονεικίαι καὶ δεξιώ-
; ὥσπερ αὐτοῖς Τιγράνου τοῦ Ἀρμενίου παρα-
κτοπεδεύοντος, ἢ τοῦ Ναβαταίων βασιλέως,
οὐ Καίσαρος ἐκείνου, καὶ τῆς δυνάμεως, ἣ
ας μὲν ἦρήκει πόλεις κατὰ κράτος, ἔθνη δὲ πλειο-
τριακοσίων ὑπῆκτο, Γερμανοῖς δὲ καὶ Γαλάταις
αχημένος ἀήττητος ὅσας οὐκ ἄν τις ἀριθμήσαι
ας, ἑκατὸν μυριάδας αἰχμαλώτων ἔλαβεν, ἑκα-
δὲ ἀπέκτεινε τρεψάμενος ἐκ παρατάξεως.

LXVIII. Ἀλλ' ὅμως ἐγκείμενοι καὶ θορυβοῦν-
ἐπεὶ κατέβησαν εἰς τὸ Φαρσάλιον πεδίον, ἠνάγ-
αν βουλὴν προθεῖναι τὸν Πομπήϊον, ἐν ᾗ Λα-
νὸς, ὁ τῶν ἱππέων ἄρχων, πρῶτος ἀναστὰς ὤμοσε
ἀναχωρήσειν ἐκ τῆς μάχης, εἰ μὴ τρέψαιτο τοὺς
εμίους· τὰ δ' αὐτὰ καὶ πάντες ὤμνυσαν. Τῆς
υκτὸς ἔδοξε κατὰ τοὺς ὕπνους Πομπήϊος, εἰς τὸ
τρον εἰσιόντος αὐτοῦ, κροτεῖν τὸν δῆμον, αὐ-
δὲ κοσμεῖν ἱερὸν Ἀφροδίτης νικηφόρου πολλοῖς
ὑροις. Καὶ τὰ μὲν ἐθάρρει, τὰ δ' ὑπέθραττ

Digitized by Google

τεν αὐτὸν ἡ ὄψις, δεδοικότα, μὴ τῷ γένει τῷ Καίσαρος εἰς Ἀφροδίτην ἀνήκοντι δόξα καὶ λαμπρότης ἀπ' αὐτοῦ γένηται· καὶ πανικοί τινες θόρυβοι διάττοντες ἐξανέστησαν αὐτόν. Ἐωθινῆς δὲ φυλακῆς, ὑπὲρ τοῦ Καίσαρος στρατοπέδου, πολλὴν ἡσυχίαν ἄγοντος, ἐξέλαμψε μέγα φῶς, ἐκ δὲ τούτου λαμπὰς ἀφθεῖσα φλογοειδὴς ἐπὶ τὸ Πομπηΐου κατέσκηψε· καὶ τοῦτ' ἰδεῖν φησι Καῖσαρ αὐτὸς, ἐπιὼν τὰς φυλακάς. Ἅμα δ' ἡμέρᾳ μέλλοντος αὐτοῦ πρὸς Σκοτοῦσσαν ἀναζευγνύειν, καὶ τὰς σκηνὰς τῶν στρατιωτῶν καθαιρούντων, καὶ προπεμπόντων ὑποζύγια καὶ θεράποντας, ἦκον οἱ σκοποὶ, φράζοντες ὅπλα πολλὰ καθορᾶν ἐν τῷ χάρακι τῶν πολεμίων διαφερόμενα, καὶ κίνησιν εἶναι καὶ θόρυβον ἀνδρῶν ἐπὶ μάχην ἐξιόντων. Μετὰ δὲ τούτους ἕτεροι παρῆσαν, εἰς τάξιν ἤδη καθίστασθαι τοὺς πρώτους λέγοντες. Ὁ μὲν οὖν Καῖσαρ, εἰπὼν, τὴν προσδοκωμένην ἦκειν ἡμέραν, ἐν ᾗ πρὸς ἄνδρας, οὐ πρὸς λιμὸν, οὐδὲ πενίαν μαχοῦνται, κατὰ τάχος πρὸ τῆς σκηνῆς ἐκέλευσε προθεῖναι τὸν φοινικοῦν χιτῶνα· τοῦτο γὰρ μάχης Ῥωμαίοις ἐστὶ σύμβολον. Οἱ δὲ στρατιῶται, θεασάμενοι, μετὰ βοῆς καὶ χαρᾶς τὰς σκηνὰς ἀφέντες, ἐφέροντο πρὸς τὰ ὅπλα. Καὶ τῶν ταξιαρχῶν ἀγόντων εἰς ἣν ἔδει τάξιν, ἕκαστος, ὥσπερ χορὸς, ἄνευ θορύβου μεμελετημένως εἰς τάξιν καὶ πρόσωπα καθίστατο.

LXIX. Πομπήϊος δὲ, τὸ μὲν δεξιὸν αὐτὸς ἔχων, ἔμελλεν ἀνθίστασθαι πρὸς Ἀντώνιον· ἐν δὲ τῷ μέσῳ

Digitized by Google

Σκιπίωνα τὸν πενθερὸν ἀντέταξε Καλβίνῳ Λευκίῳ ὁ δ' εὐώνυμον εἶχε μὲν Λεύκιος Δομίτιος, ἐρρώσθη δὲ τῷ πλήθει τῶν ἱππέων. Ἐνταῦθα γὰρ ὀλίγου δεῖν ἅπαντες ἐρρύησαν, ὡς Καίσαρα βιαιόμενοι, καὶ τὸ δέκατον τάγμα διακόψοντες, οὗ πλεῖστος ἦν λόγος ὡς μαχιμωτάτου, καὶ Καῖσαρ ἐν ἐκείνῳ τατόμενος εἰώθει μάχεσθαι. Κατιδὼν δὲ πεφραγμέον ἵππῳ τοσαύτῃ τῶν πολεμίων τὸ εὐώνυμον, καὶ ωβηθεὶς τὴν λαμπρότητα τοῦ ὁπλισμοῦ, μετεπέματο σπείρας ἓξ ἀπὸ τῶν ἐπιταγμάτων, καὶ κατέτησεν ὄπισθεν τοῦ δεκάτου, κελεύσας ἡσυχίαν ἄγειν, δήλους τοῖς πολεμίοις ὄντας· ὅταν δὲ προσελαύνωιν οἱ ἱππεῖς, διὰ τῶν προμάχων ἐκδραμόντας, μὴ ροέσθαι τοὺς ὑσσοὺς, ὥσπερ εἰώθασιν οἱ κράτιτοι, σπεύδοντες ἐπὶ τὰς ξιφουλκίας, ἀλλὰ παίειν ναι, συντιτρώσκοντας ὄμματα καὶ πρόσωπα τῶν πομίων· οὐ γὰρ μενεῖν τοὺς καλοὺς τούτους καὶ ἀνηροὺς πυῤῥιχιστὰς διὰ τὸν ὡραϊσμὸν, οὐδ' ἀντιλέψειν πρὸς τὸν σίδηρον ἐν ὀφθαλμοῖς γινόμενον, ἐν τούτοις μὲν οὖν ὁ Καῖσαρ ἦν. Ὁ δὲ Πομπήϊος φ' ἵππου τὴν παράταξιν ἐπισκοπῶν, ὡς ἑώρα τοὺς ἐν ἀντιπάλους μεθ' ἡσυχίας τὸν καιρὸν ἐν τάξει ροσμένοντας, τῆς δ' ὑφ' αὑτῷ στρατιᾶς τὸ πλεῖτον οὐκ ἀτρεμοῦν, ἀλλὰ κυμαῖνον ἀπειρίᾳ καὶ θουβούμενον, ἔδεισε, μὴ διασπασθῇ παντάτασιν ἐν ρχῇ τῆς μάχης· καὶ παράγγελμα τοῖς προτεταγμέοις ἔδωκεν, ἑστῶτας ἐν προβολῇ καὶ μένοντας ἀραότως, δέχεσθαι τοὺς πολεμίους. Ὁ δὲ Καῖσαρ αἰ-

Digitized by Google

τιᾶται τὸ στράτημα τοῦτο· τῶν τε γὰρ πληγῶν τὸν ἐξ ἐπιδρομῆς τόνον ἀμαυρῶσαι, καὶ τὴν μάλιστα τοὺς πολλοὺς ἐν τῷ συμφέρεσθαι τοῖς πολεμίοις πληροῦσαν ἐνθουσιασμοῦ καὶ φορᾶς ἀντεξόρμησιν, ἅμα κραυγῇ καὶ δρόμῳ τὸν θυμὸν αὔξουσαν, ἀφελόντα, πῆξαι καὶ καταψύξαι τοὺς ἄνδρας. Ἦσαν δ' οἱ μὲν μετὰ Καίσαρος δισχίλιοι πρὸς δισμυρίοις· οἱ δὲ μετὰ Πομπηΐου βραχεῖ πλείονες ἢ διπλάσιοι τούτων.

LXX. Ἤδη δὲ συνθήματος δεδομένου παρ' ἀμφοτέρων, καὶ τῆς σάλπιγγος ἀρχομένης ἐγκελεύεσθαι πρὸς τὴν σύστασιν, τῶν μὲν πολλῶν ἐσκοπεῖτο ἕκαστος τὸ καθ' αὑτόν, ὀλίγοι δὲ Ῥωμαίων, οἱ βέλτιστοι, καί τινες Ἑλλήνων, παρόντες ἔξω τῆς μάχης, ὡς ἐγγὺς ἦν τὸ δεινόν, ἐλογίζοντο τὴν πλεονεξίαν καὶ φιλονεικίαν, ὅπου φέρουσα τὴν ἡγεμονίαν ἐξέθηκεν. Ὅπλα γὰρ συγγενικά, καὶ τάξεις ἀδελφαί, καὶ κοινὰ σημεῖα, καὶ μιᾶς πολέως εὐανδρία τοσαύτη καὶ δύναμις, αὐτὴ πρὸς ἑαυτὴν συνέπιπτεν ἐπιδεικνυμένη τὴν ἀνθρωπίνην φύσιν, ὡς ἐν πάθει γενομένη τυφλόν ἐστι καὶ μανιῶδες. Ἦν μὲν γὰρ ἤδη καθ' ἡσυχίαν χρήζουσιν ἄρχειν καὶ ἀπολαύειν τῶν κατειργασμένων, τὸ πλεῖστον καὶ κράτιστον ἀρετῇ γῆς καὶ θαλάσσης ὑπήκοον· ἦν δ' ἔτι, τροπαίων καὶ θριάμβων ἔρωτι βουλομένους χαρίζεσθαι καὶ διψῶντας, ἐμπίπλασθαι Παρθικῶν πολέμων, ἢ Γερμανικῶν. Πολὺ δὲ καὶ Σκυθία λειπόμενον ἔργον, καὶ Ἰνδοί· καὶ πρόφασις οὐκ ἄδοξος ἐπὶ ταῦτα τῆς

ονεξίας, ἡμερῶσαι τὰ βαρβαρικά. Τίς δ' ἂν ἢ
ιθῶν ἵππος, ἢ τοξεύματα Πάρθων, ἢ πλοῦτος
ῶν ἐπέσχε μυριάδας ἑπτὰ Ῥωμαίων ἐν ὅπλοις
χομένας, Πομπηΐου καὶ Καίσαρος ἡγουμένων;
ὄνομα πολὺ πρότερον ἤκουσαν, ἢ τὸ Ῥωμαίων;
ως ἄμικτα καὶ ποικίλα καὶ θηριώδη φῦλα νι-
τες ἐπῆλθον. Τότε δ' ἀλλήλοις μαχόμενοι συνῆε-
, οὐθὲ τὴν δόξαν αὐτῶν, δι' ἣν τῆς πατρίδος
ίδουν, οἰκτείροντες, ἄχρι τῆς ἡμέρας ἐκείνης
ιήτων προσαγορευομένων. Ἡ μὲν γὰρ γενομένη
γένεια, καὶ τὰ Ἰουλίδας φίλτρα, καὶ γάμος ἐκεῖ-
εὐθὺς ἦν ἀπατηλὰ καὶ ὕποπτα κοινωνίας ἐπὶ
ᾳ συνισταμένης δημεύματα, φιλίας δ' ἀληθι-
οὐ μετέσχεν.

LXXI. Ὡς δ' οὖν τὸ Φαρσάλιον πεδίον ἀνδρῶν
ἵππων καὶ ὅπλων ἀνεπέπλητο, καὶ μάχης ἤρθη
ἀμφοτέρων σημεῖα, πρῶτος ἐκ τῆς Καίσαρος
αγγος ἐξέδραμε Γαΐυς Κρασσιανὸς ἀνδρῶν ἑκα-
εἴκοσι λοχαγῶν, μεγάλην ἀποδιδοὺς ὑπόσχεσιν
ρωρι. Πρῶτον γὰρ αὐτὸν ἐξιὼν τοῦ χάρακος
, καὶ προσαγορεύσας, ἤρετο, πῶς φρονοίη περὶ
μάχης. Ὁ δὲ, τὴν δεξιὰν προτείνας, ἀνεβόησε·
κήσεις λαμπρῶς, ὦ Καῖσαρ· ἐμὲ δ' ἢ ζῶντα τή-
ον, ἢ νεκρὸν ἐπαινέσεις." Τούτων τῶν λόγων
νημένος, ἐξώρμησε καὶ συνεπεσπάσατο πολλοὺς,
προσέβαλε κατὰ μέσους τοὺς πολεμίους. Γενο-
ου δὲ τοῦ ἀγῶνος εὐθὺς ἐν ξίφεσι, καὶ πολλῶν
ευομένων, βιαζόμενοι πρόσω καὶ διακόπτοντα

Digitized by Google

τοὺς πρώτους ὑποστάς τις ὠθεῖ διὰ τοῦ στόματος τὸ ξίφος, ὥστε τὴν αἰχμὴν περάσασαν ἀνασχεῖν κατὰ τὸ ἰνίον. Πεσόντος δὲ τοῦ Κρασσιανοῦ, κατὰ τοῦτο μὲν ἦν ἰσόρροπος ἡ μάχη· τὸ δὲ δεξιὸν ὁ Πομπήϊος οὐ ταχέως ἐπῆγεν, ἀλλὰ παπταίνων ἐπὶ θάτερα, καὶ τὸ τῶν ἱππέων ἀναμένων ἔργον ἐνδιέτριβεν. Ἤδη δ' ἐκεῖνοι τοὺς οὐλαμοὺς ἀνῆγον, ὡς κυκλωσόμενοι τὸν Καίσαρα, καὶ τοὺς προτεταγμένους ἱππεῖς, ὀλίγους ὄντας, ἐμβαλοῦντες εἰς τὴν φάλαγγα. Καίσαρος δὲ τὸ σημεῖον ἄραντος, οἱ μὲν ἱππεῖς ἐξανεχώρησαν, αἱ δ' ἐπιτεταγμέναι σπεῖραι πρὸς τὴν κύκλωσιν ἐκδραμοῦσαι, τρισχίλιοι ἄνδρες, ὑπαντιάζουσι τοὺς πολεμίους, καὶ παριστάμενοι καθ' ἵππον, ὡς ἐδιδάχθησαν, ὑψηλοῖς ἐχρῶντο τοῖς ὑσσοῖς, ἐφιέμενοι τῶν προσώπων. Οἱ δ', ἅτε μάχης πάσης ἄπειροι, τοιαύτην, δὲ μηδὲ προσδοκήσαντες, μηδὲ προμαθόντες, οὐκ ἐτόλμων, οὐδ' ἠνείχοντο τὰς πληγὰς ἐν ὄμμασι καὶ στόμασιν οὔσας, ἀλλ' ἀποστρεφόμενοι καὶ προϊσχόμενοι τῶν ὄψεων τὰς χεῖρας, ἀκλεῶς ἐτράποντο. Φευγόντων δὲ τούτων ἀμελήσαντες οἱ Καίσαρος, ἐχώρουν ἐπὶ τοὺς πεζούς, ἢ μάλιστα τῶν ἱππέων τὸ κέρας ἐφειλεμένον περιδρομὴν ἐδίδου καὶ κύκλωσιν. Ἅμα δὲ τούτων ἐκ πλαγίου προσπεσόντων, καὶ κατὰ στόμα τοῦ δεσμοῦ προσμίξαντος, οὐχ ὑπέμειναν, οὐδὲ συνέστησαν, ὁρῶντες ἐν ᾧ κυκλώσεσθαι τοὺς πολεμίους ἤλπιζον, αὐτοὺς τοῦτο πάσχοντας.

LXXII. Τραπομένων δὲ τούτων, ὡς καταῖδε τὸν

κονιορτὸν ὁ Πομπήϊος, καὶ τὸ περὶ τοὺς ἵππέας πάθος εἶκασεν, ᾧ μὲν ἐχρήσατο λογισμῷ χαλεπὸν εἰπεῖν, μάλιστα δ' ὅμοιος παράφρονι καὶ παραπλῆγι τὴν διάνοιαν, καὶ μηδ' ὅτι Μάγνος ἐστὶ Πομπήϊος ἐννοοῦντι, μηδένα προσειπὼν, ἀπῆει βάδην εἰς τὸν χάρακα, πάνυ τοῖς ἔπεσι πρέπων ἐκείνοις·

Ζεὺς δὲ πατὴρ Ἴλιόνδ' ὑψίζυγος ἐν φόβον ὦρσεν·
Στῆ δὲ ταφὼν, ὄπιθεν δὲ σάκος βάλεν ἑπταβόειον,
Τρέσσε δὲ παπτήνας ἀφ' ὁμίλου.

Τοιοῦτος εἰς τὴν σκηνὴν παρελθὼν, ἄφθογγος καθῆστο, μέχρις οὗ τοῖς φεύγουσι πολλοὶ διώκοντες συνέπιπτον· τότε δὲ φωνὴν μίαν ἀφεὶς ταύτην· „Οὐκοῦν καὶ ἐπὶ τὴν παρεμβολήν;“ ἄλλο δὲ μηδὲν εἰπὼν, ἀνεστάς. καὶ λαβὼν ἐσθῆτα τῇ παρούσῃ τύχῃ πρέπουσαν, ὑπεξῆλθεν. Ἔφυγε δὲ καὶ τὰ λοιπὰ τάγματα, καὶ φόνος ἐν τῷ στρατοπέδῳ πολὺς ἐγένετο σκηνοφυλάκων καὶ θεραπόντων· στρατιώτας δὲ μόνους ἑξακισχιλίους φησὶ πεσεῖν Ἀσίνιος Πολίων, μεμαχημένος ἐκείνην τὴν μάχην μετὰ Καίσαρος. Αἱροῦντες δὲ τὸ στρατόπεδον, ἐθεῶντο τὴν ἄνοιαν καὶ κουφότητα τῶν πολεμίων. Πᾶσα γὰρ σκηνὴ μυρσίναις κατέστεπτο, καὶ στρωμναῖς ἀνθιναῖς ἤσκητο, καὶ τραπέζαις ἐκπωμάτων μεσταῖς· καὶ κρατῆρες οἴνου προὔκειντο, καὶ παρασκευὴ καὶ κόσμος ἦν τεθυκότων καὶ πανηγυριζόντων μᾶλλον, ἢ πρὸς μάχην ἐξοπλιζομένων. Οὕτω ταῖς ἐλπίσι διεφθαρμένοι, καὶ γέμοντες ἀνοήτου θράσους, ἐπὶ τὸν πόλεμον ἐχώρουν.

Digitized by Google

LXXIII. Πομπήϊος δὲ, μικρὸν ἔξω τοῦ χάρακος προελθὼν, τὸν μὲν ἵππον ἀφῆκεν, ὀλίγων δὲ κομιδῇ περὶ αὐτὸν ὄντων, ὡς οὐδεὶς ἐδίωκεν, ἐπῆρε καθ' ἡσυχίαν, ἐν διαλογισμοῖς ὢν, οἵοις εἰκὸς λαμβάνειν ἄνθρωπον ἔτη τέτταρα καὶ τριάκοντα νικᾶν καὶ κρατεῖν ἁπάντων εἰθισμένον, ἥττης δὲ καὶ φυγῆς τότε πρῶτον ἐν γήρᾳ λαμβάνοντα πεῖραν· ἐννοούμενον δ', ἐξ ὅσων ἀγώνων καὶ πολεμων ηὐξημένην ἀποβαλὼν ὥρα μιᾷ δόξαν καὶ δύναμιν, ἢ πρὸ μικροῦ τοσούτοις ὅπλοις καὶ ἵπποις καὶ στόλοις δορυφορούμενος, ἀπέρχεται μικρὸς οὕτω γεγονὼς καὶ συνεσταλμένος, ὥστε λανθάνειν ζητοῦντας τοὺς πολεμίους. Παραμειψάμενος δὲ Λάρισσαν, ὡς ἦλθεν ἐπὶ τὰ Τέμπη. καταβαλὼν ἑαυτὸν ἐπὶ στόμα δεδιψηκὼς, ἔπινε τοῦ ποταμοῦ, καὶ πάλιν ἀναστὰς ἐβάδιζε διὰ τῶν Τεμπῶν, ἄχρις οὗ κατῆλθεν ἐπὶ τὴν θάλατταν. Ἐπεὶ δὲ τῆς νυκτὸς τὸ λοιπὸν ἀναπαυσάμενος ἐν καλυβίῳ τινὶ σαγηνέων, καὶ περὶ τὸν ὄρθρον ἐπιβὰς ποταμίου πλοίου, καὶ τῶν ἑπομένων τοὺς ἐλευθέρους ἀναλαβὼν, τοὺς δὲ θεράποντας ἀπιέναι πρὸς Καίσαρα κελεύσας, καὶ μὴ δεδιέναι· παρὰ γῆν κομιζόμενος, εἶδεν εὐμεγέθη φορτηγὸν ἀνάγεσθαι μέλλουσαν, ἧς ἐναυκλήρει Ἴταμβος ἀνὴρ, οὐ πάνυ Πομπηΐῳ συνήθης, γιγνώσκων δὲ τὴν ὄψιν αὐτοῦ· Πετίκιος ἐκαλεῖτο. Τοῦτο συνεβεβήκει τῆς παρωχημένης νυκτὸς ἰδεῖν κατὰ τοὺς ὕπνους Πομπήϊον, οὐχ ὃν ἑώρακε πολλάκις, ἀλλὰ ταπεινὸν καὶ κατηφῆ, προσδιαλεγόμενον αὐτῷ. Καὶ

Digitized by Google

ταῦτα τοῖς συμπλέουσιν ἐτύγχανε διηγούμενος, ὡς δὴ φιλεῖ περὶ πραγμάτων τηλικούτων λόγον ἔχειν ἀνθρώπους σχολὴν ἄγοντας. Ἐξαίφνης δέ τις τῶν ναυτῶν ἔφρασε κατιδών, ὅτι πλοῖον ποταμιον ἀπὸ τῆς γῆς ἐρίσσεται, καὶ καταστείουσι τινὲς ἄνθρωποι τὰ ἱμάτια, καὶ τὰς χεῖρας ὀρέγουσι πρὸς αὐτούς. Ἐπιστὰς οὖν ὁ Πετίκιος, εὐθὺς ἔγνω τὸν Πομπήϊον, οἷον ὄναρ εἶδε· καὶ πληξάμενος τὴν κεφαλὴν, ἐκέλευσε τοὺς καύτας τὸ ἐφόλκιον παραβαλεῖν, καὶ τὴν δεξιὰν ἐξέτεινε, καὶ προσεκάλει τὸν Πομπήϊον, ἤδη συμφρονῶν τῷ σχήματι τὴν τύχην καὶ μεταβολὴν τοῦ ἀνδρός. Ὅθεν οὔτε παράκλησιν ἀναμείνας, οὔτε λόγον, ἀλλ' ἀναλαβὼν ὅσους ἐκέλευσε μετ' αὐτοῦ (Λέντουλοι δ' ἦσαν ἀμφότεροι, καὶ Φαώνιος) ἀνήχθη· καὶ μικρὸν ὕστερον ἰδόντες ἀπὸ γῆς ἀμιλλώμενον Δηϊόταρον τὸν βασιλέα προσαναλαμβάνουσιν. Ἐπεὶ δὲ καιρὸς ἦν δείπνου, καὶ παρεσκεύασεν ὁ ναύκληρος ἐκ τῶν παρόντων, ἰδὼν ὁ Φαώνιος οἰκετῶν ἀπορίᾳ τὸν Πομπήϊον ἀρχόμενον αὐτὸν ὑποδύειν, προσέδραμε καὶ ὑπέλυσε καὶ συνήλειψε. Καὶ τὸ λοιπὸν ἐκ τούτου περιέπων καὶ θεραπεύων, ὅσα δεσπότας δοῦλοι, μέχρι νίψεως ποδῶν, καὶ δείπνου παρασκευῆς, διετέλεσεν· ὥστε τὴν ἐλευθεριότητα τῆς ὑπουργίας ἐκείνης θεασάμενον ἄν τινα καὶ τὸ ἀφελὲς καὶ ἄπλαστον, εἰπεῖν·

Φεῦ τοῖσι γενναίοισιν ὡς ἅπαν καλόν.

LXXIV. Οὕτω δὲ παραπλεύσας ἐπ' Ἀμφιπόλεως, ἐκεῖθεν εἰς Μιτυλήνην ἐπεραιοῦτο, βουλόμενος τὴν

Digitized by Google

Κορνηλίαν ἀναλαβεῖν καὶ τὸν υἱόν. Ἐπεὶ δὲ προσέσχε τῇ νήσῳ κατ' αἰγιαλόν, ἔπεμψεν εἰς πόλιν ἄγγελον, οὐχ ὡς ἡ Κορνηλία προυσδόκα, τοῖς πρὸς χάριν ἀπαγγελλομένοις καὶ γραφομένοις ἐλπίζουσα, τοῦ πολέμου κεκριμένου περὶ Δυρράχιον, ἔτι λοιπὸν ἔργον εἶναι Πομπηΐῳ τὴν Καίσαρος δίωξιν. Ἐν τούτοις οὖσαν αὐτὴν καταλαβὼν ὁ ἄγγελος, ἀσπάσασθαι μὲν οὐχ ὑπέμεινε, τὰ δὲ πλεῖστα καὶ μέγιστα τῶν κακῶν τοῖς δάκρυσι μᾶλλον, ἢ τῇ φωνῇ, φράσας, σπεύδειν ἐκέλευσεν, εἰ βούλεταί πως Πομπήϊον ἰδεῖν ἐπὶ νεὼς μιᾶς καὶ ἀλλοτρίας. Ἡ δ', ἀκούσασα, προήκατο μὲν αὐτὴν χαμᾶζε, καὶ πολὺν χρόνον ἔκφρων καὶ ἄναυδος ἔμεινε· μόλις δέ πως ἔμφρων γενομένη, καὶ συννοήσασα τὸν καιρὸν οὐκ ὄντα θρήνων καὶ δακρύων, ἐξέδραμε διὰ τῆς πόλεως ἐπὶ θάλατταν. Ἀπαντήσαντος δὲ τοῦ Πομπηΐου, καὶ δεξαμένου ταῖς ἀγκάλαις αὐτὴν ὑπερειπομένην καὶ περιπίπτουσαν. „Ὁρῶ σε (εἶπεν), ἄνερ, οὐ τῆς σῆς τύχης ἔργον, ἀλλὰ τῆς ἐμῆς, προσερρίμμενον ἐνὶ σκάφει, τὸν πρὸ τῶν Κορνηλίας γάμων πεντακοσίαις ναυσὶ ταύτην παραπλεύσαντα τὴν θάλασσαν. Τί μ' ἦλθες ἰδεῖν, καὶ οὐκ ἀπέλιπες τῷ βαρεῖ δαίμονι τὴν καὶ σὲ δυστυχίας ἀναπλήσασαν τοσαύτης; Ὡς εὐτυχὴς μὲν ἂν ἦμην γυνή, πρὸ τοῦ Πόπλιον ἐν Πάρθοις ἀκοῦσαι τὸν παρθένιον ἄνδρα κείμενον ἀποθανοῦσα· σώφρων δὲ, μετ' ἐκεῖνον, ὥσπερ ὥρμησα, τὸν ἐμαυτῆς προεμένη βίον· ἐσωζόμην δ' ἄρα καὶ Πομπηΐῳ Μάγνῳ συμφορὰ γενέσθαι."

Digitized by Google

LXXV. Ταῦτ' εἰπεῖν τὴν Κορνηλίαν λέγουσι· δὲ Πομπήϊον ἀποκρίνασθαι· „Μίαν ἄρα, Κορ-ε, τύχην ἤδεις τὴν ἀμείνονα, ἣ καὶ σὲ ἴσως ἀτησεν, ὅτι μοι χρόνον πλεῖονα τοῦ συνήθους μεινεν. Ἀλλὰ καὶ ταῦτα δεῖ φέρειν, γενομένους ώπους, καὶ τῆς τύχης ἔτι πειρατέον. Οὐ γὰρ πιστον ἐκ τούτων ἀναλαβεῖν ἐκεῖνα, τὸν ἐξ ἐκεί-ν τούτοις γενόμενον." Ἡ μὲν οὖν γυνὴ μετεπέμ-χρήματα καὶ θεράποντας ἐκ τῆς πόλεως· τῶν Λιτυληναίων τὸν Πομπήϊον ἀσπασαμένων, καὶ καλούντων εἰσελθεῖν εἰς τὴν πόλιν, οὐκ ἠθέ-ν, ἀλλὰ κἀκείνους ἐκέλευσε τῷ κρατοῦντι πεί-θαι καὶ θαῤῥεῖν· εὐγνώμονα γὰρ εἶναι Καίσαρα χρηστόν. Αὐτὸς δὲ, πρὸς Κράτιππον τραπό-ς τὸν φιλόσοφον (κατέβη γὰρ ἐκ τῆς πόλεως μενος αὐτὸν), ἐμέμψατο καὶ συνδιεπόρησε βρα-περὶ τῆς προνοίας, ὑποκατακλινομένου τοῦ Κρα-του, καὶ παράγοντος αὐτὸν ἐπὶ τὰς ἀμείνονας δας, ὅπως μὴ λυπηρὸς, μηδ' ἄκαιρος ἀντιλέ-εῖη. Ἐπεὶ τὸ μὲν ἐρέσθαι τὸν Πομπήϊον ἦν ῥ τῆς προνοίας, τὸν δ' ἀποφαίνεσθαι, ὅτι τοῖς γμασιν ἤδη μοναρχίας ἔδει διὰ τὴν κακοπολι-ν· ἐρέσθαι δέ· „Πῶς, ὦ Πομπήϊε, καὶ τίνι ιηρίῳ πεισθῶμεν, ὅτι βέλτιον ἂν σὺ τῇ τύχῃ σαρος ἐχρήσω κρατήσας;" Ἀλλὰ ταῦτα μὲν ἐατέον, ερ ἔχει τὰ τῶν θεῶν.

LXXVI. Ἀναλαβὼν δὲ τὴν γυναῖκα καὶ τοὺς νς, ἐκομίζετο, προσίσχων, ὅρμοις ἀναγκαίοις

Digitized by Google

ὕδωρ, ἢ ἀχορὰν, ἔχουσιν. Εἰς δὲ πόλιν εἰσῆλθε πρώτην Ἀττάλειαν τῆς Παμφυλίας. Ἐνταῦθα δ' αὐτῷ καὶ τριήρεις τινὲς ἀπήντησαν ἐκ Κιλικίας, καὶ στρατιῶται συνελέγοντο, καὶ τῶν συγκλητικῶν πάλιν ἐξήκοντα περὶ αὐτὸν ἦσαν. Ἀκούων δὲ καὶ τὸ ναυτικὸν ἔτι συνεστάναι, καὶ Κάτωνα πολλοὺς στρατιώτας ἀνειληφότα περαιοῦν εἰς Λιβύην, ὠδύρετο πρὸς τοὺς φίλους καταμεμφόμενος ἑαυτὸν ἐκβιασθέντα τῷ πεζῷ συμβαλεῖν, τῇ δὲ κρείττονι ἀδηρίτως δυνάμει πρὸς μηδὲν ἀποχρήσασθαι, μηδὲ περιορμίσαι τὸ ναυτικὸν, ὅπου κατὰ γῆν σφαλεὶς, εὐθὺς ἂν εἶχεν ἀντίπαλον ἐκ θαλάττης παρεστῶσαν ἀλκὴν καὶ δύναμιν τοσαύτην. Οὐδὲ γὰρ ἁμάρτημα Πομπηΐου μεῖζον, οὐδὲ δεινότερον στρατήγημα Καίσαρος, ἢ τὸ τὴν μάχην οὕτω μακρὰν ἀποσπάσασθαι τῆς ναυτικῆς βοηθείας. Οὐ μὴν ἀλλ', ἐκ τῶν παρόντων κινεῖν τι καὶ πράττειν ἀναγκαζόμενος, ἐπὶ τὰς πόλεις περιέπεμπε· τὰς δ' αὐτὸς περιπλέων ᾔτει χρήματα, καὶ ναῦς ἐπλήρου. Τὴν δ' ὀξύτητα τοῦ πολεμίου καὶ τὸ τάχος δεδοικὼς, μὴ προαναρπάσῃ τῆς παρασκευῆς αὐτὸν ἐπελθὼν, ἐσκόπει καταφυγὴν ἐπὶ τῷ παρόντι καὶ ἀναχώρησιν. Ἐπαρχία μὲν οὖν οὐδεμία φυλάξιμος ἐφαίνετο βουλευομένοις αὐτοῖς· τῶν δὲ βασιλειῶν αὐτὸς μὲν ἀπέφαινε τὴν Πάρθων ἱκανωτάτην οὖσαν ἔν τε τῷ παρόντι δέξασθαι καὶ περιβαλεῖν σφᾶς ἀσθενεῖς ὄντας, αὖθις τε ῥῶσαι καὶ προπέμψαι μετὰ πλείστης δυνάμεως· τῶν δ' ἄλλων οἱ μὲν εἰς Λιβύην καὶ Ἰόβαν ἔτρεπον τὴν γνώ-

Digitized by Google

· Θεοφάνει δὲ τῷ Λεσβίῳ μανικὸν ἐδόκει τριῶν
ρῶν πλοῦν ἀπέχουσαν Αἴγυπτον ἀπολιπόντας, καὶ
ολεμαῖον, ἡλικίαν μὲν ἀντίπαιδα, φιλίας δὲ καὶ
τος πατρῴας ὑπόχρεων, Πάρθοις ὑποβαλεῖν ἑαυ-
, ἀπιστοτάτῳ γένει· καὶ Ῥωμαίῳ μὲν ἀνδρὶ, κη-
ῃ γενομένῳ, τὰ δεύτερα λέγοντα, πρῶτον εἶναι
ἄλλων μὴ θέλειν, μηδὲ πειρᾶσθαι τῆς ἐκείνου,
ιότητος· Ἀρσάκην δὲ ποιεῖσθαι κύριον ἑαυτοῦ,
μηδὲ Κράσσου δυνηθέντα ζῶντος· καὶ γυναῖκα
, οἶκου τοῦ Σκιπίωνος, εἰς βαρβάρους κομίζειν
ει καὶ ἀκολασίᾳ τὴν ἐξουσίαν μετροῦντας. Ἢι,
μὴ πάθῃ, δόξῃ δὲ παθεῖν, δεινόν ἐστιν ἐπὶ τοῖς
ῆσαι δυναμένοις γενομένῃ. Τοῦτο μόνον, ὡς φα-
ἀπέτρεψε τῆς ἐπὶ τὸν Εὐφράτην ὁδοῦ Πομπή-
εἰ δή τις ἔτι Πομπηΐου λογισμός, ἀλλ' οὐχὶ
ων ἐκείνην ὑφηγεῖτο τὴν ὁδόν.

XXVII. Ὡς δ' οὖν ἐνίκα φεύγειν εἰς τὴν Αἴγυ-
ν, ἀναχθεὶς ἀπὸ Κύπρου Σελευκίδι τριήρει μετὰ
γυναικὸς (τῶν δ' ἄλλων οἱ μὲν ἐν μακραῖς ὁμοίως
σὶν, οἱ δ' ἐν ὁλκάσιν ἅμα συμπαρέπλεον), τὸ μὲν
αγος διεπέρασεν ἀσφαλῶς· πυθόμενος δὲ, τὸν
ολεμαῖον ἐν Πηλουσίῳ καθῆσθαι μετὰ στρατιᾶς,
εμοῦντα πρὸς τὴν ἀδελφὴν, ἐκεῖ κατέσχε, προ-
ψας τὸν φράσοντα τῷ βασιλεῖ καὶ δεησόμενον.
ιὲν οὖν Πτολεμαῖος ἦν κομιδῇ νέος· ὁ δὲ πάντα δι-
τὰ πράγματα Πόθεινὸς ἤθροισε βουλὴν τῶν δυ-
ωτάτων. Ἐδύναντο δὲ μέγιστον οὓς ἐκεῖνος ἐβού-
, καὶ λέγειν ἐκέλευσεν ἣν ἔχει γνώμην ἕκαστος.

Digitized by Google

Ἦν οὖν δεινὸν περὶ Πομπηΐου Μάγνου βουλεύεσθαι Ποθεινὸν τὸν εὐνοῦχον, καὶ Θεόδοτον τὸν Χῖον, ἐπὶ μισθῷ ῥητορικῶν λόγων διδάσκαλον ἀνειλημμένον, καὶ τὸν Αἰγύπτιον Ἀχιλλᾶν. Κορυφαιότατοι γὰρ ἦσαν ἐν κατευνασταῖς καὶ τιθηνοῖς τοῖς ἄλλοις οὗτοι σύμβουλοι. Καὶ τοιούτου δικαστηρίου ψῆφον Πομπήϊος ἐπ' ἀγκυρῶν πρόσω τῆς χώρας ἀποσαλεύων περιέμενεν, ὃν Καίσαρι σωτηρίας χάριν οὐκ ἦν ἄξιον ὀφείλειν. Τῶν μὲν οὖν ἄλλων τοσοῦτον αἱ γνῶμαι διέστησαν, ὅσον οἱ μὲν ἀπειλαύνειν ἐκέλευον, οἱ δὲ καλεῖν καὶ δέχεσθαι τὸν ἄνδρα· Θεόδοτος δὲ, δεινότητα λόγου καὶ ῥητορείαν ἐπιδεικνύμενος, οὐδέτερον ἀπέφηνεν ἀσφαλὲς, ἀλλὰ δεξαμένους μὲν, ἔξειν Καίσαρα πολέμιον, καὶ δεσπότην Πομπήϊον· ἀπωσαμένους δὲ, καὶ Πομπηΐῳ τῆς ἐκβολῆς ὑπαιτίους ἔσεσθαι, καὶ Καίσαρι τῆς διώξεως· κράτιστον οὖν εἶναι μεταπεμψαμένους ἀνελεῖν τὸν ἄνδρα· καὶ χάριν ἐκείνῳ χαριεῖσθαι, καὶ τοῦτον οὐ φοβήσεσθαι. Προσεπεῖπε δὲ διαμειδιάσας, ὡς φασιν, ὅτι „Νεκρὸς οὐ δάκνει."

LXXVIII. Ταῦτα κυρώσαντες, ἐπ' Ἀχιλλᾷ ποιοῦνται τὴν πρᾶξιν. Ὁ δὲ, Σεπτίμιόν τινα πάλαι γεγονότα Πομπηΐου ταξίαρχον παραλαβὼν, καὶ Σάλβιον ἕτερον ἑκατοντάρχην, καὶ τρεῖς, ἢ τέτταρας ὑπηρέτας, ἀνήχθη πρὸς τὴν Πομπηΐου ναῦν. Ἔτυχον δὲ πάντες εἰς αὐτὴν οἱ δοκιμώτατοι τῶν συμπλεόντων ἐμβεβηκότες, ὅπως εἰδεῖεν τὸ πραττόμενον. Ὡς οὖν εἶδον οὐ βασιλικὴν, οὐδὲ λαμ-

Digitized by Google

', οὐδὲ ταῖς Θεοφάνους ἐλπίσιν ὁμοίαν ὑποδο-
ἀλλ' ἐπὶ μιᾶς ἁλιάδος προσπλέοντας ὀλίγους
ώπους, ὑπεῖδοντο τὴν ὀλιγωρίαν· καὶ τῷ Πομ-
παρήνουν εἰς πέλαγος ἀνακρούεσθαι τὴν ναῦν,
ξω βέλους εἰσίν. Ἐν τούτῳ δὲ πελαζούσης τῆς
ὃος, φθάσας ὁ Σεπτίμιος ἐξανέστη, καὶ Ῥω-
τὶ τὸν Πομπήϊον αὐτοκράτορα προσηγόρευσεν.
Ἀχιλλᾶς, ἀσπασάμενος αὐτὸν Ἑλληνιστὶ, πα-
ει μετελθεῖν εἰς τὴν ἁλιάδα· τέναγος γὰρ εἶ-
τολύ, καὶ βάθος οὐκ ἔχειν πλοῖμον τριήρει τὴν
ττταν, ὑπόψαμμον οὖσαν. Ἅμα δὲ καὶ νῆές τι-
ωρῶντο τῶν βασιλικῶν πληρούμεναι, καὶ τὸν αἰ-
ν ὁπλῖται κατεῖχον· ὥστ' ἄφυκτα καὶ μετα-
ομένοις ἐφαίνετο, καὶ προσῆν τὸ διδόναι τοῖς
ὔσι τὴν ἀπιστίαν αὐτὴν τῆς ἀδικίας ἀπολογίαν.
ισάμενός σὺν τὴν Κορνηλίαν προαποθρηνοῦσαν
ὔ τὸ τέλος, καὶ δύο ἑκατοντάρχας προεμβῆναι
σας, καὶ τῶν ἀπελευθέρων ἕνα, Φίλιππον, καὶ
ποντα, Σκήνην ὄνομα, δεξιουμένων αὐτὸν ἤδη
τερὶ Ἀχιλλέων, ἐκ τῆς ἁλιάδος μεταστραφεὶς πρὸς
υναῖκα καὶ τὸν υἱὸν, εἶπε Σοφοκλέους ἰαμβεῖα·

Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται,
Κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ.

XXIX. Ταῦτα δ' ἔσχατα πρὸς τοὺς ἑαυτοῦ φθεγ-
ος ἐνέβη· καὶ συχνοῦ διαστήματος ὄντος ἐπὶ
ῆν ἀπὸ τῆς τριήρους, ὡς οὐδεὶς παρὰ τῶν συμ-
των ἐγίνετο λόγος φιλάνθρωπος πρὸς αὐτὸν,
λέψας εἰς τὸν Σεπτίμιον· „Οὐ δή που σ' (εἶπεν)

Digitized by Google

ἐγὼ γεγονότα συστρατιώτην ἐμὸν ἀμφιγνοῶ;" κἀκεῖνος ἐπένευσε τῇ κεφαλῇ μόνον, οὐδὲν προσειπών, οὐδὲ φιλοφρονηθείς. Πολλῆς οὖν πάλιν οὔσης σιωπῆς, ὁ Πομπήϊος ἔχων ἐν βιβλίῳ μικρῷ γεγραμμένον ὑπ' αὐτοῦ λόγον Ἑλληνικὸν, ᾧ παρεσκεύαστο χρῆσθαι πρὸς τὸν Πτολεμαῖον, ἀνεγίνωσκεν. Ὡς δὲ τῇ γῇ προσεπέλαζον, ἡ μὲν Κορνηλία μετὰ τῶν φίλων ἐκ τῆς τριήρους περιπαθὴς οὖσα τὸ μέλλον ἀπεσκοπεῖτο, καὶ θαῤῥεῖν ἤρχετο, πολλοὺς ὁρῶσα πρὸς τὴν ἀπόβασιν τῶν βασιλικῶν, οἷον ἐπὶ τιμῇ καὶ δεξιώσει, συνερχομένους. Ἐν τούτῳ δὲ τὸν Πομπήϊον, τῆς τοῦ Φιλίππου λαμβανόμενον χειρὸς, ὅπως ῥᾷον ἐξανασταίη, Σεπτίμιος ὄπισθεν τῷ ξίφει διελαύνει πρῶτος, εἶτα Σάλβιος μετ' ἐκεῖνον, εἶτ' Ἀχιλλᾶς, ἐσπάσαντο τὰς μαχαίρας. Ὁ δὲ, ταῖς χερσὶν ἀμφοτέραις τὴν τήβεννον ἐφελκυσάμενος κατὰ τοῦ προσώπου, μηδὲν εἰπὼν ἀνάξιον ἑαυτοῦ, μηδὲ ποιήσας, ἀλλὰ στενάξας μόνον, ἐνεκαρτέρησε ταῖς πληγαῖς· ἐξήκοντα μὲν ἐνὸς δέοντος βεβιωκὼς ἔτη, μιᾷ δ' ὕστερον ἡμέρᾳ τῆς γενεθλίου τελευτήσας τὸν βίον.

LXXX. Οἱ δ' ἀπὸ τῶν νεῶν, ὡς ἐθεάσαντο τὸν φόνον, οἰμωγὴν ἐξάκουστον ἀρχὴ τῆς γῆς ἐκχέαντες, ἔφυγον ἀράμενοι τὰς ἀγκύρας κατὰ τάχος. Καὶ πνεῦμα λαμπρὸν ἐβοήθει πελαγίοις ὑπεκθέουσιν· ὥστε βουλομένους διώκειν ἀποτραπέσθαι τοὺς Αἰγυπτίους. Τοῦ δὲ Πομπηΐου τὴν μὲν κεφαλὴν ἀποτέμνουσι, τὸ δ' ἄλλο σῶμα γυμνὸν ἐκβαλόντες ἀπὸ τῆς ἁλιάδος, τοῖς δεομένοις τοιούτου θεάματος ἀπ-

Digitized by Google

ν. Παρέμεινε δ' αὐτῷ Φίλιππος, ἕως ἐγένοντο
οὶ τῆς ὄψεως· εἶτα περιλούσας τῇ θαλάσσῃ τὸ
ι, καὶ χιτωνίῳ τινὶ τῶν ἑαυτοῦ περιστείλας, ἄλλο
δὲν ἔχων, ἀλλὰ περισκοπῶν τὸν αἰγιαλόν, εὗρε
ἂς ἁλιάδος λείψανα, παλαιὰ μὲν, ἀρκοῦντα δὲ
ῷ γυμνῷ, καὶ οὐδὲ ἄλῳ, πυρκαϊὰν ἀναγκαίαν
ισχεῖν. Ταῦτα συγκομίζοντος αὐτοῦ καὶ συντι-
ος, ἐπιστὰς ἀνὴρ Ῥωμαῖος ἤδη γέρων, τὰς δὲ
τας στρατείας ἔτι νέος Πομπηΐῳ συνεστρατευμέ-
„Τίς ὢν, ὦ ἄνθρωπε (ἔφη), θάπτειν διανοῇ;
νον Πομπήϊον;" Ἐκείνου δὲ φήσαντος, ὡς ἀπε-
ερος· „Ἀλλ' οὐ μόνῳ σοὶ (ἔφη) τοῦτο τὸ καλὸν
ξει· κἀμὲ δὲ ὥσπερ εὑρήματος εὐσεβοῦς δέξαι
ωνόν, ὡς μὴ κατὰ πάντα μέμφωμαι τὴν ἀποξέ-
ν, ἀντὶ πολλῶν ἀνιαρῶν τοῦτο γοῦν εὑράμενος,
σθαι καὶ περιστεῖλαι ταῖς ἐμαῖς χερσὶ τὸν μέγι-
αὐτοκράτορα Ῥωμαίων." Οὕτω μὲν ἐκηδεύετο
πήϊος. Τῇ δ' ὑστεραίᾳ Λεύκιος Λέντλος, οὐκ
ς τὰ πεπραγμένα, πλέων ἀπὸ Κύπρου καὶ παρὰ
κομιζόμενος, ὡς εἶδε νεκροῦ πυράν, καὶ παρ-
τα τὸν Φίλιππον, οὕπω καθορώμενος· „Τίς ἄρα
) τὸ πεπρωμένον ἐνταῦθα τελέσας ἀναπέπαυται;"
μικρὸν διαλιπὼν καὶ στενάξας· „Τάχα δὲ (εἶπε)
Πομπήϊε Μάγνε." Καὶ μετὰ μικρὸν ἀποβὰς,
συλληφθεὶς ἀπέθανε. Τοῦτο Πομπηΐου τέλος.
πολλῷ δ' ὕστερον Καῖσαρ, ἐλθὼν εἰς Αἴγυπτον
ο καταπεπληγμένην, τὸν μὲν προσφέροντα τὴν κε-
ὴν, ὡς παλαμναῖον, ἀπεστρέφη· τὴν δὲ σφρε-

Digitized by Google

γῖδα τοῦ Πομπηΐου δεξάμενος ἐδάκρυσεν· ἦν δὲ γλυφὴ λέων ξιφήρης. Ἀχιλλᾶν δὲ καὶ Ποθεινὸν ἀπέσφαξεν· αὐτὸς δὲ μάχῃ λειφθεὶς ὁ βασιλεὺς περὶ τὸν ποταμὸν ἠφανίσθη. Θεόδοτον δὲ τὸν σοφιστὴν ἡ μὲν ἐκ Καίσαρος δίκη παρῆλθε· φυγὼν γὰρ Αἴγυπτον, ἐπλανᾶτο ταπεινὰ πράττων καὶ μισούμενος· Βροῦτος δὲ Μάρκος, ὁ τὸν Καίσαρα κτείνας, ἐκράτησεν, ἐξευρὼν αὐτὸν ἐν Ἀσίᾳ, καὶ πᾶσαν αἰκίαν αἰκισάμενος ἀπέκτεινε. Τὰ δὲ λείψανα τοῦ Πομπηΐου Κορνηλία δεξαμένη κομισθέντα, παρὰ τὸ Ἄλβανὸν ἔθαψεν.

Digitized by Google

OMPARATIO AGESILAI CVM POMPEIO.

Ἐκκειμένων οὖν τῶν βίων, ἐπιδράμωμεν τῷ λόγῳ ρέως τὰ ποιοῦντα τὰς διαφορὰς, παράλληλα συν- ντες. Ἔστι δὲ ταῦτα· πρῶτον, ὅτι Πομπήϊος ἐκ δικαιοτάτου τρόπου παρῆλθεν εἰς δύναμιν καὶ ἰαν, αὐτὸς ὁρμηθεὶς ἀφ' ἑαυτοῦ, καὶ πολλὰ καὶ άλα Σύλλᾳ τὴν Ἰταλίαν ἀπὸ τῶν τυράννων ἐλευ- ροῦντι συγκατεργασάμενος· Ἀγησίλαος δὲ τὴν βα- ειαν ἔδοξε λάβειν, οὔτε τὰ πρὸς θεοὺς ἀμέμπτως, ε τὰ πρὸς ἀνθρώπους, κρίνας νοθαίας Λεωτυχί- , ὃν υἱὸν αὐτοῦ ἀπέδειξεν ὁ ἀδελφὸς γνήσιον, δὲ χρησμὸν κατειρωνευσάμενος τὸν περὶ τῆς χω- ητος. Δεύτερον, ὅτι Πομπήϊος Σύλλαν καὶ ζῶντα ὧν διετέλεσε, καὶ τεθνηκότος ἐκήδευσε, βιασά- ος Λέπιδον, τὸ σῶμα, καὶ τῷ παιδὶ Φαύστῳ τὴν τοῦ θυγατέρα συνῴκισεν. Ἀγησίλαος δὲ Λύσαν- ν ἐκ τῆς τυχούσης προφάσεως ὑπεξέῤῥιψε καὶ κα- βρισε. Καίτοι Σύλλας μὲν οὐκ ἐλαττόνων ἔτυχεν, Πομπηΐῳ παρέσχεν· Ἀγησίλαον δὲ Λύσανδρος καὶ

Digitized by Google

τῆς Σπάρτης βασιλέα, καὶ τῆς Ἑλλάδος στρατηγὸν ἐποίησε. Τρίτον δ', αἱ περὶ τὰ πολιτικὰ τῶν δικαίων παραβάσεις, Πομπηΐῳ μὲν δι' οἰκειότητας ἐγένοντο· τὰ γὰρ πλεῖστα Καίσαρι καὶ Σκιπίωνι συνεξήμαρτε, κηδεσταῖς οὖσιν· Ἀγησίλαος δὲ, Σφοδρίαν μὲν, ἐφ' οἷς Ἀθηναίους ἠδίκησεν ἀποθανεῖν ὀφείλοντα, τῷ τοῦ παιδὸς ἔρωτι χαριζόμενος ἐξήρπασε· Φοιβίδᾳ δὲ, Θηβαίους παρασπονδήσαντι, δῆλος ἦν δι' αὐτὸ τὸ ἀδίκημα προθύμως βοηθῶν. Καθόλου δ', ὅσα Ῥωμαίους δι' αἰδῶ Πομπηΐου, ἢ ἄγνοιαν, αἰτίαν ἔσχε βλάψαι, ταῦτα θυμῷ καὶ φιλονεικίᾳ Λακεδαιμονίους Ἀγησίλαος ἔβλαψε, τὸν Βοιώτιον ἐκκαύσας πόλεμον.

II. Εἰ δὲ καὶ τύχην τινὰ τῶν ἀνδρῶν ἑκατέρου τοῖς σφάλμασι προσοιστέον, ἀνέλπιστος μὲν ἡ Πομπηΐου Ῥωμαίοις· Ἀγησίλαος δὲ Λακεδαιμονίους ἀκούοντας καὶ προειδότας οὐκ εἴασε φυλάξασθαι τὴν χωλὴν βασιλείαν. Καὶ γὰρ εἰ μυριάκις ἠλέγχθη Λεωτυχίδης ἀλλότριος εἶναι καὶ νόθος, οὐκ ἂν ἠπόρησαν Εὐρυτιωντίδαι γνήσιον καὶ ἀρτίποδα τῇ Σπάρτῃ βασιλέα παρασχεῖν, εἰ μὴ δι' Ἀγησίλαον ἐπεσκότησε τῷ χρησμῷ Λύσανδρος. Οἷον μέντοι τῇ περὶ τῶν τρεσάντων ἀπορίᾳ προσήγαγεν ὁ Ἀγησίλαος ἆραι μετὰ τὴν ἐν Λεύκτροις ἀτυχίαν, κελεύσας τοὺς νόμους ἐκείνην τὴν ἡμέραν καθεύδειν, οὐ γέγονεν ἄλλο σόφισμα πολιτικὸν, οὐδ' ἔχομέν τι τοῦ Πομπηΐου παραπλήσιον· ἀλλὰ τοὐναντίον, οὐδ' οἷς αὐτὸς ἐτίθει νόμοις ᾤετο δεῖν ἐμμένειν, τὸ δύνασθαι μέγα τοῖς φίλοις

Digitized by Google

κνύμενος. Ὁ δ', εἰς ἀνάγκην καταστὰς τοῦ λῦ-
τοὺς νόμους ἐπὶ τῷ σῶσαι τοὺς πολίτας, ἐξεῦρε
ον, ᾧ μήθ' ἑκείνους βλάψουσι, μήτ', ὅπως οὐ
ωσι, λυθήσονται. Τίθεμαι δὲ κἀκεῖνο τὸ ἀμέ-
ν ἔργον εἰς πολιτικὴν ἀρετὴν τοῦ Ἀγησιλάου, τὸ,
μενον τὴν σκυτάλην, ἀπολιπεῖν τὰς ἐν Ἀσίᾳ πρά-

Οὐ γὰρ, ὡς Πομπήϊος, ἀφ' ὧν ἑαυτὸν ἐποίει
ν, ὠφέλει τὸ κοινὸν, ἀλλὰ τὸ τῆς πατρίδος σκο-
τηλικαύτην ἀφῆκε δύναμιν καὶ δόξαν, ἡλίκην
ὶς πρότερον, οὐδ' ὕστερον, πλὴν Ἀλέξανδρος,

II. Ἀπ' ἄλλης τοίνυν ἀρχῆς, ἐν ταῖς στρατηγίαις
οῖς πολεμικοῖς, ἀριθμῷ μὲν τροπαίων, καὶ με-
ι δυνάμεων, ἃς ἐκηγάγετο Πομπήϊος, καὶ πλή-
ταρατάξεων, ἃς ἐνίκησεν, οὐδ' ἂν ὁ Ξενοφῶν
οκεῖ παραβαλεῖν τὰς Ἀγησιλάου νίκας· ᾧ, διὰ
κ καλά, καθάπερ γέρας ἐξαίρετον, δέδοται καὶ
ειν ὃ βούλοιτο καὶ λέγειν περὶ τοῦ ἀνδρός. Οἷ-
ὲ καὶ τῇ πρὸς τοὺς πολεμίους ἐπιεικείᾳ διαφέ-
τὸν ἄνδρα τοῦ ἀνδρός. Ὁ μὲν γὰρ, ἀνδραποδί-
αι Θήβας καὶ Μεσσήνην ἐξοικίσασθαι βουλόμε-
ῆ μὲν, δμόκληρον τῆς πατρίδος, ἣν δὲ, μητρό-
τοῦ γένους, παρ' οὐδὲν ἦλθε τὴν Σπάρτην
αλεῖν· ἀπέβαλε δὲ τὴν ἡγεμονίαν. Ὁ δὲ καὶ τῶν
ιτῶν τοῖς μεταβαλομένοις πόλεις ἔδωκε, καὶ
άνην, τῶν Ἀρμενίων βασιλέα, γενόμενον ἐφ'
ᾧ θριαμβεῦσαι, σύμμαχον ἐποιήσατο, καὶ φή-
μέρας μιᾶς αἰῶνα προτιμᾶν. Εἰ μέντοι τοῖς με-

Digitized by Google

γίστοις καὶ κυριωτάτοις εἰς τὰ ὅπλα πράγμασι καὶ λογισμοῖς προστίθεται πρωτεῖον ἀρετὴ ἀνδρὸς ἡγεμόνος, οὐ μικρὸν ὁ Λάκων τὸν Ῥωμαῖον ἀπολέλοιπε. Πρῶτον μὲν γὰρ οὐ προήκατο τὴν πόλιν, οὐδ' ἐξέλιπεν, ἑπτὰ μυριάσι στρατοῦ τῶν πολεμίων ἐμβαλόντων, ὀλίγους ἔχων ὁπλίτας, καὶ προνενικημένους ἐν Λεύκτροις· Πομπήϊος δὲ, πεντακισχιλίοις μόνοις καὶ τριακοσίοις μίαν Καίσαρος πόλιν Ἰταλικὴν καταλαβόντος, ἐξέπεσε τῆς Ῥώμης ὑπὸ δέους, ἢ τοσούτους εἴξας ἀγεννῶς, ἢ πλείονας ψευδῶς εἰκάσας· καὶ συσκευασάμενος τὰ τέκνα καὶ τὴν γυναῖκα αὐτοῦ, τὰς δὲ τῶν ἄλλων πολιτῶν ἐρήμους ἀπολιπὼν, ἔφυγε· δέον ἢ κρατεῖν μαχόμενον ὑπὲρ τῆς πατρίδος, ἢ δέχεσθαι διαλύσεις παρὰ τοῦ κρείττονος· ἦν γὰρ πολίτης καὶ οἰκεῖος. Νῦν δ' ᾧ στρατηγίας χρόνον ἐπιμετρῆσαι καὶ ὑπατείαν ψηφίσασθαι δεινὸν ἡγεῖτο, τούτῳ παρέσχε λαβόντι τὴν πόλιν εἰπεῖν πρὸς Μέτελλον, ὅτι κἀκεῖνον αἰχμάλωτον αὐτοῦ νομίζει, καὶ τοὺς ἄλλους ἅπαντας.

IV. Ὁ τοίνυν ἔργον ἐστὶν ἀγαθοῦ στρατηγοῦ μάλιστα, κρείττονα μὲν ὄντα, βιάσασθαι τοὺς πολεμίους μάχεσθαι, λειπόμενον δὲ δυνάμει, μὴ βιασθῆναι, τοῦτο ποιῶν Ἀγησίλαος, ἀεὶ διεφύλαξεν ἑαυτὸν ἀνίκητον. Πομπήϊον δὲ Καῖσαρ, οὗ μὲν ἦν ἐλάττων, διέφυγε μὴ βλαβῆναι· καθὸ δὲ κρείττων ἦν, ἠνάγκασεν ἀγωνισάμενον τῷ πεζῷ περὶ πάντων σφαλῆναι, καὶ κύριος εὐθὺς ἦν χρημάτων καὶ ἀγορᾶς καὶ θαλάττης, ἀφ' ὧν διεπέπρακτ' ἂν ἄνευ μάχης, ἐκείνους

Digitized by Google

ροσόντων. Τὸ δ' ὑπὲρ τούτων ἀπολόγημα μέγιστόν ἐστιν ἔγκλημα στρατηγοῦ τηλικούτου. Νέον γὰρ ἄρχοντα θορύβοις καὶ καταβοήσεσιν εἰς αλακίαν καὶ δειλίαν ἐπιταραχθέντα, τῶν ἀσφαεστάτων ἐκπεσεῖν λογισμῶν εἰκός ἐστι καὶ συγγνωτόν. Πομπήϊον δὲ Μάγνον, οὗ Ῥωμαῖοι τὸ μὲν τρατόπεδον πατρίδα, σύγκλητον δὲ τὴν σκηνὴν, ἀποτάτας δὲ καὶ προδότας τοὺς ἐν Ῥώμῃ πολιτευομένους καὶ στρατηγοῦντας καὶ ὑπατεύοντας ἐκάλουν, ἄρόμενον δ' ὑπ' οὐδενὸς ἔγνωσαν, πάσας δ' αὐτοκράορα στρατευσάμενον ἄριστα τὰς στρατείας, τίς ἀνάχοιτο τοῖς Φαωνίου σκώμμασι καὶ Δομιτίου, καὶ να μὴ Ἀγαμέμνων λέγηται, παρ' ἐλάχιστον ἐκβιαθέντα τὸν περὶ τῆς ἡγεμονίας καὶ ἐλευθερίας ἀναρίψαι κίνδυνον; ὃς εἰ μόνον ἐσκόπει τὸ παρ' ἡμέραν δοξον, ὤφειλεν ἀντιστὰς ἐν ἀρχῇ διαγωνίσασθαι περὶ τῆς Ῥώμης, ἀλλὰ μὴ, τὴν φυγὴν ἐκείνην ἀποαίνων στρατήγημα Θεμιστόκλειον, ὕστερον ἐν αἰχρῷ τίθεσθαι τὴν ἐν Θετταλίᾳ πρὸ μάχης διατριβήν. Οὐ γὰρ ἐκεῖνό γε στάδιον αὐτοῖς καὶ θέατρον ναγωνίσασθαι περὶ τῆς ἡγεμονίας ὁ θεὸς ἀπέδειξε ὁ Φαρσάλιον πεδίον, οὐδ' ὑπὸ κήρυκος ἐκαλεῖτο ιάχεσθαι κατιὼν, ἢ λιπεῖν ἑτέρῳ τὸν στέφανον· ἀλλὰ πολλὰ μὲν πεδία, μυρίας δὲ πόλεις καὶ γῆν ἄπλεον ἡ κατὰ θάλατταν εὐπορία παρεῖχε, βουλομένῳ ιμεῖσθαι Μάξιμον, καὶ Μάριον, καὶ Λεύκουλλον, αὶ αὐτὸν Ἀγησίλαον· ὃς οὐκ ἐλάττονας μὲν ἐν Σπάρῃ θορύβους ὑπέμεινε, βουλομένων Θηβαίων ὑπὲρ

Digitized by Google

τῆς χώρας μάχεσθαι, πολλὰς δ' ἐν Αἰγύπτῳ διαβολὰς καὶ κατηγορίας καὶ ὑπονοίας τοῦ βασιλέως ἤνεγκεν, ἡσυχίαν ἄγειν κελεύων· χρησάμενος δὲ τοῖς ἀρίστοις, ὡς ἐβούλετο, λογισμοῖς, οὐ μόνον Αἰγυπτίους ἄκοντας ἔσωσεν, οὐδὲ τὴν Σπάρτην ἐν τοσούτῳ σεισμῷ μόνον ὀρθὴν ἀεὶ διεφύλαξεν, ἀλλὰ καὶ τρόπαιον ἔστησε κατὰ Θηβαίων ἐν τῇ πόλει, τὸ νικῆσαι παρασχὼν αὖθις, ἐκ τοῦ τότε μὴ προαπολέσθαι βιασαμένους. Ὅθεν Ἀγησίλαος μὲν ὑπὸ τῶν βιασθέντων ὕστερον ἐπῃνεῖτο σωθέντων· Πομπήϊος δὲ, δι' ἄλλους ἁμαρτὼν, αὐτοὺς, οἷς ἐπείσθη, κατηγόρους εἶχε. Καίτοι φασί τινες, ὡς ὑπὸ τοῦ πενθεροῦ Σκιπίωνος ἐξηπατήθη· τὰ γὰρ πλεῖστα τῶν χρημάτων, ὧν ἐκόμιζεν ἐξ Ἀσίας, βουλόμενον αὐτὸν νοσφίσασθαι, καὶ ἀποκρύψαντα, κατεπεῖξαι τὴν μάχην, ὡς οὐκ ἔτι χρημάτων ὄντων. Ὃ κἂν ἀληθὲς ᾖ, οὐκ ὤφειλε παθεῖν ὁ στρατηγὸς, οὐδὲ ῥᾳδίως οὕτω παραλογισθεὶς ἀποκινδυνεῦσαι περὶ τῶν μεγίστων. Ἐν μὲν οὖν τούτοις οὕτως ἑκάτερον ἀποθεωροῦμεν.

V. Εἰς Αἴγυπτον δ' ὁ μὲν ἐξ ἀνάγκης ἔπλευσε φεύγων, ὁ δ' οὔτε καλῶς, οὔτ' ἀναγκαίως, ἐπὶ χρήμασιν, ὅπως ἔχοι τοῖς Ἕλλησι πολεμεῖν, ἀφ' ὧν τοὺς βαρβάροις ἐστρατήγησεν. Εἶτα ἃ διὰ Πομπήϊον Αἰγυπτίοις ἐγκαλοῦμεν, ταῦτ' Αἰγύπτιοι κατηγοροῦσιν Ἀγησιλάου. Ὁ μὲν γὰρ ἠδικήθη πιστεύσας· ὁ δὲ πιστευθεὶς ἐγκατέλιπε, καὶ μετέστη πρὸς τοὺς πολεμοῦντας, οἷς ἔπλευσε συμμαχήσων.

Digitized by Google

ΑΛΕΞΑΝΔΡΟΣ.

ν Ἀλεξάνδρου τοῦ βασιλέως βίον, καὶ τοῦ Καί-
ος, ὑφ' οὗ καθελύθη Πομπήϊος, ἐν τούτῳ τῷ
ίῳ γράφοντες, διὰ τὸ πλῆθος τῶν ὑποκειμένων
ξεων, οὐδὲν ἄλλο προεροῦμεν, ἢ παραιτησόμεθα
: ἀναγινώσκοντας, εαν μὴ πάντα, μηδὲ καθ'
ιτον ἐπεξειργασμένως τι τῶν περιβοήτων ἀπαγγέλ-
εν, ἀλλ' ἐπιτέμνοντες τὰ πλεῖστα, μὴ συκοφαν-

Οὔτε γὰρ ἱστορίας γράφομεν, ἀλλὰ βίους,
ταῖς ἐπιφανεστάταις πράξεσι πάντως ἔνεστι δή-
ς ἀρετῆς, ἢ κακίας, ἀλλὰ πρᾶγμα βραχὺ πολ-
ς καὶ ῥῆμα, καὶ παιδιά τις, ἔμφασιν ἤθους
ησε μᾶλλον, ἢ μάχαι μυριόνεκροι, καὶ παρα-
ις αἱ μέγισται, καὶ πολιορκίαι πόλεων. Ὥσπερ
οἱ ζωγράφοι τὰς ὁμοιότητας ἀπὸ τοῦ προσώ-
καὶ τῶν περὶ τὴν ὄψιν εἰδῶν, οἷς ἐμφαίνεται
θος, ἀναλαμβάνουσιν, ἐλάχιστα τῶν λοιπῶν
ν φροντίζοντες· οὕτως ἡμῖν δοτέον εἰς τὰ τῆς
ίς σημεῖα μᾶλλον ἐνδύεσθαι, καὶ διὰ τούτων
τοιεῖν τὸν ἑκάστου βίον, ἐάσαντας ἑτέροις τὰ
θη καὶ τοὺς ἀγῶνας.

Digitized by Google

II. Ἀλέξανδρος ὅτι τῷ γένει πρὸς πατρὸς μὲν ἦν Ἡρακλείδης ἀπὸ Καράνου, πρὸς δὲ μητρὸς Αἰακίδης ἀπὸ Νεοπτολέμου, τῶν πάνυ πεπιστευμένων ἐστί. Λέγεται δὲ Φίλιππος, ἐν Σαμοθράκῃ τῇ Ὀλυμπιάδι συμμυηθεὶς, αὐτός τε μειράκιον ὢν ἔτι, κἀκείνης παιδὸς, ὀρφανῆς γονέων, ἐρασθῆναι, καὶ τὸν γάμον οὕτως ἁρμόσαι, πείσας τὸν ἀδελφὸν αὐτῆς, Ἀρύμβαν. Ἡ μὲν οὖν νύμφη, πρὸ τῆς νυκτὸς, ἧ συνείρχθησαν εἰς τὸν θάλαμον, ἔδοξε βροντῆς γενομένης, ἐμπεσεῖν αὐτῆς τῇ γαστρὶ κεραυνόν· ἐκ δὲ τῆς πληγῆς, πολὺ πῦρ ἀναφθὲν, εἶτα ῥηγνύμενον εἰς φλόγας πάντη φερομένας, διαλυθῆναι. Ὁ δὲ Φίλιππος ὑστέρῳ χρόνῳ μετὰ τὸν γάμον εἶδεν ὄναρ αὐτὸν ἐπιβάλλοντα σφραγῖδα τῇ γαστρὶ τῆς γυναικός· ἡ δὲ γλυφὴ τῆς σφραγῖδος, ὡς ᾤετο, λέοντος εἶχεν εἰκόνα. Τῶν δ' ἄλλων μάντεων ὑφορωμένων τὴν ὄψιν, ὡς ἀκριβεστέρας φυλακῆς; δεομένῳ τῷ Φιλίππῳ τῶν περὶ τὸν γάμον, Ἀρίσταν δρος ὁ Τελμισσεὺς κύειν ἔφη τὴν ἄνθρωπον, (οὐδὲν γὰρ ἀποσφραγίζεσθαι τῶν κενῶν,) καὶ κύειν παῖδα θυμοειδῆ καὶ λεοντώδη τὴν φύσιν. Ὤφθη δέ ποτε καὶ δράκων κοιμωμένης τῆς Ὀλυμπιάδος παρεκτεταμένος τῷ σώματι. Καὶ τοῦτο μάλιστα τοῦ Φιλίππου τὸν ἔρωτα καὶ τὰς φιλοφροσύνας ἀμαυροῦσαι λέγουσιν, ὡς μηδὲ φοιτᾶν ἔτι πολλάκις παρ' αὐτὴν ἀναπαυσόμενον· εἴτε δείσαντα τινὰς μαγείας ἐπ' αὐτῷ καὶ φάρμακα τῆς γυναικὸς, εἴτε τὴν ὁμιλίαν, ὡς κρείττονι συνούσης, ἀφοσιούμενον. Ἔτι-

Digitized by Google

ος δὲ περὶ τούτων ἐστὶ λόγος, ὡς πᾶσαι μὲν αἱ
ηδε γυναῖκες ἔνοχοι τοῖς Ὀρφικοῖς οὖσαι καὶ τοῖς
περὶ τὸν Διόνυσον ὀργιασμοῖς ἐκ τοῦ πάνυ παλαιοῦ,
Κλώδωνές τε καὶ Μιμαλλόνες ἐπωνυμίαν ἔχουσαι.
τολλὰ ταῖς Ἠδωνίσι καὶ ταῖς περὶ τὸν Αἷμον θρῄσ-
σαις ὅμοια δρῶσιν· ἀφ' ὧν δοκεῖ καὶ τὸ θρησκεύ-
ειν ὄνομα ταῖς κατακόροις γενέσθαι καὶ περιέργοις
ερουργίαις· ἡ δ' Ὀλυμπιὰς, μᾶλλον ἑτέρων ζη-
ώσασα τὰς κατοχὰς, καὶ τοὺς ἐνθουσιασμοὺς ἐξά-
ουσα βαρβαρικώτερον, ὄφεις μεγάλους χειροήθεις
φείλκετο τοῖς θιάσοις, οἳ πολλάκις ἐκ τοῦ κιττοῦ
καὶ τῶν μυστικῶν λίκνων παραναδυόμενοι, καὶ πε-
ιελιττόμενοι τοῖς θύρσοις τῶν γυναικῶν καὶ τοῖς
στεφάνοις, ἐξέπληττον τοὺς ἄνδρας.

III. Οὐ μὴν ἀλλὰ Φιλίππῳ μὲν μετὰ τὸ φάσμα
τέμψαντι Χαίρωνα τὸν Μεγαλοπολίτην εἰς Δελφοὺς,
χρησμὸν κομισθῆναι λέγουσι παρὰ τοῦ θεοῦ, κε-
λεύοντος Ἄμμωνι θύειν καὶ σέβεσθαι μάλιστα τοῦ-
τον τὸν θεόν· ἀποβαλεῖν δὲ τῶν ὄψεων αὐτὸν τὴν
ἑτέραν, ἣν τῷ τῆς θύρας ἐρμῷ προσβαλὼν, κατώ-
πτευσεν ἐν μορφῇ δράκοντος συνευναζόμενον τῇ γυ-
ναικὶ τὸν θεόν. Ἡ δ' Ὀλυμπιὰς, ὡς Ἐρατοσθένης
φησὶ, προπέμπουσα τὸν Ἀλέξανδρον ἐπὶ τὴν στρα-
τείαν, καὶ φράσασα μόνῳ τὸ περὶ τὴν τέκνωσιν ἀπόῤ-
ῥητον, ἐκέλευεν ἄξια φρονεῖν τῆς γενέσεως. Ἕτεροι
δέ φασιν αὐτὴν ἀφοσιοῦσθαι καὶ λέγειν· „Οὐ παύ-
σεταί με διαβάλλων Ἀλέξανδρος πρὸς τὴν Ἥραν;“
Ἐγεννήθη δ' οὖν Ἀλέξανδρος ἱσταμένου μηνὸς Ἑκα-

Digitized by Google

τομβαιῶνος, ὃν Μακεδόνες Λῶον καλοῦσιν, ἕκτῃ, καθ' ἣν ἡμέραν ὁ τῆς Ἐφεσίας Ἀρτέμιδος ἐνεπρήσθη νεώς· ᾧ Ἡγησίας ὁ Μάγνης ἐπιπεφώνηκεν ἐπιφώνημα, κατασβέσαι τὴν πυρκαϊὰν ἐκείνην ὑπὸ ψυχρίας δυνάμενον· εἰκότως γὰρ ἔφη καταφλεχθῆναι τὸν νεὼν, τῆς Ἀρτέμιδος ἀσχολουμένης περὶ τὴν Ἀλεξάνδρου μαίωσιν. Ὅσοι δὲ τῶν μάγων ἐν Ἐφέσῳ διατρίβοντες ἔτυχον, τὸ περὶ τὸν νεὼν πάθος ἡγούμενοι πάθους ἑτέρου σημεῖον εἶναι, διέθεον τὰ πρόσωπα τυπτόμενα, καὶ βοῶντες, ἄτην ἅμα καὶ συμφορὰν μεγάλην τῇ Ἀσίᾳ τὴν ἡμέραν ἐκείνην τετοκέναι. Φιλίππῳ δ', ἄρτι Ποτίδαιαν ἑλόντι, τρεῖς ἦλθον ἀγγελίαι κατὰ τὸν αὐτὸν χρόνον· ἡ μὲν, Ἰλλυριοὺς ἡττῆσθαι μάχῃ μεγάλῃ διὰ Παρμενίωνος· ἡ δ', Ὀλυμπιάσιν ἵππῳ κέλητι νενικηκέναι· τρίτη δὲ, περὶ τῆς Ἀλεξάνδρου γενέσεως. Ἐφ' οἷς ἡδόμενον, ὡς εἰκός, ἔτι μᾶλλον οἱ μάντεις ἐπῆραν, ἀποφαινόμενοι τὸν παῖδα, τρισὶ νίκαις συγγεγεννημένον, ἀνίκητον ἔσεσθαι.

IV. Τὴν μὲν οὖν ἰδέαν τοῦ σώματος οἱ Λυσίππειοι μάλιστα τῶν ἀνδριάντων ἐμφαίνουσιν, ὑφ' οὗ μόνου καὶ αὐτὸς ἠξίου πλάττεσθαι. Καὶ γὰρ ἃ μάλιστα πολλοὶ τῶν διαδόχων ὕστερον καὶ τῶν φίλων ἀπεμιμοῦντο, τήν τ' ἀνάτασιν τοῦ αὐχένος εἰς εὐώνυμον ἠσυχῇ κεκλιμένου, καὶ τὴν ὑγρότητα τῶν ὀμμάτων, διατετήρηκεν ἀκριβῶς ὁ τεχνίτης. Ἀπελλῆς δέ, γράφων τὸν κεραυνοφόρον, οὐκ ἐμιμήσατο τὴν χρόαν, ἀλλὰ φαιότερον καὶ πεπινωμένον ἐποίησεν.

Digitized by Google

δὲ λευκὸς, ὥς φασιν· ἡ δὲ λευκότης ἐπεφοίνισ-
αὐτοῦ περὶ τὸ στῆθος μάλιστα καὶ τὸ πρόσω-
. Ὅτι δὲ τοῦ χρωτὸς ἥδιστον ἀπέπνει, καὶ τὸ
μα κατεῖχεν εὐωδία καὶ τὴν σάρκα πᾶσαν, ὥστε
ροῦσθαι τοὺς χιτωνίσκους, ἀνέγνωμεν ἐν ὑπο-
μασιν Ἀριστοξενείοις. Αἰτία δ' ἴσως ἡ τοῦ σώ-
ος κρᾶσις, πολύθερμος οὖσα καὶ πυρώδης· ἡ
εὐωδία γίνεται πέψει τῶν ὑγρῶν ὑπὸ θερμότη-
ὡς οἴεται Θεόφραστος. Ὅθεν οἱ ξηροὶ καὶ διά-
οι τόποι τῆς οἰκουμένης τὰ πλεῖστα καὶ κάλλι-
τῶν ἀρωμάτων φέρουσιν· ἐξαιρεῖ γὰρ ὁ ἥλιος
ὑγρὸν, ὥσπερ ὕλην σηπεδόνος, ἐπιπολάζον τοῖς
ασιν. Ἀλέξανδρον δ' ἡ θερμότης τοῦ σώματος,
ίοικε, καὶ ποτικὸν καὶ θυμοειδῆ παρεῖχεν. Ἔτι
ντος αὐτοῦ παιδὸς, ἥ τε σωφροσύνη διεφαίνετο
πρὸς τἄλλα ῥαγδαῖον ὄντα καὶ φερόμενον σφο-
ς, ἐν ταῖς ἡδοναῖς ταῖς περὶ τὸ σῶμα δυσκίνη-
εἶναι, καὶ μετὰ πολλῆς πρᾳότητος ἅπτεσθαι
τοιούτων· ἥ τε φιλοτιμία παρ' ἡλικίαν ἐμβριθὲς
τὸ φρόνημα καὶ μεγαλόψυχον. Οὐδὲ γὰρ ἀπὸ
τὸς, οὐδὲ πᾶσαν ἠγάπα δόξαν, ὡς Φίλιππος,
ου τε δεινότητι σοφιστικῶς καλλωπιζόμενος, καὶ
ἐν Ὀλυμπίᾳ νίκας τῶν ἁρμάτων ἐγχαράττων τοῖς
ίσμασιν· ἀλλὰ καὶ τῶν περὶ αὐτὸν ἀποπειρω-
ον, εἰ βούλοιτ' ἂν Ὀλυμπιάσιν ἀγωνίσασθαι
διον (ἦν γὰρ ποδώκης), „Εἴ γε (ἔφη) βασιλεῖς
λεν ἕξειν ἀνταγωνιστάς.“ Φαίνεται δὲ καὶ κα-
ου πρὸς τὸ τῶν ἀθλητῶν γένος ἀλλοτρίως ἔχων·

Digitized by Google

πλείστους γέ τοι θεὶς ἀγῶνας, οὐ μόνον τραγῳδῶν καὶ αὐλητῶν καὶ κιθαρῳδῶν, ἀλλὰ καὶ ῥαψῳδῶν, θήρας τε παντοδαπῆς καὶ ῥαβδομαχίας, οὔτε πυγμῆς, οὔτε παγκρατίου, μετά τινος σπουδῆς ἔθηκεν ἆθλον.

V. Τοὺς δὲ παρὰ τοῦ Περσῶν βασιλέως πρέσβεις ἥκοντας, ἀποδημοῦντας Φιλίππου, ξενίζων, καὶ γενόμενος συνήθης, οὕτως ἐχειρώσατο τῇ φιλοφροσύνῃ, καὶ τῷ μηδὲν' ἐρώτημα παιδικὸν ἐρωτῆσαι, μηδὲ μικρόν, ἀλλ' ὁδῶν τε μήκη, καὶ πορείας τῆς ἄνω τρόπον ἐπευθάνεσθαι, καὶ περὶ αὐτοῦ βασιλέως, ὁποῖος εἴη πρὸς τοὺς πολέμους, καὶ τίς ἡ Περσῶν ἀλκὴ καὶ δύναμις, ὥστε θαυμάζειν ἐκείνους, καὶ τὴν λεγομένην Φιλίππου δεινότητα μηδὲν ἡγεῖσθαι πρὸς τὴν τοῦ παιδὸς ὁρμὴν καὶ μεγαλοπραγμοσύνην. Ὅσάκις γοῦν ἀπαγγελθείη Φίλιππος ἢ πόλιν ἔνδοξον ᾑρηκὼς, ἢ μάχην τινὰ περιβόητον νενικηκὼς, οὐ πάνυ φαιδρὸς ἦν ἀκούων, ἀλλὰ πρὸς τοὺς ἡλικιώτας ἔλεγεν· „Ὦ παῖδες, πάντα προλήψεται ὁ πατήρ· ἐμοὶ δ' οὐδὲν ἀπολείψει μεθ' ὑμῶν ἔργον ἀποδείξασθαι μέγα καὶ λαμπρόν." Οὐ γὰρ ἡδονὴν ζηλῶν, οὐδὲ πλοῦτον, ἀλλ' ἀρετὴν καὶ δόξαν, ἐνόμιζεν, ὅσῳ πλείονα λήψεται παρὰ τοῦ πατρὸς, ἐλάττονα κατορθώσειν δι' ἑαυτοῦ. Διὸ τοῖς πράγμασιν αὐξομένοις καταναλίσκεσθαι τὰς πράξεις εἰς ἐκεῖνον ἡγούμενος, ἐβούλετο μὴ χρήματα, μηδὲ τρυφὰς καὶ ἀπολαύσεις, ἀλλ' ἀγῶνας καὶ πολέμους καὶ φιλοτιμίας ἔχουσαν ἀρχὴν παραλαβεῖν. Πολλοὶ μὲν οὖν περὶ τὴν ἐπιμέλειαν, ὡς εἰκὸς, ἦσαν αὐτοῦ τρο-

Digitized by Google

ἴς καὶ παιδαγωγοὶ καὶ διδάσκαλοι λεγόμενοι· πᾶσι ἐφειστήκει Λεωνίδας, ἀνὴρ τὸ τ' ἦθος αὐστη-ς, καὶ συγγενὴς Ὀλυμπιάδος· αὐτὸς μὲν οὐ φεύ-ν τὸ τῆς παιδαγωγίας ὄνομα, καλὸν ἔργον ἐχού-ς καὶ λαμπρὸν, ὑπὸ δὲ τῶν ἄλλων διὰ τὸ ἀξίωμα ὶ τὴν οἰκειότητα τροφεὺς Ἀλεξάνδρου καὶ καθη-τὴς καλούμενος. Ὁ δὲ τὸ σχῆμα τοῦ παιδαγωγοῦ ὶ τὴν προσηγορίαν ὑποποιούμενος ἦν Λυσίμαχος, γένει Ἀκαρνὰν, ἄλλο μὲν οὐδὲν ἔχων ἀστεῖον, ὅτι ἑαυτὸν μὲν ὠνόμαζε Φοίνικα, τὸν δ' Ἀλέξανδρον ιλλέα, Πηλέα δὲ τὸν Φίλιππον, ἠγαπᾶτο, καὶ ιτέραν εἶχε χώραν.

VI. Ἐπεὶ δὲ, Φιλονείκου τοῦ Θεσσαλοῦ τὸν Βου-ράλαν ἀγαγόντος ὤνιον τῷ Φιλίππῳ τρισκαίδεκα λάντων, κατέβησαν εἰς τὸ πεδίον δοκιμάσοντες ἵππον· ἐδόκει τε χαλεπὸς εἶναι καὶ κομιδῇ δύσ-ιστος, οὔτ' ἀναβάτην προσιέμενος, οὔτε φωνὴν ομένων τινὸς τῶν περὶ τὸν Φίλιππον, ἀλλ' ἁπάν-ν κατεξανιστάμενος· δυσχεραίνοντος δὲ τοῦ Φι-που, καὶ κελεύοντος ἀπάγειν, ὡς παντάπασιν ριον καὶ ἀκόλαστον, παρὼν Ἀλέξανδρος εἶπεν· ἷον ἵππον ἀπολλύουσι, δι' ἀπειρίαν καὶ μαλακίαν ήσασθαι μὴ δυνάμενοι." Τὸ μὲν οὖν πρῶτον ὁ λιππος ἐσιώπησε· πολλάκις δ' αὐτοῦ παραφθεγ-ιένου καὶ περιπαθοῦντος· „Ἐπιτιμᾷς σὺ (ἔφη) εσβυτέροις, ὥς τι πλέον αὐτὸς εἰδὼς, ἢ μᾶλλον τῳ χρήσασθαι δυνάμενος;" „Τούτῳ γοῦν (ἔφη) ησαίμην ἂν ἑτέρου βέλτιον." „Ἂν δὲ μὴ χρήσῃ, τίνα

δίκην τῆς προπετείας ὑφέξεις;" „Ἐγὼ, νὴ Δί' (εἶπεν), ἀποτίσω τοῦ ἵππου τὴν τιμήν." Γενομένου δὲ γέλωτος, εἶτα ὁρισμοῦ πρὸς ἀλλήλους εἰς τὸ ἀργύριον, αὐτὸς προσδραμὼν τῷ ἵππῳ, καὶ παραλαβὼν τὴν ἡνίαν, ἐπέστρεψε πρὸς τὸν ἥλιον, ὡς ἔοικεν, ἐννοήσας, ὅτι τὴν σκιὰν προσπίπτουσαν καὶ σαλευομένην ὁρῶν πρὸ αὐτοῦ, διαταράττοιτο. Μικρὰ δὲ οὕτω παρακαλπάσας καὶ καταψήσας, ὡς ἑώρα πληρούμενον θυμοῦ καὶ πνεύματος, ἀποῤῥίψας ἡσυχῇ τὴν χλαμύδα, καὶ μετεωρίσας αὐτὸν, ἀσφαλῶς περιέβη. Καὶ μικρὰ μὲν περιλαβὼν ταῖς ἡνίαις τὸν χαλινὸν ἄνευ πληγῆς καὶ σπαραγμοῦ προσανέστειλεν· ὡς δ' ἑώρα τὸν ἵππον ἀφεικότα τὴν ἀπειλὴν, ὀργῶντα δὲ πρὸς τὸν δρόμον, ἀφεὶς ἐδίωκεν, ἤδη φωνῇ θρασυτέρᾳ καὶ ποδὸς κρούσει χρώμενος. Τῶν δὲ περὶ τὸν Φίλιππον ἦν ἀγωνία καὶ σιγὴ τὸ πρῶτον· ὡς δὲ κάμψας ἐπέστρεψεν ὀρθῶς, σοβαρὸς καὶ γεγηθὼς, οἱ μὲν ἄλλοι πάντες ἠλάλαξαν. ὁ δὲ πατὴρ καὶ δακρῦσαί τι λέγεται πρὸς τὴν χαρὰν, καὶ καταβάντος αὐτοῦ τὴν κεφαλὴν φιλήσας· „Ὦ παῖ (φάναι), ζήτει σεαυτῷ βασιλείαν ἴσην· Μακεδονία γάρ σε οὐ χωρεῖ."

VII. Καθυρῶν δὲ τὴν φύσιν αὐτοῦ δυσκίνητον μὲν οὖσαν, ἐρίσαντος μὴ βιασθῆναι, ῥᾳδίως δ' ἀγομένην ὑπὸ λόγου πρὸς τὸ δέον, αὐτός τε πείθειν ἐπειρᾶτο μᾶλλον, ἢ προστάττειν, καὶ τοῖς περὶ μουσικὴν καὶ τὰ ἐγκύκλια παιδευταῖς οὐ πάνυ τι πιστεύων τὴν ἐπιστασίαν αὐτοῦ καὶ κατάρτισιν, ὡς

Digitized by Google

ίζονος οὖσαν πραγματείας, καὶ κατὰ τὸν Σοφο-
έα

Πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα,

τεπέμψατο τῶν φιλοσόφων τὸν ἐνδοξότατον καὶ
γιώτατον, Ἀριστοτέλη, καλὰ καὶ πρέποντα δι-
σκάλια τελέσας αὐτῷ. Τὴν γὰρ Σταγειριτῶν πό-
ν, ἐξ ἧς ἦν Ἀριστοτέλης, ἀνάστατον ὑπ' αὐτοῦ
γενημένην, συνῴκισε πάλιν, καὶ τοὺς διαφυγόν-
ς, ἢ δουλεύοντας τῶν πολιτῶν ἀποκατέστησε.
ολὴν μὲν οὖν αὐτοῖς καὶ διατριβὴν τὸ περὶ Μίε-
ν νυμφαῖον ἀπέδειξεν, ὅπου μέχρι νῦν Ἀριστοτέ-
υς ἕδρας τε λιθίνας, καὶ ὑποσκίους περιπάτους
ικνύουσιν. Ἔοικε δ' Ἀλέξανδρος οὐ μόνον τὸν ἠθι-
ν καὶ πολιτικὸν παραλαβεῖν λόγον, ἀλλὰ καὶ τῶν
οῤῥήτων καὶ βαρυτέρων διδασκαλιῶν, ἃς οἱ ἄν-
ες ἰδίως ἀκροαματικὰς καὶ ἐποπτικὰς προσαγο-
ύοντες, οὐκ ἐξέφερον εἰς πολλοὺς, μετασχεῖν. Ἤδη
ρ εἰς Ἀσίαν διαβεβηκὼς, καὶ πυθόμενος, λόγους
νὰς ἐν βιβλίοις περὶ τούτων ὑπ' Ἀριστοτέλους ἐκ-
δόσθαι, γράφει πρὸς αὐτὸν ὑπὲρ φιλοσοφίας παῤ-
σιαζόμενος ἐπιστολὴν, ἧς ἀντίγραφόν ἐστιν. „Ἀλέ-
νδρος Ἀριστοτέλει εὖ πράττειν. Οὐκ ὀρθῶς
οίησας, ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων.
ὑτι γὰρ δὴ διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ, καθ'
ς ἐπαιδεύθημεν λόγους, οὗτοι πάντων ἔσονται
ινοί; Ἐγὼ δὲ βουλοίμην ἂν ταῖς περὶ τὰ ἄριστα
πειρίαις, ἢ ταῖς δυνάμεσι, διαφέρειν. Ἔῤῥωσο.“
κύτην μὲν οὖν τὴν φιλοτιμίαν αὐτοῦ παραμυθού-

Digitized by Google

μενος Ἀριστοτέλης, ἀπολογεῖται περὶ τῶν λόγων ἐκείνων, ὡς ἐκδεδομένων καὶ μὴ ἐκδεδομένων. Ἀληθῶς γὰρ ἡ μετὰ τὰ φυσικὰ πραγματεία, πρὸς διδασκαλίαν καὶ μάθησιν οὐδὲν ἔχουσα χρήσιμον, ὑπόδειγμα τοῖς πεπαιδευμένοις ἀπ' ἀρχῆς γέγραπται.

VIII. Δοκεῖ δέ μοι καὶ τὸ φιλιατρεῖν Ἀλεξάνδρῳ προστρίψασθαι μᾶλλον ἑτέρων Ἀριστοτέλης. Οὐ γὰρ μόνον τὴν θεωρίαν ἠγάπησεν, ἀλλὰ καὶ νοσοῦσιν ἐβοήθει τοῖς φίλοις, καὶ συνέταττε θεραπείας τινὰς καὶ διαίτας, ὡς ἐκ τῶν ἐπιστολῶν λαβεῖν ἐστιν. Ἦν δὲ καὶ φύσει φιλολόγος καὶ φιλομαθὴς καὶ φιλαναγνώστης. Καὶ τὴν μὲν Ἰλιάδα τῆς πολεμικῆς ἀρετῆς ἐφόδιον καὶ νομίζων καὶ ὀνομάζων, ἔλαβε μὲν Ἀριστοτέλους διορθώσαντος, ἣν ἐκ τοῦ νάρθηκος καλοῦσιν· εἶχε δ' ἀεὶ μετὰ τοῦ ἐγχειριδίου κειμένην ὑπὸ τὸ προσκεφάλαιον, ὡς Ὀνησίκριτος ἱστόρηκε. Τῶν δ' ἄλλων βιβλίων οὐκ εὐπορῶν ἐν τοῖς ἄνω τόποις, Ἅρπαλον ἐκέλευσε πέμψαι. Κἀκεῖνος ἔπεμψεν αὐτῷ τάς τε Φιλίστου βίβλους, καὶ τῶν Εὐριπίδου καὶ Σοφοκλέους καὶ Αἰσχύλου τραγῳδιῶν συχνάς, καὶ Τελέστου καὶ Φιλοξένου διθυράμβους. Ἀριστοτέλη δὲ θαυμάζων ἐν ἀρχῇ, καὶ ἀγαπῶν οὐχ ἧττον, ὡς αὐτὸς ἔλεγε, τοῦ πατρός, ὡς δι' ἐκεῖνον μὲν ζῶν, διὰ τοῦτον δὲ καλῶς ζῶν, ὕστερον ὑποπτότερον ἔσχεν, οὐχ ὥστε ποιῆσαί τι κακόν, ἀλλ' αἱ φιλοφροσύναι τὸ σφοδρὸν ἐκεῖνο καὶ στερκτικὸν οὐκ ἔχουσαι πρὸς αὐτόν, ἀλλοτριότητος ἐγένοντο τεκμήριον. Ὁ μέντοι πρὸς φιλοσοφίαν ἐμπεφυκὼς

Digitized by Google

καὶ συντεθραμμένος ἀπ' ἀρχῆς αὐτῷ ζῆλος καὶ πόθος οὐκ ἐξερρύη τῆς ψυχῆς, ὡς ἡ περὶ Ἀνάξαρχόν ε τιμὴ, καὶ τὰ πεμφθέντα Ξενοκράτει πεντήκοντα άλαντα, καὶ Δάνδαμις καὶ Κάλανος οὕτω σπουασθέντες μαρτυροῦσιν.

IX. Φιλίππου δὲ στρατεύοντος ἐπὶ Βυζαντίους, ν μὲν ἐκκαιδεκέτης ὁ Ἀλέξανδρος· ἀπολειφθεὶς δὲ ύριος ἐν Μακεδονίᾳ τῶν πραγμάτων καὶ τῆς σφραῖδος, Μεδάρων τε τοὺς ἀφεστῶτας κατεστρέψατο, αὶ πόλιν ἑλὼν αὐτῶν, τοὺς μὲν βαρβάρους ἐξαπήασε, συμμίκτους δὲ κατοικίσας, Ἀλεξανδρόπολιν ροσηγόρευσεν. Ἐν δὲ Χαιρωνείᾳ τῆς πρὸς τοὺς Ἕλληνας μάχης παρὼν μετέσχε, καὶ λέγεται πρῶτος νσεῖσαι τῷ ἱερῷ λόχῳ τῶν Θηβαίων. Ἔτι δὲ καὶ αθ' ἡμᾶς ἐδείκνυτο παλαιὰ παρὰ τὸν Κηφισὸν Ἀλεξάνδρου καλουμένη δρῦς, πρὸς ᾗ τότε κατεσκήωσε, καὶ τὸ πολυάνδριον οὗ πόρρω τῶν Μακεδόων ἐστίν. Ἐκ μὲν οὖν τούτων, ὡς εἰκὸς, Φίλιππος περηγάπα τὸν υἱὸν, ὥστε καὶ χαίρειν, τῶν Μακεδόνων Ἀλέξανδρον μὲν βασιλέα, Φίλιππον δὲ στραηγὸν καλούντων. Αἱ δὲ περὶ τὴν οἰκίαν ταραχαὶ, ιὰ τοὺς γάμους καὶ τοὺς ἔρωτας αὐταῦ τρόπον τινὰ ῆς βασιλείας τῇ γυναικωνίτιδι συννοσούσης, πολὰς αἰτίας καὶ μεγάλας, διαφορὰς παρεῖχον· ἃς ἥ ῆς Ὀλυμπιάδος χαλεπότης, δυσζήλου καὶ βαρυθύου γυναικὸς, ἔτι μείζονας ἐποίει, παροξυνούσης ὸν Ἀλέξανδρον. Ἐκφανεστάτην δ' Ἄτταλος παρέγεν ἐν τοῖς Κλεοπάτρας γάμοις, ἣν ὁ Φίλιππος

Digitized by Google

ἠγάγετο παρθένον, ἐρασθεὶς παρ' ἡλικίαν τῆς κόρης. Θεῖος γὰρ ὢν αὐτῆς ὁ Ἄτταλος, ἐν τῷ πότῳ μεθύων, παρεκάλει τοὺς Μακεδόνας αἰτεῖσθαι παρὰ θεῶν γνήσιον ἐκ Φιλίππου καὶ Κλεοπάτρας γενέσθαι διάδοχον τῆς βασιλείας. Ἐπὶ τούτῳ παροξυνθεὶς ὁ Ἀλέξανδρος, καὶ εἰπών. „Ἡμεῖς δέ σοι, κακὴ κεφαλή, νόθοι δοκοῦμεν," ἔβαλε σκύφον ἐπ' αὐτόν. Ὁ δὲ Φίλιππος ἐπ' ἐκεῖνον ἐξανέστη, σπασάμενος τὸ ξίφος. Εὐτυχίᾳ δ' ἑκατέρου, διὰ τὸν θυμὸν καὶ τὸν οἶνον ἔπεσε σφαλείς. Ὁ δ' Ἀλέξανδρος ἐφυβρίζων. „Οὗτος μέντοι (εἶπεν), ἄνδρες, εἰς Ἀσίαν ἐξ Εὐρώπης παρασκευάζεται διαβαίνειν, ὃς ἐπὶ κλίνης ἀπὸ κλίνης διαβαίνων ἀνατέτραπται." Μετὰ ταύτην τὴν παροινίαν, ἀναλαβὼν τὴν Ὀλυμπιάδα, καὶ καταστήσας εἰς Ἤπειρον, αὐτὸς ἐν Ἰλλυριοῖς διέτριβεν. Ἐν τούτῳ δὲ Δημάρατος ὁ Κορίνθιος, ξένος ὢν τῆς οἰκίας, καὶ παῤῥησίας μετέχων, ἀφίκετο πρὸς Φίλιππον. Μετὰ δὲ τὰς πρώτας δεξιώσεις καὶ φιλοφροσύνας, ἐπερωτῶντος τοῦ Φιλίππου, πῶς ἔχουσιν ὁμονοίας πρὸς ἀλλήλους οἱ Ἕλληνες. „Πάνυ γοῦν (ἔφη) σοὶ προσήκει, Φίλιππε, κήδεσθαι τῆς Ἑλλάδος, ὃς τὸν οἶκον τὸν σεαυτοῦ στάσεως τοσαύτης καὶ κακῶν ἐμπέπληκας. Οὕτω δὴ συμφρονήσας ὁ Φίλιππος, ἔπεμψε καὶ κατήγαγε, πείσας διὰ τοῦ Δημαράτου, τὸν Ἀλέξανδρον.

X. Ἐπεὶ δὲ Πιξώδαρος, ὁ Καρίας σατράπης, ὑποδυόμενος δι' οἰκειότητος εἰς τὴν Φιλίππου συμμαχίαν, ἐβούλετο τὴν πρεσβυτάτην τῶν θυγατέρων

Digitized by Google

ἰρρίδαίῳ τῷ Φιλίππου γυναῖκα δοῦναι, καὶ περὶ τούτων Ἀριστόκριτον εἰς Μακεδονίαν ἀπέστειλεν, εὐθὺς ἐγίνοντο λόγοι καὶ διαβολαὶ παρὰ τῶν φίλων καὶ τῆς μητρὸς πρὸς Ἀλέξανδρον, ὡς Ἀρρίδαῖον ἐπὶ τῇ βασιλείᾳ Φιλίππου γάμοις λαμπροῖς καὶ πράγμασι μεγάλοις εἰσοικειοῦντος. Ὑφ' ὧν διαταραχθεὶς, πέμπει Θεσσαλὸν εἰς Καρίαν, τὸν τῶν τραγῳδιῶν ὑποκριτὴν, Πηξοδώρῳ διαλεξόμενον, ὡς χρὴ τὸν νόθον ἄσαντα, καὶ οὐ φρενήρη, μεθαρμόσασθαι τὸ κῆδος εἰς Ἀλέξανδρον. Καὶ Πηξοδώρῳ μὲν οὐ παρὰ μικρὸν ἤρεσκε ταῦτα τῶν προτέρων μᾶλλον. Ὁ δὲ Φίλιππος, αἰσθόμενος ὄντα τὸν Ἀλέξανδρον εἰς τὸ σωμάτιον, παραλαβὼν τῶν φίλων αὐτοῦ καὶ συνήθων ἕνα, Φιλώταν τὸν Παρμενίωνος, ἐπετίμησεν ἰσχυρῶς, καὶ πικρῶς ἐλοιδόρησεν ὡς ἀγεννῆ καὶ τῶν παρόντων περὶ αὐτὸν ἀγαθῶν ἀνάξιον, εἰ Καροὺς ἀνθρώπου, καὶ βαρβάρῳ βασιλεῖ δουλεύοντος ἀγαθὸς γαμβρὸς γενέσθαι. Τὸν δὲ Θετταλὸν ἔγραψε Κορινθίοις ὅπως ἀναπέμψωσιν ἐν πέδαις δεδεμένον. Τῶν δ' ἄλλων ἑταίρων Ἅρπαλον καὶ Νέαρχον, ἔτι δὲ Φρύγιον καὶ Πτολεμαῖον, ἐκ Μακεδονίας μετέστησεν. οὓς ὕστερον Ἀλέξανδρος καταγαγὼν, ἐν ταῖς μεγίσταις ἔσχε τιμαῖς. Ἐπεὶ δὲ Παυσανίας, Ἀττάλου γνώμῃ καὶ Κλεοπάτρας ὑβρισθεὶς, καὶ μὴ τυχὼν δίκης, ἀνεῖλε Φίλιππον, τὸ μὲν πλεῖστον εἰς Ὀλυμπιάδα τῆς αἰτίας περιῆλθεν, ὡς θυομένῳ τῷ νεανίσκῳ προσεγκελευσαμένην καὶ παροῦσαν· ἔθιγε δέ τις καὶ Ἀλεξάνδρου διαβολή.

Digitized by Google

Λέγεται γὰρ, ἐντυχόντος αὐτῷ τοῦ Παυσανίου μετὰ τὴν ὕβριν ἐκείνην, καὶ ἀποδυρομένου, προενέγκασθαι τὸ τῆς Μηδείας ἰαμβεῖον

Τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην.

Οὐ μὴν ἀλλὰ καὶ τοὺς συναιτίους τῆς ἐπιβουλῆς ἀναζητήσας ἐκόλασε, καὶ τὴν Κλεοπάτραν, ἀποδημοῦντος αὐτοῦ, τῆς Ὀλυμπιάδος ὠμῶς μεταχειρισαμένης ἠγανάκτησεν.

XI. *Παρέλαβε μὲν οὖν ἔτη γεγονὼς εἴκοσι τὴν βασιλείαν, φθόνους μεγάλους καὶ δεινὰ μίση καὶ κινδύνους πανταχόθεν ἔχουσαν. Οὔτε γὰρ τὰ βάρβαρα καὶ πρόσοικα γένη τὴν δούλωσιν ἔφερε, ποθοῦντα τὰς πατρίους βασιλείας· οὔτε τὴν Ἑλλάδα κρατήσας τοῖς ὅπλοις ὁ Φίλιππος, οἷον καταζεῦξαι καὶ τιθασεῦσαι χρόνον ἔσχεν, ἀλλὰ, μόνον μεταβαλὼν καὶ ταράξας τὰ πράγματα, πολὺν σάλον ἔχοντα καὶ κίνησιν ὑπ' ἀηθείας, ἀπέλιπε. Φοβουμένων δὲ τῶν Μακεδόνων τὸν καιρὸν, καὶ τὰ μὲν Ἑλληνικὰ πάντως ἀφεῖναι, καὶ μὴ προσβιάζεσθαι τὸν Ἀλέξανδρον οἰομένων δεῖν, τοὺς δ' ἀφισταμένους τῶν βαρβάρων ἀνακαλεῖσθαι πράως, καὶ θεραπεύειν τὰς ἀρχὰς τῶν νεωτερισμῶν, αὐτὸς ἀπ' ἐναντίων λογισμῶν ὥρμησε τόλμῃ καὶ μεγαλοφροσύνῃ κτᾶσθαι τὴν ἀσφάλειαν καὶ σωτηρίαν τοῖς πράγμασιν· ὡς, κἂν ὀτιοῦν ὑφιέμενος ὀφθῇ τοῦ φρονήματος, ἐπιβησομένων ἁπάντων. Τὰ μὲν οὖν βαρβαρικὰ κινήματα καὶ τοὺς ἐκεῖ πολέμους κατέπαυσεν ὀξέως ἐπιδραμὼν στρατῷ μέχρι πρὸς τὸν Ἴστρον· ᾗ καὶ Σύρμον ἐνίκησε*

Digitized by Google

μάχῃ μεγάλῃ, τὸν βασιλέα τῶν Τριβαλλῶν. Θηβαίους δ' ἀφεστάναι πυθόμενος, καὶ συμφρονεῖν αὐτοῖς Ἀθηναίους, ἐθέλων ἀνὴρ φανῆναι, εὐθὺς ἦγε διὰ Πυλῶν τὴν δύναμιν, εἰπὼν, ὅτι Δημοσθένει, παῖδα μὲν αὐτὸν, ἕως ἦν ἐν Ἰλλυριοῖς καὶ Τριβαλλοῖς, ἀποκαλοῦντι, μειράκιον δὲ περὶ Θετταλίαν γενόμενον, βούλεται πρὸς τοῖς Ἀθηναίων τείχεσιν ἀνὴρ φανῆναι. Προσμίξας δὲ ταῖς Θήβαις, καὶ διδοὺς ἔτι τῶν πεπραγμένων μετάνοιαν, ἐξήτει Φοίνικα καὶ Προθύτην· καὶ τοῖς μεταβαλλομένοις πρὸς αὐτὸν ἄδειαν ἐκήρυττε. Τῶν δὲ Θηβαίων ἀντεξαιτούντων μὲν παρ' αὐτοῦ Φιλώταν καὶ Ἀντίπατρον, κηρυττόντων δὲ, τοὺς τὴν Ἑλλάδα βουλομένους συνελευθεροῦν τάττεσθαι μετ' αὐτῶν, οὕτως ἔτρεψε τοὺς Μακεδόνας πρὸς πόλεμον. Ἠγωνίσθη μὲν οὖν ὑπὲρ δύναμιν ἀρετῇ καὶ προθυμίᾳ τὰ παρὰ τῶν Θηβαίων πολλαπλασίοις οὖσι τοῖς πολεμίοις ἀντιταχθέντων. Ἐπεὶ δὲ καὶ τὴν Καδμείαν ἀφέντες οἱ φρουροὶ τῶν Μακεδόνων ἐπέπιπτον αὐτοῖς ἐξόπισθεν, κυκλωθέντες οἱ πλεῖστοι κατὰ τὴν μάχην αὐτὴν ἔπεσον· ἡ δὲ πόλις ἥλω, καὶ διαρπασθεῖσα κατεσκάφη· τὸ μὲν ὅλον, προσδοκήσαντος αὐτοῦ τοὺς Ἕλληνας, ἐκπλαγέντας πάθει τηλικούτῳ καὶ πτήξαντας, ἀτρεμήσειν, ἄλλως δὲ καλλωπισαμένου χαρίζεσθαι τοῖς τῶν συμμάχων ἐγκλήμασι· καὶ γὰρ Φωκεῖς καὶ Πλαταιεῖς τῶν Θηβαίων κατηγόρησαν. Ὑπεξελόμενος δὲ τοὺς ἱερεῖς, καὶ τοὺς ξένους τῶν Μακεδόνων ἅπαντας, καὶ τοὺς ἀπὸ Πινδάρου γεγονότας, καὶ τοὺς

Digitized by Google

ὑπεναντιωθέντας τοῖς ψηφισαμένοις τὴν ἀπόστασιν, ἀπέδοτο τοὺς ἄλλους, περὶ τρισμυρίους γενομένους· οἱ δ' ἀποθανόντες ὑπὲρ ἑξακισχιλίους ἦσαν.

XII. Ἐν δὲ τοῖς πολλοῖς πάθεσι καὶ χαλεποῖς ἐκείνοις, ἃ τὴν πόλιν κατεῖχε, Θρᾳκές τινες, ἐκκύψαντες οἰκίαν Τιμοκλείας, γυναικὸς ἐνδόξου καὶ σώφρονος, αὐτοὶ μὲν τὰ χρήματα διήρπαζον, ὁ δ' ἡγεμὼν, τῇ γυναικὶ πρὸς βίαν συγγενόμενος καὶ καταισχύνας, ἀνέκρινεν, εἴ που χρυσίον ἔχοι κεκρυμμένον, ἢ ἀργύριον. Ἡ δ' ἴχειν ὡμολόγησε, καὶ μόνον εἰς τὸν κῆπον ἀγαγοῦσα, καὶ δείξασα φρέαρ, ἐνταῦθα ἔφη, τῆς πόλεως ἁλισκομένης, καταβαλεῖν αὐτὴ τὰ τιμιώτατα τῶν χρημάτων. Ἐγκύπτοντος δὲ τοῦ Θρᾳκὸς, καὶ κατασκεπτομένου τὸν τόπον, ἔωσεν αὐτὸν ἐξόπισθεν γενομένη, καὶ τῶν λίθων ἐπεμβαλοῦσα πολλοὺς, ἀπέκτεινεν. Ὡς δ' ἀνήχθη πρὸς τὸν Ἀλέξανδρον ὑπὸ τῶν Θρᾳκῶν δεδεμένη, πρῶτον μὲν ἀπὸ τῆς ὄψεως καὶ τῆς βαδίσεως ἐφάνη τις ἀξιωματικὴ καὶ μεγαλόφρων, ἀνεκπλήκτως καὶ ἀδεῶς ἑπομένη τοῖς ἄγουσιν. Ἔπειτα τοῦ βασιλέως ἐρωτήσαντος, ἥτις εἴη γυναικῶν, ἀπεκρίνατο Θεαγένους ἀδελφὴ γεγονέναι, τοῦ παραταξαμένου πρὸς Φίλιππον ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, καὶ πεσόντος ἐν Χαιρωνείᾳ στρατηγοῦντος. Θαυμάσας οὖν ὁ Ἀλέξανδρος αὐτῆς καὶ τὴν ἀπόκρισιν καὶ τὴν πρᾶξιν, ἐκέλευσεν ἐλευθέραν ἀπιέναι μετὰ τῶν τέκνων.

XIII. Ἀθηναίοις δὲ διηλλάγη, καίπερ οὐ μετρίως ἐνεγκοῦσι τὸ περὶ Θήβας δυστύχημα. Καὶ

Digitized by Google

ἀρ τὴν τῶν μυστηρίων ἑορτὴν ἐν χεροῖν ἔχοντες, πὸ πένθους ἄφῆκαν, καὶ τοῖς καταφυγοῦσιν ἐπὶ ἡν πόλιν ἅπάντων μετέδίδοσαν τῶν φιλανθρώπων. λλ', εἴτε μεστὸς ὢν ἤδη τὸν θυμὸν, ὥσπερ οἱ λέον-ες, εἴτ' ἐπιεικὲς ἔργον ὠμοτάτῳ καὶ σκυθρωποτά-ῳ παραβαλεῖν βουλόμενος, οὐ μόνον ἀφῆκεν αἰτίας ιάσης, ἀλλὰ καὶ προσέχειν ἐκέλευσε τοῖς πράγμασι ὸν νοῦν τὴν πόλιν, ὡς, εἴ τι συμβαίη περὶ αὐτὸν, ρξουσαν τῆς Ἑλλάδος. Ὕστερον μέντοι πολλάκις ὐτὸν ἢ Θηβαίων ἀνιᾶσαι συμφορὰ λέγεται, καὶ ροάτερον οὐκ ὀλίγοις παρασχεῖν. Ὅλως δὲ καὶ τὸ περὶ Κλεῖτον ἔργον ἐν οἴνῳ γενόμενον, καὶ τὴν πρὸς νδοῖς τῶν Μακεδόνων ἀποδειλίασιν, ὥσπερ ἀτελῆ ἡν στρατείαν καὶ δόξαν αὐτοῦ προεμένων, εἰς ιῆνιν ἀνῆγε Διονύσου καὶ νέμεσιν. Ἦν δὲ Θηβαίων ὐδεὶς τῶν περιχενομένων, ὃς ἐντυχών τι καὶ δεη-θεὶς ὕστερον οὐ διεπράξατο παρ' αὐτοῦ. Ταῦτα ιὲν τὰ περὶ Θήβας.

XIV. Εἰς δὲ τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέν-των, καὶ ψηφισαμένων ἐπὶ Πέρσας μετ' Ἀλεξάνδρου τρατεύειν, ἡγεμὼν ἀνηγορεύθη. Πολλῶν δὲ καὶ πο-ιτικῶν ἀνδρῶν καὶ φιλοσόφων ἀπηντηκότων αὐτῷ, καὶ συνηδομένων, ἤλπιζε καὶ Διογένη τὸν Σινωπέα αὐτὸ ποιήσειν, διατρίβοντα περὶ Κόρινθον. Ὡς δ' κεῖνος, ἐλάχιστον Ἀλεξάνδρου λόγον ἔχων, ἐν τῷ Κρανείῳ σχολὴν ἦγεν, αὐτὸς ἐπορεύετο πρὸς αὐτόν. Ἔτυχε δὲ κατακείμενος ἐν ἡλίῳ· καὶ μικρὸν μὲν ἀνε-κάθισεν, ἀνθρώπων τοσούτων ἐπερχομένων, καὶ δι-

Digitized by Google

βλεψεν εἰς τὸν Ἀλέξανδρον. Ὡς δ' ἐκεῖνος, ἀσπασάμενος καὶ προσειπὼν αὐτὸν, ἠρώτησεν, εἴ τινος τυγχάνει δεόμενος· „Μικρὸν (εἶπεν) ἀπὸ τοῦ ἡλίου μετάστηθι.“ Πρὸς τοῦτο λέγεται τὸν Ἀλέξανδρον οὕτω διατεθῆναι καὶ θαυμάσαι, καταφρονηθέντα, τὴν ὑπεροψίαν καὶ τὸ μέγεθος τοῦ ἀνδρὸς, ὥστε τῶν περὶ αὐτὸν, ὡς ἀπῆεσαν, διαγελώντων καὶ σκωπτόντων· „Ἀλλὰ μὴν ἐγὼ (εἰπεῖν), εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην.“ Βουλόμενος δὲ τῷ θεῷ χρήσασθαι περὶ τῆς στρατείας, ἦλθεν εἰς Δελφούς· καὶ, κατὰ τύχην ἡμερῶν ἀποφράδων οὐσῶν, ἐν αἷς οὐ νενόμισται θεμιστεύειν, πρῶτον μὲν ἔπεμπε παρακαλῶν τὴν πρόμαντιν. Ὡς δ', ἀρνουμένης καὶ προϊσχομένης τὸν νόμον, αὐτὸς ἀναβὰς βίᾳ πρὸς τὸν ναὸν εἵλκεν αὐτήν· ἡ δ', ὥσπερ ἐξηττημένη τῆς σπουδῆς, εἶπεν· „Ἀνίκητος εἶ, ὦ παῖ.“ τοῦτ' ἀκούσας Ἀλέξανδρος, οὐκέτ' ἔφη χρῄζειν ἑτέρου μαντεύματος, ἀλλ' ἔχειν, ὃν ἐβούλετο παρ' αὐτῆς, χρησμόν. Ἐπεὶ δ' ὥρμησε πρὸς τὴν στρατείαν, ἄλλα τε δοκεῖ σημεῖα παρὰ τοῦ δαιμονίου γενέσθαι, καὶ δὸ περὶ Λείβηθρα τοῦ Ὀρφέως ξύανον (ἦν δὲ κυπαρίττινον) ἱδρῶτα πολὺν ὑπὸ τὰς ἡμέρας ἐκείνας ἀφῆκε. Φοβουμένων δὲ πάντων τὸ σημεῖον, Ἀρίστανδρος ἐκέλευε θαῤῥεῖν, ὡς ἀοιδίμους καὶ περιβοήτους κατεργασόμενον πράξεις, αἳ πολὺν ἱδρῶτα καὶ πόνον ὑμνοῦσι ποιηταῖς καὶ μουσικοῖς παρέξουσι.

XV. Τῆς δὲ στρατιᾶς τὸ πλῆθος, μὲν ἐλάχιστον λέγοντες, τρισμυρίους πεζοὺς καὶ πενταχισχι-

Digitized by Google

ίους ἵππεῖς· οἱ δὲ πλεῖστον, πεζοὺς μὲν τετρακισ-
ιλίους καὶ τρισμυρίους, ἱππέας δὲ τετρακισχιλίους
ναγράφουσιν. Ἐφόδιον δὲ τούτοις οὐ πλέον ἑβδο-
ήκοντα ταλάντων ἔχειν αὐτὸν Ἀριστόβουλος ἱστο-
εῖ· Δοῦρις δὲ, τριάκοντα μόνον ἡμερῶν διατροφήν·
Ονησίκριτος δὲ, καὶ διακόσια τάλαντα προσοφείλειν.
Ἀλλὰ καίπερ ἀπὸ μικρῶν καὶ στενῶν οὕτως ὁρμώμε-
ος, οὐ πρότερον ἐπέβη τῆς νεὼς, ἢ τὰ τῶν ἑταίρων
ράγματα σκεψάμενος, ἀπονεῖμαι τῷ μὲν ἀγρὸν,
ῷ δὲ κώμην, τῷ δὲ συνοικίας πρόσοδον, ἢ λιμένος.
Ἤδη δὲ κατηνηλωμένων καὶ διαγεγραμμένων σχεδὸν
πάντων τῶν βασιλικῶν, ὁ Περδίκκας· „Σεαυτῷ δ᾽
εἶπεν), ὦ βασιλεῦ, τί καταλείπεις;“ τοῦ δὲ φήσαντος,
τι τὰς ἐλπίδας· „Οὐκοῦν (ἔφη) καὶ ἡμεῖς τούτων κοι-
ωνήσομεν, οἱ μετὰ σοῦ στρατευόμενοι.“ Παραιτη-
αμένου δὲ τοῦ Περδίκκου τὴν διαγεγραμμένην κτῆ-
ιν αὐτῷ, καὶ τῶν ἄλλων φίλων ἔνιοι τὸ αὐτὸ ἐποίη-
αν. Τοῖς δὲ λαμβάνουσι καὶ δεομένοις προθύμως
χαρίζετο, καὶ τὰ πλεῖστα τῶν ἐν Μακεδονίᾳ διανέ-
ιων οὕτω κατηνάλωσε. Τοιαύτῃ μὲν ὁρμῇ καὶ πα-
ασκευῇ διανοίας τὸν Ἑλλήσποντον διεπέρασεν. Ἀνα-
βὰς δ᾽ εἰς Ἴλιον, ἔθυσε τῇ Ἀθηνᾷ, καὶ τοῖς ἥρω-
ιν ἔσπεισε. Τὴν δ᾽ Ἀχιλλέως στήλην ἀλειψάμενος
λπα, καὶ μετὰ τῶν ἑταίρων συναναδραμὼν γυμνὸς,
ὥσπερ ἔθος ἐστὶν, ἐστεφάνωσε, μακαρίσας αὐτὸν,
ὅτι καὶ ζῶν φίλου πιστοῦ, καὶ τελευτήσας μεγάλου
κήρυκος ἔτυχεν. Ἐν δὲ τῷ περιϊέναι καὶ θεᾶσθαι τὰ
ατὰ τὴν πόλιν, ἐρομένου τινὸς αὐτὸν, εἰ βούλεται

Digitized by Google

τὴν Ἀλεξάνδρου λύραν ἰδεῖν, ἐλάχιστα φροντίζειν ἐκείνης ἔφη· τὴν δ' Ἀχιλλέως ζητεῖν, ᾗ τὰ κλέα καὶ τὰς πράξεις ὕμνει τῶν ἀγαθῶν ἀνδρῶν ἐκεῖνος.

XVI. Ἐν δὲ τούτῳ τῶν Δαρείου στρατηγῶν μεγάλην δύναμιν ἠθροικότων, καὶ παρατεταγμένων ἐπὶ τῇ διαβάσει τοῦ Γρανικοῦ, μάχεσθαι μὲν ἴσως ἀναγκαῖον ἦν, ὥσπερ ἐν πύλαις τῆς Ἀσίας, περὶ τῆς εἰσόδου καὶ ἀρχῆς· τοῦ δὲ ποταμοῦ τὸ βάθος, καὶ τὴν ἀνωμαλίαν καὶ τραχύτητα τῶν πέραν ὄχθων, πρὸς οὓς ἔδει γενέσθαι τὴν ἀπόβασιν μετὰ μάχης, τῶν πλείστων δεδιότων, ἐνίων δὲ καὶ τῶν περὶ τὸν μῆνα νενομισμένων οἰομένων δεῖν φυλάξασθαι· Δαισίου γὰρ οὐκ εἰώθεισαν οἱ βασιλεῖς τῶν Μακεδόνων ἐξάγειν τὴν στρατιάν· τοῦτο μὲν ἐπηνωρθώσατο, κελεύσας δεύτερον Ἀρτεμίσιον ἄγειν· τοῦ δὲ Παρμενίωνος, ὡς ὀψὲ τῆς ὥρας οὔσης, οὐκ ἐῶντος ἀποκινδυνεύειν, εἰπὼν αἰσχύνεσθαι τὸν Ἑλλήσποντον, εἰ φοβήσεται τὸν Γρανικόν, διαβεβηκὼς ἐκεῖνον, ἐμβάλλει τῷ ῥεύματι σὺν ἴλαις ἱππέων τρισκαίδεκα· καὶ πρὸς ἐναντία βέλη καὶ τόπους ἀποῤῥῶγας ὅπλοις καταπεφραγμένους καὶ ἵπποις, ἐλαύνων καὶ διὰ ῥεύματος παραφέροντος καὶ περικλύζοντος, ἔδοξε μανικῶς καὶ πρὸς ἀπόνοιαν μᾶλλον, ἢ γνώμῃ, στρατηγεῖν. Οὐ μὴν ἀλλ' ἐμφὺς τῇ διαβάσει, καὶ κρατήσας τῶν τόπων χαλεπῶς καὶ μόλις, ὑγρῶν καὶ περισφαλῶν γενομένων διὰ τὸν πηλόν, εὐθὺς ἠναγκάζετο φύρδην μάχεσθαι, καὶ κατ' ἄνδρα συμπλέκεσθαι τοῖς ἐπιφερομένοις, πρὶν εἰς τάξιν τινὰ κα-

Digitized by Google

αστῆναι τοὺς διαβαίνοντας. Ἐνέκειντο γὰρ κραυγῇ, αὶ τοὺς ἵππους παραβάλλοντες τοῖς ἵπποις, ἐχρῶν- ο δόρασι, καὶ ξίφεσι, τῶν δοράτων συντριβέντων. Ωσαμένων δὲ πολλῶν ἐπ' αὐτὸν, (ἦν δὲ τῇ πέλτῃ αὶ τοῦ κράνους τῇ χαίτῃ διαπρεπὴς, ἧς ἑκατέρωθεν ἱστήκει πτερὸν λευκότητι καὶ μεγέθει θαυμαστὸν,) κοντισθεὶς μὲν ὑπὸ τὴν ὑποπτυχίδα τοῦ θώρακος ὐκ ἐτρώθη· Ῥοισάκου δὲ καὶ Σπιθριδάτου, τῶν τρατηγῶν, προσφερομένων ἅμα, τὸν μὲν ἐκκλίνας, Ῥοισάκῃ δὲ προεμβαλὼν τεθωρακισμένῳ τὸ δόρυ, αὶ κατακλάσας τοῦτο, ἐπὶ τὸ ἐγχειρίδιον ὥρμησε. Συμπεπτωκότων δ' αὐτῶν, ὁ Σπιθριδάτης ὑποστή- ας ἐκ πλαγίων τὸν ἵππον, καὶ μετὰ σπουδῆς συν- ξαναστὰς, κοπίδι βαρβαρικῇ κατήνεγκε· καὶ τὸν ἐν λόφον ἀπήρραξε μετὰ θατέρου πτεροῦ, τὸ δὲ ράνος πρὸς τὴν πληγὴν ἀκριβῶς καὶ μόλις ἀντέσχεν, στε τῶν πρώτων ψαῦσαι τριχῶν τὴν πτέρυγα τῆς οπίδος. Ἕτέραν δὲ τὸν Σπιθριδάτην πάλιν ἐπαιρό- ενον ἔφθασε Κλεῖτος ὁ μέλας, τῷ ξυστῷ διελάσας έσον. Ὁμοῦ δὲ καὶ Ῥοισάκης ἔπεσε, ὑπ' Ἀλεξάν- ρου ξίφει πληγείς. Ἐν τούτῳ δὲ κινδύνου καὶ ἀγῶ- ος οὔσης τῆς ἱππομαχίας, ἥ τε φάλαγξ διέβαινε ῶν Μακεδόνων, καὶ συνῆγον αἱ πεζαὶ δυνάμεις. ὐ μὴν ὑπέστησαν εὐρώστως, οὐδὲ πολὺν χρόνον, λλ' ἔφυγον τραπόμενοι, πλὴν τῶν μισθοφόρων Ἑλλήνων. Οὗτοι δὲ πρός τινα λόφῳ συστάντες, τουν τὰ πιστὰ τὸν Ἀλέξανδρον. Ὁ δὲ, θυμῷ μᾶλ- ον, ἢ λογισμῷ, πρῶτος ἐμβαλὼν, τόν τε ἵππον

Digitized by Google

ἀποβάλλει, ξίφει πληγέντα διὰ τῶν πλευρῶν (ἦν δ' ἕτερος, οὐχ ὁ Βουκεφάλας) καὶ τοὺς πλείστους τῶν ἐποθανόντων καὶ τραυματισθέντων ἐκεῖ συνέβη κινδυνεῦσαι καὶ πεσεῖν, πρὸς ἀνθρώπους ἀπεγνωκότας καὶ μαχίμους συμπλεκομένους. Λέγονται δὲ πεζοὶ μὲν δισμύριοι τῶν βαρβάρων, ἱππεῖς δὲ δισχίλιοι πεντακόσιοι πεσεῖν. Τῶν δὲ περὶ τὸν Ἀλέξανδρον Ἀριστόβουλός φησι τέσσαρας καὶ τριάκοντα νεκροὺς γενέσθαι τοὺς πάντας, ὧν ἑννέα πεζοὺς εἶναι. Τούτων μὲν οὖν ἐκέλευσεν εἰκόνας ἀνασταθῆναι χαλκᾶς, ἃς Λύσιππος εἰργάσατο. Κοινούμενος δὲ τὴν νίκην τοῖς Ἕλλησιν, ἰδίᾳ μὲν τοῖς Ἀθηναίοις ἔπεμψε τῶν αἰχμαλώτων τριακοσίας ἀσπίδας· κοινῇ δὲ τοῖς ἄλλοις λαφύροις ἐκέλευσεν ἐπιγράψαι φιλοτιμοτάτην ἐπιγραφήν. „Ἀλέξανδρος ὁ Φιλίππου καὶ οἱ Ἕλληνες, πλὴν Λακεδαιμονίων, ἀπὸ τῶν βαρβάρων τῶν τὴν Ἀσίαν κατοικούντων." Ἐκπώματα δὲ, καὶ πορφύρας, καὶ ὅσα τοιαῦτα τῶν Περσικῶν ἔλαβε, πέντε τῇ μητρὶ, πλὴν ὀλίγων, ἔπεμψεν.

XVII. Οὗτος ὁ ἀγὼν μεγάλην εὐθὺς ἐποίησε τῶν πραγμάτων μεταβολὴν πρὸς Ἀλέξανδρον· ὥστε καὶ Σάρδεις, τὸ πρόσχημα τῆς ἐπὶ θαλάσσῃ τῶν βαρβάρων ἡγεμονίας, παραλαβεῖν, καὶ τἆλλα προστίθεσθαι. Μόνη δ' Ἁλικαρνασσὸς ἀντέστη καὶ Μίλητος, ἃς ἑλὼν κατὰ κράτος, καὶ τὰ περὶ αὐτὰς πάντα χειρωσάμενος, ἀμφίβολος ἦν πρὸς τὰ λοιπὰ τῇ γνώμῃ. Καὶ πολλάκις μὲν ἔσπευδε Δαρείῳ συμπεσὼν ἀποκινδυνεῦσαι περὶ τῶν ὅλων, πολλάκις δὲ

Digitized by Google

οἷς ἐπὶ θαλάσσῃ πράγμασι καὶ χρήμασι διενοεῖτο
ρῶτον οἷον ἐνασκήσας καὶ ῥώσας αὐτόν, οὕτως ἀνα-
αίνειν ἐπ' ἐκεῖνον. Ἔστι δὲ τῆς Λυκίας κρήνη περὶ
ἣν Ξανθίων πόλιν, ἧς τότε λέγουσιν αὐτομάτως
ερίτραπείσης καὶ ὑπερβαλούσης, ἐκ βυθοῦ δέλτον
πεσεῖν χαλκῆν, τύπους ἔχουσαν ἀρχαίων γραμμά-
ων, ἐν οἷς ἐδηλοῦτο παύσεσθαι τὴν Περσῶν ἀρχὴν
πὸ Ἑλλήνων καταλυθεῖσαν. Τούτοις ἐπαρθεὶς,
πείγετο τὴν παραλίαν ἀνακαθήρασθαι μέχρι τῆς
οινίκης καὶ Κιλικίας. Ἡ δὲ τῆς Παμφυλίας παρα-
ρομὴ πολλοῖς γέγονε τῶν ἱστορικῶν ὑπόθεσις γραφι-
ὴ πρὸς ἔκπληξιν καὶ ὄγκον, ὡς θείᾳ τινὶ τύχῃ παρα-
ωρήσασαν Ἀλεξάνδρῳ τὴν θάλασσαν, ἄλλως ἀεὶ τρα-
εῖαν ἐκ πελάγους προσφερομένην, σπανίως δὲ λεπτοὺς
αὶ προσεχεῖς ὑπὸ τὰ κρημνώδη καὶ παρεῤῥωγότα τῆς
ορεινῆς πάγους διακαλύπτουσαν. Δηλοῖ δὲ καὶ Μέ-
ανδρος, ἐν κωμῳδίᾳ παίζων πρὸς τὸ παράδοξον·

Ὡς Ἀλεξανδρῷδες ἤδη τοῦτο. Κἂν ζητῶ τινα,
Ἀδιόμετος οὗτος πάρεστι. Κἂν διελθεῖν δηλαδὴ
Διὰ θαλάσσης δέῃ τόπον τιν', οὗτος ἔσται μοι βατός.

Αὐτὸς δ' Ἀλέξανδρος ἐν ταῖς ἐπιστολαῖς, οὐδὲν τοι-
οῦτον τερατευσάμενος, ὁδοποιῆσαί φησι τὴν λεγο-
ένην Κλίμακα, καὶ διελθεῖν, ὁρμήσας ἐκ Φασήλι-
ος. Διὸ καὶ πλείονας ἡμέρας ἐν τῇ πόλει διέτρι-
εν· ἐν αἷς καὶ Θεοδέκτου τεθνηκότος (ἦν δὲ Φα-
ηλίτης) ἰδὼν εἰκόνα ἀνακειμένην ἐν ἀγορᾷ, μετὰ
εῖπνον ἐπεκώμασε μεθύων, καὶ τῶν στεφάνων ἐπέ-
ιψε πολλοὺς, οὐκ ἄχαριν ἐν παιδιᾷ ἀποδιδοὺς τι-

Digitized by Google

μὴν τῇ γενομένῃ δι' Ἀριστοτέλην καὶ φιλοσοφίαν ὁμιλίᾳ πρὸς τὸν ἄνδρα.

XVIII. Μετὰ ταῦτα Πισιδῶν τε τοὺς ἀντιστάντας ἥρει, καὶ Φρυγίαν ἐχειροῦτο· καὶ Γόρδιον πόλιν, ἑστίαν Μίδου τοῦ παλαιοῦ γενέσθαι λεγομένην, παραλαβών, τὴν θρυλλουμένην ἅμαξαν εἶδε φλοιῷ κρανείας ἐνδεδεμένην, καὶ λόγον ἐπ' αὐτῇ πιστευόμενον ὑπὸ τῶν βαρβάρων ἤκουσεν, ὡς τῷ λύσαντι τὸν δεσμὸν εἱμαρται βασιλεῖ γενέσθαι τῆς οἰκουμένης. Οἱ μὲν οὖν πολλοί φασι, τῶν δεσμῶν τυφλὰς ἐχόντων τὰς ἀρχὰς καὶ δι' ἀλλήλων πολλάκις σκολιοῖς ἐλιγμοῖς ὑποφερομένων, τὸν Ἀλέξανδρον ἀμηχανοῦντα λῦσαι, διατεμεῖν τῇ μαχαίρᾳ τὸ σύναμμα, καὶ πολλὰς ἐξ αὐτοῦ κοπέντος ἀρχὰς φανῆναι. Ἀριστόβουλος δὲ καὶ πάνυ λέγει ῥᾳδίαν αὐτῷ τὴν λύσιν γενέσθαι ἐξελόντι τοῦ ῥυμοῦ τὸν ἧστορα καλούμενον, ᾧ συνείχετο τὸ ζυγόδεσμον, εἶθ' οὕτως ὑφελκύσαντι τὸν ζυγόν. Ἐντεῦθεν Παφλαγόνας τε καὶ Καππαδόκας προσαγαγόμενος, καὶ τὴν Μέμνονος ἀκούσας τελευτήν, ὃς τῶν ἐπὶ θαλάττῃ Δαρείου στρατηγῶν ἐπίδοξος ἦν Ἀλεξάνδρῳ πολλὰ πράγματα καὶ μυρίας ἀντιλήψεις καὶ ἀσχολίας παρέξειν, ἐπέῤῥωσθη πρὸς τὴν ἄνω στρατείαν μᾶλλον. Ἤδη δὲ καὶ Δαρεῖος ἐκ Σούσων κατέβαινεν, ἐπαιρόμενός τε τῷ πλήθει τῆς δυνάμεως, (ἑξήκοντα γὰρ ἦγε μυριάδας στρατοῦ) καί τινος ὀνείρου θαῤῥύνοντος αὐτόν, ὃν οἱ μάγοι πρὸς χάριν ἐξηγοῦντο μᾶλλον, ἢ κατὰ τὸ εἰκός. Ἔδοξε γὰρ πυρὶ νέμεσθαι πολλῷ τὴν Μακε-

Digitized by Google

δόνων φάλαγγα· τὸν δ' Ἀλέξανδρον ἔχοντα στολὴν, ἣν αὐτὸς ἐφόρει πρότερον, ἀστάνδης ὢν βασιλέως, ὑπηρετεῖν αὐτῷ· παρελθόντα δ' εἰς τὸ τοῦ Βήλου τέμενος, ἀφανῆ γενέσθαι. Διὰ τούτων, ὡς ἔοικεν, ὑπεδηλοῦτο παρὰ τοῦ θεοῦ, λαμπρὰ γενήσεσθαι καὶ περιφανῆ τὰ τῶν Μακεδόνων· Ἀλέξανδρον δὲ τῆς μὲν Ἀσίας κρατήσειν, ὥσπερ ἐκράτησε Δαρεῖος, ἐξ ἀστάνδου βασιλεὺς γενόμενος, ταχὺ δὲ σὺν δόξῃ τὸν βίον ἀπολείψειν.

XIX. Ἔτι δὲ μᾶλλον ἐθάῤῥησε, καταγνοὺς δειλίαν Ἀλεξάνδρου πολὺν χρόνον ἐν Κιλικίᾳ διατρίψαντος. Ἦν δ' ἡ διατριβὴ διὰ νόσον, ἣν οἱ μὲν ἐκ κόπων, οἱ δὲ λουσαμένῳ ἐν τῷ τοῦ Κύδνου ῥεύματι καταπαγέντι προσπεσεῖν λέγουσι. Τῶν μὲν οὖν ἄλλων ἰατρῶν οὐδεὶς ἐθάῤῥει βοηθεῖν, ἀλλὰ τὸν κίνδυνον οἰόμενοι πάσης ἰσχυρότερον εἶναι βοηθείας, ἐφοβοῦντο τὴν ἐκ τοῦ σφαλῆναι διαβολὴν πρὸς τοὺς Μακεδόνας· Φίλιππος δ' ὁ Ἀκαρνὰν μοχθηρὰ μὲν ἑώρα τὰ περὶ αὐτὸν ὄντα, τῇ δὲ φιλίᾳ πιστεύων, καὶ δεινὸν ἡγούμενος, εἰ κινδυνεύοντι μὴ συγκινδυνεύσει, μέχρι τῆς ἐσχατῆς πείρας βοηθῶν καὶ παραβαλλόμενος, ἐπεχείρησε φαρμακείᾳ· καὶ συνέπεισεν αὐτὸν ὑπομεῖναι καὶ πιεῖν, σπεύδοντα ῥωσθῆναι πρὸς τὸν πόλεμον. Ἐν τούτῳ δὲ Παρμενίων ἔπεμψεν ἐπιστολὴν ἀπὸ στρατοπέδου, διακελευόμενος αὐτῷ φυλάξασθαι τὸν Φίλιππον, ὡς ὑπὸ Δαρείου πεπεισμένον ἐπὶ δωρεαῖς μεγάλαις καὶ γάμῳ θυγατρὸς ἀνελεῖν Ἀλέξανδρον. Ὁ δὲ, τὴν ἐπιστολὴν ἀναγνοὺς, καὶ μηδενὶ δείξας τῶν φίλων, ὑπὸ τὸ προσ-

Digitized by Google

κεφάλαιον ὑπέθηκεν. Ὡς δὲ, τοῦ καιροῦ παρόντος, εἰσῆλθε μετὰ τῶν ἑταίρων ὁ Φίλιππος τὸ φάρμακον ἐν κύλικι κομίζων, ἐκείνῳ μὲν ἐπέδωκε τὴν ἐπιστολήν, αὐτὸς δὲ τὸ φάρμακον ἐδέξατο προθύμως καὶ ἀνυπόπτως· ὥστε θαυμαστὴν καὶ θεατρικὴν τὴν ὄψιν εἶναι. τοῦ μὲν ἀναγινώσκοντος, τοῦ δὲ πίνοντος· εἶτα ἅμα πρὸς ἀλλήλους ἀποβλεπόντων οὐχ ὁμοίους, ἀλλὰ τοῦ μὲν Ἀλεξάνδρου φαιδρῷ τῷ προσώπῳ καὶ διακεχυμένῳ τὴν πρὸς τὸν Φίλιππον εὐμένειαν καὶ πίστιν ἀποφαίνοντος· ἐκείνου δὲ πρὸς τὴν διαβολὴν ἐξισταμένου, καὶ ποτὲ μὲν θεοκλυτοῦντος καὶ πρὸς τὸν οὐρανὸν ἀνατείνοντος τὰς χεῖρας, ποτὲ δὲ τῇ κλίνῃ περιπίπτοντος, καὶ παρακαλοῦντος τὸν Ἀλέξανδρον εὐθυμεῖν καὶ προσέχειν αὐτῷ. Τὸ γὰρ φάρμακον, ἐν ἀρχῇ κρατῆσαν τοῦ σώματος, οἷον ἐπέωσε καὶ κατέδυσεν εἰς βάθος τὴν δύναμιν, ὥστε καὶ φωνὴν ἐπιλιπεῖν, καὶ τὰ περὶ τὴν αἴσθησιν ἀσαφῆ καὶ μικρὰ κομιδῇ γενέσθαι, λειποθυμίας ἐπιπεσούσης. Οὐ μὴν ἀλλὰ ταχέως ἀναληφθεὶς ὑπὸ τοῦ Φιλίππου, καὶ ῥώσας αὐτὸν ἐπέδειξε τοῖς Μακεδόσιν. Οὐ γὰρ ἐπαύοντο, πρὶν ἰδεῖν τὸν Ἀλέξανδρον, ἐθυμοῦντες.

XX. Ἦν δέ τις ἐν τῷ Δαρείου στρατῷ πεφευγὼς ἐκ Μακεδονίας, ἀνὴρ Μακεδὼν, Ἀμύντας, οὐκ ἄπειρος τῆς Ἀλεξάνδρου φύσεως. Οὗτος, ὁρμημένον ἰδὼν Δαρεῖον εἴσω τῶν στενῶν βαδίζειν ἐπ' Ἀλέξανδρον, ἐδεῖτο κατὰ χώραν ὑπομένειν, ἐν πλάτει χώρου ἔχουσι πεδίοις καὶ ἀναπεπταμένοις πρὸς ἐλάττονας

Digitized by Google

πλήθει τοσούτῳ διαμαχούμενον. Ἀποκριναμένου δὲ Δαρείου δεδιέναι, μὴ φθάσωσιν αὐτὸν ἀποδράντες οἱ πολέμιοι, καὶ διαφυγὼν Ἀλέξανδρος· „Ἀλλὰ τούτου γε (εἶπεν), ὦ βασιλεῦ, χάριν, θάῤῥει· βαδιεῖται γὰρ ἐκεῖνος ἐπὶ σὲ, καὶ σχεδὸν ἤδη βαδίζει.“ Ταῦτα λέγων Ἀμύντας οὐκ ἔπειθεν, ἀλλ' ἀναστὰς ἐπορεύετο Δαρεῖος εἰς Κιλικίαν, ἅμα δ' Ἀλέξανδρος εἰς Συρίαν ἐπ' ἐκεῖνον. Ἐν δὲ τῇ νυκτὶ διαμαρτόντες ἀλλήλων, αὖθις ἀνέστρεφον, Ἀλέξανδρος μὲν ἡδόμενός τε τῇ συντυχίᾳ. καὶ σπεύδων ἀπαντῆσαι περὶ τὰ στενὰ, Δαρεῖος δὲ, τὴν προτέραν ἀναλαβεῖν στρατοπεδείαν, καὶ τῶν στενῶν ἐξελίξαι τὴν δύναμιν. Ἤδη γὰρ ἐγνώκει παρὰ τὸ συμφέρον ἐμβεβληκὼς ἑαυτὸν εἰς χαλεπὰ θαλάττῃ καὶ ὄρεσι καὶ ποταμῷ διὰ μέσου ῥέοντι τῷ Πινάρῳ δύσιππα, καὶ διεσπασμένα πολλαχοῦ, καὶ πρὸς τῆς ὀλιγότητος τῶν πολεμίων ἔχοντα τὴν θέσιν. Ἀλεξάνδρῳ δὲ τὸν μὲν τόπον ἡ τύχη παρέσχεν· ἐστρατήγησε δὲ τῶν ἀπὸ τῆς τύχης ὑπαρχόντων πρὸς τὸ νικῆσαι βέλτιον. Ὅς γε τοσούτῳ πλήθει τῶν βαρβάρων λειπόμενος, ἐκείνοις μὲν οὐ παρέσχε κύκλωσιν, αὐτὸς δὲ τῷ δεξιῷ τὸ εὐώνυμον ὑπερβαλὼν, καὶ γενόμενος κατὰ κέρας, φυγὴν ἐποίησε τῶν καθ' αὑτὸν βαρβάρων, ἐν πρώτοις ἀγωνιζόμενος· ὥστε τρωθῆναι ξίφει τὸν μηρὸν, ὡς μὲν Χάρης φησὶν, ὑπὸ Δαρείου, (συμπεσεῖν γὰρ αὐτοὺς εἰς χεῖρας) Ἀλέξανδρος δὲ περὶ τῆς μάχης ἐπιστέλλων τοῖς περὶ τὸν Ἀντίπατρον, οὐκ εἴρηκεν, ὅστις ἦν ὁ τρώσας, ὅτι δὲ τρωθείη τὸν μη-

Digitized by Google

ρὺν ἐγχειρίδιον, δυσχερὲς δ' οὐδὲν ἀπὸ τοῦ τραύματος συμβαίνη, γέγραφε. Νικήσας δὲ λαμπρῶς, καὶ καταβαλὼν ὑπὲρ ἕνδεκα μυριάδας τῶν πολεμίων, Δαρεῖον μὲν οὐχ εἷλε, τέτταρας σταδίους, ἢ πέντε, προλαβόντα τῇ φυγῇ, τὸ δ' ἅρμα καὶ τὸ τόξον αὐτοῦ λαβὼν ἐπανῆλθε· καὶ κατέλαβε τοὺς Μακεδόνας τὸν μὲν ἄλλον πλοῦτον ἐκ τοῦ βαρβαρικοῦ στρατοπέδου φέροντας καὶ ἄγοντας ὑπερβάλλοντα πλήθει, καίπερ εὐζώνων πρὸς τὴν μάχην παραγενομένων, καὶ τὰ πλεῖστα τῆς ἀποσκευῆς ἐν Δαμασκῷ καταλιπόντων, τὴν δὲ Δαρείου σκηνὴν ἐξῃρηκότας ἐκείνῳ, θεραπείας τε λαμπρᾶς καὶ παρασκευῆς καὶ χρημάτων πολλῶν γέμουσαν. Εὐθὺς οὖν ἀποδυσάμενος τὰ ὅπλα, πρὸς τὸ λουτρὸν ἐβάδιζεν, εἰπών· „Ἴωμεν ἀπολουσάμενοι τὸν ἀπὸ τῆς μάχης ἱδρῶτα τῷ Δαρείου λουτρῷ." Καί τις τῶν ἑταίρων· „Μὰ τὸν Δί' (εἶπεν), ἀλλὰ τῷ Ἀλεξάνδρου· τὰ γὰρ τῶν ἡττωμένων εἶναί τε δεῖ καὶ προσαγορεύεσθαι τοῦ κρατοῦντος." Ὡς δ' εἶδε μὲν ὅλκια καὶ κρωσσοὺς καὶ πύελους καὶ ἀλαβάστρους, πάντα χρυσοῦ ἠσκημένα περιττῶς, ὠδώδει δὲ θεσπέσιον, οἷον ὑπ' ἀρωμάτων καὶ μύρων, ὁ οἶκος· ἐκ δὲ τούτου παρῆλθεν εἰς σκηνὴν ὕψει τε καὶ μεγέθει, καὶ τῷ περὶ τὴν στρωμνὴν καὶ τραπέζας καὶ τὸ δεῖπνον αὐτοῦ κόσμῳ θαύματος ἀξίαν, διαβλέψας πρὸς τοὺς ἑταίρους· „Τοῦτ' ἦν, ὡς ἔοικεν (ἔφη), τὸ βασιλεύειν."

XXI. Τρεπομένῳ δὲ πρὸς τὸ δεῖπνον αὐτῷ φρέαζει τις ἐν τοῖς αἰχμαλώτοις ἀγομένας μητέρα καὶ γυ-

Digitized by Google

γαῖκα Δαρείου, καὶ θυγατέρας δύο παρθένους, ἰδούσας τὸ ἅρμα καὶ τὰ τόξα κόπτεσθαι καὶ θρηνεῖν, ὡς ἀπολωλότος ἐκείνου. Συχνὸν οὖν ἐπισχὼν χρόνον Ἀλέξανδρος, καὶ ταῖς ἐκείνων τύχαις μᾶλλον, ἢ ταῖς ἑαυτοῦ, ἐμπαθὴς γενόμενος, πέμπει Λεοννάτον, ἀπαγγεῖλαι κελεύσας, ὡς οὔτε Δαρεῖος τέθνηκεν, οὔτ' Ἀλέξανδρον δεδιέναι χρή· Δαρείῳ γὰρ ὑπὲρ ἡγεμονίας πολεμεῖν, ἐκείναις δὲ πάντα ὑπάρξειν, ὧν καὶ Δαρείου βασιλεύοντος ἠξιοῦντο. Τοῦ δὲ λόγου ταῖς γυναιξὶν ἡμέρου καὶ χρηστοῦ φανέντος, ἔτι μᾶλλον γενομέναις αἰχμαλώτοις τὰ ἀπὸ τῶν ἔργων ἀπήντα φιλάνθρωπα. Θάψαι γὰρ, ὅσους ἐβούλοντο Περσῶν, ἔδωκεν, ἐσθῆτι καὶ κόσμῳ χρησαμέναις ἐκ τῶν λαφύρων· θεραπείας τε καὶ τιμῆς, ἣν εἶχον, οὐδ' ὁτιοῦν ἀφεῖλε, συντάξεις δὲ μείζονας ἐκαρποῦντο τῶν προτέρων. Ἡ δὲ καλλίστη καὶ βασιλικωτάτη χάρις ἦν παρ' αὐτοῦ, γυναιξὶ γενναίαις γενομέναις αἰχμαλώτοις καὶ σώφροσι, μήτ' ἀκοῦσαί τι, μήτε ὑπονοῆσαι, μήτε προσδοκῆσαι τῶν αἰσχρῶν, ἀλλ', ὥσπερ οὐκ ἐν στρατοπέδῳ πολεμίων, ἀλλ' ἐν ἱεροῖς καὶ ἁγίοις φυλαττομένας παρθενῶσιν, ἀπόῤῥητον ἔχειν καὶ ἀόρατον ἑτέροις δίαιταν. Καίτοι λέγεταί γε, τὴν Δαρείου γυναῖκα πολὺ πασῶν τῶν βασιλίδων εὐπρεπεστάτην γενέσθαι, καθάπερ καὶ αὐτὸς Δαρεῖος ἀνδρῶν κάλλιστος καὶ μέγιστος· τὰς δὲ παῖδας ἐοικέναι τοῖς γονεῦσιν. Ἀλλ' Ἀλέξανδρος, ὡς ἔοικε, τοῦ νικᾶν τοὺς πολεμίους, τὸ κρατεῖν ἑαυτοῦ βασιλικώτερον ἡγούμενος, οὔτε τούτων

Digitized by Google

ἔθιγεν, οὔτ' ἄλλην ἔγνω γυναῖκα πρὸ γάμου, πλὴν Βαρσίνης. Αὕτη δὲ, μετὰ τὴν Μέμνονος τελευτὴν χήρα γενομένη, περὶ Δαμασκὸν ἐλήφθη. Πεπαιδευμένη δὲ παιδείαν Ἑλληνικὴν, καὶ τὸν τρόπον ἐπιεικὴς οὖσα, καὶ πατρὸς Ἀρταβάζου, γεγονότος ἐκ βασιλέως θυγατρὸς, ἐγνώσθη, Παρμενίωνος προτρεψαμένου τὸν Ἀλέξανδρον, ὡς φησιν Ἀριστόβουλος, καλῆς καὶ γενναίας καὶ τὸ κάλλος, ἅψασθαι γυναικός. Τὰς δ' ἄλλας αἰχμαλώτους ὁρῶν ὁ Ἀλέξανδρος κάλλει καὶ μεγέθει διαφερούσας ἔλεγε παίζων, ὡς εἰσὶν ἀλγηδόνες ὀμμάτων αἱ Περσίδες. Ἀντεπιδεικνύμενος δὲ πρὸς τὴν ἰδέαν τὴν ἐκείνων τὸ τῆς ἰδίας ἐγκρατείας καὶ σωφροσύνης κάλλος, ὥσπερ ἀψύχους εἰκόνας ἀγαλμάτων παρέπεμπεν.

XXII. Ἐπεὶ δὲ Φιλόξενος, ὁ τῶν ἐπὶ θαλάττης στρατηγὸς, ἔγραψεν εἶναι παρ' αὐτῷ Θεόδωρόν τινα Ταραντῖνον, ἔχοντα παῖδας ὠνίους δύο, τὴν ὄψιν ὑπερφυεῖς, καὶ πυνθανόμενος, εἰ πρέπται, χαλεπῶς ἐνεγκὼν, ἔβδα πολλάκις πρὸς τοὺς φίλους ἐρωτῶν, τί πώποτε Φιλόξενος αἰσχρὸν αὐτῷ συνεγνωκὼς, τοιαῦτα ὀνείδη προξενῶν κάθηται. Τὸν δὲ Φιλόξενον αὐτὸν ἐν ἐπιστολῇ πολλὰ λοιδορήσας, ἐκέλευεν αὐτοῖς φορτίοις τὸν Θεόδωρον εἰς τὸν ὅλεθρον ἀποστέλλειν. Ἐπέπληξε δὲ καὶ Ἄγνωνι νεανίσκῳ, γράψαντι πρὸς αὐτὸν, ὅτι Κρωβύλον, εὐδοκιμοῦντα ἐν Κορίνθῳ, βούλεται πριάμενος ἀγαγεῖν πρὸς αὐτόν. Πυνθανόμενος δὲ, μισθοφόρων τινῶν γύναια διεφθαρκέναι Δάμωνα καὶ Τιμόθεον

Digitized by Google

Μακεδόνας τῶν ὑπὸ Παρμενίωνι στρατευομένων, ἔγραψε Παρμενίωνι, κελεύων, ἐὰν ἐλεγχθῶσιν, ὡς θηρία, ἐπὶ καταφθορᾷ τῶν ἀνθρώπων γεγονότα, τιμωρησάμενον ἀποκτεῖναι. Καὶ περὶ ἑαυτοῦ κατὰ λέξιν ἐν ταύτῃ τῇ ἐπιστολῇ γέγραφεν· „Ἐγὼ γὰρ οὐχ ὅτι δωρεακὼς ἂν εὑρεθείην τὴν Δαρείου γυναῖκα, ἢ βεβουλευμένος ἰδεῖν, ἀλλ' οὐδὲ τῶν λεγόντων περὶ τῆς εὐμορφίας αὐτῆς προσδεδεγμένος τὸν λόγον." Ἔλεγε δὲ, μάλιστα συνιέναι θνητὸς ὢν ἐκ τοῦ καθεύδειν καὶ συνουσιάζειν· ὡς ἀπὸ μιᾶς ἐγγινόμενον ἀσθενείας τῇ φύσει καὶ τὸ πονοῦν καὶ τὸ ἡδόμενον. Ἦν δὲ καὶ γαστρὸς ἐγκρατέστατος, ὡς καὶ τοῦτ' ἄλλοις τε πολλοῖς ἐδήλωσεν, καὶ τοῖς πρὸς Ἄδαν λεχθεῖσιν, ἣν ἐποιήσατο μητέρα, καὶ Καρίας βασίλισσαν ἀπέδειξεν. Ὡς γὰρ ἐκείνη φιλοφρονουμένη πολλὰ μὲν ὄψα καθ' ἡμέραν ἀπέστελλεν αὐτῷ καὶ πέμματα, τέλος δὲ τοὺς δοκοῦντας εἶναι δεινοτάτους ὀψοποιοὺς καὶ ἀρτοποιούς, ἔφη τούτων μηδὲν δεῖσθαι· βελτίονας γὰρ ὀψοποιοὺς ἔχειν ὑπὸ τοῦ παιδαγωγοῦ Λεωνίδου δεδομένους αὐτῷ, πρὸς μὲν δὲ ἄριστον, νυκτοπορίαν, πρὸς δὲ τὸ δεῖπνον, ὀλιγαριστίαν. „Ὁ δ' αὐτὸς οὗτος ἀνὴρ (ἔφη) καὶ τῶν στρωμάτων ἐπιὼν τὰ ἀγγεῖα καὶ τῶν ἱματίων ἔλυσεν, ἐπισκοπῶν, μή τί μοι τρυφερὸν ἢ περισσὸν ἡ μήτηρ συντέθεικεν."

XXIII. Ἦν δὲ καὶ πρὸς οἶνον ἧττον, ἢ ἐδόκει, καταφερής. Ἔδοξε δὲ, διὰ τὸν χρόνον, ὃν οὐ πίνων μᾶλλον, ἢ λαλῶν, εἶλκεν, ἐφ' ἑκάστης κύλι-

Digitized by Google

νος ἀεὶ μακρόν τινα λόγον διατιθέμενος, καὶ ταῦτα, πολλῆς σχολῆς οὔσης. Ἐπεὶ πρός γε τὰς πράξεις οὐκ οἶνος ἐκεῖνον, οὐχ ὕπνος, οὐ παιδιά τις, οὐ γάμος, οὐ θέα, καθάπερ ἄλλους στρατηγοὺς, ἐπέσχε. Λήλοῖ δὲ ὁ βίος, ὃν βιώσας βραχὺν παντάπασιν, πλείστων καὶ μεγίστων πράξεων ἐνέπλησεν. Ἐν δὲ ταῖς σχολαῖς, πρῶτον μὲν ἀναστὰς καὶ θύσας τοῖς θεοῖς, εὐθὺς ἥριστα καθήμενος· ἔπειτα δεημέρευε κυνηγῶν, ἢ συντάττων, ἢ δικάζων τι τῶν πολεμικῶν, ἢ ἀναγινώσκων. Εἰ δ' ὁδὸν βαδίζοι μὴ λίαν ἐπείγουσαν, ἐμάνθανεν ἅμα πορευόμενος ἢ τοξεύειν, ἢ ἐπιβαίνειν ἅρματος ἐλαυνομένου καὶ ἀποβαίνειν. Πολλάκις δὲ παίζων καὶ ἀλώπεκας ἐθήρευε, καὶ ὄρνιθας, ὡς ἔστι λαβεῖν ἐκ τῶν ἐφημερίδων. Καταλύσας δὲ καὶ τρεπόμενος πρὸς λουτρὸν, ἢ ἄλειμμα, τοὺς ἐπὶ τῶν σιτοποιῶν καὶ μαγείρων ἀνέκρινεν, εἰ τὰ πρὸς τὸ δεῖπνον εὐτρεπῶς ἔχουσι. Καὶ δειπνεῖν μὲν ὀψὲ καὶ σκότους ἤδη κατακλινόμενος ἤρχετο· θαυμαστὴ δ' ἦν ἡ ἐπιμέλεια καὶ περιβλεψις ἐπὶ τῆς τραπέζης, ὅπως μηδὲν ἀνίσως, μηδ' ὀλιγώρως διανέμοιτο· τὸν δὲ πότον, ὥσπερ εἴρηται, μακρὸν ὑπ' ἀδολεσχίας ἐξέτεινε. Καὶ τἆλλα πάντων ἥδιστος ὢν βασιλέων συνεῖναι, καὶ χάριτος οὐδεμιᾶς ἀμοιρῶν, τότε ταῖς μεγαλαυχίαις ἀηδὴς ἐγίνετο, καὶ λίαν στρατιωτικὸς, αὐτός τε πρὸς τὸ κομπώδες ὑποφερόμενος, καὶ τοῖς κόλαξιν ἑαυτὸν ἀνεικώς ἐππάσιμον, ὑφ' ὧν οἱ χαριέστατοι τῶν παρόντων ἐπετρίβοντο, μήτε ἀμιλλᾶσθαι τοῖς κόλαξι,

Digitized by Google

ήτε λείπεσθαι βουλόμενοι τῶν αὐτῶν ἐπαίνων. Τὸ ἐν γὰρ αἰσχρὸν ἐδόκει, τὸ δὲ κίνδυνον ἔφερε. Μετὰ δὲ τὸν πότον λουσάμενος ἐκάθευδε πολλάκις μέχρι ἑσπέρας ἡμέρας· ἔστι δ' ὅτε καὶ διημέρευεν ἐν τῷ καθεύδειν. Αὐτὸς μὲν οὖν καὶ ὄψων ἐγκρατὴς ἦν, ὥστε καὶ τὰ σπανιώτατα πολλάκις τῶν ἀπὸ θαλάττης αὐτῷ κομιζομένων ἀκροδρύων καὶ ἰχθύων, ἑκάστῳ διαεμπόμενος τῶν ἑταίρων, πολλάκις ἑαυτῷ μόνῳ μηδὲν καταλείπειν. Τὸ μέντοι δεῖπνον ἦν ἀεὶ μεγαλοπρεπές, καὶ, τοῖς εὐτυχήμασι τῆς δαπάνης ἅμα συναυξανομένης, τέλος εἰς μυρίας δραχμὰς προῆλθεν. Ἐνταῦθα δ' ἔστη, καὶ τοσοῦτον ὥρισθη τελεῖν τοῖς παραδεχομένοις Ἀλέξανδρον.

XXIV. Μετὰ δὲ τὴν μάχην τὴν ἐν Ἰσσῷ, πέμπας εἰς Δαμασκὸν, ἔλαβε τὰ χρήματα καὶ τὰς ἀποσκευὰς, καὶ τὰ τέκνα καὶ τὰς γυναῖκας τῶν Περσῶν. καὶ πλεῖστα μὲν ὠφελήθησαν οἱ τῶν Θεσσαλῶν ἱππεῖς· τούτους γὰρ, ἄνδρας ἀγαθοὺς διαφερόντως τῇ μάχῃ γενομένους, ἔπεμψεν ἐπίτηδες ὠφεληθῆναι βουλόμενος· ἐνεπλήσθη δὲ καὶ τὸ λοιπὸν εὐπορίας στρατόπεδον. Καὶ γευσάμενοι τότε πρῶτον οἱ Μακεδόνες χρυσοῦ καὶ ἀργύρου καὶ γυναικῶν καὶ ἀσίτης βαρβαρικῆς, ὥσπερ κύνες, ἔσπευδον ἀψάμενοι στίβου διώκειν καὶ ἀνιχνεύειν τὸν Περσῶν πλοῦτον. Οὐ μὲν ἀλλ' Ἀλεξάνδρῳ πρῶτον ἐδόκει κρατῆσαι τὰ πρὸς θαλάσσῃ. Κύπρον μὲν οὖν εὐθὺς βασιλεῖς ἦκον ἐγχειρίζοντες αὐτῷ, καὶ Φοινίκην, πλὴν Τύρου. Τύρον δὲ πολιορκῶν ἑπτὰ μῆνας χώ-

μασι καὶ μηχαναῖς καὶ τριήρεσι διακοσιαις ἐκ θαλάττης, ὅναρ εἶδε τὸν Ἡρακλέα δεξιούμενον αὐτὸν ἀπὸ τοῦ τείχους καὶ καλοῦντα. Τῶν δὲ Τυρίων πολλοῖς κατὰ τοὺς ὕπνους ἔδοξεν ὁ Ἀπόλλων λέγειν, ὡς ἄπεισι πρὸς Ἀλέξανδρον· οὐ γὰρ ἀρέσκειν αὐτῷ τα πρασσόμενα κατὰ τὴν πόλιν. Ἀλλ' αὐτοὶ μὲν, ὥσπερ ἄνθρωπον αὐτομολοῦντα πρὸς τοὺς πολεμίους, ἐπ' αὐτοφώρῳ τὸν θεὸν εἰληφότες, σειρᾶς τε τῷ κολοσσῷ περιέβαλλον αὐτοῦ, καὶ καθήλουν πρὸς τὴν βάσιν, Ἀλεξανδριστὴν καλοῦντες. Ἕτέραν δ' ὄψιν Ἀλέξανδρος εἶδε κατὰ τοὺς ὕπνους. Σάτυρος αὐτῷ φαυλὶς ἐδόκει προσπαίζειν πόρρωθεν, εἶτα βουλομένοι λαβεῖν, ὑπεξέφυγε· τέλος δὲ, πολλὰ λιπαρήσαντος καὶ περιδραμόντος, ἦλθεν εἰς χεῖρας. Οἱ δὲ μάντεις, τοὔνομα διαιροῦντες οὐκ ἀπιθάνως, ἔφασαν αὐτῷ „Σὰ γενήσεται Τύρος." Καὶ κρήνην δέ τινα δεικνύουσι, πρὸς ἣν κατὰ τοὺς ὕπνους ἰδεῖν ἔδοξε τὸν Σάτυρον. Διὰ μέσου δὲ τῆς πολιορκίας, ἐπὶ τοὺς Ἄραβας τοὺς προσοικοῦντας τῷ Ἀντιλιβάνῳ στρατεύσας, ἐκινδύνευσε διὰ τὸν παιδαγωγὸν Λυσίμαχον· ἐξηκολούθησε γὰρ αὐτῷ, λέγων τοῦ Φοίνικος οὐκ εἶναι χείρων, οὐδὲ πρεσβύτερος. Ἐπεὶ δὲ πλησιάσας τοῖς ὀρεινοῖς, καὶ τοὺς ἵππους ἀπολιπὼν, πεζὸς ἐβάδιζεν, οἱ μὲν ἄλλοι πολὺ προῆλθον, αὐτὸς δὲ τὸν Λυσίμαχον, ἑσπέρας ἤδη καταλαμβανούσης, καὶ τῶν πολεμίων ἐγγὺς ὄντων, ἀπαγορεύοντα καὶ βαρυνόμενον οὐχ ὑπομένων ἀπολιπεῖν, ἀλλ' ἀναλαβὼν καὶ παρακομίζων, ἔλαθε τοῦ στρατεύματος ἀποσπα-

Digitized by Google

εἰς μετ' ὀλίγων, καὶ σκότους ἅμα καὶ ῥίγους σφο-
ῦ νυκτερεύων ἐν χωρίοις χαλεποῖς. Εἶδεν οὖν
ῥῶ πυρὰ πολλὰ καιόμενα σποράδην τῶν πολε-
ν. Θαῤῥῶν δὲ τοῦ σώματος τῇ κουφότητι, καὶ
πονεῖν αὐτὸς ἀεὶ, παραμυθούμενος τὴν ἀπορίαν
ν Μακεδόνων, προσέδραμε τοῖς ἔγγιστα πῦρ καί-
σι· καὶ περικαθημένους τῇ πυρᾷ δύο βαρβάρους
τάξας τῷ ἐγχειριδίῳ, καὶ δαλὸν ἁρπάσας, ἦκε πρὸς
ὺς ἑαυτοῦ κομίζων. Ἐγκαύσαντες δὲ πῦρ πολὺ,
ὺς μὲν εὐθὺς ἐφόβησαν, ὥστε φυγεῖν, τοὺς δ'
ιόντας ἐτρέψαντο, καὶ κατηυλίσθησαν ἀκινδύνως.
εῦτα μὲν οὖν Χάρης ἱστόρηκεν.

XXV. Ἡ δὲ πολιορκία τοιοῦτον ἔσχε πέρας. Ἀλε-
νδρου τὴν μὲν πολλὴν τῆς δυνάμεως ἀναπαύοντος
ὸ πολλῶν ἀγώνων τῶν ἔμπροσθεν, ὀλίγους δέ τι-
ς, ὡς μὴ σχολάζοιεν οἱ πολέμιοι, τοῖς τείχεσι
οσάγοντος, Ἀρίστανδρος ὁ μάντις ἐσφαγιάζετο·
ὶ τὰ σημεῖα κατιδὼν, θρασύτερον διώρισατο πρὸς
ὺς παρόντας, ἐν ἐκείνῳ τῷ μηνὶ πάντως ἁλώσε-
αι τὴν πόλιν. Γενομένου δὲ χλευασμοῦ καὶ γέ-
τος, (ἦν γὰρ ἡ τελευταία τοῦ μηνὸς ἡμέρα) διη-
ρημένον αὐτὸν ἰδὼν ὁ βασιλεὺς, καὶ συμφιλοτι-
ύμενος ἀεὶ τοῖς μαντεύμασιν, ἐκέλευε μηκέτι τρια-
δα τὴν ἡμέραν ἐκείνην, ἀλλὰ τρίτην φθίνοντος
ιθμεῖν· καὶ τῇ σάλπιγγι σημήνας, ἀπεπειρᾶτο
ν τειχῶν ἐῤῥωμενέστερον, ἥπερ ἐξ ἀρχῆς διενοήθη.
ενομένης δὲ λαμπρᾶς ἐπιβολῆς, καὶ μηδὲ τῶν ἀπὸ
ρατοπέδου καρτερούντων, ἀλλὰ συντρεχόντων καὶ

Digitized by Google

προσβοηθούντων, ἀπεῖπον οἱ Τύριοι· καὶ τὴν πόλιν εἷλε κατ' ἐκείνην τὴν ἡμέραν. Μετὰ δὲ ταῦτα πολιορκοῦντι Γάζαν αὐτῷ, τῆς Συρίας μεγίστην πόλιν, ἐμπίπτει βῶλος εἰς τὸν ὦμον, ἀφεθεὶς ἄνωθεν ὑπ' ὄρνιθος. Ὁ δ' ὄρνις ἐφ' ἓν τῶν μηχανημάτων καθίσας, ἔλαθεν ἐνσχεθεὶς τοῖς νευρίνοις κεκρυφάλοις, οἷς πρὸς τὰς ἐπιστροφὰς τῶν σχοινίων ἐχρῶντο. Καὶ τὸ σημεῖον ἀπέβη κατὰ τὴν Ἀριστάνδρου προρρήσιν ἐτρώθη μὲν γὰρ Ἀλέξανδρος εἰς τὸν ὦμον, ἑάλω δὲ τὴν πόλιν. Ἀποστέλλων δὲ πολλὰ τῶν λαφύρων Ὀλυμπιάδι καὶ Κλεοπάτρᾳ καὶ τοῖς φίλοις, καὶ πέμψε καὶ Λεωνίδῃ τῷ παιδαγωγῷ τάλαντα λιβανωτοῦ πεντακόσια, καὶ σμύρνης ἑκατόν, ἀναμιμνῄσκων παιδικῆς ἐλπίδος. Ὁ γὰρ Λεωνίδης, ὡς ἔοικεν, ἐν θυσίᾳ ποτὲ πρὸς τὸν Ἀλέξανδρον, ἐπιδραξάμενον ἀμφοτέραις ταῖς χερσὶ καὶ καθαγίσαντα τοῦ θυμιάματος· „Ὅταν (ἔφη), τῆς ἀρωματοφόρου κρατήσῃς Ἀλέξανδρε, πλουσίως οὕτως ἐπιθυμιάσεις· νῦν δὲ φειδομένως χρῶ τοῖς παροῦσι.“ Τότ' οὖν Ἀλέξανδρος ἔγραψε πρὸς αὐτόν· „Ἀπεστάλκαμέν σοι λιβάνωτὸν ἄφθονον καὶ σμύρναν, ὅπως παύσῃ πρὸς τοὺς θεοὺς μικρολογούμενος.“

XXVI. Κιβωτίου δέ τινος αὐτῷ προσενεχθέντος, οὐ πολυτελέστερον οὐδὲν ἐφάνη τοῖς τὰ Δαρείου χρήματα καὶ τὰς ἀποσκευὰς παραλαμβάνουσιν, ἠρώτα τοὺς φίλους, ὅ τι δοκοίη μάλιστα τῶν ἀξίων σπουδῆς εἰς αὐτὸ καταθέσθαι. Πολλὰ δὲ πολλῶν λεγόντων, αὐτὸς ἔφη τὴν Ἰλιάδα φρουρήσειν ἐνταῦθα κα-

Digitized by Google

εμενος. Καὶ ταῦτα μὲν οὐκ ὀλίγοι τῶν ἀξιοπί-
ν μεμαρτυρήκασιν. Εἰ δ', ὅπερ Ἀλεξανδρεῖς λέ-
σιν, Ἡρακλείδῃ πιστεύοντες, ἀληθές ἐστιν, οὔκουν
ἀγρὸς, οὐδ' ἀσύμβολος αὐτῷ συστρατεύειν ἔοι-
Ὅμηρος. Λέγουσι γάρ, ὅτι, τῆς Αἰγύπτου κρα-
ας, ἐβούλετο πόλιν μεγάλην καὶ πολυάνθρωπον
ηνίδα συνοικίσας, ἐπώνυμον ἑαυτοῦ καταλιπεῖν
τινα τόπον γνώμῃ τῶν ἀρχιτεκτόνων ὅσον οὐδέ-
διεμετρεῖτο καὶ περιέβαλλεν. Εἶτα νύκτωρ κοι-
ενος, ὄψιν εἶδε θαυμαστήν· ἀνὴρ πολιὸς εὖ μάλα
κόμην, καὶ γεραρὸς τὸ εἶδος, ἔδοξεν αὐτῷ πα-
τὰς λέγειν τὰ ἔπη τάδε·

Νῆσος ἔπεστί τις ἐστὶ πολυκλύστῳ ἐνὶ πόντῳ,
Αἰγύπτου προπάροιθε· Φάρον δέ ἑ κικλήσκουσιν.

θὺς οὖν ἐξαναστὰς ἐβάδιζεν ἐπὶ τὴν Φάρον, ἣ τότε
ἔτι νῆσος ἦν, τοῦ Κανωβικοῦ μικρὸν ἀνωτέρω
ματος, νῦν δὲ διὰ χώματος ἀνείληπται πρὸς τὴν
ρον. Ὡς οὖν εἶδε τόπον εὐφυΐᾳ διαφέροντα,
ινία γάρ ἐστιν ἰσθμῷ πλάτος ἔχοντι σύμμετρον
εικῶς διείργουσα λίμνην τε πολλὴν καὶ θάλασσαν
μέτι μεγάλῳ τελευτῶσαν) εἰπὼν, ὡς Ὅμηρος ἦν
τά τ' ἄλλα θαυμαστὸς, καὶ σοφώτατος ἀρχι-
των, ἐκέλευσε διαγράψαι τὸ σχῆμα τῆς πόλεως τῷ
τῳ συναρμόττοντας. Καὶ γῆ μὲν οὐ παρῆν λευκή·
δ' ἀλφίτων λαμβάνοντες ἐν πεδίῳ μελαγγείῳ
λοτερῇ κόλπον ἦγον, οὗ τὴν ἐντὸς περιφέρειαν εὖ-
αι βάσεις, ὥσπερ ἀπὸ κρασπέδων εἰς σχῆμα χλα-
δος ὑπελάμβανον, ἐξ ἴσου συνάγουσαι τὸ μέγε-

Digitized by Google

θος. Ἡυθέντος δὲ τῇ διαθέσει τοῦ βασιλέως, ἀφνίδιον ὄρνιθες ἀπὸ τοῦ ποταμοῦ καὶ τῆς λίμνης πλήθει τ' ἄπειροι, καὶ κατὰ γένος παντοδαποὶ καὶ μεγάλοι, ἐπὶ τὸν τόπον καταίροντες, νέφεσιν ἐοικότες, οὐδὲ μικρὸν ὑπελίποντο τῶν ἁλφίτων· ὥστε καὶ τὸν Ἀλέξανδρον διαταραχθῆναι πρὸς τὸν οἰωνόν. Οὐ μὴν ἀλλὰ καὶ τῶν μάντεων παρῃνούντων, (πολυαρκεστάτην γὰρ οἰκίζεσθαι πόλιν ὑπ' αὐτοῦ, καὶ παντοδαπῶν ἀνθρώπων ἐσομένην τροφόν) ἔργου κελεύσας ἔχεσθαι τοὺς ἐπιμελητάς, αὐτὸς ᾤμησεν εἰς Ἄμμωνος, ὁδὸν μακρὰν, καὶ πολλὰ μὲν ἔχουσαν ἐργώδη καὶ ταλαίπωρα, κινδύνους δὲ δύο, τὸν μὲν ἀνυδρίας; δι' ἣν ἔρημός ἐστιν οὐκ ὀλίγων ἡμερῶν, τὸν δὲ, εἰ λάβρος ἐν ἄμμῳ βαθείᾳ καὶ ἀχανεῖ πορευομένοις ἐπιπέσοι νότος· ὡς που καὶ πάλαι λέγεται περὶ τὸν Καμβύσου στρατὸν, ἀναστήσας ὑῖνα μεγάλην, καὶ κυματώσας τὸ πεδίον, μυριάδας ἀνθρώπων πέντε καταχῶσαι καὶ διαφθεῖραι. Ταῦτα πάντα σχεδὸν πάντες ἐλογίζοντο· χαλεπὸν δ' ἦν Ἀλέξανδρον ἀποστρέψαι πρὸς ὅτιοῦν ὡρμημένον. Ἥ τε γὰρ τύχη ταῖς ἐπιβολαῖς ὑπείκουσα τὴν γνώμην ἰσχυρὰν ἐποίει, καὶ τὸ θυμοειδὲς ἄχρι τῶν πραγμάτων ἐπεξέφερε τὴν φιλονεικίαν ἀήττητον, οὐ μόνον πολεμίους, ἀλλὰ καὶ τόπους καὶ καιροὺς καταβιαζομένην.

XXVII. Ἐν γοῦν τῇ τότε πορείᾳ τὰ συντυχόντα ταῖς ἀπορίαις παρὰ τοῦ θεοῦ βοηθήματα τῶν ὑστέρων χρησμῶν ἐπιστεύθη μᾶλλον· τρόπον δέ τινα καὶ

ς χρησμοῖς ἡ πίστις ἐκ τούτων ὑπῆρξεν. Πρῶτον
ν γὰρ ἐκ Διὸς ὕδωρ πολὺ καὶ διαρκεῖς ὑετοὶ γενό-
νοι τόν τε τῆς δίψης φόβον ἔλυσαν, καὶ τὴν ξη-
τητα κατασβέσαντες τῆς ἄμμου, νοτερᾶς γενομέ-
ς, καὶ πρὸς αὐτὴν ξυμπεσούσης, εὔπνουν τὸν ἀέρα
ὶ καθαρώτερον παρέσχον. Ἔπειτα τῶν ὁρῶν, οἵπερ
αν τοῖς ὁδηγοῖς, συγχυθέντων, καὶ πλάνης οὔσης
ὶ διασπασμοῦ τῶν βαδιζόντων διὰ τὴν ἄγνοιαν,
ρακες ἐκφανέντες ὑπελάμβανον τὴν ἡγεμονίαν τῆς
ρείας, ἑπομένων μὲν, ἔμπροσθεν πετόμενοι καὶ
εὐδοντες, ὑστεροῦντας δὲ καὶ βραδύνοντας ἀναμέ-
ντες. Ὃ δ' ἦν θαυμασιώτατον, ὡς Καλλισθένης
σὶ, ταῖς φωναῖς ἀνακαλούμενοι τοὺς πλανωμένους
κτωρ, καὶ κλάζοντες, εἰς ἴχνος καθίστασαν τῆς πο-
ίας. Ἐπεὶ δὲ διεξελθὼν τὴν ἔρημον ἦκεν εἰς τὸν
πον, ὁ μὲν προφήτης αὐτὸν ὁ Ἄμμωνος, ἀπὸ τοῦ
οῦ χαίρειν, ὡς ἀπὸ πατρὸς, προσεῖπεν· ὁ δ' ἐπή-
το, μή τις αὐτὸν εἴη διαπεφευγὼς τῶν τοῦ πατρὸς
νέων. Εὐφημεῖν δὲ τοῦ προφήτου κελεύσαντος, οὐ
ρ εἶναι πατέρα θνητὸν αὐτῷ, μεταβαλὼν ἐπυν-
ίνετο, τοὺς Φιλίππου φονεῖς εἰ πάντας εἴη τετι-
ρημένος· εἶτα περὶ τῆς ἀρχῆς, εἰ πάντων αὐτῷ
δωσιν ἀνθρώπων κυρίῳ γενέσθαι. Χρήσαντος δὲ
ῦ θεοῦ καὶ τοῦτο διδόναι, καὶ Φίλιππον ἀπέχειν
πλεω τὴν δίκην, ἐδωρεῖτο τὸν θεὸν ἀναθήμασι
μπροῖς, καὶ χρήμασι τοὺς ἀνθρώπους. Ταῦτα
ρὶ τῶν χρησμῶν οἱ πλεῖστοι γράφουσιν· αὐτὸς δ'
λέξανδρος ἐν ἐπιστολῇ πρὸς τὴν μητέρα φησὶ γε-

Digitized by Google

γονέναι τινὰς αὐτῷ μαντείας ἀποῤῥήτους, ἃς αὐτὸς ἐπανελθὼν φράσει πρὸς μόνην ἐκείνην. Ἔνιοι δὲ φασι, τὸν μὲν προφήτην, Ἑλληνιστὶ βουλόμενον προειπεῖν μετά τινος φιλοφροσύνης. Ὦ παιδίον, ἐν τῷ τελευταίῳ τῶν φθόγγων ὑπὸ βαρβαρισμοῦ πρὸς τὸ σίγμα ἐξενεχθῆναι, καὶ εἰπεῖν, Ὦ παιδίος, ἀντὶ τοῦ ν τῷ ς χρησάμενον. Ἀσμένῳ δὲ τῷ Ἀλεξάνδρῳ τὸ σφάλμα τῆς φωνῆς γενέσθαι, καὶ διαδοθῆναι λόγον, ὡς παῖδα Διὸς αὐτὸν τοῦ θεοῦ προσειπόντος. Λέγεται δὲ καὶ Ψάμμωνος ἐν Αἰγύπτῳ τοῦ φιλοσόφου διακούσας, ἀποδέξασθαι μάλιστα τῶν λεχθέντων, ὅτι πάντες ἄνθρωποι βασιλεύονται ὑπὸ θεοῦ· τὸ γὰρ ἄρχον ἐν ἑκάστῳ καὶ κρατοῦν θεῖόν ἐστιν· ἔτι δὲ μᾶλλον αὐτὸς περὶ τούτων φιλοσοφώτερον δοξάζειν, καὶ λέγειν, ὡς πάντων μὲν ὄντα κοινὸν ἀνθρώπων πατέρα τὸν θεόν, ἰδίους δὲ ποιούμενον ἑαυτοῦ τοὺς ἀρίστους.

XXVIII. Καθόλου δὲ πρὸς μὲν τοὺς βαρβάρους σοβαρὸς ἦν, καὶ σφόδρα πεπεισμένῳ περὶ τῆς ἐκ θεοῦ γενέσεως καὶ τεκνώσεως ὅμοιος, τοῖς δ' Ἕλλησι μετρίως καὶ ὑποφειδομένως ἑαυτὸν ἐξεθείαζε· πλὴν, περὶ Σάμου γράφων Ἀθηναίοις· „Ἐγὼ μὲν οὐκ ἄν (φησὶν) ὑμῖν ἐλευθέραν πόλιν ἔδωκα καὶ ἔνδοξον· ἔχετε δ' αὐτὴν λαβόντες παρὰ τοῦ τότε κυρίου καὶ πατρὸς ἐμοῦ προσαγορευομένου," λέγων τὸν Φίλιππον. Ὕστερον δὲ πληγῇ περιπεσὼν ὑπὸ τοξεύματος, καὶ περιαλγὴς γενόμενος· „Τοῦτο μέν (εἶπεν), ὦ φίλοι, τὸ ῥέον, αἷμα καὶ οὐκ ἰχὼρ.

Digitized by Google

οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν.

Ἐπεὶ δὲ, μεγάλης ποτὲ βροντῆς γενομένης, καὶ πάντων ἐκπλαγέντων, Ἀνάξαρχος ὁ σοφιστὴς παρὼν ἔφη πρὸς αὐτὸν, „Μή τι σὺ τοιοῦτον ὁ τοῦ Διός;“ γελάσας ἐκεῖνος. „Οὐ βούλομαι γὰρ (εἶπε) φοβερὸς εἶναι τοῖς φίλοις, ὥσπερ σύ με κελεύεις, ὁ καταφαυλίζων μου τὸ δεῖπνον, ὅτι ταῖς τραπέζαις ἰχθῦας ὁρᾶς ἐπιπεσιμένους, οὐ σατραπῶν κεφαλάς.“ Τῷ γὰρ ὄντι λέγεται τὸν Ἀνάξαρχον, ἰχθυδίων Ἡφαιστίωνι πεμφθέντων ὑπὸ τοῦ βασιλέως, τὸν προειρημένον ἐπιῤῥῳθέγξασθαι λόγον, οἷον ἐξευτελίζοντα καὶ κατειρωνευόμενον τοὺς τὰ περίβλεπτα μεγάλοις πόνοις καὶ κινδύνοις διώκοντας, ὡς οὐδὲν ἢ μικρὸν ἐν ἡδοναῖς καὶ ἀπολαύσεσι πλέον ἔχοντας τῶν ἄλλων. Ὅ γ' οὖν Ἀλέξανδρος καὶ ἀπὸ τῶν εἰρημένων δῆλός ἐστιν αὐτὸς οὐδὲν πεπονθὼς, οὐδὲ τετυφωμένος, ἀλλὰ τοὺς ἄλλους καταδουλούμενος τῇ δόξῃ τῆς θειότητος.

XXIX. Εἰς δὲ Φοινίκην ἐπανελθὼν ἐξ Αἰγύπτου, θυσίας τοῖς θεοῖς καὶ πομπὰς ἐπετέλει, καὶ χορῶν γυμνικῶν καὶ τραγικῶν ἀγῶνας, οὐ μόνον ταῖς παρασκευαῖς, ἀλλὰ καὶ ταῖς ἁμίλλαις λαμπροὺς γενομένους. Ἐχορήγουν γὰρ οἱ βασιλεῖς τῶν Κυπρίων, ὥσπερ Ἀθήνῃσιν οἱ κληρούμενοι τὰς φυλάς· καὶ ἠγωνίζοντο θαυμαστῇ φιλοτιμίᾳ πρὸς ἀλλήλους. Μάλιστα δὲ Νικοκρέων ὁ Σαλαμίνιος καὶ Πασικράτης ὁ Σόλιος διεφιλονείκησαν. Οὗτοι γὰρ ἔλαχον τοῖς ἐνδοξοτάτοις ὑποκριταῖς χορηγεῖν, Πασικράτης μὲν Ἀθηνοδότῳ, Νικοκρέων δὲ Θεσσαλῷ, περὶ οὗ ἐσπου-

Digitized by Google

δάκει καὶ αὐτὸς Ἀλέξανδρος. Οὐ μὴν διέφηνε τὴν σπουδὴν πρότερον, ἢ ταῖς ψήφοις ἀναγορευθῆναι νικῶντα τὸν Ἀθηνόδωρον. Τότε δ', ὡς ἔοικεν, ἀπιὼν, ἔφη τοὺς μὲν κριτὰς ἐπαινεῖν, αὐτὸς μέντοι μέρος ἂν ἡδέως προσθαι τῆς βασιλείας ἐπὶ τῷ μὴ Θεσσαλὸν ἐθεῖν νενικημένον. Ἐπεὶ δ' Ἀθηνόδωρος, ὑπὸ τῶν Ἀθηναίων ζημιωθεὶς, ὅτι πρὸς τὸν ἀγῶνα τῶν Διονυσίων οὐκ ἀπήντησεν, ἠξίου γράψαι περὶ αὐτοῦ τὸν βασιλέα, τοῦτο μὲν οὐκ ἐποίησε, τὴν δὲ ζημίαν ἀπέστειλε παρ' ἑαυτοῦ. Λύκωνος δὲ τοῦ Σκαρφέως εὐημεροῦντος ἐν τῷ θεάτρῳ, καὶ στίχον εἰς τὴν κωμῳδίαν ἐμβαλόντος αἴτησιν περιέχοντα δέκα ταλάντων, γελάσας ἔδωκε. Δαρείου δὲ πέμψαντος ἐπιστολὴν πρὸς αὐτὸν, καὶ φίλους δεομένους μύρια μὲν ὑπὲρ τῶν ἁλισκόντων λαβεῖν τάλαντα, τὴν δ' ἐντὸς Εὐφράτου πᾶσαν ἔχοντα, καὶ γήμαντα μίαν τῶν θυγατέρων, φίλον εἶναι καὶ σύμμαχον, ἐκοινοῦτο τοῖς ἑταίροις· καὶ Παρμενίωνος εἰπόντος· „Ἐγὼ μὲν, εἰ Ἀλέξανδρος ἤμην, ἔλαβον ἂν ταῦτα" „Κἀγὼ, νὴ Δία" (εἶπεν ὁ Ἀλέξανδρος), εἰ Παρμενίων." Πρὸς δὲ τὸν Δαρεῖον ἔγραψεν, ὡς οὐδενὸς ἀτυχήσει τῶν φιλανθρώπων ἐλθὼν πρὸς αὐτὸν, εἰ δὲ μὴ, αὐτὸς ἐπ' ἐκεῖνον ἤδη πορεύεσθαι.

XXX. Τεχνὶ μέντοι μετεμελήθη, τῆς τοῦ Δαρείου γυναικὸς ἀποθανούσης ἐν ὠδῖσι· καὶ φανερὸς ἦν ἀνιώμενος, ὡς ἐπίδειξιν οὐ μικρὰν ἀφῃρημένος χρηστότητος. Ἔθαψεν οὖν τὴν ἄνθρωπον, οὐδεμιᾶς πολυτελείας φειδόμενος. Τῶν δὲ θαλαμηπόλων τις εὐνού-

Digitized by Google

γων, οἳ συνεαλώκεισαν ταῖς γυναιξὶν, ἀποδρὰς ἐκ τοῦ στρατοπέδου, καὶ πρὸς Δαρεῖον ἀφιππασάμενος, Τίρεως ὄνομα, φράζει τὸν θάνατον αὐτῷ τῆς γυναικός. Ὡς δὲ πληξάμενος τὴν κεφαλὴν καὶ ἀνακλαύσας: „Φεῦ τοῦ Περσῶν (ἔφη) δαίμονος, εἰ τὴν βασιλέως γυναῖκα καὶ ἀδελφὴν, οὐ μόνον αἰχμάλωτον γενέσθαι ζῶσαν, ἀλλὰ καὶ τελευτήσασαν, ἄμοιρον κεῖσθαι ταφῆς βασιλικῆς“ ὑπολαβὼν ὁ θαλαμηπόλος. „Ἀλλὰ ταφῆς γε χάριν (εἶπεν), ὦ βασιλεῦ, καὶ τιμῆς ἅπάσης καὶ τοῦ πρέποντος, οὐδὲν ἔχεις αἰτιάσασθαι τὸν πονηρὸν δαίμονα Περσῶν. Οὔτε γὰρ ζώσῃ τῇ δεσποίνῃ Στατείρᾳ, καὶ μητρὶ σῇ, καὶ τέκνοις, ἐνέδει τῶν πρόσθεν ἀγαθῶν καὶ καλῶν, ἢ τὸ σὸν ὁρᾷν φῶς, ὃ πάλιν ἀναλάμψει λαμπρὸν ὁ κύριος Ὡρομάσδης· οὔτ' ἀποθανοῦσα νόσου τινὸς ἄμοιρος γέγονεν, ἀλλὰ καὶ πολεμίων τετίμηται δάκρυσιν. Οὕτω γὰρ ἔστι χρηστὸς κρατήσας Ἀλέξανδρος, ὡς δεινὸς μαχόμενος.“ Ταῦτ' ἀκούσαντα Δαρεῖον ἡ ταραχὴ καὶ τὸ πάθος ἐξέφερε πρὸς ὑποψίας ἀτόπους· καὶ τὸν εὐνοῦχον ἐνδοτέρω τῆς σκηνῆς ἀπαγαγών· „Εἰ μὴ καὶ σὺ μετὰ τῆς Περσῶν (ἔφη) τύχης μακεδονίζεις, ἀλλ' ἔτι σοὶ δεσπότης ἐγὼ Δαρεῖος, εἰπέ μοι, σεβόμενος Μίθρου τε φῶς μέγα, καὶ δεξιὰν βασίλειον, ἆρα μὴ τὰ μικρότατα τῶν Στατείρας κλαίω κακῶν, οἰκτρότερα δὲ ζώσης ἐπάσχομεν καὶ μᾶλλον ἂν ἦ κατ' ἀξίαν ἐδυστυχοῦμεν, ὠμῷ καὶ ἀκυθρωπῷ περιπεσόντες ἐχθρῷ; τί γὰρ εὐπρεπὲς ἀνδρὶ νέῳ πρὸς ἐχθροῦ γυναῖκα μέχρι τιμῆς τοσαύτης συμβόλαιον;“ Ἔτι λέ-

Digitized by Google

γοντος αὐτοῦ, καταβαλὼν ἐπὶ τοὺς πόδας Τίριος αὐτὸν, ἱκέτευεν εὐφημεῖν, καὶ μήτ' Ἀλέξανδρον ἀδικεῖν, μήτε τὴν τεθνεῶσαν ἀδελφὴν καὶ γυναῖκα καταισχύνειν, μήθ' αὑτοῦ τὴν μεγίστην, ὧν ἔπταικεν, ἀφαιρεῖσθαι παραμυθίαν, τὸ δοκεῖν ὑπ' ἀνδρὸς ἡττῆσθαι κρείττονος, ἢ κατὰ τὴν ἀνθρωπίνην φύσιν· ἀλλὰ καὶ θαυμάζειν Ἀλέξανδρον, ὡς πλείονα ταῖς Περσῶν γυναιξὶ σωφροσύνην, ἢ Πέρσαις ἀνδρείαν, ἐπιδεδειγμένον. Ἅμα δ' ὅρκους τε φρικώδεις τοῦ θαλαμηπόλου κινοῦντος ὑπὲρ τούτων, καὶ περὶ τῆς ἄλλης ἐγκρατείας καὶ μεγαλοψυχίας τῆς Ἀλεξάνδρου λέγοντος, ἐξελθὼν πρὸς τοὺς ἑταίρους ὁ Δαρεῖος, καὶ χεῖρας ἀνατείνας πρὸς τὸν οὐρανὸν ἐπεύξατο· „Θεοὶ γενέθλιοι καὶ βασίλειοι, μάλιστα μὲν ἐμοὶ διδοίητε τὴν Περσῶν τύχην εἰς ὀρθὸν αὖθις σταθεῖσαν, ἐφ' οἷς ἐδεξάμην ἀγαθοῖς, ἀπολιπεῖν, ἵνα κρατήσας ἀμείψωμαι τὰς Ἀλεξάνδρου χάριτας, ὧν εἰς τὰ φίλτατα πταίσας ἔτυχον. Εἰ δ' ἄρα τις οὗτος εἱμαρτὸς ἦκει χρόνος, ὀφειλόμενος νεμέσει καὶ μεταβολῇ, παύσασθαι τὰ Περσῶν, μηδεὶς ἄλλος ἀνθρώπων καθίσειεν εἰς τὸν Κύρου θρόνον, πλὴν Ἀλεξάνδρου." Ταῦτα μὲν οὕτω γενέθαι τε καὶ λεχθῆναι φασὶν οἱ πλεῖστοι τῶν συγγραφέων.

XXXI. Ἀλέξανδρος δὲ τὴν ἐντὸς τοῦ Εὐφράτου πᾶσαν ὑφ' ἑαυτῷ ποιησάμενος, ἤλαυνεν ἐπὶ Δαρεῖον ἑκατὸν μυριάσι στρατοῦ καταβαίνοντα. Καί τις αὐτῷ φράζει τῶν ἑταίρων, ὡς δὴ γέλωτος ἄξιον πρᾶγμα, τοὺς ἀκολούθους παίζοντας εἰς δύο μέρη

Digitized by Google

διῃρηκέναι σφᾶς αὐτούς· ὧν ἑκατέρου στρατηγὸν εἶναι καὶ ἡγεμόνα, τὸν μὲν Ἀλέξανδρον, τὸν δὲ Δαρεῖον ὑπ' αὐτῶν προσαγορευόμενον· ἀρξαμένους δὲ βώλοις ἀκροβολίζεσθαι πρὸς ἀλλήλους, εἶτα πυγμαῖς, τέλος ἐκπεκαῦσθαι τῇ φιλονεικίᾳ καὶ μέχρι λίθων καὶ ξύλων πολλοὺς δυσκαταπαύστους γεγονότας. Ταῦτ' ἀκούσας ἐκέλευσεν αὐτοὺς μονομαχῆσαι τοὺς ἡγεμόνας, καὶ τὸν μὲν Ἀλέξανδρον αὐτὸς ὥπλισε, τὸν δὲ Δαρεῖον Φιλώτας. Ἐθεᾶτο δ' ὁ στρατὸς ἐν οἰωνῷ τινι τοῦ μέλλοντος τιθέμενος τὸ γιγνόμενον. Ἰσχυρᾶς δὲ τῆς μάχης γενομένης, ἐνίκησεν ὁ καλούμενος Ἀλέξανδρος, καὶ δωρεὰν ἔλαβε δώδεκα κώμας, καὶ στολὴν Περσικὴν χρῆσθαι. Ταῦτα μὲν οὖν Ἐρατοσθένης ἱστόρηκε. Τὴν δὲ μεγάλην μάχην πρὸς Δαρεῖον οὐκ ἐν Ἀρβήλοις, ὥσπερ οἱ πολλοὶ γράφουσιν, ἀλλ' ἐν Γαυγαμήλοις γενέσθαι συνέπεσε. Σημαίνειν δέ φασιν οἶκον καμήλου τὴν διάλεκτον, ἐπεὶ τῶν πάλαι τις βασιλέων ἐκφυγὼν πολεμίους ἐπὶ καμήλου δρομάδος, ἐνταῦθα καθίδρυσεν αὐτὴν, ἀποτάξας τινὰς κώμας καὶ προσόδους εἰς τὴν ἐπιμέλειαν. Ἡ μὲν οὖν σελήνη τοῦ Βοηδρομιῶνος ἔξέλιπε, περὶ τὴν τῶν μυστηρίων τῶν Ἀθήνησιν ἀρχήν. Ἐνδεκάτῃ δ' ἀπὸ τῆς ἐκλείψεως νυκτὶ, τῶν στρατοπέδων ἐν ὄψει γεγονότων, Δαρεῖος μὲν ἐν ὅπλοις συνεῖχε τὴν δύναμιν, ὑπὸ λαμπάδων ἐπιτορευόμενος τὰς τάξεις· Ἀλέξανδρος δὲ, τῶν Μακεδόνων ἀναπαυομένων, αὐτὸς πρὸ τῆς σκηνῆς μετὰ τοῦ μάντεως Ἀριστάνδρου διέτριβεν, ἱερουργίας τι-

Digitized by Google

νὰς ἀπορρήτους ἱερουργούμενος, καὶ τῷ φόβῳ σφᾶ γιαζόμενος. Οἱ δὲ πρεσβύτεροι τῶν ἑταίρων, καὶ μάλιστα Παρμενίων, ὡς τὸ μὲν πεδίον τὸ μεταξὺ τοῦ Νιφάτου καὶ τῶν ὀρῶν τῶν Γορδυναίων ἅπαν ἑωρᾶτο καταλαμπόμενον τοῖς βαρβαρικοῖς φέγγεσιν, ἀτέκμαρτος δέ τις φωνὴ συμμεμιγμένη καὶ θόρυβος καὶ φόβος ἐκ τοῦ στρατοπέδου καθάπερ ἐξ ἀχανοῦς προσήχει πελάγους, θαυμάσαντες τὸ πλῆθος, καὶ πρὸς ἀλλήλους διαλεχθέντες, ὡς μέγα καὶ χαλεπὸν ἔργον εἴη, συμπεσόντας ἐκ προφανοῦς τοσοῦτον ὤσασθαι πόλεμον, ἀπὸ τῶν ἱερῶν γερομένῳ τῷ βασιλεῖ προσελθόντες, ἔπειθον αὐτὸν ἐπιχειρῆσαι νύκτωρ τοῖς πολεμίοις, καὶ τῷ σκότῳ τὸ φοβερώτατον συγκαλύψαι τοῦ μέλλοντος ἀγῶνος. Ὁ δὲ τὸ μνημονευόμενον εἰπών· „Οὐ κλέπτω τὴν νίκην,“ ἐνίοις μὲν ἔδοξε μειρακιώδη καὶ κενὴν ἀπόκρισιν πεποιῆσθαι, παίζων πρὸς τοσοῦτον κίνδυνον· ἐνίοις δὲ καὶ τῷ παρόντι θαρρεῖν, καὶ στοχάζεσθαι τοῦ μέλλοντος ὀρθῶς, μὴ διδοὺς πρόφασιν ἡττηθέντι Δαρείῳ πρὸς ἄλλην αὖθις ἀναθαρρῆσαι πεῖραν, αἰτιωμένῳ τούτων νύκτα καὶ σκότος, ὡς ὄρη καὶ στενὰ καὶ θάλασσαν τῶν προτέρων. Οὐ γὰρ ὅπλων, οὐδὲ σωμάτων ἀπορίᾳ παύσεσθαι πολεμοῦντα Δαρεῖον ἀπὸ τηλικαύτης δυνάμεως καὶ χώρας τοσαύτης, ἀλλ' ὅταν ἀφῇ τὸ φρόνημα καὶ τὴν ἐλπίδα, δι' ἐμφανοῦς ἥττης κατὰ κράτος ἐξελεγχθείς.

XXXII. Ἀπελθόντων δὲ τούτων, κατακλιθεὶς ὑπὸ σκηνὴν, λέγεται τὸ λοιπὸν μέρος τῆς νυκτὸς,

Digitized by Google

ὕπνῳ βαθεῖ κρατηθῆναι παρὰ τὸ εἰωθός· ὥστε θαυμάζειν ἐπελθόντας ὀρθρου τοὺς ἡγεμόνας, καὶ παρ' αὐτῶν ἐξανεγεῖν παράγγελμα πρῶτον, ἀφιστοποιεῖσθαι τοὺς στρατιώτας· ἔπειτα τοῦ καιροῦ κατεπείγοντος, εἰσελθόντα Παρμενίωνα, καὶ παραστάντα τῇ κλίνῃ, δὶς ἢ τρὶς αὐτοῦ φθέγξασθαι τοὔνομα· καὶ διεγερθέντος οὕτως, ἐρωτᾶν, ὅ τι δὴ πεπονθὼς ὕπνον καθεύδοι νενικηκότος, οὐχὶ μέλλοντος ἀγωνιεῖσθαι τὸν μέγιστον τῶν ἀγώνων. Τὸν γοῦν Ἀλέξανδρον εἰπεῖν διαμειδιάσαντα· „Τί γάρ; οὐκ ἤδη σοι νενικηκέναι δοκοῦμεν, ἀπηλλαγμένοι τοῦ πλανᾶσθαι καὶ διώκειν ἐν πολλῇ καὶ κατεφθαρμένῃ φυγομαχοῦντα χώρᾳ Δαρεῖον;" Οὐ μόνον δὲ πρὸ τῆς μάχης, ἀλλὰ καὶ παρὰ τὸν κίνδυνον αὐτὸν ἐπεδείξατο μέγαν καὶ συνεστηκότα τῷ λογίζεσθαι καὶ θαρρεῖν ἑαυτόν. Ἔσχε γὰρ ὁ ἀγὼν ὑποτροπὴν καὶ σίλον ἐν τῷ εὐωνύμῳ κέρατι κατὰ Παρμενίωνα, τῆς Βακτριανῆς ἵππου ῥύθῳ πολλῷ καὶ μετὰ βίας παρεμπεσούσης εἰς τοὺς Μακεδόνας, Μαζαίου δὲ περιπέμψαντος ἔξω τῆς φάλαγγος ἱππεῖς τοῖς σκευοφυλακοῦσι προσβαλοῦντας. Διὸ καὶ θορυβούμενος ὑπ' ἀμφοτέρων ὁ Παρμενίων, ἀπέστειλε πρὸς Ἀλέξανδρον ἀγγέλους φράζοντας οἴχεσθαι τὸν χάρακα καὶ τὰς ἀποσκευάς, εἰ μὴ κατὰ τάχος βοήθειαν ὀχυρὰν ἀπὸ τοῦ στόματος πέμψειε τοῖς ὄπισθεν. Ἔτυχε μὲν οὖν κατ' ἐκεῖνο καιροῦ τοῖς περὶ αὐτὸν ἐφόδου διδοὺς σημεῖον. Ὡς δ' ἤκουσε τὰ παρὰ τοῦ Παρμενίωνος, οὐκ ἔφη σωφρονεῖν αὐτὸν, οὐδ' ἐντὸς

Digitized by Google

εἶναι τῶν λογισμῶν, ἀλλ' ἐπιλελῆσθαι ταραττόμενον, ὅτι νικῶντες μὲν προσκτήσονται καὶ τὰ τῶν πολεμίων· ἡττωμένοις δὲ φροντιστέον, οὐ χρημάτων, οὐδ' ἀνδραπόδων, ἀλλ' ὅπως ἀποθανοῦνται καλῶς καὶ λαμπρῶς ἀγωνιζόμενοι. Ταῦτ' ἐπιστείλας Παρμενίωνι, τὸ κράνος περιέθετο, τὸν δ' ἄλλον ὁπλισμὸν εὐθὺς ἀπὸ σκηνῆς εἶχεν, ἐπένδυμα τῶν Σικελικῶν ζωστόν· ἐπὶ δὲ τούτῳ θώρακα διπλοῦν λινοῦν, ἐκ τῶν ληφθέντων ἐν Ἰσσῷ. Τὸ δὲ κράνος ἦν μὲν σιδηροῦν· ἔστιλβε δ' ὥσπερ ἄργυρος καθαρὸς, ἔργον Θεοφίλου. Συνήρμοστο δ' αὐτῷ περιτραχήλιον ὁμοίως σιδηροῦν, λιθοκόλλητον, μάχαιραν δὲ θαυμαστὴν βαφῇ καὶ κουφότητι, δωρησαμένου τοῦ Κιτιέων βασιλέως, ἣν εἶχεν ἠσκημένος τὰ πολλὰ χρῆσθαι μαχαίρᾳ παρὰ τὰς μάχας. Ἐπιπόρπαμα δ' ἐφόρει, τῇ μὲν ἐργασίᾳ σοβαρώτερον, ἢ κατὰ τὸν ἄλλον ὁπλισμόν. Ἦν γὰρ ἔργον Ἑλικῶνος τοῦ παλαιοῦ, τιμὴ δὲ τῆς Ῥοδίων πόλεως, ὑφ' ἧς ἐδόθη δῶρον. Ἐχρῆτο δὲ καὶ τούτῳ πρὸς τοὺς ἀγῶνας. Ἄχρι μὲν οὖν συντάττων τι τῆς φάλαγγος, ἢ παρακελευόμενος, ἢ διδάσκων, ἢ ἐφορῶν παρεξήλαυνεν, ἄλλον ἵππον εἶχε, τοῦ Βουκεφάλα φειδόμενος, ἤδη παρήλικος ὄντος· χωροῦντι δὲ πρὸς ἔργον ἐκεῖνος προσήγετο, καὶ μεταβὰς εὐθὺς ἦρχεν ἐφόδου.

XXXIII. Τότε δὲ τοῖς Θετταλοῖς πλεῖστα διαλεχθεὶς, καὶ τοῖς ἄλλοις Ἕλλησιν, ὡς ἐπῄνεσαν αὐτὸν, βοῶντες ἄγειν ἐπὶ τοὺς βαρβάρους, τὸ ξυνὸν

Digitized by Google

εἰς τὴν ἀριστερὰν μεταβαλὼν, τῇ δεξιᾷ παρεκάλει τοὺς θεούς, ὡς Καλλισθένης φησὶν, ἐπευχόμενος, εἴπερ ὄντως Διόθεν ἐστὶ γεγονὼς, ἀμῦναι καὶ συνεπιῤῥῶσαι τοὺς Ἕλληνας. Ὁ δὲ μάντις Ἀρίστανδρος, χλανίδα λευκὴν ἔχων καὶ χρυσοῦν στέφανον, ἐπεδείκνυτο παριππεύων αὐτὸν ὑπὲρ κεφαλῆς Ἀλεξάνδρου συνεπαιωρούμενον, καὶ κατευθύνοντα τῇ πτήσει ὄρθιον ἐπὶ τοὺς πολεμίους· ὥστε πολὺ μὲν θάρσος ἐγγενέσθαι τοῖς ὁρῶσιν, ἐκ δὲ τοῦ θαῤῥεῖν καὶ παρακαλεῖν ἀλλήλους, ὁρμῇ τοῖς ἵπποις ἱεμένοις ἐπὶ τοὺς πολεμίους ἐπικυμαίνειν τὴν φάλαγγα. Πρὶν δὲ συμμίξαι τοὺς πρώτους, ἐξέκλιναν οἱ βάρβαροι, καὶ διωγμὸς ἦν πολὺς, εἰς τὰ μέσα συνελαύνοντος Ἀλεξάνδρου τὸ νικώμενον, ὅπου Δαρεῖος ἦν. Πόῤῥωθεν γὰρ αὐτὸν κατεῖδε διὰ τῶν προτεταγμένων ἐν βάθει τῆς βασιλικῆς ἴλης ἐκφανέντα, καλὸν ἄνδρα καὶ μέγαν ἐφ' ἅρματος ὑψηλοῦ βεβῶτα, πολλοῖς ἵπποις καὶ λαμπροῖς καταπεφραγμένον, εὖ μάλα συνεσπειραμένοις περὶ τὸ ἅρμα, καὶ παρατεταγμένοις δέχεσθαι τοὺς πολεμίους. Ἀλλὰ δεινὸς ὀφθεὶς ἐγγύθεν Ἀλέξανδρος, καὶ τοὺς φεύγοντας ἐμβαλὼν εἰς τοὺς μένοντας, ἐξέπληξε καὶ διεσκέδασε τὸ πλεῖστον. Οἱ δ' ἄριστοι καὶ γενναιότατοι πρὸ τοῦ βασιλέως φονευόμενοι, καὶ κατ' ἀλλήλων πίπτοντες, ἐμποδὼν τῆς διώξεως ἦσαν, ἐμπλεκόμενοι καὶ περισπαίροντες αὐτοῖς καὶ ἵπποις. Δαρεῖος δὲ, τῶν δεινῶν ἁπάντων ἐν ὀφθαλμοῖς ὄντων, καὶ τῶν προτεταγμένων δυνάμεων ἐρειπομένων εἰς αὐτὸν, ὡς

Digitized by Google

οὐκ ἦν ἀποστρέψαι τὸ ἅρμα καὶ διεξελάσαι ῥᾴδιον, ἀλλ' οἵ τε τροχοὶ συνείχοντο πτώμασι πεφυρμένοι τοσούτοις, οἵ τε ἵπποι καταλαμβινόμενοι καὶ ἀποκρυπτόμενοι τῷ πλήθει τῶν νεκρῶν ἐξήλλοντο καὶ συνετάραττον τὸν ἡνίοχον, ἀπολείπει μὲν τὸ ἅρμα καὶ τὰ ὅπλα, θήλειαν δ' ὡς φασι, νεοτόκον ἵππον περιβὰς ἔφυγεν. Οὐ μὴν τότε γ' ἂν ἐδόκει διαφεύγειν, εἰ μὴ πάλιν ἦκον ἕτεροι παρὰ τοῦ Παρμενίωνος ἱππεῖς, μετακαλοῦντες Ἀλέξανδρον, ὡς συνεστώσης ἔτι πολλῆς δυνάμεως ἐκεῖ, καὶ τῶν πολεμίων οὐκ ἐνδιδόντων. Ὅλως γὰρ αἰτιῶνται Παρμενίωνα κατ' ἐκείνην τὴν μάχην νωθρὸν γενέσθαι καὶ δύσεργον· εἴτε τοῦ γήρως ἤδη τι παραλύοντος τῆς τόλμης, εἴτε τὴν ἐξουσίαν καὶ τὸν ὄγκον, ὡς Καλλισθένης φησὶ, τῆς Ἀλεξάνδρου δυνάμεως βαρυνόμενον καὶ προσφθονοῦντα. Τότε δ' οὖν ὁ βασιλεὺς ἐνιαθεὶς τῇ μεταπέμψει, τοῖς μὲν στρατιώταις οὐκ ἔφρασε τἀληθὲς, ἀλλ' ὡς ἀνέχων τοῦ φονεύειν, καὶ σκότους ὄντος, ἀνάκλησιν ἐσήμανεν· ἐλαύνων δὲ πρὸς τὸ κινδυνεῦον μέρος, ἦκουσε καθ' ὁδὸν ἡττῆσθαι παντάπασιν καὶ φεύγειν τοὺς πολεμίους.

XXXIV. Τοῦτο τῆς μάχης ἐκείνης λαβούσης τὸ πέρας, ἡ μὲν ἀρχὴ παντάπασιν ἡ Περσῶν ἔδόκει καταλελῦσθαι· βασιλεὺς δὲ τῆς Ἀσίας Ἀλέξανδρος ἀνηγορευμένος, ἔθυε τοῖς θεοῖς μεγαλοπρεπῶς, καὶ τοῖς φίλοις ἐδωρεῖτο πλούτους καὶ οἴκους καὶ ἡγεμονίας. Φιλοτιμούμενος δὲ πρὸς τοὺς Ἕλληνας, ἔγραψε τὰς τυραννίδας πάσας καταλυθῆναι, καὶ πο-

Digitized by Google

λιτεύειν αὐτονόμους· ἰδίᾳ δὲ Πλαταιεῦσι, τὴν πόλιν ἀνοικοδομεῖν, ὅτι τὴν χώραν οἱ πατέρες αὐτῶν ἐναγωνίσασθαι τοῖς Ἕλλησιν ὑπὲρ τῆς ἐλευθερίας παρέσχον. Ἔπεμψε δὲ καὶ Κροτωνιάταις εἰς Ἰταλίαν μέρος τῶν λαφύρων, τὴν Φαύλλου τοῦ ἀθλητοῦ τιμῶν προθυμίαν καὶ ἀρετήν, ὃς περὶ τὰ Μηδικὰ τῶν ἄλλων Ἰταλιωτῶν ἀπεγνωκότων τοὺς Ἕλληνας, ἰδιόστολον ἔχων ναῦν ἔπλευσεν εἰς Σαλαμῖνα, τοῦ κινδύνου τι μεθέξων. Οὕτω τις εὐμενὴς ἦν πρὸς ἅπασαν ἀρετὴν, καὶ καλῶν ἔργων φύλαξ καὶ οἰκεῖος.

XXXV. Ἐπιὼν δὲ τὴν Βαβυλωνίαν, ἅπασαν εὐθὺς ὑπ' αὐτῷ γενομένην, ἐθαύμασε μάλιστα τό τε χάσμα τοῦ πυρὸς ἐν Ἐκβατάνοις, ὥσπερ ἐκ πηγῆς συνεχῶς ἀναφερομένου, καὶ τὸ ῥεῦμα τοῦ νάφθα λιμνάζοντος διὰ τὸ πλῆθος; οὐ πόῤῥω τοῦ χάσματος· ὃς τἆλλα μὲν ἀσφάλτῳ προσέοικεν, οὕτω δ' εὐπαθὴς πρὸς τὸ πῦρ ἐστιν, ὥστε, πρὶν ἢ θιγεῖν τὴν φλόγα, δι' αὐτῆς τῆς περὶ τὸ φῶς ἐξαπτόμενος αὐγῆς, τὸν μεταξὺ πολλάκις ἀέρα συνεκκαίειν. Ἐπιδεικνύμενοι δὲ τὴν δύναμιν αὐτοῦ καὶ φύσιν οἱ βάρβαροι, τὸν ἄγοντα πρὸς τὴν κατάλυσιν τοῦ βασιλέως στενωπὸν ἑλαφρῶς τῷ φαρμάκῳ κατεψέκασαν· εἶτα στάντες ἐπ' ἄκρῳ τοὺς λαμπτῆρας τοῖς βεβρεγμένοις προσέθηκαν· ἤδη γὰρ συνεσκόταζε. Τῶν δὲ πρώτων εὐθὺς ἁψαμένων, οὐκ ἔσχεν ἡ νομὴ χρόνον αἰσθητὸν, ἀλλ' ἅμα νοήματι διῆκτο πρὸς θάτερον πέρας, καὶ πῦρ ἐγεγόνει συνεχὲς ὁ στενωπός. Ἦν δέ τις Ἀθηνοφάνης Ἀθηναῖος, τῶν περὶ ἄλειμμα

καὶ λουτρὸν εἰωθότων τὸ σῶμα θεραπεύειν τοῦ βασιλέως, καὶ τὴν διάνοιαν ἐμμελῶς ἀπάγειν ἐπὶ τὸ ῥᾴθυμον. Οὗτος ἐν τῷ λουτρῶνι τότε, παιδαρίοι τῷ Ἀλεξάνδρῳ παρεστῶτος εὐτελοῦς σφόδρα καὶ γελοίου τὴν ὄψιν, ἄδοντος δὲ χαριέντως, ὃς Στέφανος ἐκαλεῖτο· „Βούλει (φησὶν), ὦ βασιλεῦ, διάπειραν ἐν Στεφάνῳ τοῦ φαρμάκου λάβωμεν; ἂν γὰρ ἅψηται τούτου καὶ μὴ κατασβεσθῇ, παντάπασιν ἂν φαίην ἄμαχον καὶ δεινὴν αὐτοῦ τὴν δύναμιν εἶναι.“ Προθύμως δέ πως καὶ τοῦ παιδαρίου διδόντος ἑαυτὸν πρὸς τὴν πεῖραν, ἅμα τῷ περιαλεῖψαι καὶ θιγεῖν ἐξήνθησε φλόγα τοσαύτην τὸ σῶμα, καὶ πυρὶ κατεσχέθη πᾶν, ὥστε τὸν Ἀλέξανδρον εἰς πᾶν ἀπορίας καὶ δέους ἐλθεῖν. Εἰ δὲ μὴ κατὰ τύχην πολλοὶ παρῆσαν ἀγγεῖα πρὸς τὸ λουτρὸν ὕδατος διὰ χειρῶν ἔχοντες, οὐκ ἂν ἔφθασεν ἡ βοήθεια τὴν ἐπινομήν. Ἀλλὰ καὶ τότε μόγις κατέσβεσαν τὸ σῶμα τοῦ παιδὸς διόλου πῦρ γενόμενον, καὶ μετὰ ταῦτα χαλεπῶς ἔσχεν. Εἰκότως οὖν ἔνιοι, τὸν μῦθον ἀνασώζοντες πρὸς τὴν ἀλήθειαν, τοῦτο φασὶν εἶναι τὸ τῆς Μηδείας φάρμακον, ᾧ τὸν τραγῳδούμενον στέφανον καὶ τὸν πέπλον ἔχρισεν. Οὐ γὰρ ἐξ αὐτῶν ἐκείνων, οὐδ' ἀπ' αὐτομάτου λάμψαι τὸ πῦρ, ἀλλὰ φλογὸς ἐγγύθεν παρατεθείσης, ὀξεῖαν ὑλικὴν καὶ συναφῆ ἅδηλον αἰσθήσει γενέσθαι. Τὰς γὰρ ἀκτῖνας καὶ τὰ ῥεύματα τοῦ πυρὸς ἄπωθεν ἐπερχόμενα, τοῖς μὲν ἄλλοις σώμασι φῶς καὶ θερμότητα προσβάλλειν μόνον, ἐν δὲ τοῖς ξηρότητα πνευματικὴν ἢ νοτίδα λιπα-

Digitized by Google

ρὰν καὶ διαρκῆ κεκτημένοις ἀθροιζόμενα καὶ πυριμανοῦντα μεταβάλλειν ὀξέως τὴν ὕλην. Παρεῖχε δ' ἀπορίαν ἡ γένεσις... εἴτε μᾶλλον ὑπέκκαυμα τῆς φλογὸς ὑπορρεῖ τὸ ὑγρὸν ἐκ τῆς γῆς φύσιν λιπαρὰν καὶ πυριγόνον ἐχούσης. Καὶ γάρ ἐστιν ἡ Βαβυλωνία σφόδρα πυρώδης, ὥστε τὰς μὲν κριθὰς χαμόθεν ἐκπηδᾶν καὶ ἀποπάλλεσθαι πολλάκις, οἷον ὑπὸ φλεγμονῆς τῶν τύπων σφυγμοὺς ἐχόντων· τοὺς δ' ἀνθρώπους ἐν τοῖς καύμασιν ἐπ' ἀσκῶν πεπληρωμένων ὕδατος καθεύδειν. Ἅρπαλος δὲ, τῆς χώρας ἀπολειφθεὶς ἐπιμελητὴς, καὶ φιλοκαλῶν Ἑλληνικαῖς φυτείαις διακοσμῆσαι τὰ βασίλεια καὶ τοὺς περιπάτους, τῶν μὲν ἄλλων ἐκράτησε, τὸν δὲ κιττὸν οὐκ ἔστεξεν ἡ γῆ μόνον, ἀλλ' ἀεὶ διέφθειρεν, οὐ φέροντα τὴν κρᾶσιν· ἡ μὲν γὰρ πυρώδης, ὁ δὲ φιλόψυχρος. Τῶν μὲν οὖν τοιούτων παρεκβάσεων, ἂν μέτρον ἔχωσιν, ἧττον ἴσως οἱ δύσκολοι κατηγορήσουσιν.

XXXVI. Ἀλέξανδρος δὲ, Σούσων κυριεύσας, παρέλαβεν ἐν τοῖς βασιλείοις τετρακισμύρια τάλαντα νομίσματος, τὴν δ' ἄλλην κατασκευὴν καὶ πολυτέλειαν ἀδιήγητον. Ὅπου φησὶ καὶ πορφύρας Ἑρμιονικῆς εὑρεθῆναι τάλαντα πεντακισχίλια, συγκειμένης μὲν ἐξ ἐτῶν δέκα δεόντων διακοσίων, πρόσφατον δὲ τὸ ἄνθος ἔτι καὶ νεαρὸν φυλαττούσης. Αἴτιον δὲ τούτου φασὶν εἶναι, τὸ τὴν βαφὴν διὰ μέλιτος γίνεσθαι τῶν ἁλουργῶν, δι' ἐλαίου δὲ λευκοῦ, τῶν λευκῶν· καὶ γὰρ τούτων, τὸν ἴσον χρόνον ἐχύν-

Digitized by Google

των, τὴν λαμπρότητα καθαρὰν καὶ στίλβουσαν ὁρᾶσθαι. Δίνων δέ φησι καὶ ὕδωρ ἀπὸ τοῦ Νείλου καὶ τοῦ Ἴστρου μετὰ τῶν ἄλλων μεταπεμπομένους εἰς τὴν γάζαν ἀποτίθεσθαι τοὺς βασιλεῖς, οἷον ἐκβεβαιουμένους τὸ μέγεθος τῆς ἀρχῆς, καὶ τὸ κυριεύειν ἁπάντων.

XXXVII. Τῆς δὲ Περσίδος οὔσης διὰ τραχύτητα δυσεμβόλου, καὶ φυλαττομένης ὑπὸ γενναιοτάτων Περσῶν, (Δαρεῖος μὲν γὰρ ἐπεφεύγει) γίγνεταί τινος περιόδου κύκλον ἐχούσης οὐ πολὺν ἡγεμὼν αὐτῷ δίγλωσσος ἄνθρωπος, ἐκ πατρὸς Λυκίου, μητρὸς δὲ Περσίδος γεγονώς. ὃν φασιν, ἔτι παιδὸς ὄντος Ἀλεξάνδρου, τὴν Πυθίαν προειπεῖν, ὡς λύκος ἔσται καθηγεμὼν Ἀλεξάνδρῳ τῆς ἐπὶ Πέρσας πορείας. Φόνον μὲν οὖν ἐνταῦθα πολὺν τῶν ἁλισκομένων γενέσθαι συνέπεσε. Γράφει γὰρ αὐτός, ὡς, νομίζων αὐτῷ τοῦτο λυσιτελεῖν, ἐκέλευεν ἀποσφάττεσθαι τοὺς ἀνθρώπους· νομίσματος δ' εὑρεῖν πλῆθος, ὅσον ἐν Σούσοις, τὴν δ' ἄλλην κατασκευὴν καὶ τὸν πλοῦτον ἐκκομισθῆναι φασὶ μυρίοις ὁρικοῖς ζεύγεσι καὶ πεντακισχιλίαις καμήλοις. Ξέρξου δ' ἀνδριάντα μέγαν θεασάμενος ὑπὸ πλήθους τῶν ὠθουμένων εἰς τὰ βασίλεια πλημμελῶς ἀνατετραμμένον, ἐπέστη, καὶ καθάπερ ἔμψυχον προσαγορεύσας· „Πότερόν σε (εἶπεν), διὰ τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν κείμενον παρέλθωμεν, ἢ διὰ τὴν ἄλλην μεγαλοφροσύνην καὶ ἀρετὴν ἐγείρωμεν;" Τέλος δὲ πολὺν χρόνον πρὸς ἑαυτῷ γενόμενος καὶ σιωπήσας, πα-

Digitized by Google

ρῆλθε. Βουλόμενος δὲ τοὺς στρατιώτας ἀναλαβεῖν (καὶ γὰρ ἦν χειμῶνος ὥρα), τέσσαρας μῆνας αὐτόθι διήγαγε. Λέγεται δὲ, καθίσαντος αὐτοῦ τὸ πρῶτον ὑπὸ τὸν χρυσοῦν οὐρανίσκον ἐν τῷ βασιλικῷ θρόνῳ, τὸν Κορίνθιον Δημάρατον, εὔνουν ὄντα ἄνδρα καὶ πατρῷον φίλον Ἀλεξάνδρου, πρεσβυτικῶς ἐπιδακρῦσαι, καὶ εἰπεῖν, ὡς μεγάλης ἡδονῆς στεροῖντο τῶν Ἑλλήνων οἱ τεθνηκότες, πρὶν ἰδεῖν Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον.

XXXVIII. Ἐκ τούτου μέλλων ἐξελαύνειν ἐπὶ Δαρεῖον, ἔτυχε μὲν εἰς μέθην τινὰ καὶ παιδιὰν τοῖς ἑταίροις ἑαυτὸν δεδωκώς, ὥστε καὶ γύναια σιμπίνειν ἐπὶ κῶμον ἥκοντα πρὸς τοὺς ἑραστάς. Ἐν δὲ τούτοις εὐδοκιμοῦσα μάλιστα Θαΐς, ἡ Πτολεμαίου, τοῦ βασιλεύσαντος ὕστερον, ἑταίρα, γένος Ἀττική, τὰ μὲν ἐμμελῶς ἐπαινοῦσα, τὰ δὲ παίζουσα πρὸς τὸν Ἀλέξανδρον, ἅμα τῇ μέθῃ λόγον εἰπεῖν προήχθη, τῷ μὲν τῆς πατρίδος ἤθει πρέποντα, μείζονα δ', ἢ κατ' αὐτήν. Ἔφη γάρ, ὧν πεπόνηκε πεπλανημένη περὶ τὴν Ἀσίαν, ἀπολαμβάνειν χάριν ἐκείνης τῆς ἡμέρας, ἐντρυφῶσα τοῖς ὑπερηφάνοις Περσῶν βασιλείοις· ὅτι δ' ἂν ἥδιον ὑποπρῆσαι κωμάσασα τὸν Ξέρξου τοῦ κατακαύσαντος τὰς Ἀθήνας οἶκον, αὐτὴ τὸ πῦρ ἅψασα, τοῦ βασιλέως ὁρῶντος· ὡς ἂν λόγος ἔχῃ πρὸς ἀνθρώπους, ὅτι τῶν ναυμάχων καὶ πεζομάχων ἐκείνων στρατηγῶν τὰ μετ' Ἀλεξάνδρου γύναια μείζονα δίκην ἐπέθηκε Πέρσαις ὑπὲρ τῆς Ἑλλάδος. Ἅμα δὲ τῷ λόγῳ τούτῳ κρότου καὶ θορύβου γενο-

Digitized by Google

μένου, καὶ παρακελεύσεως τῶν ἑταίρων καὶ φιλοτιμίας, ἐπισπασθεὶς ὁ βασιλεὺς καὶ ἀναπηδήσας, ἔχων στέφανον καὶ λαμπάδα προῆγε· οἱ δ' ἑπόμενοι κώμῳ καὶ βοῇ περιΐσταντο τὰ βασίλεια· καὶ τῶν ἄλλων Μακεδόνων οἱ πυνθανόμενοι συνέτρεχον μετὰ λαμπάδων χαίροντες. Ἤλπιζον γὰρ, ὅτι τοῖς οἴκοι προσέχοντός ἐστι τὸν νοῦν, καὶ μὴ μέλλοντος ἐν βαρβάροις οἰκεῖν, τὸ πιμπράναι τὰ βασίλεια καὶ διαφθείρειν. Οἱ μὲν οὕτω ταῦτα γενέσθαι φασὶν, οἱ δ' ἀπὸ γνώμης· ὅτι δ' οὖν μετενόησε ταχὺ καὶ κατασβέσαι προσέταξεν, ὁμολογεῖται.

XXXIX. Φύσει δ' ὢν μεγαλοδωρότατος, ἔτι μᾶλλον ἐπέδωκεν εἰς τοῦτο τῶν πραγμάτων αὐξανομένων. Καὶ προσῆν ἡ φιλοφροσύνη, μεθ' ἧς μόνης ὡς ἀληθῶς οἱ διδόντες χαρίζονται. Μνησθήσομαι δ' ὀλίγων. Ἄριστον, ὁ τῶν Παιόνων ἡγούμενος, ἀποκτείνας πολέμιον ἄνδρα, καὶ τὴν κεφαλὴν ἐπιδειξάμενος αὐτῷ· „Τοῦτ' (εἶπεν), ὦ βασιλεῦ, παρ' ἡμῖν ἐκπώματος χρυσοῦ τιμᾶται τὸ δῶρον." Ὁ δ' Ἀλέξανδρος γελάσας. „Κενοῦ γ' (εἶπεν), ἐγὼ δέ σοι μεστὸν ἀκράτου προπίομαι." Τῶν δὲ πολλῶν τις Μακεδόνων ἤλαυνεν ἡμίονον, βασιλικὸν χρυσίον κομίζοντα· κάμνοντος δὲ τοῦ κτήνους, αὐτὸς ἀφάμενος ἐκόμιζε τὸ φορτίον. Ἰδὼν οὖν ὁ βασιλεὺς θλιβόμενον αὐτὸν σφόδρα, καὶ πυθόμενος τὸ πρᾶγμα, μέλλοντος κατατίθεσθαι· „Μὴ κάμῃς (εἶπεν), ἀλλὰ πρόσθες ἔτι τὴν λοιπὴν ὁδὸν, ἐπὶ τὴν σκηνὴν σαυτῷ τοῦτο κομίσας." Ὅλως δ' ἦχθετο τοῖς μὴ

Digitized by Google

λαμβάνουσι μᾶλλον, ἢ τοῖς αἰτοῦσι. Καὶ Φωκίωνι μὲν ἔγραψεν ἐπιστολὴν, ὡς οὐ χρησόμενος αὐτῷ φίλῳ τὸ λοιπὸν, εἰ διαθοῖτο τὰς χάριτας. Σεραπίωνι δὲ τῶν ἀπὸ σφαίρας τινὶ νεανίσκων οὐδὲν ἐδίδου, διὰ τὸ μηδὲν αἰτεῖν. Ὡς οὖν εἰς τὸ σφαιρίζειν παραγενόμενος Σεραπίων, ἄλλοις ἔβαλλε τὴν σφαῖραν, εἰπόντος δὲ τοῦ βασιλέως· „Ἐμοὶ δ' οὐ δίδως;“ „Οὐ γὰρ αἰτεῖς,“ εἶπε· τούτῳ μὲν δὴ γελάσας πολλὰ ἔδωκεν. Πρωτέᾳ δέ τινι τῶν περὶ σκώμματα καὶ πότον οὐκ ἀμούσων ἔδοξε δι' ὀργῆς γεγονέναι. Τῶν δὲ φίλων δεομένων, κἀκείνου δακρύοντος, ἔφη διαλλάττεσθαι· κἀκεῖνος· „Οὐκοῦν (εἶπεν), ὦ βασιλεῦ, δός τί μοι πιστὸν πρῶτον.“ Ἐκέλευσεν οὖν αὐτῷ πέντε τάλαντα δοθῆναι. Περὶ δὲ τῶν τοῖς φίλοις καὶ τοῖς σωματοφύλαξι νεμομένων πλούτων, ἡλίκον εἶχον ὄγκον, ἐμφαίνει δι' ἐπιστολῆς Ὀλυμπιάδι, ἣν ἔγραψε πρὸς αὐτόν. „Ἄλλως (φησὶν) εὖ ποιεῖ τοὺς φίλους καὶ ἐνδόξως ἄγε· νῦν δ' ἰσοβασιλέας πάντας ποιεῖς, καὶ πολυφιλίας παρασκευάζεις αὐτοῖς, σεαυτὸν δ' ἐρημοῖς.“ Πολλάκις δὲ τοιαῦτα τῆς Ὀλυμπιάδος γραφούσης, ἐφύλαττεν ἀπόῤῥητα τὰ γράμματα. Πλὴν ἅπαξ Ἡφαιστίωνος, ὥσπερ εἰώθει, λυθεῖσαν ἐπιστολὴν αὐτῷ συναναγινώσκοντος, οὐκ ἐκώλυσεν, ἀλλὰ τὸν δακτύλιον ἀφελόμενος τὸν αὐτοῦ, προσέθηκε τῷ ἐκείνου στόματι τὴν σφραγῖδα. Μαζαίου δὲ, τοῦ μεγίστου παρὰ Δαρείῳ γενομένου, παιδὶ, σατραπείαν ἔχοντι, δευτέραν προσετίθει μεζόνα. Παραιτούμενος δ' ἐκεῖνος εἶπεν· „Ὦ βασιλεῦ,

Digitized by Google

τότε μὲν ἦν εἷς Δαρεῖος, νῦν δὲ σὺ πολλοὺς πεποίηκας Ἀλεξάνδρους." Παρμενίωνι μὲν οὖν τὸν Βαγώου ἔδωκεν οἶκον τὸν περὶ Σοῦσα, ἐν ᾧ λέγεται χιλίων ταλάντων εὑρεθῆναι ἱματισμόν. Πρὸς δ' Ἀντίπατρον ἔγραφε κελεύων ἔχειν φύλακας τοῦ σώματος, ὡς ἐπιβουλευόμενον. Τῇ δὲ μητρὶ πολλὰ μὲν ἐδωρεῖτο καὶ κατέπεμπεν, οὐκ εἴα δὲ πολυπραγμονεῖν, οὐδὲ παραστρατηγεῖν· ἐγκαλούσης δὲ, πράως ἤνεγκε τὴν χαλεπότητα. Πλὴν ἅπαξ ποτὲ μακρὰν Ἀντιπάτρου κατ' αὐτῆς γράψαντος ἐπιστολὴν ἀναγνοὺς, ἀγνοεῖν εἶπεν Ἀντίπατρον, ὅτι μυρίας ἐπιστολὰς ἓν δάκρυον ἀπαλείφει μητρός.

XI. Ἐπεὶ δὲ τοὺς περὶ αὐτὸν ἑώρα παντάπασιν ἐκτετρυφηκότας, καὶ φορτικοὺς ταῖς δαπάναις καὶ πολυτελείαις ὄντας, ὥστ' Ἄγνωνα μὲν τὸν Τήϊον ἀργυροῦς ἐν ταῖς κρηπῖσιν ἥλους φορεῖν, Λεοννάτῳ δὲ πολλαῖς καμήλοις ἀπ' Αἰγύπτου κόνιν εἰς τὰ γυμνάσια παρακομίζεσθαι Φιλώτᾳ δὲ πρὸς θήρας σταδίων ἑκατὸν αὐλαίας γεγονέναι, μύρῳ δὲ χριμένους ἰέναι πρὸς ἄλειμμα καὶ λουτρὸν, ὅσους οὐδ' ἔλαίῳ, τρίπτας δὲ καὶ κατευναστὰς περιαγομένους, ἐπεύμησε πράως καὶ φιλοσόφως, θαυμάζειν φάμενος, εἰ τοσούτους ἡγωνισμένοι καὶ τηλικούτους ἀγῶνας, οὐ μνημονεύουσιν, ὅτι τῶν καταπονηθέντων οἱ καταπονήσαντες ἥδιον καθεύδουσιν· οὐδ' ὁρῶσι, τοῖς Περσῶν βίοις τοὺς ἑαυτῶν παραβάλλοντες, ὅτι δουλικώτατον μέν ἐστι τὸ τρυφᾶν, βασιλικώτατον δὲ τὸ πονεῖν. „Καίτοι πῶς ἄν τις (ἔφη) δι' ἑαυτοῦ θερα-

Digitized by Google

πεύσειεν ἵππον, ἢ λόγχην ἀσκήσειεν, ἢ κρᾶνος, ἀπειθικὸς τοῦ φιλτάτου σώματος ἅπτεσθαι τὰς χεῖρας; Οὐκ ἴστε (εἶπεν), ὅτι τοῦ κρατεῖν πέρας ἡμῖν ἐστι τὸ μὴ ταὐτὰ ποιεῖν τοῖς κεκρατημένοις;" Ὑπέτεινεν οὖν ἔτι μᾶλλον αὐτὸς ἑαυτὸν ἐν ταῖς στρατείαις καὶ ταῖς κυνηγεσίαις, κακοπαθῶν καὶ παραβαλλόμενος· ὥστε καὶ Λάκωνα πρεσβευτὴν παραγενόμενον αὐτῷ λέοντα καταβάλλοντι μέγαν εἰπεῖν· „Καλῶς γ', Ἀλέξανδρε, πρὸς τὸν λέοντα ἠγώνισαι περὶ τῆς βασιλείας." Τοῦτο τὸ κυνήγιον Κρατερὸς εἰς Δελφοὺς ἀνέθηκεν, εἰκόνας χαλκᾶς ποιησάμενος τοῦ λέοντος καὶ τῶν κυνῶν, καὶ τοῦ βασιλέως τῷ λέοντι συνεστῶτος, καὶ αὐτοῦ προσβοηθοῦντος· ὧν τὰ μὲν Λύσιππος ἔπλασε, τὰ δὲ Λεωχάρης.

XLI. Ἀλέξανδρος μὲν οὖν ἑαυτὸν ἀσκῶν ἅμα καὶ τοὺς ἄλλους παροξύνων πρὸς ἀρετὴν ἐκινδύνευεν· οἱ δὲ φίλοι, διὰ πλοῦτον καὶ ὄγκον ἤδη τρυφᾶν βουλόμενοι καὶ σχολάζειν, ἐβαρύνοντο τὰς πλάνας καὶ τὰς στρατείας, καὶ κατὰ μικρὸν οὕτω προῆλθον εἰς τὸ βλασφημεῖν καὶ κακῶς λέγειν αὐτόν. Ὁ δὲ καὶ πάνυ πρᾴως ἐν ἀρχῇ πρὸς ταῦτα διέκειτο, φάσκων βασιλικὸν εἶναι τὸ κακῶς ἀκούειν εὖ ποιοῦντα. Καίτοι τὰ μὲν μικρότατα τῶν γενομένων τοῖς συνήθεσι παρ' αὐτοῦ σημεῖα μεγάλης ὑπῆρχεν εὐνοίας καὶ τιμῆς· ὧν ὀλίγα παραθήσομαι. Πευκέστᾳ μὲν ἔγραψε, μεμφόμενος, ὅτι δηχθεὶς ὑπ' ἄρκτου, τοῖς μὲν ἄλλοις ἔγραψεν, αὐτῷ δ' οὐκ ἐδήλωσεν· „Ἀλλὰ νῦν γε (φησὶ) γράψον θ' ὅπως ἔχεις, καὶ μή τινές σε

Digitized by Google

τῶν συγκυνηγετούντων ἐγκατέλιπον, ἵνα δίκην δῶσι." Τοῖς δὲ περὶ Ἡφαιστίωνα διὰ πράξεις τινὰς ἀποῦσιν ἔγραψεν, ὅτι, παιζόντων αὐτῶν πρὸς ἰχνεύμονα, τῷ Περδίκκου δορατίῳ περιπεσὼν Κρατερὸς τοὺς μηροὺς ἐτρώθη. Πευκέστα δὲ σωθέντος ἔκ τινος ἀσθενείας, ἔγραψε πρὸς Ἀλέξιππον τὸν ἰατρὸν εὐχαριστῶν. Κρατεροῦ δὲ νοσοῦντος, ὄφιν ἰδὼν καθ' ὕπνον, αὐτός τε τινὰς θυσίας ἔθυεν ὑπὲρ αὐτοῦ, κἀκείνῳ θῦσαι ἐκέλευσεν. Ἔγραψε δὲ καὶ Παυσανίᾳ τῷ ἰατρῷ, βουλομένῳ τὸν Κρατερὸν ἑλλεβορίσαι, τὰ μὲν ἀγωνιῶν, τὰ δὲ παραινῶν, ὅπως χρήσεται τῇ φαρμακείᾳ. Τοὺς δὲ πρώτους τὴν Ἁρπάλου φυγὴν καὶ ἀπόδρασιν ἀγαγγείλαντας ἔδησεν, Ἐφιάλτην καὶ Κίσσον, ὡς καταψευδομένους τοῦ ἀνδρός. Ἐπεὶ δὲ τοὺς ἀσθενοῦντας αὐτοῦ καὶ γέροντας εἰς οἶκον ἀποστέλλοντος, Εὐρύλοχος Αἰγαῖος ἀνέγραψεν ἑαυτὸν εἰς τοὺς νοσοῦντας, εἶτα, φωραθεὶς ἔχων οὐδὲν κακόν, ὡμολόγησε Τελεσίππας ἐρᾶν, καὶ συνεπακολουθεῖν ἐπὶ θάλασσαν ἀπιούσης ἐκείνης, ἠρώτησε, τίνων ἀνθρώπων ἐστὶ τὸ γύναιον. Ἀκούσας δ', ὅτι τῶν ἐλευθέρων ἑταίρων· „Ἡμᾶς μὲν (εἶπεν), ὦ Εὐρύλοχε, συνεροῦντας ἔχεις· ὅρα δ', ὅπως πείθωμεν ἢ δώροις, ἢ λόγοις, τὴν Τελεσίππαν, ἐπειδήπερ ἐλευθέρων ἐστί."

XLII. Θαυμάσαι δὲ αὐτόν ἐστιν, ὅτι καὶ μέχρι τοιούτων ἐπιστέλλων τοῖς φίλοις ἐσχόλαζεν, οἷα γράφει, παῖδα Σελεύκου εἰς Κιλικίαν ἀποδεδρακότα κελεύων ἀναζητῆσαι· καὶ Πευκέσταν ἐπαινῶν, ὅτι

Digitized by Google

Νίκωνα, Κρατεροῦ δοῦλον, συνέλαβε· καὶ Μεγαβύζῳ περὶ τοῦ θεράποντος τοῦ ἐν τῷ ἱερῷ καθεζομένου, κελεύων αὐτὸν, ἂν δύνηται, συλλαβεῖν ἔξω τοῦ ἱεροῦ προκαλεσάμενος, ἐν δὲ τῷ ἱερῷ μὴ προσάπτεσθαι. Λέγεται δὲ καὶ τὰς δίκας διακρίνων ἐν ἀρχῇ τὰς θανατικὰς, τὴν χεῖρα τῶν ὤτων τῷ ἑτέρῳ προστιθέναι, τοῦ κατηγόρου λέγοντος, ὅπως τῷ κινδυνεύοντι καθαρὸν φυλάττηται καὶ ἀδιάβλητον. Ἀλλ' ὕστερόν γ' αὐτὸν ἐξετράχυναν αἱ πολλαὶ διαβολαὶ, διὰ τῶν ἀληθῶν πάροδον καὶ πίστιν ἐπὶ τὰ ψευδῆ λαβοῦσαι. Καὶ μάλιστα κακῶς ἀκούων, ἐξέστατο τοῦ φρονεῖν, καὶ χαλεπὸς ἦν καὶ ἀπαραίτητος, ἅτε δὴ τὴν δόξαν ἀντὶ τοῦ ζῆν καὶ τῆς βασιλείας ἠγαπηκώς. Τότε δὴ ἐξήλαυνεν ἐπὶ Δαρεῖον, ὡς πάλιν μαχούμενος· ἀκούσας δὲ τὴν ὑπὸ Βήσσου γενομένην αὐτοῦ σύλληψιν, ἀπέλυσε τοὺς Θεσσαλοὺς οἴκαδε, διαχίλια τάλαντα δωρεὰν ἐπιμετρήσας ταῖς μισθοφοραῖς. Πρὸς δὲ τὴν δίωξιν, ἀρχαλέαν καὶ μακρὰν γενομένην (ἕνδεκα γὰρ ἡμέραις ἱππάσατο τρισχιλίους καὶ τριακοσίους σταδίους), ἀπηγόρευσαν μὲν οἱ πλεῖστοι, καὶ μάλιστα κατὰ τὴν ἄνυδρον, Ἔνθα δὴ Μακεδόνες τινὲς ἀπήντησαν αὐτῇ, ὕδωρ ἐν ἀσκοῖς ἐφ' ἡμιόνων κομίζοντες ἀπὸ τοῦ ποταμοῦ· καὶ θεασάμενοι τὸν Ἀλέξανδρον, ἤδη μεσημβρίας οὔσης, κακῶς ὑπὸ δίψους ἔχοντα, ταχὺ πλησάμενοι κράνος προσήνεγκαν. Πυθομένου δ' αὐτοῦ, τίσι κομίζοιεν· „Τίοῖς (ἔφασαν) ἰδίοις· ἀλλὰ σοῦ ζῶντος, ἑτέρους ποιησόμεθα, κἂν ἐκείνους ἀπο-

Digitized by Google

λέσωμεν." Ταῦτ' ἀκούσας, ἔλαβεν εἰς τὰς χεῖρας τὸ κράνος· περιβλέψας δὲ καὶ θεασάμενος τοὺς περὶ αὐτὸν ἱππεῖς ἅπαντας ἐγκεκλικότας ταῖς κεφαλαῖς, καὶ πρὸς ποτὸν βλέποντας, ἀπέδωκεν, οὐ πιών, ἀλλ' ἐπαινέσας τοὺς ἀνθρώπους· „Ἂν γὰρ αὐτὸς (ἔφη) πίω μόνος ἀθυμήσουσιν οὗτοι." Θεασάμενοι δὲ τὴν ἐγκράτειαν αὐτοῦ καὶ μεγαλοψυχίαν οἱ ἱππεῖς, ἄγειν ἀνέκραγον θαρροῦντα, καὶ τοὺς ἵππους ἐμάστιζον· οὔτε γὰρ κάμνειν, οὔτε διψᾶν, οὔθ' ὅλως θνητοὺς εἶναι νομίζειν αὐτούς, ἕως ἂν ἔχωσι βασιλέα τοιοῦτον.

XLIII. Ἡ μὲν οὖν προθυμία πάντων ἦν ὁμοία μόνους δέ φασιν ἑξήκοντα συνεισπεσεῖν εἰς τὸ στρατόπεδον τῶν πολεμίων. Ἔνθα δὴ πολὺν μὲν ἄργυρον καὶ χρυσὸν ἐῤῥιμμένον ὑπερβαίνοντες, πολλὰς δὲ παίδων καὶ γυναικῶν ἁρμαμάξας ἡνιόχων ἐρήμους διαφερομένας παρερχόμενοι, τοὺς πρώτους ἐδίωκον, ὡς ἐν ἐκείνοις Δαρεῖον ὄντα. Μόλις δ' εὑρίσκεται πολλῶν ἀκοντισμάτων κατάπλεως τὸ σῶμα, κείμενος ἐν ἁρμαμάξῃ, μικρὸν ἀπολείπων τοῦ τελευτᾶν. Ὅμως δὲ καὶ πιεῖν ᾔτησε, καὶ πιὼν ὕδωρ ψυχρὸν, εἶπε πρὸς τὸν δόντα Πολύστρατον· „Ὦ ἄνθρωπε, τοῦτό μοι πέρας γέγονε δυστυχίας ἁπάσης, εὖ παθεῖν, ἀμείψασθαι μὴ δυνάμενον· ἀλλ' Ἀλέξανδρος ἀποδώσει σοι τὴν χάριν· Ἀλεξάνδρῳ δ' οἱ θεοὶ τῆς εἰς μητέρα καὶ γυναῖκα καὶ παῖδας τοὺς ἐμοὺς ἐπιεικείας, ᾗ αὐτὴν δίδωμι τὴν δεξιὰν διὰ σοῦ." Ταῦτ' εἰπών, καὶ λαβόμενος τῆς τοῦ Πολυστράτου χειρὸς, ἐξ-

Digitized by Google

λιπεν· Ἀλέξανδρος δ', ὡς ἐπῆλθεν, ἀλγῶν τε τῷ πάθει φανερὸς ἦν, καὶ τὴν ἑαυτοῦ χλαμύδα λύσας ἐπέβαλε τῷ σώματι, καὶ περιέστειλε. Καὶ Βῆσσον μὲν ὕστερον εὑρὼν διεσφενδόνησεν, ὀρθίων δένδρων εἰς ταὐτὸ καμφθέντων ἑκατέρῳ μέρος προσαρτήσας τοῦ σώματος· εἶτα μεθεὶς ἑκάτερον, ὡς ὥρμητο ῥύμῃ φερόμενον, τὸ προσῆκον αὐτῷ μέρος νείμασθαι. Τότε δὲ τοῦ Δαρείου τὸ μὲν σῶμα κεκοσμημένον βασιλικῶς πρὸς τὴν μητέρα ἀπέστειλε, τὸν δ' ἀδελφὸν Ἐξάθρην εἰς τοὺς ἑταίρους ἀνέλαβεν.

XLIV. Αὐτὸς δὲ μετὰ τῆς ἀκμαιοτάτης δυνάμεως εἰς Ὑρκανίαν κατέβαινε· καὶ πελάγους ἰδὼν κόλπον, οὐκ ἐλάττονα μὲν τοῦ Πόντου φανέντα, γλυκύτερον δὲ τῆς ἄλλης θαλάττης, σαφὲς μὲν οὐδὲν ἔσχε πυθέσθαι περὶ αὐτοῦ, μάλιστα δ' εἴκασε, τῆς Μαιώτιδος λίμνης ἀνακοπὴν εἶναι. Καίτοι τούς γε φυσικοὺς ἄνδρας οὐκ ἔλαθε ταληθὲς, ἀλλὰ πολλοῖς ἔτεσιν ἔμπροσθεν τῆς Ἀλεξάνδρου στρατείας ἱστορήκασιν, ὅτι τεσσάρων κόλπων εἰσεχόντων ἀπὸ τῆς ἔξω θαλάσσης βορειότατος οὗτός ἐστι, τὸ Ὑρκάνιον πέλαγος καὶ Κάσπιον ὁμοῦ προσαγορευόμενον. Ἐνταῦθα τῶν βαρβάρων τινὲς, ἀπροσδοκήτως περιτυχόντες τοῖς ἄγουσι τὸν ἵππον αὐτοῦ, τὸν Βουκεφάλαν, λαμβάνουσιν. Ὁ δ' ἤνεγκεν οὐ μετρίως, ἀλλὰ κήρυκα πέμψας, ἠπείλησε πάντας ἀποκτενεῖν μετὰ τέκνων καὶ γυναικῶν, εἰ τὸν ἵππον αὐτῷ μὴ ἀναπέμψειαν. Ἐπεὶ δὲ καὶ τὸν ἵππον αὐτῷ ἄγοντες ἦκον, καὶ τὰς πόλεις ἐγχειρίζοντες, ἐχρήσατο φι-

Digitized by Google

λανθρώπως πᾶσι, καὶ τοῦ ἵππου λύτρα τοῖς λαβοῦσιν ἔδωκεν.

XLV. Ἐντεῦθεν εἰς τὴν Παρθικὴν ἀναζεύξας καὶ σχολάζων, πρῶτον ἐνεδύσατο τὴν βαρβαρικὴν στολήν, εἴτε βουλόμενος αὐτὸν συνοικειοῦν τοῖς ἐπιχωρίοις νόμοις, ὡς μέγα πρὸς ἐξημέρωσιν ἀνθρώπων τὸ σύνηθες καὶ ὁμόφυλον ὄν· εἴτ' ἀπόπειρά τις ὑφεῖτο τῆς προσκυνήσεως αὖτη τοῖς Μακεδόσι, κατὰ μικρὸν ἀνασχέσθαι τὴν ἐκδιαίτησιν αὐτοῦ καὶ μεταβολὴν ἐθίζομένοις. Οὐ μὴν τήν γε Μηδικὴν προσήκατο, παντάπασι βαρβαρικὴν καὶ ἀλλόκοτον οὖσαν, οὐδ' ἀναξυρίδας, οὐδὲ κάνδυν, οὐδὲ τιάραν ἔλαβεν, ἀλλ' ἐν μέσῳ τινὰ τῆς Περσικῆς καὶ τῆς Μηδικῆς μιξάμενος εὖ πως, ἀτυφοτέραν μὲν ἐκείνης, ταύτης δὲ σοβαρωτέραν οὖσαν. Ἐχρῆτο δὲ τὸ μὲν πρῶτον ἐντυγχάνων τοῖς βαρβάροις καὶ τοῖς ἑταίροις κατ' οἶκον, εἶτα τοῖς πολλοῖς οὕτως ἐξελαύνων καὶ χρηματίζων ἐωρᾶτο. Καὶ λυπηρὸν μὲν ἦν τοῖς Μακεδόσι τὸ θέαμα· τὴν δ' ἄλλην αὐτοῦ θαυμάζοντες ἀρετήν, ᾠοντο δεῖν ἔνια τῶν πρὸς ἡδονὴν αὐτῷ καὶ δόξαν ἐπιχωρεῖν· ὅς γε πρὸς ἅπασι τοῖς ἄλλοις, ἔναγχος τόξευμα μὲν εἰς τὴν κνήμην λαβών, ὑφ' οὗ τῆς κερκίδος ὀστέον ἀποθραυσθὲν ἐξέπεσε, λίθῳ δὲ πληγεὶς πάλιν εἰς τὸν τράχηλον, ὥστε καὶ ταῖς ὄψεσιν ἀχλὺν ὑποδραμεῖν, παραμείνασαν οὐκ ὀλίγον χρόνον, ὅμως οὐκ ἐπαύετο χρώμενος ἑαυτῷ πρὸς τοὺς κινδύνους ἀφειδῶς, ἀλλὰ καὶ τὸν Ὀρεξάρτην διαβὰς ποταμὸν, ὃν αὐτὸς ᾤετο Τάναϊν εἶναι, καὶ τοὺς Σκύθας τρε-

Digitized by Google

ψάμενος, ἐδίωξεν ἐπὶ σταδίους ἑκατόν, ἐνοχλούμενος ὑπὸ διαῤῥοίας,

XLVI. Ἐνταῦθα δὲ πρὸς αὐτὸν ἀφικέσθαι τὴν Ἀμαζόνα οἱ πολλοὶ λέγουσιν, ὧν καὶ Κλείταρχός ἐστι καὶ Πολύκριτος, καὶ Ὀνησίκριτος, καὶ Ἀντιγένης, καὶ Ἴστρος· Ἀριστόβουλος δὲ, καὶ Χάρης ὁ εἰσαγγελεὺς, καὶ Πτολεμαῖος, καὶ Ἀντικλείδης, καὶ Φίλων ὁ Θηβαῖος, καὶ Φίλιππος ὁ Θεαγγελεὺς, πρὸς δὲ τούτοις Ἑκαταῖος ὁ Ἐρετριεὺς, καὶ Φίλιππος ὁ Χαλκιδεὺς, καὶ Δοῦρις ὁ Σάμιος, πλάσμα φασὶ γεγονέναι τοῦτο. Καὶ ματρυρεῖν αὐτοῖς ἔοικεν Ἀλέξανδρος. Ἀντιπάτρῳ γὰρ ἅπαντα γράφων ἀκριβῶς, τὸν μὲν Σκύθην φησὶν αὐτῷ διδόναι τὴν θυγατέρα πρὸς γάμον, Ἀμαζόνος δ' οὐ μνημονεύει. Λέγεται δὲ πολλοῖς χρόνοις Ὀνησίκριτος ὕστερον ἤδη βασιλεύοντι Λυσιμάχῳ τῶν βιβλίων τὸ τέταρτον ἀναγινώσκειν, ἐν ᾧ γέγραπται περὶ τῆς Ἀμαζόνος· τὸν οὖν Λυσίμαχον, ἀτρέμα μειδιάσαντα, „Καὶ ποῦ (φάναι) τότ' ἤμην ἐγώ;" Ταῦτα μὲν οὖν ἄν τις οὔτ' ἀπιστῶν, ἧττον, οὔτε πιστεύων, μᾶλλον Ἀλέξανδρον θαυμάσειε.

XLVII. Φοβούμενος δὲ τοὺς Μακεδόνας, μὴ εἰς τὰ ὑπόλοιπα τῆς στρατείας ἀπαγορεύσωσι, τὸ μὲν ἄλλο πλῆθος εἴασε κατὰ χώραν· τοὺς δ' ἀρίστους ἔχων ἐν Ὑρκανίᾳ μεθ' ἑαυτοῦ, δισμυρίους πεζοὺς καὶ τρισχιλίους ἱππεῖς, προσέβαλε, λέγων, ὡς νῦν μὲν αὐτοὺς ἐνύπνιον τῶν βαρβάρων ὁρώντων, ἂν δὲ μόνον ταράξαντες τὴν Ἀσίαν ἀπίωσιν, ἐπιθησομέ-

Digitized by Google

νων εὐθὺς ὥσπερ γυναιξίν. Οὐ μὴν ἀλλ' ἀπιέναι γε τοῖς βουλομένοις ἐφῆκε μαρτυράμενος, ὅτι τὴν οἰκουμένην τοῖς Μακεδόσι κτώμενος ἐγκαταλέλειπται μετὰ τῶν φίλων καὶ τῶν ἐθελόντων στρατεύειν. Ταῦτα σχεδὸν αὐτοῖς ὀνόμασιν ἐν τῇ πρὸς Ἀντίπατρον ἐπιστολῇ γέγραπται, καὶ ὅτι, ταῦτ' εἰπόντος αὐτοῦ, πάντες ἐξέκραγον, ὅπου βούλεται τῆς οἰκουμένης ἄγειν. Δεξαμένων δὲ τοῦτων τὴν πεῖραν, οὐκ ἔτ' ἦν χαλεπὸν προαχθῆναι τὸ πλῆθος, ἀλλὰ ῥᾳδίως ἐπηκολούθησεν. Οὕτω δὴ καὶ τὴν δίαιταν ἔτι μᾶλλον ὁμοίου τε τοῖς ἐπιχωρίοις ἑαυτὸν, ἐκεῖνά τε προσῆγε τοῖς Μακεδονικοῖς ἔθεσιν, ἀνακράσει καὶ κοινωνίᾳ μᾶλλον δ' εὐνοίας καταστήσεσθαι τὰ πράγματα νομίζων, ἢ βίᾳ, μακρὰν ἀπαίροντος αὐτοῦ. Διὸ καὶ τρισμυρίους παῖδας ἐπιλεξάμενος, ἐκέλευσε γράμματά τε μανθάνειν Ἑλληνικὰ, καὶ Μακεδονικοῖς ὅπλοις ἐντρέφεσθαι, πολλοὺς ἐπιστάτας καταστήσας. Καί τι περὶ Ῥωξάνην ἔρωτι μὲν ἐπράχθη, καλὴν καὶ ὡραίαν ἐν Χορτάνου παρὰ πότον ὀφθεῖσαν· ἔδοξε δ' οὐκ ἀνέμεστα τοῖς ὑποκειμένοις εἶναι πράγμασιν. Ἐθαύμασαν γὰρ οἱ βάρβαροι τῇ κοινωνίᾳ τοῦ γάμου, καὶ τὸν Ἀλέξανδρον ὑπερηγάπησαν, ὅτι σωφρονέστατος περὶ ταῦτα γεγονὼς, οὐδ' ἧς μόνης ἡττήθη γυναικὸς ἄνευ νόμου θιγεῖν ὑπέμεινεν. Ἐπεὶ δὲ καὶ τῶν φίλων ἐώρα τῶν μεγίστων Ἡφαιστίωνα μὲν ἐπαινοῦντα καὶ συμμετακοσμούμενον αὐτῷ, Κρατερὸν δὲ τοῖς πατρίοις ἐμμένοντα· δι' ἐκείνου μὲν ἐχρημάτιζε τοῖς βαρβάροις, διὰ τούτου δὲ τοῖς Ἕλλησι καὶ τοῖς Μακεδόσι·

Digitized by Google

καὶ ὅλως, τὸν μὲν ἐφίλει μάλιστα, τὸν δ' ἐτίμα· νομίζων καὶ λέγων ἀεὶ, τὸν μὲν Ἡφαιστίωνα φιλαλέξανδρον εἶναι, τὸν δὲ Κρατερὸν φιλοβασιλέα. Διὸ καὶ πρὸς ἀλλήλους ὑπούλως ἔχοντες συνέκρουον πολλάκις. Ἅπαξ δὲ περὶ τὴν Ἰνδικὴν καὶ εἰς χεῖρας ἦλθον, σπασάμενοι τὰ ξίφη· καὶ τῶν φίλων ἑκατέρῳ παραβοηθούντων, προσελάσας Ἀλέξανδρος ἐλοιδόρει τὸν Ἡφαιστίωνα φανερῶς, ἔμπληκτον καλῶν καὶ μαινόμενον, εἰ μὴ συνίησιν, ὡς, ἐάν τις αὐτοῦ τὸν Ἀλέξανδρον ἀφέληται, μηδὲν ἔστιν· ἰδίᾳ δὲ καὶ τοῦ Κρατεροῦ πικρῶς καθήψατο. Καὶ συναγαγὼν αὐτοὺς καὶ διαλλάξας, ἐπώμοσε τὸν Ἄμμωνα καὶ τοὺς ἄλλους θεοὺς, ἢ μὴν μάλιστα φιλεῖν ἀνθρώπων ἁπάντων ἐκείνους· ἂν δὲ πάλιν αἴσθηται διαφερομένους, ἀποκτενεῖν ἀμφοτέρους, ἢ τὸν ἀρξάμενον. Ὅθεν ὕστερον οὐδὲ παίζοντες εἰπεῖν τι, οὐδὲ πρᾶξαι πρὸς ἀλλήλους λέγονται.

XLVIII. Φιλώτας δ' ὁ Παρμενίωνος ἀξίωμα μὲν εἶχεν ἐν τοῖς Μακεδόσι μέγα. Καὶ γὰρ ἀνδρεῖος ἐδόκει καὶ καρτερικὸς εἶναι· φιλόδωρος δ' οὕτω καὶ φιλέταιρος μετ' αὐτὸν Ἀλέξανδρον οὐδείς. Λέγεται γοῦν, ὅτι, τῶν συνήθων τινὸς αἰτοῦντος ἀργύριον, ἐκέλευσε δοῦναι· φήσαντος δὲ τοῦ διοικητοῦ μὴ ἔχειν· „Τί λέγεις; (εἶπεν) οὐδὲ ποτήριον ἔχεις, οὐδ' ἱμάτιον;“ Ὄγκῳ δὲ φρονήματος καὶ βάρει πλούτου, καὶ τῇ περὶ τὸ σῶμα θεραπείᾳ καὶ διαίτῃ χρώμενος ἐπαχθέστερον, ἢ κατ' ἰδιώτην, καὶ τότε δὴ τὸ σεμνὸν καὶ ὑψηλὸν οὐκ ἐμμελῶς, ἀλλ' ἄνευ χαρίτων τῷ σολοίκῳ καὶ

Digitized by Google

παρασήμῳ μιμούμενος, ὑποψίαν καὶ φθόνον ἔσχεν· ὥστε καὶ Παρμενίωνα ποτ' εἰπεῖν πρὸς αὐτόν· „Ὦ παῖ, χείρων μοι γίνου.“ Πρὸς δ' αὐτὸν Ἀλέξανδρον ἐπ πάνυ πολλῶν χρόνων ἐτύγχανε διαβεβλημένος. Ὅτε γὰρ τὰ περὶ Δαμασκὸν ἑάλω χρήματα, Δαρείου νικηθέντος ἐν Κιλικίᾳ, πολλῶν σωμάτων κομισθέντων εἰς τὸ στρατόπεδον, εὑρέθη γύναιον ἐν τοῖς αἰχμαλώτοις, τῷ μὲν γένει Πυθναῖον, εὐπρεπὲς δὲ τὴν ὄψιν ἐπαλεῖτο δ' Ἀντιγόνη. Τοῦτ' ἔσχεν ὁ Φιλώτας· οἷα δὲ νέος πρὸς ἐρωμένην, καὶ σὺν οἴνῳ πολλὰ φιλότιμα καὶ στρατιωτικὰ παῤῥησιαζόμενος, ἑαυτοῦ τὰ μέγιστα τῶν ἔργων ἀπέφαινε καὶ τοῦ πατρός· Ἀλέξανδρον δὲ μειράκιον ἀπεκάλει, δι' αὐτοὺς τὸ τῆς ἀρχῆς ὄνομα καρπούμενον. Ταῦτα τῆς γυναικὸς ἐκφερούσης πρός τινα τῶν συνήθων, ἐκείνου δ', ὡς εἰκός, πρὸς ἕτερον, περιῆλθεν εἰς Κρατερὸν ὁ λόγος· καὶ λαβὼν τὸ γύναιον, εἰσήγαγε κρύφα πρὸς Ἀλέξανδρον. Ἀκούσας δ' ἐκεῖνος, ἐκέλευσε φοιτᾶν εἰς ταὐτὸ τῷ Φιλώτᾳ, καὶ πᾶν, ὅ τε ἂν ἐκπύθηται τοῦτο πρὸς αὐτὸν ἀπαγγέλλειν βαδίζουσαν.

XLIX. Ὁ μὲν οὖν Φιλώτας ἐπιβουλευόμενος οὕτως ἠγνόει, καὶ συνῆν τῇ Ἀντιγόνῃ, πολλὰ καὶ πρὸς ὀργὴν καὶ μεγαλαυχίαν κατὰ τοῦ βασιλέως ῥήματα καὶ λόγους ἀνεπιτηδείους προϊέμενος. Ὁ δὲ Ἀλέξανδρος, καίπερ καρτερᾶς ἐνδείξεως κατὰ τοῦ Φιλώτου προυπεσούσης, ἐκαρτέρησε σιωπῇ καὶ κατέσχεν, εἴτε θαῤῥῶν τῇ Παρμενίωνος εὐνοίᾳ πρὸς αὐτόν, ἔτι δεδιὼς τὴν δόξαν αὐτῶν καὶ τὴν δύναμιν. Ἐν δὲ τῷ τότε

χρόνῳ Μακεδὼν, ὄνομα Λίμνος, ἐκ Χαλαίστρας, [χαλεπῶς] ἐπιβουλεύων Ἀλεξάνδρῳ, Νικόμαχόν τινα τῶν νέων, πρὸς ὃν αὐτὸς ἐρωτικῶς εἶχεν, ἐπὶ τὴν κοινωνίαν τῆς πράξεως παρεκάλει. Τοῦ δὲ μὴ δεξαμένου, φράσαντος δὲ τἀδελφῷ Βαλείνῳ τὴν πεῖραν, ἐλθὼν ἐκεῖνος πρὸς Φιλώταν, ἐκέλευσεν εἰσάγειν αὐτοὺς πρὸς Ἀλέξανδρον, ὡς περὶ ἀναγκαίων ἔχοντας ἐντυχεῖν καὶ μεγάλων. Ὁ δ', ὅ τι δὴ παθὼν (ἄδηλον γάρ ἐστιν), οὐ παρῆγεν αὐτοὺς, ὡς πρὸς ἄλλοις μείζοσι γιγνομένου τοῦ βασιλέως. Καὶ τοῦτο δὶς ἐποίησεν. Οἱ δὲ, καθ' ὑποψίαν ἤδη τοῦ Φιλώτου, τραπόμενοι πρὸς ἕτερον, καὶ δι' ἐκείνου τῷ Ἀλεξάνδρῳ προσαχθέντες, πρῶτον μὲν τὰ τοῦ Λίμνου κατεῖπον, ἔπειτα παρεδήλωσαν ἡσυχῇ τὸν Φιλώταν, ὡς ἀμελήσειεν αὐτῶν δὶς ἐντυχόντων. Καὶ τοῦτο δὴ σφόδρα παρώξυνε τὸν Ἀλέξανδρον· καὶ τοῦ πεμφθέντος ἐπὶ τὸν Λίμνον, ὡς ἠμύνετο συλλαμβανόμενος, ἀποκτείναντος αὐτὸν, ἔτι μᾶλλον διεταράχθη, τὸν ἔλεγχον ἐκπεφευγέναι τῆς ἐπιβουλῆς νομίζων. Καὶ πικρῶς ἔχων πρὸς τὸν Φιλώταν, ἐπεσπάσατο τοὺς πάλαι μισοῦντας αὐτὸν, ἤδη φανερῶς λέγοντας, ὡς ῥᾳθυμία τοῦ βασιλέως εἴη, Λίμνον οἰομένου, Χαλαιστραῖον ἄνθρωπον, ἐπιχειρῆσαι τολμήματι τοσούτῳ καθ' αὑτόν· ἀλλὰ τοῦτον μὲν ὑπερέτην εἶναι, μᾶλλον δ' ὄρχανον ἀπὸ μείζονος ἀρχῆς ἀφικόμενον· ἐν ἐκείνοις δὲ τὴν ἐπιβουλὴν ζητητέον, οἷς μάλιστα ταῦτα λανθάνειν συνέφερε. Τοιούτοις λόγοις καὶ ὑπονοίαις ἀναπετάσαντος τὰ ὦτα τοῦ βασιλέως, ἐπῆγον ἤδη

Digitized by Google

μυρίας κατὰ τοῦ Φιλώτου διαβολάς. Ἐκ τούτου δὲ συλληφθεὶς ἀνεκρίνετο, τῶν ἑταίρων ἐφεστώτων ταῖς βασάνοις, Ἀλέξανδρου δὲ κατακούοντος ἔξωθεν, αὐλαίας παρατεταμένης· ὥστε δὴ καί φασιν αὐτὸν εἰπεῖν, οἰκτρὰς καὶ ταπεινὰς τοῦ Φιλώτου φωνὰς καὶ δεήσεις τοῖς περὶ τὸν Ἡφαιστίωνα προσφέροντος· „Οὕτω δὴ μαλακὸς ὢν, ὦ Φιλώτα, καὶ ἄνανδρος, ἐπεχείρεις πράγμασι τηλικούτοις;“ Ἀποθανόντος δὲ τοῦ Φιλώτα, καὶ Παρμενίωνα, πέμψας εὐθὺς εἰς Μηδίαν, ἀνεῖλεν, ἄνδρα πολλὰ μὲν Φιλίππῳ συγκατεργασάμενον, μόνον δ', ἢ μάλιστα τῶν πρεσβυτέρων φίλων, Ἀλέξανδρον εἰς Ἀσίαν ἐξορμήσαντα διαβῆναι, τριῶν δ' υἱῶν, οὓς ἔσχεν, ἐπὶ τῆς στρατιᾶς δύο μὲν ἐπιδόντα πρότερον ἀποθανόντας, τῷ δὲ τρίτῳ συναναιρεθέντα. Ταῦτα πραχθέντα πολλοῖς τῶν φίλων φοβερὸν ἐποίησε τὸν Ἀλέξανδρον, μάλιστα δ' Ἀντιπάτρῳ· καὶ πρὸς Αἰτωλοὺς ἔπεμψε κρύφα, πίστεις δοὺς καὶ λαμβάνων. Ἐφοβοῦντο γὰρ Ἀλέξανδρον Αἰτωλοὶ διὰ τὴν Οἰνιαδῶν ἀνάστασιν, ἣν πυθόμενος, οὐκ Οἰνιαδῶν ἔφη παῖδας, ἀλλ' αὐτὸν ἐπιθήσειν δίκην Αἰτωλοῖς.

L. Οὐ πολλῷ δ' ὕστερον συνηνέχθη καὶ τὰ περὶ Κλεῖτον, οὕτω μὲν ἁπλῶς πυθομένοις, τῶν κατὰ Φιλώταν ἀγριώτερα· λόγῳ μέντοι συντιθέντες ἅμα καὶ τὴν αἰτίαν καὶ τὸν καιρὸν, οὐκ ἀπὸ γνώμης, ἀλλὰ δυστυχίᾳ τινὶ ταῦτα εὑρίσκομεν πεπραγμένα τοῦ βασιλέως, ὀργὴν καὶ μέθην πρόφασιν τῷ Κλείτου δαίμονι παρασχόντος, Ἐπράχθη δὲ οὕτως. Ἦλθε

Digitized by Google

τινες ὁπώραν Ἑλληνικὴν ἀπὸ θαλάσσης τῷ βασιλεῖ κομίζοντες. Ὁ δὲ, θαυμάσας τὴν ἀκμὴν καὶ τὸ κάλλος, ἐκάλει τὸν Κλεῖτον, ἐπιδεῖξαι καὶ μεταδοῦναι βουλόμενος. Ὁ δὲ, θύων μὲν ἐτύγχανεν, ἀφεὶς δὲ τὴν θυσίαν ἐβάδιζε, καὶ τρία τῶν κατεσπεισμένων προβάτων ἐπηκολούθησεν αὐτῷ. Πυθόμενος δ' ὁ βασιλεὺς, ἀνεκοινοῦτο τοῖς μάντεσιν, Ἀριστάνδρῳ καὶ Κλεομάντει τῷ Λάκωνι. Φησάντων δὲ, πονηρὸν εἶναι τὸ σημεῖον, ἐκέλευσεν ἐκθύσασθαι κατὰ τάχος ὑπὲρ τοῦ Κλείτου. Καὶ γὰρ αὐτὸς ἡμέρᾳ τρίτῃ κατὰ τοὺς ὕπνους εἶδεν ὄψιν ἄτοπον· δόξαι γὰρ αὐτῷ τὸν Κλεῖτον μετὰ τῶν Παρμενίωνος υἱῶν ἐν μέλασιν ἱματίοις καθέζεσθαι, τεθνηκότων ἁπάντων. Οὐ μὴν ἔφθασεν ὁ Κλεῖτος ἐκθυσάμενος, ἀλλ' εὐθὺς ἐπὶ τὸ δεῖπνον ἦκε, τεθυκότος τοῦ βασιλέως Διοσκόροις. Πότου δὲ νεανικοῦ συῤῥαγέντος, ᾖδετο ποιήματα Πρανίχου τινός, ὃς δέ φασιν ἔνιοι, Πιερίωνος, εἰς τοὺς στρατηγοὺς πεποιημένα, τοὺς ἔναγχος ἡττημένους ὑπὸ τῶν βαρβάρων, ἐπ' αἰσχύνῃ καὶ γέλωτι. Τῶν δὲ πρεσβυτέρων δυσχεραινόντων, καὶ λοιδορούντων τόν τε ποιητὴν καὶ τὸν ᾄδοντα, τοῦ δ' Ἀλεξάνδρου καὶ τῶν περὶ αὐτὸν ἡδέως ἀκροωμένων, καὶ λέγειν κελευόντων, ὁ Κλεῖτος ἤδη μεθύων, καὶ φύσει τραχὺς ὢν καὶ αὐθάδης, ἠγανάκτει μάλιστα, φάσκων, οὐ καλῶς ἐν βαρβάροις καὶ πολεμίοις ὑβρίζεσθαι Μακεδόνας πολὺ βελτίονας τῶν γελώντων, εἰ καὶ δυστυχίᾳ κέχρηνται. Φήσαντος δὲ τοῦ Ἀλεξάνδρου, τὸν Κλεῖτον αὐτῷ συνηγορεῖν, δυστυχίαν ἀπο-

Digitized by Google

φαινονται τὴν δειλίαν, ἐπαναστὰς ὁ Κλεῖτος· „Αὕτη μέντοι σε (εἶπεν) ἡ δειλία τὸν ἐκ θεῶν, ἤδη τῷ Σπιθριδάτου ξίφει τὸ νῶτον ἐκτρέποντα περιεποίησε· καὶ τῷ Μακεδόνων αἵματι καὶ τοῖς τραύμασι τούτοις ἐγένου τηλικοῦτος, ὥστ᾽ Ἄμμωνι σαυτὸν εἰσποιεῖν ἀπειπάμενος Φίλιππον.“

LI. Παροξυνθεὶς οὖν ὁ Ἀλέξανδρος· „Ἦ ταῦτ᾽ (εἶπεν), ὦ κακὴ κεφαλή, σὺ περὶ ἡμῶν ἑκάστοτε λέγων, καὶ διαστασιάζων Μακεδόνας, χαιρήσειν νομίζεις;“ „Ἀλλ᾽ οὐδὲ νῦν (ἔφη) χαίρομεν, Ἀλέξανδρε, τοιαῦτα τέλη τῶν πόνων κομιζόμενοι· μακαρίζομεν δὲ τοὺς ἤδη τεθνηκότας, πρὶν ἐπιδεῖν Μηδικαῖς ῥάβδοις ξαινομένους Μακεδόνας, καὶ Περσῶν δεομένους, ἵνα τῷ βασιλεῖ προσέλθωμεν.“ Τοιαῦτα τοῦ Κλείτου παῤῥησιαζομένου, καὶ τῶν περὶ Ἀλέξανδρον ἀνταναστάντων καὶ λοιδορούντων αὐτόν, οἱ πρεσβύτεροι κατέχειν ἐπειρῶντο τὸν θόρυβον. Ὁ δ᾽ Ἀλέξανδρος, ἀποστραφεὶς πρὸς Ξενόδοχον τὸν Καρδιανὸν καὶ τὸν Κολοφώνιον Ἀρτέμιον· „Οὐ δοκοῦσιν (εἶπεν) ὑμῖν οἱ Ἕλληνες ἐν τοῖς Μακεδόσιν, ὥσπερ ἐν θηρίοις ἡμίθεοι, περιπατεῖν;“ Τοῦ δὲ Κλείτου μὴ εἴκοντος, ἀλλ᾽ εἰς μέσον, ἃ βούλεται, λέγειν τὸν Ἀλέξανδρον κελεύοντος, ἢ μὴ καλεῖν ἐπὶ δεῖπνον ἄνδρας ἐλευθέρους, καὶ παῤῥησίαν ἔχοντας, ἀλλὰ μετὰ βαρβάρων ζῇν καὶ ἀνδραπόδων, οἳ τὴν Περσικὴν ζώνην καὶ τὸν διάλευκον αὐτοῦ χιτῶνα προσκυνήσουσιν, οὐκ ἔτι φέρων τὴν ὀργὴν Ἀλέξανδρος, μήλων παρακειμένων ἐνὶ βαλὼν ἔπαισεν αὐτὸν, κα-

Digitized by Google

τὸ ἐγχειρίδιον ἐζήτει. Τῶν δὲ σωματοφυλάκων ἑνὸς Ἀριστοφάνους, φθάσαντος ὑφελέσθαι, καὶ τῶν ἄλλων περιεχόντων καὶ δεομένων, ἀναπηδήσας ἀνεβόα Μακεδονιστὶ καλῶν τοὺς ὑπασπιστάς, (τοῦτο δ' ἦν σύμβολον θορύβου μεγάλου) καὶ τὸν σαλπιγκτὴν ἐκέλευε σημαίνειν, καὶ πὺξ ἔπαισεν, ὡς διατρίβοντα καὶ μὴ βουλόμενον. Οὗτος μὲν οὖν ὕστερον εὐδοκίμησεν, ὡς τοῦ μὴ συνταραχθῆναι τὸ στρατόπεδον αἰτιώτατος γενόμενος. Τὸν δὲ Κλεῖτον, οὐχ ὑφιέμενον, οἱ φίλοι μόλις ἐξέωσαν τοῦ ἀνδρῶνος. Ὁ δὲ κατ' ἄλλας θύρας αὖθις εἰσῄει, μάλα ὀλιγώρως καὶ θρασέως Εὐριπίδου τὰ ἐξ Ἀνδρομάχης ἰαμβεῖα ταῦτα περαίνων·

Οἴμοι, καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται!

Οὕτω δὴ λαβὼν παρά τινος τῶν δορυφόρων Ἀλέξανδρος αἰχμὴν, ἅπαντῶντα τὸν Κλεῖτον αὐτῷ, καὶ παράγοντα τὸ πρὸ τῆς θύρας παρακάλυμμα, διελαύνει. Πεσόντος δὲ μετὰ στεναγμοῦ καὶ βρυχήματος, εὐθὺς ἀφῆκεν ὁ θυμὸς αὐτόν. Καὶ γενόμενος παρ' ἑαυτῷ, καὶ τοὺς φίλους ἰδὼν ἀφώνους ἑστῶτας, ἑλκύσασθαι μὲν ἐκ τοῦ νεκροῦ τὴν αἰχμὴν ἔφθασε, παῖσαι δ' ἑαυτὸν ὁρμήσας παρὰ τὸν τράχηλον ἐπεσχέθη, τῶν σωματοφυλάκων τὰς χεῖρας αὐτοῦ λαβόντων, καὶ τὸ σῶμα βίᾳ παρενεγκόντων εἰς τὸν θάλαμον.

LII. Ἐπεὶ δὲ τήν τε νύκτα κακῶς κλαίων διήνεγκε, καὶ τὴν ἐπιοῦσαν ἡμέραν, ἤδη τῷ βοᾶν καὶ θρηνεῖν ἀπειρηκὼς, ἄναυδος ἔκειτο, βαρεῖς ἀνα-

Digitized by Google

φέρων στεναγμοὺς, δείσαντες οἱ φίλοι τὴν ἀποσιώπησιν, εἰσῆλθον βίᾳ. Καὶ τῶν μὲν ἄλλων οὐ προσίετο τοὺς λόγους· Ἀριστάνδρου δὲ τοῦ μάντεως ὑπομιμνήσκοντος αὐτὸν τὴν τ' ὄψιν, ἣν εἶδε περὶ τοῦ Κλείτου, καὶ τὸ σημεῖον, ὡς δὴ πάλαι καθειμαρμένων τούτων, ἔδοξεν ἐνδιδόναι. Διὸ Καλλισθένη τε τὸν φιλόσοφον παρεισήγαγον, Ἀριστοτέλους οἰκεῖον ὄντα, καὶ τὸν Ἀβδηρίτην Ἀνάξαρχον. Ἦν Καλλισθένης μὲν ἠθικῶς ἐπειρᾶτο καὶ πράως, ὑποδυόμενος τῷ λόγῳ καὶ περιϊὼν ἀλύπως, λαβέσθαι τοῦ πάθους. Ὁ δ' Ἀνάξαρχος, ἰδίαν τινὰ πορευόμενος ἐξ ἀρχῆς ὁδὸν ἐν φιλοσοφίᾳ, καὶ δόξαν εἰληφὼς ὑπεροψίας καὶ ὀλιγωρίας τῶν συνήθων, εὐθὺς εἰσελθὼν ἀνεβόησεν· „Οὗτός ἐστιν Ἀλέξανδρος, εἰς ὃν ἡ οἰκουμένη νῦν ἀποβλέπει· ὁ δ' ἔρριπται κλαίων, ὥσπερ ἀνδράποδον, ἀνθρώπων νόμον καὶ ψόγον δεδοικὼς, οἷς αὐτὸν προσήκει νόμον εἶναι, καὶ ὅρον τῶν δικαίων, ἐπείπερ ἄρχειν καὶ κρατεῖν νενίκηκεν, ἀλλὰ μὴ δουλεύειν ὑπὸ κενῆς δόξης κεκρατημένον. „Οὐκ οἶσθα (εἶπεν), ὅτι τὴν Δίκην ἔχει πάρεδρον ὁ Ζεὺς, καὶ τὴν Θέμιν, ἵνα πᾶν τὸ πραχθὲν ὑπὸ τοῦ κρατοῦντος θεμιτὸν ᾖ καὶ δίκαιον;" Τοιούτοις τισὶ λόγοις χρησάμενος ὁ Ἀνάξαρχος, τὸ μὲν πάθος ἐκούφισε τοῦ βασιλέως, τὸ δ' ἦθος εἰς πολλὰ χαυνότερον καὶ παρανομώτερον ἐποίησεν· αὐτὸν δὲ δαιμονίως ἐνήρμοσε, καὶ τοῦ Καλλισθένους τὴν ὁμιλίαν, οὐδ' ἄλλως ἐπίχαριν διὰ τὸ αὐστηρὸν οὖσαν, προσδιέβαλε. Λέγεται δέ ποτε παρὰ δεῖ-

Digitized by Google

τνον ὑπὲρ ὡρῶν καὶ κρασεως τοῦ περιέχοντος λόγων ὄντων, τὸν Καλλισθένη, μετέχοντα δόξης τοῖς λέγουσι, τἀκεῖ μᾶλλον εἶναι ψυχρὰ καὶ δυσχείμερα τῶν Ἑλληνικῶν, ἐναντιουμένου τοῦ Ἀναξάρχου καὶ φιλονεικοῦντος, εἰπεῖν· „Ἀλλὰ μὴν ἀνάγκη σοι ταῦτ' ἐκείνων ὁμολογεῖν ψυχρότερα· σὺ γὰρ ἐκεῖ μὲν ἐν τρίβωνι διεχείμαζες, ἐνταῦθα δὲ τρεῖς ἐπιβεβλημένος δάπιδας κατάκεισαι." Τὸν μὲν οὖν Ἀνάξαρχον καὶ τοῦτο προσπαρώξυνε.

LIII. Τοὺς δ' ἄλλους σοφιστὰς καὶ κόλακας ὁ Καλλισθένης ἐλύπει, σπουδαζόμενος μὲν ὑπὸ τῶν νέων διὰ τὸν λόγον, οὐχ ἧττον δὲ τοῖς πρεσβυτέροις ἀρέσκων διὰ τὸν βίον, εὔτακτον ὄντα καὶ σεμνὸν καὶ αὐτάρκη, καὶ βεβαιοῦντα τὴν λεγομένην τῆς ἀποδημίας πρόφασιν· ὅτι, τοὺς πολίτας καταγαγεῖν καὶ κατοικίσαι πάλιν τὴν πατρίδα φιλοτιμούμενος, ἀνέβη πρὸς Ἀλέξανδρον. Φθονούμενος δὲ διὰ τὴν δόξαν, ἔστιν ἃ καὶ καθ' αὑτοῦ τοῖς διαβάλλουσι παρεῖχε, τάς τε κλήσεις τὰ πολλὰ διωθούμενος, ἐν δὲ τῷ συνεῖναι βαρύτητι καὶ σιωπῇ δοκῶν οὐκ ἐπαινεῖν, οὐδ' ἀρέσκεσθαι τοῖς γινομένοις· ὥστε καὶ τὸν Ἀλέξανδρον εἰπεῖν ἐπ' αὐτῷ·

Μισῶ σοφιστὴν, ὅστις οὐχ αὑτῷ σοφός.

Λέγεται δέ ποτε, πολλῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον, ἐπαινέσαι κελευσθεὶς ἐπὶ τοῦ ποτηρίου Μακεδόνας ὁ Καλλισθένης, οὕτως εὐροῆσαι πρὸς τὴν ὑπόθεσιν, ὥστ' ἀνισταμένους κροτεῖν καὶ βάλλειν τοὺς στεφάνους ἐπ' αὐτόν· εἰπεῖν οὖν τὸν Ἀλέ-

Digitized by Google

ξανδρον, ὅτι, κατ' Εὐριπίδην, τὸν λαβόντα τῶν λόγων

Καλὰς ἀφορμὰς, οὐ μέγ' ἔργον εὖ λέγειν·

„Ἀλλ ἔνδειξαι (φάναι) τὴν σαυτοῦ δύναμιν ἡμῖν, κατηγορήσας Μακεδόνων, ἵνα καὶ βελτίους γένωνται παθόντες ἃ πλημμελοῦσιν." Οὕτω δὴ τὸν ἄνδρα, πρὸς τὴν παλινῳδίαν τραπόμενον, πολλὰ παῤῥησιάσασθαι κατὰ τῶν Μακεδόνων, καὶ, τὴν Ἑλληνικὴν στάσιν αἰτίαν ἀποφήναντα τῆς γενομένης περὶ Φίλιππον αὐξήσεως καὶ δυνάμεως, εἰπεῖν·

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔλαχε τιμῆς.

Ἐφ' ᾧ πικρὸν καὶ βαρὺ ἐγγενέσθαι μῖσος τοῖς Μακεδόσι· καὶ τὸν Ἀλέξανδρον εἰπεῖν, ὡς οὐ τῆς δεινότητος ὁ Καλλισθένης, ἀλλὰ τῆς δυσμενείας, Μακεδόσιν ἀπόδειξιν δέδωκε.

LIV. Ταῦτα μὲν οὖν ὁ Ἕρμιππός φησι τὸν ἀναγνώστην τοῦ Καλλισθένους, Στροῖβον, Ἀριστοτέλει διηγεῖσθαι· τὸν δὲ Καλλισθένη, συνέντα τὴν ἀλλοτριότητα τοῦ βασιλέως, δὶς, ἢ τρις, ἐπανιόντα πρὸς αὐτὸν εἰπεῖν·

Κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων.

Οὐ φαύλως οὖν εἰπεῖν ἔοικεν ὁ Ἀριστοτέλης, ὅτι Καλλισθένης λόγῳ μὲν ἦν δυνατὸς καὶ μέγας, νοῦν δ' οὐκ εἶχεν. Ἀλλὰ τήν γε προσκύνησιν ἰσχυρῶς ἀσεσάμενος καὶ φιλοσόφως, καὶ μόνος ἐν φανερῷ διελθὼν, ἃ κρύφα πάντες οἱ βέλτιστοι καὶ πρεσβύτατοι τῶν Μακεδόνων ἠγανάκτουν, τοὺς μὲν Ἕλληνας αἰσχύνης ἀπήλλαξε μεγάλης, καὶ μείζονος Ἀλέξαν-

Digitized by Google

δρον, ἀποτρέψας τὴν προσκύνησιν, αὐτὸν δ' ἀπώλεσεν, ἐκβιάσασθαι δοκῶν μᾶλλον, ἢ πεῖσαι τὸν βασιλέα. Χάρης δ' ὁ Μιτυληναῖος φησί, τὸν Ἀλέξανδρον ἐν τῷ συμποσίῳ πιόντα φιάλην προτεῖναι τινὶ τῶν φίλων· τὸν δὲ, δεξάμενον, πρὸς ἑστίαν ἀναστῆναι, καὶ πιόντα προσκυνῆσαι πρῶτον, εἶτα φιλῆσαι τὸν Ἀλέξανδρον ἐν τῷ συμποσίῳ, καὶ κατακλιθῆναι. Πάντων δὲ τοῦτο ποιούντων ἐφεξῆς, τὸν Καλλισθένη λαβόντα τὴν φιάλην, οὐ προσέχοντος τοῦ βασιλέως, ἀλλ' Ἡφαιστίωνι προσδιαλεγομένου, πιόντα προσιέναι φιλήσοντα. Δημητρίου δὲ, τοῦ προσονομαζομένου Φειδωνυς, εἰπόντος· „Ὦ βασιλεῦ, μὴ φιλήσῃς· οὗτος γάρ σε μόνος οὐ προσκεκύνηκε." διακλῖναι τὸ φίλημα τὸν Ἀλέξανδρον· τὸν δὲ Καλλισθένη μέγα φθεγξάμενον εἰπεῖν· „Φιλήματι τοίνυν ἔλασσον ἔχων ἄπειμι."

LV. Τοιαύτης ὑπογενομένης ἀλλοτριότητος, πρῶτον μὲν Ἡφαιστίων ἐπιστεύετο, λέγων, ὅτι συνθέμενος πρὸς αὐτὸν ὁ Καλλισθένης προσκυνῆσαι, ψεύσαιτο τὴν ὁμολογίαν· ἔπειτα Λυσίμαχοι καὶ Ἄγνωνες ἐπεφύοντο, φάσκοντες περιεῖναι τὸν σοφιστὴν, ὡς ἐπὶ καταλύσει τυραννίδος μέγα φρονοῦντα, καὶ συντρέχειν πρὸς αὐτὸν τὰ μειράκια, καὶ περιέπειν, ὡς μόνον ἐλεύθερον ἐν τοσαύταις μυριάσι. Διὸ καὶ τῶν περὶ Ἑρμόλαον ἐπιβουλευσάντων τῷ Ἀλεξάνδρῳ, καὶ φανερῶν γενομένων, ἔδοξαν ἀληθέσιν ὅμοια κατηγορεῖν οἱ διαβάλλοντες, ὡς τῷ μὲν προβαλόντι, πῶς ἂν ἐνδοξότατος γένοιτο ἄνθρωπος, εἶπεν, „Ἂν

ἀποκτείνῃ τὸν ἐνδοξότατον·" τὸν δ' Ἑρμόλαον ἐπὶ τὴν πρᾶξιν παροξύνων, ἐκέλευε μὴ δεδιέναι τὴν χρυσῆν κλίνην, ἀλλὰ μνημονεύειν, ὅτι καὶ νοσοῦντι καὶ τιτρωσκομένῳ πρόσεισιν ἀνθρώπῳ. Καίτοι τῶν περὶ Ἑρμόλαον οὐδεὶς, οὐδὲ διὰ τῆς ἐσχάτης ἀνάγκης, τοῦ Καλλισθένους κατεῖπεν. Ἀλλὰ καὶ Ἀλέξανδρος αὐτὸς εὐθὺς Κρατερῷ γράφων καὶ Ἀττάλῳ καὶ Ἀλκέτᾳ, φησὶ, τοὺς παῖδας βασανιζομένους ὁμολογεῖν, ὡς αὐτοὶ ταῦτα πράξειαν, ἄλλος δ' οὐδεὶς συνειδείη. Ὕστερον δὲ γράφων πρὸς Ἀντίπατρον, καὶ τὸν Καλλισθένη συνεπαιτιασάμενος· „Οἱ μὲν παῖδες (φησὶν) ὑπὸ τῶν Μακεδόνων κατελεύσθησαν· τὸν δὲ σοφιστὴν ἐγὼ κολάσω, καὶ τοὺς ἐκπέμψαντας αὐτὸν, καὶ τοὺς ὑποδεχομένους ταῖς πόλεσι τοὺς ἐμοὶ ἐπιβουλεύοντας," ἄντικρυς ἔν γε τούτοις ἀποκαλυπτόμενος πρὸς Ἀριστοτέλη· καὶ γὰρ ἐτέθραπτο Καλλισθένης παρ' αὐτῷ διὰ τὴν συγγένειαν, ἐξ Ἡροῦς γεγονὼς, ἀνεψιᾶς Ἀριστοτέλους. Ἀποθανεῖν δ' αὐτὸν οἱ μὲν ὑπ' Ἀλεξάνδρου κρεμασθέντα λέγουσιν, οἱ δ' ἐν πέδαις δεδεμένον καὶ νοσήσαντα· Χάρης δὲ, μετὰ τὴν σύλληψιν ἑπτὰ μῆνας φυλάττεσθαι δεδεμένον, ὡς ἐν τῷ συνεδρίῳ κριθείη, παρόντος Ἀριστοτέλους· ἐν αἷς δ' ἡμέραις Ἀλέξανδρος ἐν Μαλλοῖς Ὀξυδράκαις ἐτρώθη, περὶ τὴν Ἰνδίαν ἀποθανεῖν ὑπέρπαχυν γενόμενον καὶ φθειριάσαντα.

LVI. Ταῦτα μὲν οὖν ὕστερον ἐπράχθη· Δημάρατος δ' ὁ Κορίνθιος, ἤδη πρεσβύτερος ὤν, ἐφ-

Digitized by Google

λοτιμήθη πρὸς Ἀλέξανδρον ἀναβῆναι· καὶ θεασάμενος αὐτὸν, εἶπε, μεγάλης ἡδονῆς ἐστερῆσθαι τοὺς Ἕλληνας, ὅσοι τεθνήκασι, πρὶν ἰδεῖν Ἀλέξανδρον ἐν τῷ Λαρείου θρόνῳ καθήμενον. Οὐ μὴν ἐπὶ πλέον γε τῆς πρὸς αὐτὸν εὐνοίας τοῦ βασιλέως ἀπέλαυσεν· ἀλλ' ἐξ ἀῤῥωστίας ἀποθανὼν ἐκηδεύθη μεγαλοπρεπῶς, καὶ τάφον ἔχωσεν ὁ στρατὸς ἐπ' αὐτῷ, τῇ περιμέτρῳ μέγαν, ὕψος δὲ πηχῶν ὀγδοήκοντα. Τὰ δὲ λείψανα τέθριππον κεκοσμημένον λαμπρῶς ἐπὶ θάλασσαν κατεκόμισε.

LVII. Μέλλων δ' ὑπερβάλλειν εἰς τὴν Ἰνδικὴν, ὡς ἑώρα πλήθει λαφύρων τὴν στρατιὰν ἤδη βαρεῖαν καὶ δυσκίνητον οὖσαν, ἅμ' ἡμέρᾳ συνεσκευασμένων τῶν ἁμαξῶν, πρώτας μὲν ὑπέπρησε τὰς αὐτοῦ καὶ τῶν ἑταίρων· μετὰ δὲ ταύτας ἐκέλευσε καὶ ταῖς τῶν Μακεδόνων ἐνεῖναι πῦρ. Καὶ τοῦ πράγματος τὸ βούλευμα μεῖζον ἐφάνη καὶ δεινότερον, ἢ τὸ ἔργον. Ὀλίγους μὲν γὰρ ἠνίασεν, οἱ δὲ πλεῖστοι βοῇ καὶ ἀλαλαγμῷ μετ' ἐνθουσιασμοῦ, τὰ μὲν ἀναγκαῖα τοῖς δεομένοις μεταδιδόντες, τὰ δὲ περιόντα τῆς χρείας αὐτοὶ κατακαίοντες καὶ διαφθείροντες, ὁρμῆς καὶ προθυμίας ἐνεπίμπλασαν τὸν Ἀλέξανδρον. Ἤδη δὲ καὶ φοβερὸς ἦν καὶ ἀπαραίτητος κολαστὴς τῶν πλημμελούντων. Καὶ γὰρ Μένανδρον, τινὰ τῶν ἑταίρων, ἄρχοντα φρουρίου καταστήσας, ὡς οὐκ ἐβούλετο μένειν, ἀπέκτεινε· καὶ τῶν ἀποστάντων βαρβάρων Ὀρσοδάτην αὐτὸς κατετόξευσε. Προβάτου δὲ τεκόντος ἄρνα περὶ τῇ κεφαλῇ σχῆμα καὶ

Digitized by Google

χρῶμα τιάρας ἔχοντα, καὶ διδύμους ἑκατέρωθεν αὐτοῦ, βδελυχθεὶς τὸ σημεῖον, ἐκαθάρθη μὲν ὑπὸ τῶν Βαβυλωνίων, οὓς ἐξ ἔθους ἐπήγετο πρὸς τὰ τοιαῦτα· διελέχθη δὲ πρὸς τοὺς φίλους, ὡς οὐ δι' αὐτὰν, ἀλλὰ δι' ἐκείνους ταράττοιτο, μὴ τὸ κράτος εἰς ἀγεννῆ καὶ ἄναλκιν ἄνθρωπον, ἐκλιπόντος αὐτοῦ, περιστήσῃ τὸ δαιμόνιον. Οὐ μὴν ἀλλὰ βέλτιόν τι σημεῖον γενόμενον τὴν ἀθυμίαν ἔλυσεν. Ὁ γὰρ ἐπὶ τῶν στρωματοφυλάκων τεταγμένος, ἀνὴρ Μακεδὼν, ὄνυμα Πρόξενος, τῇ βασιλικῇ σκηνῇ χώραν ὀρύττων παρὰ τὸν Ὦξον ποταμὸν, ἀνεκάλυψε πηγὴν ὑγροῦ λιπαροῦ καὶ πιμελώδους· ἀπαντλουμένου δὲ τοῦ πρώτου, καθαρὸν ἀνέβλυζεν ἤδη καὶ διαυγὲς ἔλαιον, οὔτ' ὀσμῇ δοκοῦν, οὔτε γεύσει ἐλαίου διαφέρειν, στιλβότητά τε καὶ λιπαρότητα παντάπασιν ἀπαράλλακτον, καὶ ταῦτα, τῆς χώρας μηδ' ἐλαίας φερούσης. Λέγεται μὲν οὖν, καὶ τὸν Ὦξον αὐτὸν εἶναι μαλακώτατον ὕδωρ, ὥστε τὸ δέρμα τοῖς λουομένοις ἐπιλιπαίνειν. Οὐ μὴν ἀλλὰ θαυμαστῶς Ἀλέξανδρος ἡσθεὶς δῆλός ἐστιν, ἐξ ὧν γράφει πρὸς Ἀντίπατρον, ἐν τοῖς μεγίστοις τοῦτο τῶν ἀπὸ τοῦ θεοῦ γεγονότων αὐτῷ τιθέμενος. Οἱ δὲ μάντεις, ἐνδόξου μὲν στρατείας, ἐπιπόνου δὲ καὶ χαλεπῆς, τὸ σημεῖον ἐποιοῦντο· πόνων γὰρ ἀρετῆς ἔλαιον ἀνθρώποις ὑπὸ θεοῦ δεδόσθαι.

LVIII. Πολλοὶ μὲν οὖν κατὰ τὰς μάχας αὐτῷ κίνδυνοι συνέπεσον, καὶ τραύμασι νεανικοῖς ἀπήντησε· τὴν δὲ πλείστην φθορὰν ἀπορίαι τῶν ἀναγ-

Digitized by Google

καίων καὶ δυσκρασίαι τοῦ περιέχοντος ἀπειργάσαντο τῆς στρατιᾶς. Αὐτὸς δὲ τόλμῃ τὴν τύχην ὑπερβαλέσθαι καὶ τὴν δύναμιν ἀρετῇ φιλοτιμούμενος, οὐδὲν ᾤετο τοῖς θαῤῥοῦσιν ἀνάλωτον, οὐδ' ὀχυρὸν εἶναι τοῖς ἀτόλμοις. Λέγεται δὲ, τὴν Σισιμίθρου πολιορκῶν πέτραν, ἄβατον οὖσαν καὶ ἀπρόσβατον, ἀθυμούντων τῶν στρατιωτῶν, ἐρωτῆσαι τὸν Ὀξυάρτην, ποῖός τις αὐτὸς εἴη τὴν ψυχὴν ὁ Σισιμίθρης. Φήσαντος δὲ τοῦ Ὀξυάρτου, δειλότατον ἀνθρώπων· „Λέγεις σύ γε (φάναι) τὴν πέτραν ἁλώσιμον ἡμῖν εἶναι· τὸ γὰρ ἄρχον αὐτῆς οὐκ ὀχυρόν ἐστιν." Ταύτην μὲν οὖν, ἐκφοβήσας τὸν Σισιμίθρην, ἔλαβεν. Ἑτέρᾳ δ' ὁμοίως ἀποτόμῳ προσβάλλων, ἐν τοῖς νεωτέροις τῶν Μακεδόνων Ἀλέξανδρον τινὰ καλούμενον προσαγορεύσας· „Ἀλλά σοί γε (εἶπεν) ἀνδραγαθεῖν προσήκει καὶ διὰ τὴν ἐπωνυμίαν." Ἐπεὶ δὲ λαμπρῶς ἀγωνιζόμενος ὁ νεανίας ἔπεσεν, οὐ μετρίως ἐδήχθη. Τῇ δὲ καλουμένῃ Νύσῃ τῶν Μακεδόνων ὀκνούντων προσάγειν, (καὶ γὰρ ποταμὸς ἦν πρὸς αὐτῇ βαθὺς) ἐπιστάς. „Τί γὰρ (εἶπεν) ὁ κάκιστος ἐγὼ νεῖν οὐκ ἔμαθον;" καὶ ἤδη ἔχων τὴν ἀσπίδα περᾶν ἠθέλησεν. Ἐπεὶ δὲ, καταπαύσαντος τὴν μάχην αὐτοῦ, παρῆσαν ἀπὸ τῶν πολιορκουμένων πόλεων πρέσβεις δεησόμενοι, πρῶτον μὲν, ὀφθεὶς ἀθεράπευτος ἐν τοῖς ὅπλοις, ἐξέπληξεν αὐτούς· ἔπειτα προσκεφαλαίου τινὸς αὐτῷ κομισθέντος, ἐκέλευσε λαβόντα καθίσαι τὸν πρεσβύτατον· Ἄκουφις ἐκαλεῖτο. Θαυμάσας οὖν τὴν λαμ-

Digitized by Google

πρότητα καὶ φιλανθρωπίαν ὁ Ἄκουφις, ἠρώτα, τί βούλεται ποιοῦντας αὐτοὺς ἔχειν φίλους. Φήσαντος δὲ τοῦ Ἀλεξάνδρου· „Σὲ μὲν αὐτὸν ἄρχοντα καταστήσαντας αὑτῶν, πρὸς δ' ἡμᾶς πέμψαντας ἑκατὸν ἄνδρας τοὺς ἀρίστους" γελάσας ὁ Ἄκουφις· „Ἀλλὰ βέλτιον (εἶπεν) ἄρξω, βασιλεῦ, τοὺς κακίστους πρός σε πέμψας μᾶλλον, ἢ τοὺς ἀρίστους."

LIX. Ὁ δὲ Ταξίλης λέγεται μὲν τῆς Ἰνδικῆς ἔχειν μοῖραν οὐκ ἀποδέουσαν Αἰγύπτου τὸ μέγεθος, εὔβοτον δὲ καὶ παλλίκαρπον ἐν τοῖς μάλιστα· σοφὸς δέ τις ἀνὴρ εἶναι, καὶ τὸν Ἀλέξανδρον ἀσπασάμενος· „Τί δεῖ πολέμων (φάναι) καὶ μάχης ἡμῖν, Ἀλέξανδρε, πρὸς ἀλλήλους, εἰ μήτε ὕδωρ ἀφαιρησόμενος ἡμῶν ἀφῖξαι, μήτε τροφὴν ἀναγκαίαν, ὑπὲρ ὧν μόνων ἀνάγκη διαμάχεσθαι νοῦν ἔχουσιν ἀνθρώποις; Τοῖς δ' ἄλλοις χρήμασι καὶ κτήμασι λεγομένοις, εἰ μέν εἰμι κρείττων, ἕτοιμος εὖ ποιεῖν· εἰ δ' ἧττων, οὐ φεύγω χάριν ἔχειν εὖ παθών." Ἡσθεὶς οὖν ὁ Ἀλέξανδρος, καὶ δεξιωσάμενος αὐτόν· „Ἦ που νομίζεις (ἔφη) δίχα μάχης ἔσεσθαι τὴν ἔντευξιν ἡμῖν ἀπὸ τοιούτων λόγων καὶ φιλοφρονήσεως; Ἀλλ' οὐδέν σοι πλέον· ἐγὼ γὰρ ἀγωνιοῦμαι πρός σε καὶ διαμαχοῦμαι ταῖς χάρισιν, ὡς μου χρηστὸς ὢν μὴ περιγένῃ." Λαβὼν δὲ δῶρα πολλὰ, καὶ δοὺς πλείονα, τέλος χίλια τάλαντα νομίσματος αὐτῷ προέπιεν. Ἐφ' οἷς τοὺς μὲν φίλους ἰσχυρῶς ἐλύπησε, τῶν δὲ βαρβάρων πολλοὺς ἐποίησεν ἡμερωτέρους ἔχειν πρὸς αὐτόν. Ἐπεὶ δὲ τῶν Ἰνδῶν οἱ μαχιμώτατοι μισθο-

Digitized by Google

φοροῦντες ἐπεφοίτων ταῖς πόλεσιν ἐρῤῥωμένως ἀμύνοντες, καὶ κατὰ πολλὰ τὸν Ἀλέξανδρον ἐκακοποίουν, σπεισάμενος ἔν τινι πόλει πρὸς αὐτοὺς, ἀπιόντας ἐν ὁδῷ λαβὼν, ἅπαντας ἀπέκτεινε. Καὶ τοῦτο τοῖς πολεμικοῖς ἔργοις αὐτοῦ, τἄλλα νομίμως καὶ βασιλικῶς πολεμήσαντος, ὡς κηλὶς πρόσεστιν. Οὐκ ἐλάσσονα δὲ τούτων οἱ φιλόσοφοι πράγματα παρέσχον αὐτῷ, τούς τε προστιθεμένους τῶν βασιλέων κακίζοντες, καὶ τοὺς ἐλευθέρους δήμους ἀφιστάντες. Διὸ καὶ τούτων πολλοὺς ἐκρέμασεν.

LX. Τὰ δὲ πρὸς Πῶρον αὐτὸς ἐν ταῖς ἐπιστολαῖς ὡς ἐπράχθη γέγραφε. Φησὶ γὰρ, ἐν μέσῳ τῶν στρατοπέδων τοῦ Ὑδάσπου ῥέοντος, ἀντιπρώρους ἱστάντα τοὺς ἐλέφαντας ἀεὶ τὸν Πῶρον ἐπιτηρεῖν τὴν διάβασιν. Αὐτὸν μὲν οὖν καθ' ἡμέραν ἑκάστην ψόφον ποιεῖν καὶ θόρυβον ἐν τῷ στρατοπέδῳ πολὺν, ἐθίζοντα τοὺς βαρβάρους μὴ φοβεῖσθαι· νυκτὸς δὲ χειμερίου καὶ ἀσελήνου, λαβόντα τῶν πεζῶν μέρος, ἱππεῖς δὲ τοὺς κρατίστους, καὶ προελθόντα πόῤῥω τῶν πολεμίων, διαπερᾶσαι πρὸς νῆσον οὐ μεγάλην. Ἐνταῦθα δὲ ῥαγδαίου μὲν ἐκχυθέντος ὄμβρου, πρηστήρων δὲ πολλῶν καὶ κεραυνῶν εἰς τὸ στρατόπεδον φερομένων, ὅμως ὁρῶν ἀπολλυμένους τινὰς καὶ συμφλεγομένους ὑπὸ τῶν κεραυνῶν, ἀπὸ τῆς νησαίδος ἄρας, προσφέρεσθαι ταῖς ἀντιπέρας ὄχθαις. Τραχὺν δὲ τὸν Ὑδάσπην ὑπὸ τοῦ χειμῶνος ἐπιόντα καὶ μετέωρον, ἄκρηγμα ποιῆσαι μέγα, καὶ πολὺ μέρος ἐκείνῃ φέρεσθαι τοῦ ῥεύματος· αὐτὸς δὲ διανήξασθαι τὸ μέ-

Digitized by Google

σον οὐ βεβαίως, ἅτε δὴ συνολισθαῖνον καὶ περιῤῥηγνύμενον. Ἐνταῦθα δ' εἰπεῖν φασιν αὐτόν· „Ὦ Ἀθηναῖοι, ἆρά γε πιστεύσαιτ' ἄν, ἡλίκους ὑπομένω κινδύνους ἕνεκα τῆς παρ' ὑμῖν εὐδοξίας;“ Ἀλλὰ τοῦτο μὲν Ὀνησίκριτος εἴρηκεν· αὐτὸς δέ φησι, τὰς σχεδίας ἀφέντας αὐτοὺς μετὰ τῶν ὅπλων τὸ ἔκρηγμα διαβαίνειν ἄχρι μαστῶν βρεχομένους· διαβὰς δὲ, τῶν πεζῶν εἴκοσι σταδίους προϊππεῦσαι, λογιζόμενος, εἰ μὲν οἱ πολέμιοι τοῖς ἵπποις προσβάλοιεν, πολὺ κρατήσειν· εἰ δὲ κινοῖεν τὴν φάλαγγα, φθήσεσθαι τοὺς πεζοὺς αὐτῷ προσγενομένους· θάτερον δὲ συμβῆναι· Τῶν γὰρ ἱππέων χιλίους, καὶ τῶν ἁρμάτων ἑξήκοντα συμπεσόντα τρεψάμενος, τὰ μὲν ἅρματα λαβεῖν ἅπαντα, τῶν δ' ἱππέων ἀνελεῖν τετρακοσίους. Οὕτω δὴ συμφρονήσαντα τὸν Πῶρον, ὡς αὐτὸς εἴη διαβεβηκὼς Ἀλέξανδρος, ἐπιέναι μετὰ πάσης τῆς δυνάμεως, πλὴν ὅσον ἐμποδὼν εἶναι τοῖς διαβαίνουσι τῶν Μακεδόνων ἀπέλιπε. Φοβηθεὶς δὲ τὰ θηρία καὶ τὸ πλῆθος τῶν πολεμίων, αὐτὸς μὲν ἐνσεῖσαι κατὰ θάτερον κέρας, Κοῖνον δὲ τῷ δεξιῷ προσβαλεῖν κελεῦσαι. Γενομένης δὲ τροπῆς ἑκατέρωθεν, ἀναχωρεῖν αὖθις πρὸς τὰ θηρία καὶ συνειλεῖσθαι τοὺς ἐμβιαζομένους. Ἕωθεν δὲ τὴν μάχην ἀναμεμιγμένην εἶναι, καὶ μόλις ὀγδόης ὥρας ἀπειπεῖν τοὺς πολεμίους. Ταῦτα μὲν οὖν ὁ τῆς μάχης ποιητὴς αὐτὸς ἐν ταῖς ἐπιστολαῖς εἴρηκεν. Οἱ δὲ πλεῖστοι τῶν συγγραφέων ὁμολογοῦσι, τὸν Πῶρον ὑπεραίροντα τεσσάρων πηχῶν σπιθαμῇ τὸ μῆκος, ἵππου μηδὲν ἀποδεῖν πρὸς τὸν ἐλέφαντα συμ-

Digitized by Google

μετρίᾳ, διὰ τὸ μέγεθος καὶ τὸν ὄγκον τοῦ σώματος· καίτοι μεγίστος ἦν ὁ ἐλέφας. Σύνεσιν δὲ θαυμαστὴν ἐπεδείξατο καὶ ἡδεμονίαν τοῦ βασιλέως, ἐῤῥωμένου μὲν ἔτι, θυμῷ τοὺς προσμαχομένους ἀμυνόμενος καὶ ἀνακόπτων· ὡς δ' ἤσθετο βελῶν πλήθει καὶ τραυμάτων κάμνοντα, δείσας, μὴ περιῤῥυῇ, τοῖς μὲν γόνασιν εἰς γῆν ὑφῆκε πρᾴως ἑαυτόν, τῇ δὲ προνομαίᾳ λαμβάνων ἀτρέμα τῶν δορατίων ἕκαστον, ἐξήρει τοῦ σώματος. Ἐπεὶ δὲ ληφθέντα τὸν Πῶρον ὁ Ἀλέξανδρος ἠρώτα, πῶς αὐτῷ χρήσεται, „Βασιλικῶς," εἶπε· προσπυθομένου δὲ, μή τι ἄλλο λέγει, „Πάντα (εἶπεν) ἐστὶν ἐν τῷ βασιλικῶς." Οὐ μόνον οὖν ἀφῆκεν αὐτὸν ἄρχειν, ὧν ἐβασίλευε, σατράπην καλούμενον, ἀλλὰ καὶ προσέθηκε χώραν, καὶ τοὺς αὐτονόμους καταστρεψάμενος, ἐν ᾗ πεντεκαίδεκα μὲν ἔθνη, πόλεις δὲ πεντακισχιλίας ἀξιολόγους, κώμας δὲ παμπόλλας εἶναι φασίν· ἄλλην δὲ τρὶς τοσαύτην, ἧς Φίλιππον, τινὰ τῶν ἑταίρων, σατράπην ἀπέδειξεν.

LXI. Ἐκ δὲ τῆς πρὸς Πῶρον μάχης καὶ ὁ Βουκεφάλας ἐτελεύτησεν, οὐκ εὐθὺς, ἀλλ' ὕστερον, ὡς οἱ πλεῖστοι λέγουσιν, ὑπὸ τραυμάτων θεραπευόμενος· ὡς δ' Ὀνησίκριτος, διὰ γῆρας ὑπέρπονος γενόμενος· τριάκοντα γὰρ ἐτῶν ἀποθανεῖν αὐτόν. Ἐδήχθη δ' ἰσχυρῶς Ἀλέξανδρος, οὐθὲν ἄλλο, ἢ συνήθη καὶ φίλον, ἀποβεβληκέναι νομίζων· καὶ πόλιν οἰκίσας ἐπ' αὐτῷ παρὰ τὸν Ὑδάσπην, Βουκεφαλίαν προσηγόρευσε. Λέγεται δὲ καὶ κύνα, Περίταν ὄνομα, τεθραμμένον ὑπ' αὐτοῦ καὶ στεργόμενον ἀποβαλὼν κτίσαι

Digitized by Google

πόλιν ἐπώνυμον. Τοῦτο δὲ Σωτίων φησὶ Ποτάμωνος ἀκοῦσαι τοῦ Λεσβίου.

LXII. Τοὺς μέντοι Μακεδόνας ὁ πρὸς Πῶρον ἀγὼν ἀμβλυτέρους ἐποίησε, καὶ τοῦ πρόσω τῆς Ἰνδικῆς ἔτι προελθεῖν ἐπέσχε. Μόλις γὰρ ἐκεῖνον ὠσάμενοι, δισμυρίοις πεζοῖς καὶ δισχιλίοις ἵπποις παρατεταγμένον, ἀντέστησαν ἰσχυρῶς Ἀλεξάνδρῳ βιαζομένῳ καὶ τὸν Γάγγην περάσαι ποταμόν, εὖρος μὲν αὐτοῦ δύο καὶ τριάκοντα σταδίων εἶναι πυνθανόμενοι, καὶ βάθος ὀργυιὰς ἑκατόν· ἀντιπέρας δὲ τὰς ὄχθας ἀποκεκρύφθαι πλήθεσιν ὅπλων καὶ ἵππων καὶ ἐλεφάντων. Ἐλέγοντο γὰρ ὀκτὼ μὲν μυριάδας ἱπποτῶν, εἴκοσι δὲ πεζῶν, ἅρματα δ' ὀκτακισχίλια, καὶ μαχίμους ἐλέφαντας ἑξακισχιλίους ἔχοντες οἱ Γανδαριτῶν καὶ Πραισίων βασιλεῖς ὑπομένειν. Καὶ κόμπος οὐκ ἦν περὶ ταῦτα. Ἀνδρόκοττος γὰρ ὕστερον οὐ πολλῷ βασιλεύσας, Σελεύκῳ πεντακοσίους ἐλέφαντας ἐδωρήσατο, καὶ στρατοῦ μυριάσιν ἑξήκοντα τὴν Ἰνδικὴν ἐπῆλθεν ἅπασαν καταστρεφόμενος. Τὸ μὲν οὖν πρῶτον ὑπὸ δυσθυμίας καὶ ὀργῆς αὐτὸν εἰς τὴν σκηνὴν καθείρξας ἔκειτο, χάριν οὐδεμίαν εἰδὼς τοῖς διαπεπραγμένοις, εἰ μὴ περάσειε τὸν Γάγγην, ἀλλ' ἐξομολόγησιν ἥπτης τιθέμενος τὴν ἀναχώρησιν. Ὡς δ' οἵ τε φίλοι τὰ εἰκότα παρηγοροῦντες αὐτὸν, οἵ τε στρατιῶται κλαυθμῷ καὶ βοῇ προσιστάμενοι ταῖς θύραις ἱκέτευον, ἐπικλασθεὶς ἀνεζεύγνυε, πολλὰ πρὸς δόξαν ἀπατηλὰ καὶ σοφιστικὰ μηχανώμενος. Καὶ γὰρ ὅπλα μείζονα καὶ φάτνας ἵππων καὶ χαλινοὺς βαρυτέρους

Digitized by Google

κατασκευάσας, ἀπέλιπέ τε καὶ διέῤῥιψεν. Ἱδρύσατο δὲ βωμοὺς θεῶν, οὓς μέχρι νῦν οἱ Πραισίων βασιλεῖς διαβαίνοντες σέβονται, καὶ θύουσιν Ἑλληνικὰς θυσίας. Ἀνδρόκοττος δὲ, μειράκιον ὢν, αὐτὸν Ἀλέξανδρον εἶδε, καὶ λέγεται πολλάκις εἰπεῖν ὕστερον, ὡς παρ' οὐδὲν ἦλθε τὰ πράγματα λαβεῖν Ἀλέξανδρος, μισουμένου τε καὶ καταφρονουμένου τοῦ βασιλέως διὰ μοχθηρίαν καὶ δυσγένειαν.

LXIII. Ἐντεῦθεν ὁρμήσας Ἀλέξανδρος τὴν ἔξω θάλασσαν ἐπιδεῖν, καὶ πολλὰ πορθμεῖα κωπήρη καὶ σχεδίας πηξάμενος, ἐκομίζετο τοῖς ποταμοῖς ὑποφερόμενος σχολαίως. Ὁ δὲ πλοῦς οὐκ ἀργὸς ἦν, οὐδ' ἀπόλεμος· προσβάλλων δὲ ταῖς πόλεσι καὶ ἀποβαίνων, ἐχειροῦτο πάντα. Πρὸς δὲ τοῖς καλουμένοις Μαλλοῖς, οὓς φασιν Ἰνδῶν μαχιμωτάτους γενέσθαι, μικρὸν ἐδέησε κατακοπῆναι. Τοὺς μὲν γὰρ ἀνθρώπους βέλεσιν ἀπὸ τῶν τειχῶν ἀπεσκέδασε· πρῶτος δὲ διὰ κλίμακος τεθείσης ἀναβὰς ἐπὶ τὸ τεῖχος, ὡς ἥ τε κλίμαξ συνετρίβη, καὶ, τῶν βαρβάρων ὑφισταμένων παρὰ τὸ τεῖχος, ἐλάμβανε πληγὰς κάτωθεν, ὀλιγοστὸς ὢν, συστρέψας ἑαυτὸν εἰς μέσους ἀφῆκε τοὺς πολεμίους, καὶ κατὰ τύχην ὀρθὸς ἔστη. Τἰναξαμένου δὲ τοῖς ὅπλοις, ἔδοξαν οἱ βάρβαροι σέλας τι καὶ φάσμα πρὸ τοῦ σώματος φέρεσθαι. Διὸ καὶ τὸ πρῶτον ἔφυγον καὶ διεσκεδάσθησαν· ὡς δ' εἶδον αὐτὸν μετὰ δυεῖν ὑπασπιστῶν, ἐπιδραμόντες, οἱ μὲν ἐκ χειρὸς ξίφεσι καὶ δόρασι διὰ τῶν ὅπλων συνεκέτρωσκον ἀμυνόμενον· εἷς δὲ μικρὸν ἀπωτέρω στὰς, ἐφῆκεν ἀπὸ τό-

Digitized by Google

ξου βέλος οὕτως εὔτονον καὶ βίαιον, ὥστε τὸν θώρακα διακόψαν ἐμπαγῆναι τοῖς περὶ τὸν μασθὸν ὀστέοις. Πρὸς δὲ τὴν πληγὴν ἐνδόντος αὐτοῦ, καὶ τὸ σῶμα κάμψαντος, ὁ μὲν βαλὼν ἐπέδραμε, σπασάμενος βαρβαρικὴν μάχαιραν· Πευκέστας δὲ καὶ Λιμναῖος προέστησαν· ὧν πληγέντων ἑκατέρων, ὁ μὲν ἀπέθανε, Πευκέστας δ' ἀντεῖχε· τὸν δὲ βάρβαρον Ἀλέξανδρος ἀπέκτεινεν. Αὐτὸς δὲ τραύματα πολλὰ λαμβάνων, τέλος δὲ πληγεὶς ὑπέρῳ κατὰ τοῦ τραχήλου, προσήρεισε τῷ τείχει τὸ σῶμα, βλέπων πρὸς τοὺς πολεμίους. Ἐν τούτῳ δὲ τῶν Μακεδόνων περιχυθέντων, ἁρπασθεὶς, ἀναίσθητος ἤδη τῶν περὶ αὐτὸν ἐπὶ σκηνῆς ἐκομίζετο. Καὶ παραυτίκα μὲν ὡς τεθνεῶτος ἦν λόγος ἐν τῷ στρατοπέδῳ· χαλεπῶς δὲ καὶ πολυπόνως τὸν ὀϊστὸν ἐκπρισάντων, ξύλινον ὄντα, καὶ τοῦ θώρακος οὕτω μόλις ἀπολυθέντος, περὶ τὴν ἐκκοπὴν ἐγίνοντο, τῆς ἀκίδος ἐνδεδυκυίας ἐνὶ τῶν ὀστέων. Λέγεται δὲ τὸ μὲν πλάτος τριῶν δακτύλων εἶναι, τὸ δὲ μῆκος τεσσάρων. Διὸ ταῖς λειποθυμίαις ἔγγιστα θανάτου συνελαυνόμενος, ἐξαιρουμένης αὐτῆς, ὅμως ἀνέλαβε. Καὶ διαφυγὼν τὸν κίνδυνον, ἔτι δ' ἀσθενὴς ὤν, καὶ πολὺν χρόνον ἐν διαίτῃ καὶ θεραπείαις ἔχων αὐτὸν, ἔξω θορυβοῦντας ὡς ἤσθετο, ποθοῦντας αὐτὸν ἰδεῖν, τοὺς Μακεδόνας, λαβὼν ἱμάτιον προῆλθε, καὶ θύσας τοῖς θεοῖς, αὖθις ἀνήχθη, καὶ παρεκομίζετο χώραν τε πολλὴν καὶ πόλεις μεγάλας καταστρεφόμενος.

LXIV. Τῶν δὲ Γυμνοσοφιστῶν τοὺς μάλιστα τὸν

Digitized by Google

Σάββαν ἀναπεισαντας ἀποστῆναι, καὶ κακὰ πλεῖστα τοῖς Μακεδόσι παραιχόντας, λαβὼν δέκα, δεινοὺς δοκοῦντας εἶναι περὶ τὰς ἀποκρίσεις καὶ βραχυλόγους, ἐρωτήματα προὔγραφεν αὐτοῖς ἄπορα· φήσας, ἀποκτενεῖν τὸν μὴ ὀρθῶς ἀποκρινάμενον πρῶτον, εἶτ' ἐφεξῆς οὕτω τοὺς ἄλλους· ἕνα δὲ τὸν πρεσβύτατον ἐκέλευσε κρίνειν. Ὁ μὲν οὖν πρῶτος ἐρωτηθεὶς, πότερον οἴεται τοὺς ζῶντας εἶναι πλείονας, ἢ τοὺς τεθνηκότας, ἔφη, τοὺς ζῶντας· οὐκ ἔτι γὰρ εἶναι τοὺς τεθνηκότας. Ὁ δὲ δεύτερος, πότερον τὴν γῆν, ἢ τὴν θάλατταν, μείζονα τρέφειν θηρία· τὴν γῆν· ταύτης γὰρ ἔφη μέρος εἶναι τὴν θάλατταν. Ὁ δὲ τρίτος, ποῖόν ἐστι ζῶον πανουργότατον· ὃ μέχρι τοῦ νῦν, εἶπεν, ἄνθρωπος οὐκ ἔγνωκεν. Ὁ δὲ τέταρτος ἀναχρινόμενος, τίνι λογισμῷ τὸν Σάββαν ἀπέστησεν· ἀπεκρίνατο, καλῶς ζῆν βουλόμενος αὐτὸν, ἢ καλῶς ἀποθανεῖν. Ὁ δὲ πέμπτος, ἐρωτηθεὶς, πότερον οἴεται τὴν ἡμέραν, ἢ τὴν νύκτα, προτέραν γεγονέναι· τὴν ἡμέραν, εἶπεν, ἡμέρᾳ μιᾷ· καὶ προσεῖπεν οὗτος, θαυμάσαντος τοῦ βασιλέως, ὅτι τῶν ἀπόρων ἐρωτήσεων ἀνάγκη καὶ τὰς ἀποκρίσεις ἀπόρους εἶναι. Μεταλαβὼν οὖν, τὸν ἕκτον ἠρώτα, πῶς ἄν τις φιληθείη μάλιστα· ἂν κράτιστος ὢν, ἔφη, μὴ φοβερὸς ᾖ. Τῶν δὲ λοιπῶν, ὁ μὲν ἐρωτηθεὶς, πῶς ἄν τις ἐξ ἀνθρώπων γένοιτο θεός· εἴ τι πράξειεν, εἶπεν, ὃ πρᾶξαι δυνατὸν ἀνθρώπῳ μὴ ἔστιν· ὁ δὲ, περὶ ζωῆς καὶ θανάτου, πότερον ἰσχυρότερον, ἀπεκρίνατο, τὴν ζωὴν, τοσαῦτα κακὰ φέρουσαν. Ὁ δὲ τελευταῖος, μέχρι τίνος

Digitized by Google

ἀνθρώπῳ καλῶς ἔχοι ζῆν· μέχρις οὗ μὴ νομίζῃ τὸ τεθνάναι τοῦ ζῆν ἄμεινον. Οὕτω δὴ τραπόμενος πρὸς τὸν δικαστὴν, ἐκέλευσεν ἀποφαίνεσθαι. Τοῦ δ', ἕτερον ἑτέρου χεῖρον εἰρηκέναι φήσαντος. „Οὐκοῦν (ἔφη) καὶ σὺ πρῶτος ἀποθανῇ, τοιαῦτα κρίνων." „Οὐκ ἄν γ' (εἶπεν), ὦ βασιλεῦ, εἰ μὴ σὺ ψεύδῃ, φήσας, πρῶτον ἀποκτενεῖν τὸν ἀποκρινάμενον κάκιστα."

LXV. Τούτους μὲν οὖν ἀφῆκε δωρησάμενος· πρὸς δὲ τοὺς ἐν δόξῃ μάλιστα καὶ καθ' ἑαυτοὺς ἐν ἡσυχίᾳ ζῶντας ἔπεμψεν Ὀνησίκριτον, ἀφικέσθαι δεόμενος πρὸς αὐτόν. Ὁ δ' Ὀνησίκριτος ἦν φιλόσοφος τῶν Διογένει τῷ Κυνικῷ συνεσχολακότων. Καὶ φησὶ, τὸν μὲν Κάλανον ὑβριστικῶς πάνυ καὶ τραχέως κελεύειν, ἀποδύντα τὸν χιτῶνα, γυμνὸν ἀκροᾶσθαι τῶν λόγων· ἄλλως δ' οὐ διαλέξεσθαι πρὸς αὐτόν, οὐδ' εἰ παρὰ τοῦ Διὸς ἀφῖκται· τὸν δὲ Λάνδαμιν, πραότερον, καὶ διακούσαντα περὶ Σωκράτους καὶ Πυθαγόρου καὶ Διογένους, εἰπεῖν, ὡς εὐφυεῖς μὲν αὐτῷ γεγονέναι δοκοῦσιν οἱ ἄνδρες, λίαν δὲ τοὺς νόμους αἰσχυνόμενοι βεβιωκέναι. Ἄλλοι δέ φασι, τὸν Λάνδαμιν οὐδὲν εἰπεῖν, ἀλλ' ἢ τοσοῦτον μόνον, „Τίνος χάριν ὁ Ἀλέξανδρος ὁδὸν τοσαύτην δεῦρο ἦλθε;" Τὸν μέντοι Κάλανον ἔπεισεν ὁ Ταξίλης ἐλθεῖν πρὸς Ἀλέξανδρον. Ἐκαλεῖτο δὲ Σφίνης· ἐπεὶ δὲ κατ' Ἰνδικὴν γλῶτταν τῷ Καλὲ προσαγορεύων, ἀντὶ τοῦ Χαίρειν, τοὺς ἐντυγχάνοντας ἠσπάζετο, Κάλανος ὑπὸ τῶν Ἑλλήνων ὠνομάσθη. Τοῦτον δὲ λέγεται καὶ τὸ παράδειγμα τῆς ἀρχῆς τῷ Ἀλεξάνδρῳ προθέσθαι Καταβαλὼν

Digitized by Google

γὰρ ἐν μέσῳ βύρσαν τινὰ ξηραν κατεσκληκυῖαν, ἐπάτησε τὸ ἄκρον· ἡ δ', εἰς ἣν πιεσθεῖσα, τοῖς ἄλλοις ἐπήρθη μέρεσι. Καὶ τοῦτο, περιιὼν ἐν κύκλῳ καὶ πιέζων, καθ' ἕκαστον ἐδείκνυε γιγνόμενον, ἄχρις οὗ τὸ μέσον ἐπιστὰς κατέσχε, καὶ πάντα οὕτως ἠρέμησεν. Ἐβούλετο δ' ἡ εἰκὼν ἔνδειξις εἶναι τοῦ τὰ μέσα δεῖν μάλιστα τῆς ἀρχῆς πιέζειν, καὶ μὴ μακρὰν ἀποπλανᾶσθαι τὸν Ἀλέξανδρον.

LXVI. Ἡ δὲ διὰ τῶν ποταμῶν πρὸς τὴν θάλατταν ὑπαγωγὴ μηνῶν ἑπτὰ χρόνον ἀνήλωσεν. Ἐμβαλὼν δὲ ταῖς ναυσὶν εἰς τὸν Ὠκεανὸν, ἀνέπλευσε πρὸς νῆσον, ἣν Σκιλλοῦστιν αὐτὸς ὠνόμασεν, ἕτεροι δὲ Ψιλτοῦκιν. Ἐνταῦθα δ' ἀποβὰς, ἔθυε τοῖς θεοῖς, καὶ τὴν φύσιν ἐπεῖδε τοῦ πελάγους καὶ τῆς παραλίας, ὅσον ἐφικτὸν ἦν. Εἶτ' ἐπευξάμενος μηδένα μετ' αὐτὸν ἀνθρώπων ὑπερβῆναι τοὺς ὅρους τῆς στρατείας, ἀνέστρεφε. Καὶ τὰς μὲν ναῦς ἐκέλευσε περιπλεῖν, ἐν δεξιᾷ τὴν Ἰνδικὴν ἐχούσας, ἡγεμόνα μὲν Νέαρχον ἀποδείξας, ἀρχικυβερνήτην δ' Ὀνησίκριτον. Αὐτὸς δὲ πεζῇ δι' Ὠρειτῶν πορευόμενος, εἰς ἐσχάτην ἀπορίαν προήχθη, καὶ πλῆθος ἀνθρώπων ἀπώλεσεν, ὥστε τῆς μαχίμου δυνάμεως μηδὲ τὸ τέταρτον ἐκ τῆς Ἰνδικῆς ἀπαγαγεῖν. Καίτοι δώδεκα μὲν μυριάδες ἦσαν οἱ πεζοὶ, τὸ δ' ἱππικὸν εἰς μυρίους καὶ πεντακισχιλίους. Ἀλλὰ καὶ νόσοι χαλεπαὶ, καὶ δίαιται πονηραὶ, καὶ καύματα ξηρὰ, καὶ πλείστους ὁ λιμὸς διέφθειρεν, ἄσπορον χώραν ἐπιόντας ἀνθρώπων κακοβίων, ὀλίγα καὶ

Digitized by Google

ἀγεννῆ πρόβατα κεκτημένων, ἃ τοὺς θαλαττίους ἰχθύας εἰθισμένα προσφέρεσθαι, σάρκα μοχθηρὰν εἶχε καὶ δυσώδη. Μόλις οὖν ἐν ἡμέραις ἑξήκοντα ταύτην διελθὼν, καὶ τῆς Γεδρωσίας ἅψάμενος, εὐθὺς ἐν ἀφθόνοις ἦν πᾶσι, τῶν ἔγγιστα σατραπῶν καὶ βασιλέων παρασκευασάντων.

LXVII. Ἀναλαβὼν οὖν ἐνταῦθα τὴν δύναμιν, ἐξώρμησε κώμῳ χρώμενος ἑπτὰ διὰ τῆς Καρμανίας. Αὐτὸν μὲν οὖν ἵπποι σχέδην ἐκόμιζον ὀκτὼ μετὰ τῶν ἑταίρων ὑπὲρ θυμέλης ἐν ὑψηλῷ καὶ περιφανεῖ πλαισίῳ πεπηγυίας, εὐωχούμενον συνεχῶς ἡμέρας καὶ νυκτός. Ἅμαξαι δὲ παμπληθεῖς, αἱ μὲν ἁλουργοῖς καὶ ποικίλοις περιβολαίοις, αἱ δ' ὕλης ἀεὶ προσφάτου καὶ χλωρᾶς σκιαζόμεναι κλάδοις εἵποντο, τοὺς ἄλλους ἄγουσαι φίλους καὶ ἡγεμόνας ἐστεφανωμένους καὶ πίνοντας. Εἶδες δ' ἂν οὐ πέλτην, οὐ κράνος, οὐ σάρισσαν· ἀλλὰ φιάλαις καὶ ῥυτοῖς καὶ θηρικλείοις παρὰ τὴν ὁδὸν ἅπασαν οἱ στρατιῶται βαπτίζοντες ἐκ πίθων μεγάλων καὶ κρατήρων ἀλλήλοις προέπινον, οἱ μὲν ἐν τῷ προάγειν ἅμα καὶ βαδίζειν, οἱ δὲ κατακείμενοι. Πολλὴ δὲ μοῦσα συρίγγων καὶ αὐλῶν, ᾠδῆς τε καὶ ψαλμοῦ καὶ βακχείας γυναικῶν κατεῖχε πάντα τόπον. Τῷ δ' ἀπήκτῳ καὶ πεπλανημένῳ τῆς πορείας παρείπετο ταῖς φιάλαις καὶ παιδιὰ βακχικῆς ὕβρεως, ὡς τοῦ θεοῦ παρόντος αὐτοῦ, καὶ συμπαραπέμποντος τὸν κῶμον. Ἐπεὶ δ' ἦκε τῆς Γεδρωσίας εἰς τὸ βασίλειον, αὖθις ἀνελάμβανε τὴν στρατιὰν πανηγυρίζων. Λέγεται

δὲ, μαθόντα αὐτὸν θεωρεῖν ἀγῶνας χορῶν, τὸν δ' ἐρώμενον Βαγόαν χορηγοῦντα νικῆσαι, καὶ κεκοσμημένον διὰ τοῦ θεάτρου παρελθόντα καθίσαι παρ' αὐτόν· ἰδόντας δὲ τοὺς Μακεδόνας, κροτεῖν καὶ βοᾶν, φιλῆσαι κελεύοντας, ἄχρις οὗ περιβαλὼν κατεφίλησεν.

LXVIII. Ἐνταῦθα τῶν περὶ Νέαρχον ἀναβάντων πρὸς αὐτὸν, ἡσθεὶς καὶ διακούσας τὰ περὶ τὸν πλοῦν, ὥρμησεν αὐτὸς πλεύσας κατὰ τὸν Εὐφράτην στόλῳ μεγάλῳ, εἶτα περὶ τὴν Ἀραβίαν καὶ τὴν Λιβύην παρακομισθεὶς, διὰ στηλῶν Ἡρακλείων ἐμβαλεῖν εἰς τὴν ἐντὸς θάλασσαν. Καὶ πλοῖα παντοδαπὰ περὶ Θάψακον ἐπήγνυτο, καὶ συνήγοντο ναῦται καὶ κυβερνῆται παντιχόθεν. Ἡ δ' ἄνω στρατεία χαλεπὴ γενομένη, καὶ τὸ περὶ Μαλλοὺς στράγγευμα καὶ ἡ φθορὰ πολλὴ λεχθεῖσα τῆς δυνάμεως, ἀπιστίᾳ τῆς σωτηρίας αὐτοῦ, τά τε ὑπήκοα πρὸς ἀποστάσεις ἐπῆρε, καὶ τοῖς στρατηγοῖς καὶ σατράπαις ἀδικίαν πολλὴν καὶ πλεονεξίαν καὶ ὕβριν ἐνεποίησε· καὶ ὅλως διέδραμε σάλος ἁπάντων καὶ νεωτερισμός. Ὅπου καὶ πρὸς Ἀντίπατρον Ὀλυμπιὰς καὶ Κλεοπάτρα στασιάσασαι διείλοντο τὴν ἀρχὴν, Ὀλυμπιὰς μὲν Ἤπειρον, Κλεοπάτρα δὲ Μακεδονίαν παραλαβοῦσα. Καὶ τοῦτ' ἀκούσας Ἀλέξανδρος, βέλτιον ἔφη βεβουλεῦσθαι τὴν μητέρα· Μακεδόνας γὰρ οὐκ ἂν ὑπομεῖναι βασιλευομένους ὑπὸ γυναικός. Διὰ ταῦτα Νέαρχον μὲν αὖθις ἐπὶ θάλασσαν ἔπεμψεν, ἐμπλῆσαι πολέμων ἅπασαν ἐγνωκὼς τὴν παραλίαν·

Digitized by Google

αὐτός; δὲ καταβαίνων ἐκόλασε τοὺς πονηροὺς τῶν στρατηγῶν. Τῶν δ' Ἀβουλίτου παίδων ἕνα μὲν, Ὀξυάρτην, αὐτὸς ἀπέκτεινε, σαρίσσῃ διελάσας· Ἀβουλίτου δὲ μηδὲν τῶν ἀναγκαίων παρασκευάσαντος, ἀλλ' ἢ τρισχίλια τάλαντα νομίσματος αὐτῷ προσαγαγόντος, ἐκέλευσε τοῖς ἵπποις τὸ ἀργύριον παραβαλεῖν. Ὡς δ' οὐκ ἐγεύοντο, φήσας· „Τί οὖν ὄφελος ἡμῖν τῆς σῆς παρασκευῆς;" καθεῖρξε τὸν Ἀβουλίτην.

LXIX. Ἐν δὲ Πέρσαις πρῶτον μὲν ἀπέδωκε τὸ νόμισμα ταῖς γυναιξὶν, ὥσπερ εἰώθεισαν οἱ βασιλεῖς, ὁσάκις εἰς Πέρσας ἀφίκοιντο, διδόναι χρυσοῦν ἑκάστῃ. Καὶ διὰ τοῦτο φασὶν ἐνίους μὴ πολλάκις, Ὤχον δὲ μηδ' ἅπαξ εἰς Πέρσας παραγενέσθαι, διὰ μικρολογίαν ἀποξενώσαντα τῆς πατρίδος ἑαυτόν. Ἔπειτα τὸν Κύρου τάφον εὑρὼν διορωρυγμένον, ἀπέκτεινε τὸν ἀδικήσαντα, καίτοι Πελλαῖος ἦν οὐ τῶν ἀσημοτάτων ὁ πλημμελήσας, ὄνομα Πολύμαχος. Τὴν δ' ἐπιγραφὴν ἀναγνοὺς, ἐκέλευσεν Ἑλληνικοῖς ὑποχαράξαι γράμμασιν. Εἶχε δ' οὕτως· „Ὦ ἄνθρωπε, ὅστις εἶ, καὶ ὅθεν ἥκεις· (ὅτι μὲν γὰρ ἥξεις, οἶδα·) ἐγὼ Κῦρος εἰμὶ, ὁ Πέρσαις κτησάμενος τὴν ἀρχήν. Μή οὖν τῆς ὀλίγης ταύτης γῆς φθονήσῃς, ἣ τοὐμὸν σῶμα περικαλύπτει." Ταῦτα μὲν οὖν ἐμπαθῆ σφόδρα τὸν Ἀλέξανδρον ἐποίησεν, ἐν νῷ λαβόντα τὴν ἀδηλότητα καὶ τὴν μεταβολήν. Ὁ δὲ Κάλανος ἐνταῦθα χρόνον οὐ πολὺν ὑπὸ κοιλίας ἐνοχληθεὶς, ᾔτήσατο πυρὰν αὐτῷ γενέσθαι.

Digitized by Google

Καὶ κομισθεὶς ἵππῳ πρὸς αὐτὴν, ἐπευξάμενος καὶ κατασπείσας ἑαυτοῦ, καὶ τῶν τριχῶν ἀπαρξάμενος, ἀναβαίνων ἐδεξιοῦτο τοὺς παρόντας τῶν Μακεδόνων, καὶ παρεκάλει τὴν ἡμέραν ἐκείνην ἡδέως γενέσθαι, καὶ μεθυσθῆναι μετὰ τοῦ βασιλέως· αὐτὸν δ' ἐκεῖνον ἔφη μετ' ὀλίγον χρόνον ἐν Βαβυλῶνι ὄψεσθαι. Ταῦτα δ' εἰπὼν, κατακλιθεὶς καὶ συγκαλυψάμενος, οὔκ ἐκινήθη, τοῦ πυρὸς πλησιάζοντος, ἀλλ', ἐν ᾧ κατεκλίθη σχήματι, τοῦτο διατηρῶν, ἐκαλλιέρησεν ἑαυτὸν τῷ πατρίῳ νόμῳ τῶν ἐκεῖ σοφιστῶν. Τοῦτο πολλοῖς ἔτεσιν ὕστερον ἄλλος Ἰνδὸς, ἐν Ἀθήναις Καίσαρι συνὼν, ἐποίησε· καὶ δείκνυται μέχρι νῦν τὸ μνημεῖον, Ἰνδοῦ προσαγορευόμενον.

LXX. Ὁ δ' Ἀλέξανδρος ἀπὸ τῆς πυρᾶς γενόμενος, καὶ συναγαγὼν πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἐπὶ δεῖπνον, ἀγῶνα προὔθηκε καὶ στέφανον ἀκρατοποσίας. Ὁ μὲν οὖν πλεῖστον πιὼν Ἡρόμαχος, ἄχρι χοῶν τεσσάρων προῆλθε· καὶ λαβὼν τὸ νικητήριον, στέφανον ταλάντου, ἡμέρας τρεῖς ἐπέζησε. Τῶν δὲ ἄλλων, ὡς Χάρης φησὶν, τετταράκοντα καὶ εἷς ἀπέθανον πίνοντες, ἰσχυροῦ τῇ μέθῃ κρύους ἐπιγενομένου. Τῶν δ' ἑταίρων γάμον ἐν Σούσοις ἐπιτελῶν, καὶ λαμβάνων μὲν αὐτὸς γυναῖκα, τὴν Δαρείου θυγατέρα, Στάτειραν, διανέμων δὲ τὰς ἀρίστας τοῖς ἀρίστοις, κοινὸν δὲ τῶν ἤδη προγεγαμηκότων Μακεδόνων γάμον ἄλλον ἑστιάσας· ἐν ᾧ φασὶν, ἐννακισχιλίων τῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον ὄντων, ἑκάστῳ χρυσῆν φιάλην

Digitized by Google

πρὸς τὰς σπονδὰς δοθῆναι· τά τ' ἄλλα θαυμαστῶς ἐλαμπρύνατο, καὶ τὰ χρέα τοῖς δανείσασιν ὑπὲρ τῶν ὀφειλόντων αὐτὸς διαλύσας, τοῦ παντὸς ἀναλώματος ἐλάσσονος μυρίων ταλάντων ἑκατὸν τριάκοντα ταλάντοις γενομένου· Ἐπεὶ δ' Ἀντιγένης ὁ στρεβλόφθαλμος ὡς ὀφείλων ἀπεγράψατο ψευδῶς, καὶ παραγαγὼν τινὰ φάσκοντα δεδανεικέναι πρὸς τὴν τράπεζαν, ἀπέτισε τὸ ἀργύριον, εἶτ' ἐφωράθη ψευδόμενος· ὀργισθεὶς ὁ βασιλεὺς, ἀπήλασε τῆς αὐλῆς αὐτὸν, καὶ παρείλετο τὴν ἡγεμονίαν. Ἦν δὲ λαμπρὸς ἐν τοῖς πολεμικοῖς ὁ Ἀντιγένης· καὶ ἔτι δὲ νέος ὢν, Φιλίππου πολιορκοῦντος Πέρινθον, ἐμπεσόντος αὐτῷ καταπελτικοῦ βέλους εἰς τὸν ὀφθαλμὸν, οὐ παρέσχε βουλομένοις ἐξελεῖν τὸ βέλος, οὐδὲ ὑφήκατο, πρὶν ὦσασθαι προσμαχόμενος καὶ κατακλεῖσαι τοὺς πολεμίους εἰς τὸ τεῖχος. Οὐ μετρίως οὖν τότε τὴν ἀτιμίαν ἔφερεν, ἀλλὰ δῆλος ἦν ἑαυτὸν ὑπὸ λύπης καὶ βαρυθυμίας διαχρησόμενος. Καὶ τοῦτο δείσας ὁ βασιλεὺς, ἀνῆκε τὴν ὀργὴν, καὶ τὰ χρήματα ἔχειν ἐκέλευσεν αὐτόν.

LXXI. Τῶν δὲ παίδων τῶν τρισμυρίων, οὓς ἀσκουμένους καὶ μανθάνοντας ἀπέλιπε, τοῖς τε σώμασιν ἀνδρείων φανέντων, καὶ τοῖς εἴδεσιν εὐπρεπῶν, ἔτι δὲ καὶ ταῖς μελέταις εὐχέρειαν καὶ κουφότητα θαυμαστὴν ἐπιδειξαμένων, αὐτὸς μὲν ἥσθη· τοῖς δὲ Μακεδόσι δυσθυμία παρέστη καὶ δέος, μὴ ἧττον αὐτοῖς τοῦ βασιλέως προσέξοντος. Διὸ καὶ τοὺς ἀσθενεῖς καὶ πεπηρωμένους αὐτοῦ κατα-

Digitized by Google

πόντος ἐπὶ θάλατταν, ὕβριν ἔφασαν εἶναι καὶ προπηλακισμὸν, ἀνθρώποις ἀποχρησάμενον εἰς ἅπαντα, νῦν ἀποτίθεσθαι σὺν αἰσχύνῃ, καὶ προσρίπτειν ταῖς πατρίσι καὶ τοῖς γονεῦσιν, οὐ τοιούτους παραλαβόντα. Πάντας οὖν ἐκέλευον ἀφιέναι, καὶ πάντας ἀχρήστους νομίζειν Μακεδόνας, ἔχοντα τοὺς νέους τούτους πυρρίχιστὰς, σὺν οἷς ἐπιὼν καταχτήσεται τὴν οἰκουμένην. Πρὸς ταῦτα χαλεπῶς ὁ Ἀλέξανδρος ἔσχε, καὶ πολλὰ μὲν ἐλοιδόρησεν αὐτοὺς πρὸς ὀργὴν, ἀπελάσας δὲ, τὰς φυλακὰς παρέδωκε Πέρσαις, καὶ κατέστησεν ἐκ τούτων δορυφόρους καὶ ῥαβδοφόρους· ὑφ' ὧν ὁρῶντες αὐτὸν παραπεμπόμενον, αὐτοὺς δ' ἀπειργομένους καὶ προπηλακιζομένους, ἐταπεινοῦντο· καὶ διδόντες λόγον, εὕρισκον αὐτοὺς ὀλίγου δεῖν μανέντας ὑπὸ ζηλοτυπίας καὶ ὀργῆς. Τέλος δὲ, συμφρονήσαντες, ἐβάδιζον ἄνοπλοι καὶ μονοχίτωνες ἐπὶ τὴν σκηνὴν μετὰ βοῆς καὶ κλαυθμοῦ παραδιδόντες ἑαυτοὺς, καὶ χρήσασθαι κελεύοντες ὡς κακοῖς καὶ ἀχαρίστοις. Ὁ δ' οὐ προσίετο, καίπερ ἤδη μαλασσόμενος. Οἱ δ' οὐκ ἀπέστηταν, ἀλλ' ἡμέρας δύο καὶ νύκτας οὕτω προσεστῶτες καὶ ὀλοφυρόμενοι καὶ κοίρανον ἀνακαλοῦντες ἐκαρτέρησαν. Τῇ δὲ τρίτῃ προελθὼν, καὶ θεασάμενος οἰκτροὺς καὶ τεταπεινωμένους, ἐδάκρυσε πολὺν χρόνον· εἶτα μεμψάμενος μέτρια, καὶ προσαγορεύσας φιλανθρώπως, ἀπέλυσε τοὺς ἀχρήστους, δωρησάμενος μεγαλοπρεπῶς, καὶ γράψας πρὸς Ἀντίπατρον, ὅπως ἐν πᾶσι τοῖς ἀγῶσι καὶ τοῖς θεά-

Digitized by Google

τροις προεδρίαν ἔχοντες ἐστεφανωμένοι καθέζοιντο. Τῶν δὲ τεθνηκότων τοὺς παῖδας, ὀρφανοὺς ὄντας, ἐμμίσθους ἐποίησεν.

LXXII. Ὡς δ' ἦκεν εἰς Ἐκβάτανα τῆς Μηδίας, καὶ διώκησε τὰ κατεπείγοντα, πάλιν ἦν ἐν θεάτροις καὶ παννυχίσιν, ἅτε δὴ τρισχιλίων αὐτῷ τεχνιτῶν ἀπὸ τῆς Ἑλλάδος ἀφιγμένων. Ἔτυχε δὲ περὶ τὰς ἡμέρας ἐκείνας Ἡφαιστίων πυρέσσων· οἷα δὲ νέος καὶ στρατιωτικὸς, οὐ φέρων ἀκριβῆ δίαιταν, ἀλλ', ἅμα τῷ τὸν ἰατρὸν Γλαῦκον ἀπελθεῖν εἰς τὸ θέατρον, περὶ ἄριστον γενόμενος, καὶ καταφαγὼν ἀλεκτρυόνα ἑφθὸν, καὶ ψυκτῆρα μέγαν ἐκπιὼν οἴνου, κακῶς ἔσχε, καὶ μικρὸν διαλιπὼν ἀπέθανε. Τοῦτ' οὐδενὶ λογισμῷ τὸ πάθος Ἀλέξανδρος ἤνεγκεν, ἀλλ' εὐθὺς μὲν ἵππους τε κεῖραι πάντας ἐπὶ πένθει καὶ ἡμιόνους ἐκέλευσε, καὶ τῶν περιξ πόλεων ἀφεῖλε τὰς ἐπάλξεις· τὸν δ' ἄθλιον ἰατρὸν ἀνεσταύρωσεν. Αὐλοὺς δὲ κατέπαυσε καὶ μουσικὴν ἐν τῷ στρατοπέδῳ πολὺν χρόνον, ἕως ἐξ Ἄμμωνος ἦλθε μαντεῖα τιμᾶν Ἡφαιστίωνα, καὶ θύειν ὡς ἥρωϊ παρακελεύουσα. Τοῦ δὲ πένθους παρηγορίᾳ τῷ πολέμῳ χρώμενος, ὥσπερ ἐπὶ θήραν καὶ κυνηγεσίαν ἀνθρώπων ἐξῆλθε, καὶ τὸ Κοσσαίων ἔθνος κατεστρέφετο, πάντας ἡβηδὸν ἀποσφάττων. Τοῦτο δ' Ἡφαιστίωνος ἐναγισμὸς ἐκαλεῖτο. Τύμβον δὲ καὶ ταφὴν αὐτοῦ καὶ τὸν περὶ ταῦτα κόσμον ἀπὸ μυρίων ταλάντων ἐπιτελέσαι διανοούμενος, ὑπερβαλέσθαι δὲ τῷ φιλοτέχνῳ καὶ περιττῷ τῆς κατασκευῆς,

Digitized by Google

τὴν δαπάνην, ἐπόθησε μάλιστα τῶν τεχνιτῶν Στασικράτην, μεγαλουργίαν τινὰ καὶ τόλμαν καὶ κόμπον ἐν ταῖς καινοτομίαις ἐπαγγελλόμενον. Οὗτος γὰρ αὐτῷ πρότερον ἐντυχὼν, ἔφη, τῶν ὀρῶν μάλιστα τὸν Θρᾴκιον Ἄθων διατύπωσιν ἀνδρείκελον δέχεσθαι καὶ διαμόρφωσιν· ἂν οὖν κελεύῃ, μονιμώτατον ἀγαλμάτων αὐτῷ καὶ περιφανέστατον ἐξεργάσεσθαι τὸν Ἄθων, τῇ μὲν ἀριστερᾷ χειρὶ περιλαμβάνοντα πυρίανδρον πόλιν οἰκουμένην, τῇ δὲ δεξιᾷ σπένδοντα ποταμοῦ ῥεῦμα θαψιλὲς εἰς τὴν θάλασσαν ἀποῤῥέοντος. Ταῦτα μὲν οὖν παρῃτήσατο, πολλῷ δ' ἀτοπώτερα καὶ δαπανηρότερα τούτων σοφιζόμενος τότε καὶ συμμηχανώμενος τοῖς τεχνίταις διέτριβεν.

LXXIII. Εἰς δὲ Βαβυλῶνα προάγοντος αὐτοῦ, Νέαρχος (ἀφῖκτο γὰρ αὖθις εἰσπλεύσας εἰς τὸν Εὐφράτην διὰ τῆς μεγάλης θαλάσσης) ἔφη, τινὰς ἐντυχεῖν αὐτῷ Χαλδαίους, παραινοῦντας ἀπέχεσθαι Βαβυλῶνος τὸν Ἀλέξανδρον. Ὁ δ' οὐκ ἐφρόντισεν, ἀλλ' ἐπορεύετο· καὶ πρὸς τοῖς τείχεσι γενόμενος, κόρακας εἶδε πολλοὺς διαφερομένους, καὶ τύπτοντας ἀλλήλους, ὧν ἔνιοι κατέπεσον παρ' αὐτόν. Ἔπειτα, μηνύσεως γενομένης κατ' Ἀπολλοδώρου, τοῦ στρατηγοῦ τῆς Βαβυλῶνος, ὡς εἴη περὶ αὐτοῦ τεθυμένος, ἐκάλει Πυθαγόραν τὸν μάντιν. Οὐκ ἀρνουμένου δὲ τὴν πρᾶξιν, ἠρώτησε τῶν ἱερῶν τὸν τρόπον. Φήσαντος δ', ὅτι τὸ ἧπαρ ἦν ἄλοβον· „Παπαὶ (εἶπεν) ἰσχυρὸν τὸ σημεῖον.“ Καὶ τὸν Πυθαγόραν οὐδὲν ἠδίκησεν· ἤχθετο δὲ μὴ πεισθεὶς τῷ Νεάρχῳ, καὶ τὰ

Digitized by Google

πολλὰ τῆς Βαβυλῶνος ἔξω κατασκηνῶν, καὶ περιπλέων τὸν Εὐφράτην διέτριβεν. Ἠνώχλει δ' αὐτὸν σημεῖα πολλά. Καὶ γὰρ λέοντα τῶν τρεφομένων μέγιστον καὶ κάλλιστον ἥμερος ὄνος ἐπελθὼν καὶ λακτίσας ἀνεῖλεν. Ἀποδυσαμένου δὲ πρὸς ἄλειμμα, καὶ σφαῖραν αὐτοῦ παίζοντος, οἱ νεανίσκοι οἱ σφαιρίζοντες, ὡς ἔδει πάλιν λαβεῖν τὰ ἱμάτια, καθορῶσιν ἄνθρωπον ἐν τῷ θρόνῳ καθεζόμενον σιωπῇ, τὸ διάδημα καὶ τὴν στολὴν τὴν βασιλικὴν περικείμενον. Οὗτος ἀνακρινόμενος, ὅστις εἴη, χρόνον πολὺν ἄναυδος ἦν· μόλις δὲ συμφρονήσας, Διονύσιος μὲν ἔφη καλεῖσθαι, Μεσσήνιος δ' εἶναι τὸ γένος· ἐκ δέ τινος αἰτίας καὶ κατηγορίας ἐνταῦθα κομισθεὶς ἀπὸ θαλάσσης, πολὺν χρόνον γεγονέναι ἐν δεσμοῖς. ἄρτι δ' αὐτῷ τὸν Σάραπιν ἐπιστάντα τοὺς δεσμοὺς ἀνεῖναι, καὶ προαγαγεῖν δεῦρο, καὶ κελεῦσαι λαβόντα τὴν στολὴν καὶ τὸ διάδημα καθίσαι καὶ σιωπᾶν.

LXXIV. Ταῦτ' ἀκούσας ὁ Ἀλέξανδρος, τὸν μὲν ἄνθρωπον, ὥσπερ ἐκέλευον οἱ μάντεις, ἠφάνισεν· αὐτὸς δ' ἠθύμει καὶ δύσελπις ἦν πρὸς τὸ θεῖον ἤδη, καὶ πρὸς τοὺς φίλους ὕποπτος. Μάλιστα δ' Ἀντίπατρον ἐφοβεῖτο, καὶ τοὺς παῖδας, ὧν Ἴόλαος μὲν ἀρχιοινοχόος ἦν· ὁ δὲ Κάσανδρος ἀφῖκτο μὲν νεωστί· θεασάμενος δὲ βαρβάρους τινὰς προσκυνοῦντας, ἅτε δὴ τεθραμμένος Ἑλληνικῶς, καὶ τοιοῦτο πρότερον μηδὲν ἑωρακὼς, ἐχέλασε προπετέστερον. Ὁ δ' Ἀλέξανδρος ὠργίσθη, καὶ θραξάμενος αὐτοῦ τῶν τριχῶν, σφύδρα ταῖς χερσὶν ἀμφοτέραις ἔπαισε τὴν κε-

Digitized by Google

φαλην πρὸς τὸν τοῖχον. Αὖθις δὲ πρὸς τοὺς κατηγοροῦντας Ἀντιπάτρου λέγειν τι βουλόμενον τὸν Κάσανδρον ἐκκρούων· „Τί λέγεις; (ἔφη) τοσαύτην ὁδὸν ἄνθρώπους μηδὲν ἀδικουμένους, ἀλλὰ συκοφαντοῦντας ἐλθεῖν;“ Φήσαντος δὲ τοῦ Κασάνδρου, τοῦτ' αὐτὸ σημεῖον εἶναι τοῦ συκοφαντεῖν, ὅτι μακρὰν ἥκουσι τῶν ἐλέγχων, ἀναγελάσας ὁ Ἀλέξανδρος· „Ταῦτ' ἐκεῖνα (ἔφη) σοφίσματα τῶν Ἀριστοτέλους εἰς ἑκάτερον τῶν λόγων, οἰμωξομένου γ', ἂν μικρὸν ἀδικοῦντες φανῆτε τοὺς ἀνθρώπους.“ Τὸ δ' ὅλον οὕτω φασὶ δεινὸν ἐνδῦναι καὶ δεισοποιὸν ἐγγενέσθαι τῇ ψυχῇ τοῦ Κασάνδρου τὸ θέος, ὥστε ὕστερον χρόνοις πολλοῖς, ἤδη Μακεδόνων βασιλεύοντα, καὶ κρατοῦντα τῆς Ἑλλάδος, ἐν Δελφοῖς περιπατοῦντα καὶ θεώμενον τοὺς ἀνδριάντας, εἰκόνος Ἀλεξάνδρου φανείσης, ἄφνω πληγέντα φρίξαι καὶ κραδανθῆναι τὸ σῶμα, καὶ μόλις ἀναλαβεῖν ἑαυτὸν ἱλιγγιάσαντα πρὸς τὴν ὄψιν.

LXXV. Ὁ δ' οὖν Ἀλέξανδρος ὡς ἐνέδωκε τότε πρὸς τὰ θεῖα, ταραχώδης γενόμενος καὶ περίφοβος τὴν διάνοιαν, οὐδὲν ἦν μικρὸν οὕτως τῶν ἀήθων καὶ ἀτόπων, ὃ μὴ τέρας ἐποιεῖτο καὶ σημεῖον· ἀλλὰ θυομένων καὶ καθαιρόντων καὶ μαντευόντων μεστὸν ἦν τὸ βασίλειον. Οὕτως ἄρα δεινὸν μὲν ἀπιστία πρὸς τὰ θεῖα, καὶ καταφρόνησις αὐτῶν· δεινὴ δ' αὖθις ἡ δεισιδαιμονία, δίκην ὕδατος ἀεὶ πρὸς τὸ ταπεινούμενον, καὶ ἀναπληροῦν ἀβελτερίας καὶ φόβου τὸν Ἀλέξανδρον γενόμενον. Οὐ μὴν ἀλλὰ, καίπερ χρησμῶν γε τῶν περὶ Ἡφαιστίωνος ἐκ θεοῦ κο-

Digitized by Google

μισθέντων, ἀποθέμενος τὸ πένθος, αὖθις ἦν ἐν θυσίαις καὶ πότοις. Ἑστιάσας δὲ λαμπρῶς τοὺς περὶ Νέαρχον, εἶτα λουσάμενος, ὥσπερ εἰώθει, μέλλων καθεύδειν, Μηδίου δεηθέντος, ᾤχετο κωμασόμενος πρὸς αὐτόν· κἀκεῖ πιὼν ὅλην τὴν ἐπιοῦσαν ἡμέραν, ἤρξατο πυρέττειν, οὔτε σκύφον Ἡρακλέους ἐκπιὼν, οὔτ' ἄφνω διαλγὴς γενόμενος τὸ μετάφρενον, ὥσπερ λάγχη πεπληγώς· ἀλλὰ ταῦτα τινὲς ᾠήθησαν δεῖν γράφειν, ὥσπερ δράματος μεγάλου τραγικὸν ἔξοδιον καὶ περιπαθὲς πλάσαντες. Ἀριστόβουλος δέ φησιν αὐτὸν πυρέττοντα μανικῶς, διψήσαντα δὲ σφόδρα, πιεῖν οἶνον· ἐκ τούτου δὲ φρενιτιάσαι, καὶ τελευτῆσαι τριακάδι Δαισίου μηνός.

LXXVI. Ἐν δὲ ταῖς ἐφημερίσιν οὕτως γέγραπται περὶ τὴν νόσον. Ὀγδόῃ ἐπὶ δεκάτῃ Δαισίου μηνὸς ἐκάθευδεν ἐν τῷ λουτρῶνι διὰ τὸ πυρέξαι. Τῇ δ' ἑξῆς λουσάμενος εἰς τὸν θάλαμον μετῆλθε, καὶ διημέρευε πρὸς Μήδιον κυβεύων. Εἶτ' ὑψὲ λουσάμενος, καὶ τὰ ἱερὰ τοῖς θεοῖς ἐπιθεὶς, ἐμφαγὼν, διὰ νυκτὸς ἐπύρεξε. Τῇ εἰκάδι λουσάμενος, πάλιν ἔθυσε τὴν εἰθισμένην θυσίαν· καὶ κατακείμενος ἐν τῷ λουτρῶνι τοῖς περὶ Νέαρχον ἐσχόλαζεν, ἀκροώμενος τὰ περὶ τὸν πλοῦν καὶ τὴν μεγάλην θάλατταν. Τῇ δεκάτῃ φθίνοντος ταῦτὰ ποιήσας μᾶλλον ἀνεφλέχθη, καὶ τὴν νύκτα βαρέως ἔσχε, καὶ τὴν ἐπιοῦσαν ἡμέραν ἐπύρεττε σφόδρα. Καὶ μεταρθεὶς κατέκειτο παρὰ τὴν μεγάλην κολυμβήθραν· ὅτε δὴ τοῖς ἡγεμόσι διελέχθη περὶ τῶν ἐρήμων ἡγεμονίας τάξεων, ὅπως

Digitized by Google

καταστήσωσι δοκιμάσαντες. Ἑβδόμῃ σφόδρα πυρέττων ἔθυσεν ἐξαρθεὶς πρὸς τὰ ἱερά. Τῶν δ' ἡγεμόνων ἐκέλευε τοὺς μεγίστους διατρίβειν ἐν τῇ αὐλῇ, ταξιάρχους δὲ καὶ πεντακοσιάρχους ἔξω νυκτερεύειν. Εἰς δὲ τὰ πέραν βασίλεια διακομισθεὶς, τῇ ἕκτῃ σμικρὸν ὕπνωσεν· ὁ δὲ πυρετὸς οὐκ ἀνῆκεν. Ἐπελθόντων δὲ τῶν ἡγεμόνων, ἦν ἄφωνος, ὁμοίως δὲ καὶ τὴν πέμπτην· διὸ καὶ τοῖς Μακεδόσιν ἔδοξε τεθνάναι, καὶ κατεβόων ἐλθόντες ἐπὶ τὰς θύρας, καὶ διηπειλοῦντο τοῖς ἑταίροις, ἕως ἐβιάσαντο. Καὶ τῶν θυρῶν αὐτοῖς ἀνοιχθεισῶν, ἐν τοῖς χιτῶσι καθ' ἕνα πάντες παρὰ τὴν κλίνην παρεξῆλθον. Ταύτης δὲ τῆς ἡμέρας οἱ περὶ Πύθωνα καὶ Σέλευκον εἰς τὸ Σαραπεῖον ἀποστελέντες, ἠρώτων, εἰ κομίσουσιν ἐκεῖ τὸν Ἀλέξανδρον· ὁ δὲ θεὸς κατὰ χώραν ἐᾶν ἀνεῖλε. Τῇ δὲ τρίτῃ φθίνοντος πρὸς δείλην ἀπέθανε.

LXXVII. Τούτων τὰ πλεῖστα κατὰ λέξιν ἐν ταῖς ἐφημερίσιν οὕτω γέγραπται. Φαρμακείας δ' ὑποψίαν αὐτίκα μὲν οὐδεὶς ἔσχεν· ἕκτῳ δ' ἔτει φασὶ μηνύσεως γενομένης, τὴν Ὀλυμπιάδα πολλοὺς μὲν ἀνελεῖν, ἐκρίψαι δὲ τὰ λείψανα τοῦ Ἴδλα τεθνηκότος, ὡς τούτου τὸ φάρμακον ἐγχέαντος. Οἱ δ' Ἀριστοτέλη φάσκοντες Ἀντιπάτρῳ σύμβουλον γεγενῆσθαι τῆς πράξεως, καὶ ὅλως δι' ἐκείνου κομισθῆναι τὸ φάρμακον, Ἀγνόθεμίν τινα διηγεῖσθαι λέγουσιν, ὡς Ἀντιγόνου τοῦ βασιλέως ἀκούσαντα· τὸ δὲ φάρμακον ὕδωρ εἶναι ψυχρὸν καὶ παγετῶδες ἀπὸ πέτρας τινὸς ἐν Νωνάκριδι οὔσης, ἣν ὥσπερ δρόσον λεπτὴν

Digitized by Google

ἀναλαμβάνοντες εἰς ὄνου χηλὴν ἀποτίθενται· τῶν γὰρ ἄλλων οὐδὲν ἀγγείων στέγειν, ἀλλὰ διακόπτειν ὑπὸ ψυχρότητος καὶ δριμύτητος. Οἱ δὲ πλεῖστοι τὸν λόγον ὅλως οἴονται πεπλάσθαι τὸν περὶ τῆς φαρμακείας· καὶ τεκμήριον αὐτοῖς οὐ μικρόν, ὅτι, τῶν ἡγεμόνων στασιασάντων ἐφ' ἡμέρας πολλὰς, ἀθεράπευτον τὸ σῶμα κείμενον ἐν τόποις θερμοῖς καὶ πνιγώδεσιν, οὐδὲν ἔσχε τοιαύτης φθορᾶς σημεῖον, ἀλλ' ἔμεινε καθαρὸν καὶ πρόσφατον. Ἡ δὲ Ῥωξάνη κύουσα μὲν ἐτύγχανε, καὶ διὰ τοῦτο τιμωμένη παρὰ τοῖς Μακεδόσι· δυσζήλως δ' ἔχουσα πρὸς τὴν Στάτειραν, ἐξηπάτησεν αὐτὴν ἐπιστολῇ τινι πεπλασμένῃ παραγενέσθαι, καὶ προσαγαγοῦσα μετὰ τῆς ἀδελφῆς ἀπέκτεινε, καὶ τοὺς νεκροὺς εἰς τὸ φρέαρ κατέβαλε καὶ συνέχωσεν, εἰδότος ταῦτα Περδίκκου καὶ συμπράττοντος. Ἦν γὰρ ἐκεῖνος εὐθὺς ἐν δυνάμει μεγίστῃ, τὸν Ἀρρίδαιον, ὥσπερ δορυφόρημα τῆς βασιλείας, ἐφελκόμενος, γεγονότα μὲν ἐκ γυναικὸς ἀδόξου καὶ κοινῆς, Φιλίννης, ἀτελῆ δὲ τῷ φρονεῖν ὄντα διὰ σώματος νόσον, οὐ φύσει προσπεσοῦσαν, οὐδὲ αὐτομάτως· ἀλλὰ καὶ πάνυ φασὶ παιδὸς ὄντος αὐτοῦ διαφαίνεσθαι χάριεν ἦθος, καὶ οὐκ ἀγεννές, εἶτα μέντοι φαρμάκοις ὑπ' Ὀλυμπιάδος κακωθέντα διαφθαρῆναι τὴν διάνοιαν.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google